

3 1761 04259 9050





CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S.T.P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.


TOMUS VIII.

IN EPISTOLAS CATHOLICAS ET APOCALYPSIN.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLIV.



CATENA

IN

EPISTOLAS CATHOLICAS,

ACCESSERUNT

ŒCUMENII ET ARETHÆ

COMMENTARII IN APOCALYPSIN,

AD FIDEM CODD. MSS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXL.



MONITUM.

CATENAM in Epistolas Catholicas ex eodem Codice MS. quo Commentarium in Acta SS. Apostolorum jam vulgatum, descripsi; adhibita est etiam ea lectionis varietas quam Cod. Coisl. XXV. mihi suppeditavit. De his vero Codd. jam satis dictum fuit. In Epist. Jud. habui præterea Codicem Bodl. Rawlinson G. 157. membr. sæc. XIII. sed ex antiquissimo, ut opinor, apographo descriptum. Plura autem de Commentariis in Apocalypsin, e quibus secunda hujus Voluminis pars conflata est, dicenda sunt. De Græcis Commentatoribus in hanc Sacræ Scripturæ partem hæc habet Fabricius Bibl. Gr. t. vii. p. 791. pr. Ed. = t. viii. p. 696 Harl.

"In Apocalypsin denique non omittenda Andreæ et "Arethæ Commentaria. Sub Andreæ quidem Cæsareæ "Cappadociæ Episcopi nomine Commentarius exstat "Macario cuidam, quem patrem suum ac *συλλειτουργὸν* "vocat, ab auctore inscriptus, librumque dividens in "*κεφάλαια* LXXII. Hunc Theodorus Peltanus vertit, "ediditque Latine Ingolstadii A. 1574. 4. relatum inde "in Bibliothecas Patrum. Sed Græce ac Latine cum "ejusdem Peltani versione legitur subjunctus Io. Chry-"sostomi ad Novum Testamentum Commentariis, in "Editionibus Græcolatinis Commelina Paris. et Fran-"cofurtensi.

"Arethas qui et ipse post Andream Cæsareæ ejusdem in Cappadocia Archiepiscopus fuisse traditur, forte haud diversus est ab Aretha, qui adhuc presbyter Cæsareensis, scripsit de translatione Euthymii Patriarchæ Cpol. A. C. 911 defuncti: neque improbabilis hæc mihi videtur C. V. Casimiri Oudini conjectura. Idem certe, cujus sermo de Martyribus Guria, Samona et Abibo legitur t. 3. Lipomanni, et apud Surium 15 Nov. Ejus insigne in Apocalypsin opus συλλογὴ ἐξηγήσεων ἐκ διαφόρων ἁγίων ἀνδρῶν εἰς τὴν Ἰωάννου, τοῦ ἠγαπημένου καὶ εὐαγγελιστοῦ Ἀποκάλυψιν, primum Græce prodiit ad calcem Œcumenii Veronæ 1532, fol. Latine vertit Jo. Hentenius Paris. 1547. 8. et post Hentenium Maximus Florentinus Monachus Cassinensis Basil. 1554. 8. et in Bibliothecis Patrum ut Lugdunensi T. ix. Atque Græce et Latine cum Hentenii versione Fred. Morellus recudi curavit ad calcem Œcumenii Paris. 1631 fol. in Græcis sola Veronensi editione usus, neque interpreti emendando adhibita industria, cujus nonnullas hallucinationes castigaverat Jac. Billius in Observationibus Sacris, quemadmodum Græca ex MS. Bibl. Reg. Paris. emendatiora dari posse notavit Ric. Simon. Lib. 3. Hist. Criticæ N. T. p. 468." Hactenus Fabricius.

His vero Commentatoribus[a] in Apocalypsin addendus est Œcumenius Episcopus Triccæ in Thessalia, cujus Scholia habentur in Cod. Coisl. 224. e quo procemium

[a] Inest in Bibl. Card. Ottobon. Romæ Comment. ined. Autolyci Cariæ in Apoc. Inc. πολλάκις αἰτηθεὶς ὑπὸ πολλῶν ἐξ ἀγάπης. Montf. Bibl. Bibliothh. t. i. p. 186 C.

Operis jam vulgavit Cl. Montfaucon. in Bibl. Coisl. p. 277. sed exstant etiam in Cod. Barocciano 3. qui continet Acta SS. Apostolorum, Epistt. Cathol. et S. Pauli, et Apocalypsin, cum Scholiis. Hæc Scholia Barocciana in Apocalypsin uberrima sunt et sui generis; nam conflata sunt, ut videtur, ex Andreæ, Arethæ et Œcumenii Commentariis, et adeo superant Editorum librorum copiam in iis quæ ad Aretham spectant, ut Codex (nescio quis[b]) e quo prima Editio derivata fuit, mihi potius Epitomen quam integrum opus repræsentare

[b] Catalogi Bibl. Reg. Paris. auctor censet Codicem Gr. qui signatur Num°. 219. eundem esse ac illum e quo Editio Veronensis vulgata est; sed id non verum esse, satis opinor constabit e specimine istius Codicis cum Ed. Paris. 1631. fol. collati, quod hic subjungimus.

Cod. Reg. 219. coll. cum ed. Paris. 1631. tom. ii. p. 645.

Pag.
645, B. 6. ᾿Αρχόμενος γράφειν.
646, A. 4. γὰρ om.
5. προέβη· ὡς γὰρ τὸ Χριστὸς ὄνομα ἀπὸ τῶν ταπεινοτέρων τῆς οἰκονομίας· εἴπερ καὶ Πέτρος.
10. νὺν τὸ.
11. οὗτος om.
B. 4. δὲ ὅτι τὴν μυς′.
8. ᾿Αποκάλυψίς ἐστιν.
11. καθύπαρ.
12. τοῦ Χριστοῦ ἐμφαίνων.
D. 8. ἐστι om.
11. τῷ ἐχθὲς παρατεινομένῳ.
12. ἐὰν μὴ om. τὸ ἀποκ.
ult. τὸ πρὸς καταδ.
647, A. 1. ἀποδιοπομπ.
D. 6. ἀκουστικὴν.

Pag.
647, D. 9. ἤτουν ὃ.
648, A. 1. ὅλον γέγονε—παρὰ τῷ.
4. τοῦτο om.
7. οὐκ εἰς.
B. 9. ἐκκλησιῶν τοῦ.
10. ἀριθμοῦ τῶν ἀπ. ἐκκ.
11. πλῆθος om.
C. 4. τὸ εἰς τὴν.
5. ὑποστῆσαι περιττὸν ἡγεῖται· αἷς ἐκκλησίαις καὶ ἶσαρ.
8. ἀπὸ ὁ ὢν.
11. ἰσοδυναμεῖ τὸ.
12. ἡμῶν λέγων.
D. 9. αὐτῷ δέξασθαι.
649. A. 8. τοῖς διαμ. ὅτι om.
9. σύμπαντα δῆλα καὶ δὴ καὶ.
10. εὐλογεῖτε om.

Eandem fere varietatem suppeditat Cod. Reg. 224.

videatur. Adeo multæ pericopæ in eo, citationesque, non sine magno sensus damno, resecatæ sunt; ut non mirum sit Hentenium, qui Latine vertit, in vero sensu investigando, multum laboris frustra impendisse. Hæc nobis optimi Codicis Barocciani ope resarcire contigit, et plenissimum forsan Antiquorum Gr. Patrum Commentarium quod exstat in Apocalypsin, vulgare: collato Codice cum Edit. Parisiensi Arethæ Paris. 1631. fol. Cod. Baroccianus est formæ min. in 12. undecimo sæculo exaratus; sed in Scholiis, ita minutis quamvis nitidissimis characteribus, ut nonnisi intenta oculorum acie distingui possint. Nonnulla vero folia exciderunt; et dolet præterea, quod multa scholia ob nimis decurtatas margines hiatibus laborent.

Hos defectus aliqua ex parte supplebunt Scholia Œcumeniana quæ post cætera edenda curavi, e Cod. Coisl. 224, qui est decimi sæculi et pulcherrime scriptus.

Hoc opus nostrum, qualecunque demum sit, accipe Lector æquo animo, et utere ad gloriam Dei, Patris, Filii, et Spiritus Sancti.

ΕΡΜΗΝΕΙΑ

ΤΩΝ ΚΑΘΟΛΙΚΩΝ ΕΠΙΣΤΟΛΩΝ.

ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ.

'ΕΠΕΙΔΗ *αὐτὸς Ἰάκωβος ταύτην γράφει τοῖς ἀπὸ τῶν δώδεκα φυλῶν διασπαρεῖσι καὶ πιστεύσασιν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, γράφει δὲ διδασκαλικὴν τὴν Ἐπιστολὴν, διδάσκων περὶ διαφορᾶς πειρασμῶν· ποῖος μέν ἐστιν ἀπὸ Θεοῦ, ποῖος δὲ ἀπὸ τῆς ἰδίας καρδίας τῶν ἀνθρώπων ἐστί· καὶ οὐ λόγῳ μόνῳ ἀλλὰ καὶ ἔργῳ δεικνύναι τὴν πίστιν· καὶ οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου, ἀλλ' οἱ ποιηταὶ δικαιοῦνται· περί τε τῶν πλουσίων παραγγέλλει*[a]*, ἵνα μὴ προκρίνωνται τῶν πτωχῶν ἐν ταῖς ἐκκλησίαις, ἀλλὰ καὶ μᾶλλον ἐπιπλήττωνται*[b] *ὡς ὑπερήφανοι· καὶ τέλος παραμυθησάμενος τοὺς ἀδικουμένους, καὶ προτρεψάμενος αὐτοὺς μακροθυμεῖν ἕως τῆς παρουσίας τοῦ κριτοῦ, καὶ διδάξας*[c] *ἐκ τοῦ Ἰὼβ τὸ χρηστὸν τῆς ὑπομονῆς, παραγγέλλει προσκαλεῖσθαι τοὺς πρεσβυτέρους ἐπὶ τοὺς ἀσθενοῦντας, καὶ σπεύδειν ἐπιστρέφειν τοὺς πλανηθέντας ἐπὶ τὴν ἀλήθειαν· εἶναι γὰρ τούτου μισθὸν παρὰ τοῦ Κυρίου, ἄφεσιν ἁμαρτιῶν. καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.*

ΚΕΦ. Α.

Περὶ ὑπομονῆς καὶ πίστεως ἀδιακρίτου καὶ περὶ ταπεινοφροσύνης πρὸς πλουσίους.

1 Ἰάκωβος Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος,
ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν.

Ἐξ ἀνεπιγράφου. *Ἕκαστος τῶν Ἀποστόλων ἐπιστέλλων,*

[a] *παραγγέλει* Cod. [b] *ἐπιπληττονται* Cod. [c] *καὶ διδάξας περὶ ὑπομονῆς, καὶ διδάξας ἐκ τοῦ Ἰὼβ κ. τ. λ.* Cod.

προοίμιον τῆς Ἐπιστολῆς τὸ ἀξίωμα ἑαυτοῦ ποιεῖται· τοῦτο δέ ἐστι τὸ καταξιωθῆναι δοῦλος κληθῆναι Χριστοῦ· ἅτε δὲ ὡς τῆς περιτομῆς ὢν Ἀπόστολος τοῖς ἐκ τῶν δώδεκα φυλῶν ἐπιστέλλει πιστεύσασιν. ἰστέον μέντοι ὥς τινες νοθεύουσι τὴν Ἐπιστολὴν ταύτην καὶ τὴν Ἰούδα, ὥς φησὶν Εὐσέβιος ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ. ὅμως πάντες ἴσμεν καὶ ταύτας μετὰ τῶν ἄλλων καθολικῶν ἐν ταῖς ἐκκλησίαις ἐμφερομένας.

Διδύμου. Ὡς γὰρ οἱ τοῦ κόσμου ἄνθρωποι ἐν ταῖς συγγραφαῖς τῶν βιωτικῶν συναλλαγμάτων ἐκ τῶν περὶ αὐτοὺς ἀξιωμάτων χρηματίζειν θέλουσιν, οὕτω καὶ οἱ Ἀπόστολοι ἐν ταῖς ἀρχαῖς τῶν συγγραμμάτων αὐτῶν, δοῦλοι Θεοῦ καὶ Χριστοῦ χρηματίζειν ἀξιοῦσιν.

2 Πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις.

Τοῦ Χρυσοστόμου. Δεσμὸς γάρ τις ἐστὶν ἡ θλίψις ἀρραγὴς, ἀγαπῆς αὔξησις, κατανύξεως καὶ εὐλαβείας ὑπόθεσις. ἄκουε γὰρ τοῦ λέγοντος, "εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν "ψυχήν σου εἰς πειρασμόν." καὶ ὁ Χριστὸς δὲ πάλιν ἔλεγεν, "ἐν τῷ κόσμῳ θλίψιν ἔχετε· ἀλλὰ θαρσεῖτε." καὶ πάλιν, "στενὴ "καὶ τεθλιμμένη ἡ ὁδός." ὁρᾷς πανταχοῦ τὴν θλίψιν ἐπαινουμένην, πανταχοῦ παραλαμβανομένην ὡς ἀναγκαίαν οὖσαν ἡμῖν. εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν οὐδεὶς ἂν ταύτης χωρὶς στέφανον λάβοι, εἰ μὴ καὶ πόνοις καὶ σιτίων παρατηρήσει καὶ νόμου διαίτῃ καὶ ἀγρυπνίαις, καὶ μυρίοις ἑτέροις ἑαυτὸν ὀχυρώσῃ, πολλῷ μᾶλλον ἐνταῦθα.

3 Γινώσκοντες, ὅτι δοκίμιον ὑμῶν τῆς πίστεως κατερ-
4 γάζεται ὑπομονήν· ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω.

Εἰς τελειότητα οὖν, τὴν κατ' ἀνδρείαν καὶ καρτερίαν προτρέπων, ἀκολούθως ἀδελφοὺς ὀνομάζει, ἀλλ' οὐ τέκνα οὐδὲ υἱούς. τοσοῦτον δὲ ἀπέχει τὸ συμβουλεύειν αὐτοῖς λυπεῖσθαι διὰ τοὺς πειρασμοὺς, ὡς καὶ πᾶσαν χαρὰν αὐτοὺς ἡγεῖσθαι πείθειν· ἵνα τὸ ἐναντίον αὐτοὺς λυπῇ τὸ μὴ πειράζεσθαι. εἰ γὰρ οἱ πειρασμοὶ χαρὰ αὐτοῖς, καὶ οὐχ ἁπλῶς χαρὰ, ἀλλὰ καὶ πᾶσα, δηλονότι τὸ μὴ πειράζεσθαι λύπην προσάγει. καὶ διατί δοκιμήν, φησιν, ἐρ-

γάζεται· τί δὲ ἡ δοκιμὴ τοῖς ἔχουσι ποιεῖ· δηλονότι εἰς ἔργον τέλειον ἄγει.

Ὁ Κύριος καὶ Θεὸς ἡμῶν πῶς δεῖ προσεύχεσθαι τοὺς οἰκείους διδάσκων μαθητὰς, καὶ τὸ κατὰ γνωμὴν εἶδος τῶν πειρασμῶν ἀπέχεσθαι φάσκειν ἐκέλευε· "καὶ μὴ εἰσενέγκεις ἡμᾶς εἰς πει-"ρασμόν" τῶν ἡδωνικῶν δηλονότι καὶ γνωμικῶν καὶ ἑκουσίων πειρασμῶν, μὴ ἐγκαταλειφθῆναι πεῖραν λαβεῖν· τὸν δὲ μέγαν Ἰάκωβον πρὸς τὸ τῶν ἀκουσίων πειρασμῶν εἶδος διδάσκοντα μὴ συστέλλεσθαι τοὺς ὑπὲρ ἀληθείας ἀγωνιζομένους, φᾶναι, "πᾶσαν "χαρὰν ἡγήσασθε ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε "ποικιλοῖς," δηλονότι τοῖς ἀκουσίοις καὶ παρὰ γνώμην καὶ πόνων ποιητικοῖς πειρασμοῖς· καὶ δηλοῦσι σαφῶς, ἐκεῖ μὲν ἐπάγων ὁ Κύριος, "ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ," ἐνταῦθα δὲ, "γινώ-"σκοντες, ὅτι δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονὴν, "ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, "ἐν μηδενὶ λειπόμενοι."

Ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι·
5 εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόν-
τος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ οὐκ ὀνειδίζοντος, καὶ δοθή-
σεται αὐτῷ.

Τὸ αἰτίον ἡμῖν λέγει τοῦ τελείου ἔργου· τοῦτο δέ ἐστιν ἡ σοφία ἡ ἄνωθεν, δι' ἧς ἐνδυναμούμενοι, ὁλόκληρον δυνησόμεθα πρᾶξαι τὸ ἀγαθόν.

6 Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ
διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ
7 ῥιπιζομένῳ· μὴ γὰρ οἰέσθω ἄνθρωπος ἐκεῖνος ὅτι λήψε-
ται παρὰ Κυρίου.

Κυρίλλου. *Ὑβριστὴς γὰρ ὁμολογουμένως ὁ διακρινόμενος. εἰ γὰρ μὴ πεπίστευκας ὅτι τὴν σὴν αἴτησιν ἀποπεραίνει, μηδὲ προσῆλθες ὅλως ἵνα μὴ κατήγορος εὑρεθῇς τοῦ πάντα ἰσχύοντος, διψυχήσας ἀβουλήτως. χρὴ τοιγαροῦν τὴν οὕτως αἰσχρὰν παραιτεῖσθαι νόσον.*

8 Ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς
9 αὐτοῦ. καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει

10 αὐτοῦ· ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ· ὅτι ὡς
11 ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν
τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ
ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο·
οὕτως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαραν-
θήσεται.

Ἐκ τοῦ Ποιμένος ἐντολῆι[d] θ′. Ἆρον σεαυτοῦ τὴν διψυχίαν, καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαί τι παρὰ τοῦ Κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν. μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης καρδίας σου ἐπίστρεψον ἐπὶ τὸν Κύριον, καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως, καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλείπῃ· ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. οὐκ ἔστι γὰρ ὁ Θεὸς ὡς οἱ ἄνθρωποι οἱ μνησικακοῦντες ἀλλήλους, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστι, καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ.

12 Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος
γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγεί-
λατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν.

Τοῦ Χρυσοστόμου. Αὐτάρκως προτρεψάμενος ὑφίστασθαι τοὺς πειρασμοὺς μετὰ χαρᾶς, ἵνα ἐγγένηται δόκιμον ἔργον καὶ ὑπομονὴ[e] τελεία· τελειοῦται δὲ ταῦτα καθ' ἑαυτὰ, καὶ μὴ δι' ἄλλο πραττόμενα· δι' ἑτέρας παραινέσεως πείθειν ἐπιχειρεῖ κατορθοῦν τὰ προκείμενα· δι' ἐπαγγελίαν μακάριον εἶναι λέγων τὸν πειρασμὸν ὑπομένοντα. γενήσεται γὰρ οὕτως ἀθλητικῶς ἄγων τὸν ἀγῶνα, δόκιμος ἀνὴρ διὰ πάντων γεγυμνασμένος· οὕτω δὲ ἀναφανέντι ἐκ τῶν σκυθρωπῶν, δοθήσεται στέφανος ζωῆς εὐτρεπισθεὶς ὑπὸ τοῦ Θεοῦ τοῖς αὐτὸν ἀγαπῶσιν· οὕτως ὁ τῷ ὑπομένειν πειρασμὸν, καταφρονῶν ἐπιπόνων καὶ αὐτοῦ τοῦ θανάτου, στέφανον τῆς αἰωνίου ζωῆς ἀπολήψεται. ζητεῖς τίς ἡ ὕλη οὗ ἡτοίμασεν ὁ Θεὸς στεφάνου ζωῆς τοῖς ἀγαπῶσιν αὐτόν; ἔστιν "ἃ ἡτοίμασεν "ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν," ἃ διὰ μέγεθος θειότητος, ὄψει καὶ ἀκοῇ οὐχ ὑπόκειται, οὐδὲ ἐπὶ ψιλὴν νόησιν ἀνθρώπου ἀναβέβηκεν.

[d] ἐντολ̂ Cod. [e] ὑπομονῇ Cod.

* Περὶ τῆς ἐν ἡμῖν πυρώσεως καὶ τῶν ἐξ αὐτῆς παθῶν, ὅτι οὐ παρὰ τοῦ Θεοῦ τὸ αἴτιον· εἴ τι γὰρ ἀγαθὸν ἡμῖν, παρ᾽ αὐτοῦ.

13 Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν· πειράζει δὲ αὐτὸς οὐδένα.

Ἁμαρτίαν[f].

Ὅτι ὁ Θεὸς πειράζων ἐπ᾽ ὠφελείᾳ πειράζει, οὐκ ἐπὶ τῷ κακοποιῆσαι· διὸ καὶ ἐλέχθη ὅτι "ὁ Θεὸς ἀπείραστός ἐστι κακῶν." Καὶ μετ᾽ ὀλίγα—Ὁ οὖν φέρων τοὺς πειρασμοὺς γενναίως, στεφανοῦται· ἄλλο δέ ἐστιν ἐπὶ τοῦ διαβόλου. ἐκεῖνος γὰρ πειράζει, ἵνα τοὺς πειθομένους αὐτῷ θανατώσῃ· καὶ ὁ μὲν ἀγνοῶν τὸ ἐσόμενον, ὁ δὲ Θεὸς εἰδὼς μὲν τὸ ἐσόμενον, πλὴν διδοὺς τῷ ἀνθρώπῳ πράττειν ὃ θέλει διὰ τὸ αὐτεξούσιον.

Εἰς βλαβήν· ἐπ᾽ ἀγαθῷ γὰρ ἐπείρασε τὸν Ἀβραάμ.

14 Ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος.

Σευήρου. Τινὲς δὲ τὸ προκείμενον ῥητὸν ἐπειράθησαν ἐξηγεῖσθαι, φήσαντες, αὐτὴν τὴν ἐπιθυμίαν ἀνομιῶν μητέρα καλεῖν τὸν Δαβὶδ, ἥτις διὰ τῆς ἀτοπωτάτης ὀρέξεως οἱονεὶ συλλαμβανοῦσα καὶ κύουσα τὴν πρᾶξιν τῆς ἁμαρτίας ἀποτίκτει, καὶ αὐτὸν τὸν ἁμαρτωλὸν ταύτην ἐνεργοῦντα καὶ πράττοντα· καὶ πέρας τῶν τοιούτων ὠδίνων ποιεῖται τοῦ ἁμαρτάνοντος τὸν θάνατον. οὕτως γὰρ ἐπιστέλλων Ἰάκωβος ἔφησεν, εἷς ὢν τῶν τοῦ Χριστοῦ σοφῶν μαθητῶν· "ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελ-"κόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα, τίκτει "ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεῖσθα ἀποκύει θάνατον·" ὑπὸ ταύτης οὖν τῆς ἐπιθυμίας κεκισσῆσθαι καὶ συνειλῆφθαι καθὰ δὴ τῶν ἁμαρτωλῶν μητρὸς ἔφησεν ὁ Δαβίδ.

15 Εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα, τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον.

Τοῦ Χρυσοστόμου. Ἐν μὲν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν ὑπὸ τῆς ἡδονῆς μεθύοντες, οὐχ οὕτως αἰσθανόμεθα. ἐπειδὰν δὲ

f Ita Cod. in v. μηδεὶς, nullo lacunæ indicio.

γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς ἐννοίας ἐπεισέρχεται κέντρον, ἀπεναντίας ταῖς ὠδινούσαις γυναιξίν· ἐπ' ἐκείνων μὲν γὰρ πρὸ τοῦ τόκου, πολὺς ὁ πόνος καὶ ὠδίνες δριμεῖαι ἐπικόπτουσι ταῖς ἀλγηδόσιν αὐτάς· μετὰ δὲ τὸν τόκον ἄνεσις, τῷ βρέφει τῆς ὀδύνης συνεξελθούσης. ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλ' ἕως μὲν ἂν ὠδίνωμεν καὶ συλλαμβάνωμεν τὰ διεφθαρμένα νοήματα, εὐφραινόμεθα καὶ χαίρομεν· ἐπειδὰν δὲ ἀποτέκωμεν τὸ πονηρὸν παιδίον τὴν ἁμαρτίαν, τότε τὸ αἶσχος τοῦ τεχθέντος ἰδόντες, ὀδυνώμεθα, τότε διακοπτόμεθα τῶν ὠδινουσῶν γυναικῶν χαλεπώτερον. διὸ παρακαλῶ μὴ δέχεσθαι μὲν μάλιστα παρὰ τὴν ἀρχὴν ἐπιθυμίαν διεφθαρμένην· εἰ δὲ καὶ ἐδεξάμεθα, ἀποπνίγειν ἔνδον τὰ σπέρματα· εἰ δὲ καὶ μέχρι τούτου ῥαθυμήσωμεν, ἐξελθοῦσαν εἰς ἔργον τὴν ἁμαρτίαν, ἀποκτεῖναι πάλιν δι' ἐξομολογήσεως καὶ δακρύων, διὰ τοῦ κατηγορεῖν ἑαυτοῦ· οὐδὲν γὰρ οὕτως ὀλέθριον ἁμαρτίας, ὡς κατηγορία καὶ κατάγνωσις.

Ἡσυχίου Πρεσβυτέρου. Ὠδῖνες θανάτου αἱ τῶν ἁμαρτωλῶν ἐπιθυμίαι τυγχάνουσιν.

16
17 Μὴ πλανᾶσθε ἀδελφοί μου ἀγαπητοί· πᾶσα δόσις
ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον
ἀπὸ τοῦ Πατρὸς τῶν φώτων.

"Μὴ πλανᾶσθε" νομίζοντες παρὰ Θεοῦ γίνεσθαι τοὺς πειρασμούς. ἢ τὰς λογικὰς δυνάμεις φῶτα καλεῖ, ἢ τοὺς πεφωτισμένους διὰ Πνεύματος Ἁγίου.

Παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.

Σευήρου. Λέγοντος γάρ ἐστιν ἀκούειν τοῦ Θεοῦ, "ἐγώ εἰμι, "ἐγώ εἰμι καὶ οὐκ ἀλλοίωμαι·" καὶ αὐτῷ μὲν πρόσεστι τὸ[g] παγίως καὶ ἀναλλοιώτως κατ' οὐσίαν ἔχειν· τοῖς δὲ κατὰ τὸ Εὐαγγέλιον πολιτευομένοις, καὶ πρακτικῶς τὰς ἐντολὰς μετιοῦσιν ἐκ τῆς ἄνωθεν δωρεᾶς καὶ μετουσίας, τὸ ἀναλλοιώτως ἐν τοῖς κατὰ τὸν βίον ἐπιτηδεύμασι διακεῖσθαι προσγίνεται· καὶ τὸ μὴ συμβάλλεσθαι τοῖς καιροῖς. διὸ καὶ Παῦλος παρῄνει τισὶ λέγων, "μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ

[g] τῷ Cod.

“ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα “τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον.”

18 Βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας.

Ἐπὶ μὲν γὰρ τοῦ Υἱοῦ κυρίως λέγεται ἡ γέννησις, ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς· ἐπ' ἐκείνου μὲν τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος· ἐπὶ δὲ τούτων, τιμῆς ἕνεκεν καὶ υἱοθεσίας· “βουληθεὶς γάρ,” φησιν, “ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας.” μὴ τοίνυν ἡ ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω.

Εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

Ἀντὶ τοῦ πρώτους καὶ τιμιωτέρους. κτίσματα δὲ τὴν ὁρωμένην κτίσιν φησὶν, ἧς τιμιώτερον τὸν ἄνθρωπον ἔδειξεν. ὅπου γε καὶ αὐτὴ ἡ κτίσις προσδοκᾷ τὴν ἡμετέραν σωτηρίαν, ἵνα καὶ ἡμῖν συνελευθερωθῇ.

Τῷ τῆς ὁμολογίας, τῷ τῆς πίστεως.

Πρωτοτόκους ἐν τοῖς οὐρανοῖς.

ΚΕΦ. Β.

Περὶ πραΰτητος καὶ ἁγνείας καὶ πράξεως ἀγαθῆς μεταδοτικῆς ἐπὶ μακαρισμῷ, καὶ περὶ ἐπιστήμης καὶ συμμετρίας λόγου.

19 Ὥστε ἀδελφοί μου ἀγαπητοὶ, ἔστω πᾶς ἄνθρωπος
ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι· βραδὺς
20 εἰς ὀργήν· ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατ-
21 εργάζεται. διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισ-
σείαν κακίας.

Τουτέστιν τὴν ἁμαρτίαν τὴν ῥυπαίνουσαν τὸν ἄνθρωπον, τὴν ὥσπερ περιττὴν οὖσαν ἐν ἡμῖν τὸ κακοὺς εἶναι· ἀλλ' ἔξωθεν προσγίνεται ἐξ ἀμελείας τε καὶ τῶν εἰς τοῦτο ἡμᾶς ἐρεθιζόντων δαιμόνων, τὸ ἐνδόσιμον ἡμῶν ἐκ τῆς ἀπροαιρέτου συγκαταβάσεως ἔχον.

Ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν.

Ἕτοιμος εἰς τὸ μαθεῖν τὸ ἀγαθόν.

Ἀντὶ τοῦ τὸν ἀληθῆ· τὸν τῆς ὁμολογίας δηλονότι, τὸν ἀφθάρτους ἡμᾶς γενέσθαι παρασκευάζοντα. ἐπεὶ καὶ ὁ Θεὸς ἐξ ἀρχῆς ἔκτισε τὸν ἄνθρωπον ἐπὶ ἀφθαρσίᾳ.

22 Γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ μὴ μόνον ἀκροαταὶ, παραλογιζόμενοι ἑαυτούς.

Ἀντὶ τοῦ λογιζόμενοι καθ' ἑαυτούς.

Καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας.

23 Ὅτι εἴτις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητής.

Εἴτις, φησι, γένηται λόγου μόνον ἀκροατὴς, καὶ μὴ βεβαιώσει τοῖς ἔργοις τὴν ἀκοὴν, εὐθέως καὶ τὸν λόγον ἀπόλλυσι, διαχυθεὶς γὰρ οἴχεται.

Οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς
24 γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ· κατενόησε γὰρ ἑαυτὸν καὶ
25 ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει ἔσται.

Ὥσπερ ἐκεῖνος τὸ σῶμα ὁρᾷ, οὕτω καὶ οὗτος διὰ τοῦ νόμου ὁποῖός τις γέγονε. διὸ οὐδὲ πρόσωπον εἶπε μόνον, ἀλλὰ "πρόσωπον "γενέσεως." μανθάνομεν γὰρ οἵους ἡμᾶς ἐποίησεν ὁ Θεὸς, ἀναγεννήσας διὰ λουτροῦ παλινγενεσίας· εἶτα μὴ ἐμμένοντες τῇ τοιαύτῃ θέᾳ διὰ τῶν πράξεων, καὶ τοῦ χαρίσματος λανθανόμεθα. ὁ γὰρ πράξεσιν ἑαυτὸν πονηραῖς ἐκδοὺς, οὐδὲ ὅτι εὐεργετεῖται παρὰ τοῦ Θεοῦ μνημονεύει. εἰ γὰρ ἐμνημόνευεν ὅτι ἄνωθεν ἐγεννήθη, καὶ ἐδικαιώθη, καὶ ἡγιάσθη, καὶ ἐν υἱοῖς κατελογίσθη Θεοῦ, οὐκ ἂν ἔργοις ἑαυτὸν παρεδίδου τοῖς ἀθετοῦσι τὴν χάριν.

Οὐ γὰρ ἐκεῖνοι μακάριοι οἱ ἀκροαταὶ, ἀλλ' οἱ συνάπτοντες τῇ ἀκροάσει τὴν πρᾶξιν. ἐπεὶ καὶ οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς ἐγένοντο ἀκροαταὶ, ἀλλ' ἐπεὶ οὐ ποιηταὶ, οὐκέτι μακάριοι ἦσαν, ἀλλὰ παραδέδονται τῷ ὀλοθρευτῇ.

Γνοὺς γὰρ ἑαυτὸν εἰκόνα Θεοῦ ὄντα, οὐ καθ' ὁμοίωσιν Θεοῦ ἐπολιτεύσατο.

26 Εἴτις δοκεῖ θρησκὸς εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν, ἀλλ' ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία.

"Εἴ τις δοκεῖ," φησιν, ἀλλ' οὐχὶ ταῖς ἀληθείαις εἶναι· ἦ γὰρ ἂν πάντως οὐδὲ αὐτῷ τὴν γλῶσσαν ἀχαλίνωτον ἐξεπαίδευσεν· οὐδ' ἂν αὐτοῦ διὰ κενοθρησκείας τὴν καρδίαν ἐχλεύαζε· διὸ φησὶν, "ὁ δοκῶν ἑστάναι," καὶ τὰ ἑξῆς. οὐ γὰρ δὴ τὸν ὄντως ἑστῶτα τὴν ἔμπτωσιν καθορᾶν ἐμαρτύρατο· οὗτος γὰρ κανὼν καὶ ὑπογραμμὸς θρησκείας ὀρθῆς.

Τῆς θρησκείας ἡμῶν εἶναι τῆς ἐν Χριστῷ.

Μὴ σπεύδων μαθεῖν ἀλλὰ διδάσκειν.

27 Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ Θεῷ καὶ Πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

Τοῦ Χρυσοστόμου. Τοῦτό ἐστιν, ᾧ ἐξισοῦσθαι δυνάμεθα τῷ Θεῷ, τῷ ἐλεεῖν καὶ οἰκτείρειν. ὅταν οὖν τοῦτο μὴ ἔχωμεν, τοῦ παντὸς ἀπεστερήμεθα. οὐκ εἶπεν, ἐὰν νηστεύσητε ὅμοιοι ἐστὲ τῷ Πατρὶ ὑμῶν· οὐδὲν γὰρ τούτων παρὰ Θεὸν, οὐδὲ ἐργάζεταί τι τούτων ὁ Θεὸς, ἀλλὰ τί; "γίνεσθε οἰκτίρμονες ὡς ὁ Πατὴρ ὑμῶν "ὁ ἐν τοῖς οὐρανοῖς·" τοῦτο Θεοῦ ἔργον· ἐὰν οὖν τοῦτο μὴ ἔχῃς, τί ἔχεις; "ἔλεον θέλω," φησὶ, "καὶ οὐ θυσίαν."

ΚΕΦ. Γ.

Περὶ τῆς πρὸς ἕκαστον ἀγάπης ἀπροσωπολήπτου κατὰ νόμον.

1 Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης.

Τοῦ αὐτοῦ. Τινὸς ἕνεκεν σὺ μέγα φρονεῖς φησιν; ἢ διατί πάλιν ἕτερος ἑαυτὸν ἐξευτελίζει; οὐχὶ σῶμα ἐσμὲν ἅπαντες ἓν καὶ μεγάλοι καὶ μικροί; ὅταν οὖν κατὰ τὸ κεφάλαιον ἓν ὦμεν καὶ ἀλλήλων μέλη, τί τῇ ἀπονοίᾳ αὐχίζεις[h] σαυτόν; τί αἰσχύνῃ τὸν ἀδελφόν; ὥσπερ γὰρ ἐκεῖνός σου μέλος, οὕτω κἀκείνου σύ. καὶ πολλὴ κατὰ τοῦτο ἡ ὁμοτιμία.

[h] ἀπονοιαυχίζεις Cod.

2 Ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ
χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτω-
3 χὸς ἐν ῥυπαρᾷ ἐσθῆτι καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα
τὴν ἐσθῆτα τὴν λαμπρὰν, καὶ εἴπητε αὐτῷ· σὺ κάθου
ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ· ἢ
4 κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου· οὐ διεκρίθητε ἐν ἑαυ-
τοῖς, καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν;

Τοῦ Χρυσοστόμου. Τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες· παρεγένετο ὁ πένης· γενοῦ κατ' αὐτὸν τῷ φρονήματι· μὴ μείζονα καταβάλῃς ὄγκον διὰ τὸν πλοῦτον· οὐκ ἔστι πένης καὶ πλούσιος ἐν Χριστῷ. μὴ τοίνυν ἐπαισχύνῃς διὰ τὴν ἔξωθεν περιβολὴν, ἀλλὰ ἀπόδεξαι διὰ τὴν ἔνδον πίστιν.

5 Ἀκούσατε ἀδελφοί μου ἀγαπητοὶ, οὐχ ὁ Θεὸς ἐξε-
λέξατο τοὺς πτωχοὺς τοῦ κοσμοῦ, πλουσίους ἐν πίστει,
καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς
6 ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν.

Τοῦ αὐτοῦ. Ἡμεῖς δὲ ὡς τὰ μέγιστα ἠδικημένοι οὕτω τοὺς προσαιτοῦντας ὑβρίζομεν, ἀποστρεφόμεθα· οὐ δίδους τι καὶ λυπεῖς; νουθετεῖτε, εἶπεν ὁ Παῦλος, ὡς ἀδελφοὺς, οὐχ ὑβρίζετε ὡς ἐχθρούς· ὁ τὸν ἀδελφὸν αὐτοῦ νουθετῶν, οὐ δημοσίᾳ τοῦτο ποιεῖ· οὐκ ἐκπομπεύει τὴν ὕβριν, ἀλλ' ἰδίᾳ καὶ μετὰ πολλῆς προσοχῆς, καὶ ἀλγῶν καὶ δακνόμενος δακρύων καὶ ὀδυρόμενος. ἀπὸ ἀδελφικῆς τοινῦν παρέχομεν τῆς διανοίας, ἀπὸ ἀδελφικῆς νουθετοῦμεν τῆς προαιρέσεως, μὴ ὡς ἀλγοῦντες ἐπὶ τῷ διδόναι, ἀλλ' ὡς ἀλγοῦντες ἐπὶ τὸ ἐκεῖνον παραβαίνειν τὴν ἐντολὴν ἐπὶ τὸ κέρδος. εἰ γὰρ μετὰ τὸ δοῦναι ὑβρίζεις, λυμαίνῃ τῇ τῆς δόσεως ἡδονῇ· ὅταν δὲ μήτε δῷς καὶ ὑβρίσῃς, πόσον οὐκ εἰργάσω κακὸν τὸν ἄθλιον ἐκεῖνον καὶ ταλαίπωρον; προσῆλθεν ὡς ἐλεησόμενος παρὰ σοῦ, λαβὼν δὲ καιρίαν τὴν πληγὴν ἀπῆλθε, καὶ μᾶλλον ἐδάκρυσεν. ὅταν γὰρ ἀναγκάζηται διὰ τὴν ἔνδειαν προσαιτεῖν, διὰ δὲ τὸ προσαιτεῖν ὑβρίζεται, ὅρα πόση τῷ ὑβρίζοντι ἡ τιμωρία. παροξύνει τὸν ποιήσαντα αὐτόν· εἴπερ γάρ μοι αὐτὸς αὐτὸν ἀφῆκε πένεσθαι διά σε, ἵνα συ ἔχῃς θεραπεύειν αὐτὸν, καὶ σὺ τὸν διὰ σὲ πενό-

μενον ὑβρίζεις, πόσης ἀγνωμοσύνης ταῦτα; πόσης ἀχαριστίας τοῦτο τὸ ἔργον;

Οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ
7 ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλασφημοῦσι τὸ
καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς;

Τοῦ Χρυσοστόμου. *Φέρετε γενναίως τὰς πλεονεξίας. ἑαυτοὺς ἀναίρουσιν ἐκεῖνοι οὐχ ὑμᾶς. ὑμᾶς μὲν ἀποστεροῦσι χρημάτων, ἑαυτοὺς δὲ γυμνοῦσι τῆς εὐνοίας τοῦ Θεοῦ καὶ τῆς βοηθείας· ὁ δὲ ἐκείνης στερηθεὶς, κἂν ἅπαντα περιβάληται τῆς οἰκουμένης τὸν πλοῦτον, πάντων ἐστὶ πενέστερος.*

Ἀπολιναρίου. *Τοῦτο μὲν οἱ τῶν Ἰουδαίων ἄρχοντες, ἐκ τῶν καρποφοριῶν πλουτοῦντες· τοῦτο δὲ καὶ οἱ τὰ Ῥωμαίων διοικοῦντες πράγματα, εἰδωλολατροῦντες τότε.*

8 Εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν γραφὴν,
ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν, καλῶς ποιεῖτε·
9 εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμε-
νοι ὑπὸ τοῦ νόμου ὡς παραβάται.

Ὥσπερ σὺ βούλει χρῆσθαι τὸν πλησίον δικαίως καὶ φιλανθρώπως, οὕτως καὶ αὐτὸς πρᾶττε πρὸς τὸν ὁμογενῆ σου, καὶ τοῦ αὐτοῦ ὄντα Θεοῦ. φυσικὸς ὁ λογισμὸς, εἰς ὃν καὶ πάντα ὁ Σώτηρ ἀνεκεφαλαιώσατο λέγων, "ὡς θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρω-" "ποι, καὶ ὑμεῖς ποιεῖτε αὐτούς· οὕτως γάρ ἐστιν ὁ νόμος καὶ οἱ" "προφῆται."

10 Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν
ἑνὶ, γέγονε πάντων ἔνοχος.

Τῷ μὴ τελείαν ἔχειν ἀγάπην· τοῦτο γὰρ τὸ κεφάλαιον τῶν καλῶν· εἰ δὲ τῆς κεφαλῆς ἀπορεῖ, περιττὸν ἅπαν τὸ λοιπὸν σῶμα· ὅτι περὶ τούτου λέγει, δῆλον ἐκ τῆς προειργασμένης κατασκευῆς. πᾶσα γὰρ αὐτῷ ἡ κατασκευὴ περὶ τελείας ἀγάπης ἦν· τὸ δὲ οὐ μοιχεύσεις, ἀλλὰ φονεύσεις, ὑποδείγματος χάριν κεῖται, ὥστε μὴ χωλεύειν κατὰ τὸ λοιπὸν τὴν τελειότητα.

11 Ὁ γὰρ εἰπὼν μὴ μοιχεύσῃς, εἶπε καὶ, μὴ φονεύσῃς·
εἰ δὲ οὐ μοιχεύεις, φονεύεις δὲ, γέγονας παραβάτης νόμου.

Εἰ καὶ μὴ πάνυ ἁρμοδίως κεῖται ἡ προκειμένη παραγραφὴ, ἀλλ᾽ οὖν διὰ τὸ αὐτῆς ὠφέλιμον, ἀναγκαῖον ᾠήθην ταύτην ἐνθεῖναι. ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς ὁ Χριστὸς τὰ προκείμενα ῥητὰ ὑπὸ Μωϋσέως εἰρημένα εἰς τελειότητα φέρων φησὶν, " ἠκούσατε " ὅτι ἐρρήθη τοῖς ἀρχαίοις οὐ φονεύσεις· ὃς δ᾽ ἂν φονεύσῃ ἔνοχος " ἔσται τῇ κρίσει· ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος " τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. ἠκούσατε ὅτι " ἐρρήθη, οὐ μοιχεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ἐμβλέπων " γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ " καρδίᾳ αὐτοῦ." Ταῦτα ἑρμηνεύων Σευῆρος ὁ Ἀντιοχείας Ἐπίσκοπος, ἐν τῷ μϛ´ λόγῳ οὕτω φησίν. " τῆς γὰρ διὰ Μωσέως " γραφείσης νομοθεσίας " οὐ φονεύσεις" λεγούσης, Χριστὸς ὁ τοῦ " νόμου νοῦς καὶ τοῦ ἐν αὐτῷ πνεύματος χορηγὸς τὸ " οὐκ ὀργισθήσῃ τῷ ἀδελφῷ σου εἰκῇ" διετάξατο, ταύτῃ μᾶλλον πληρῶν " τοῦ νόμου τὸ βούλημα· τὴν γὰρ ὀργὴν ἑξῆς ὁ φόνος φύεται προανελὼν, καὶ τὸ ἐκείνῳ σπουδαζόμενον ἔπραξε· καὶ περιττὸν τὸ οὐ " φονεύσεις ἀπέδειξεν· ἀμαυρώσας αὐτὸ διὰ τῆς μείζονος ἐπιτάσεως· " σχολῇ γὰρ ἂν ἔλθοι πρὸς φόνον, ὁ μηδὲ ὀργισθῆναι συγχωρηθείς. " οὕτω καὶ τὸ πρὸς ἐπιθυμίαν ἀκόλαστον ἄγον βλέμμα καταδικάσας, τὸ " οὐ μοιχεύσεις" καὶ πεπλήρωκε, καὶ ἠφάνισε· πνευματικὸν γὰρ ὄντα τὸν νόμον ὁ Κύριος πεπλήρωκε μὲν καινότητι " πνεύματος, λέλυκε δὲ τῇ τοῦ γράμματος παλαιότητι· τὸ δὲ " παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ὑπάρχειν ἀφανισμοῦ" καὶ " Παύλῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ· καλῶς δὲ καὶ σφόδρα εἶπε· " ἐγγὺς ἀφανισμοῦ γεγενῆσθαι," καὶ οὐ τελείως ἠφανίσθαι· τῷ " γὰρ πληροῦσθαι τὸν νοῦν, δοκεῖ μὲν εἶναι νόμος· ἠφανίσθαι δὲ, " τῷ περιττὴν φανῆναι ἢ δειχθῆναι τὴν τοῦ γράμματος ἐντολήν· " καθάπερ ἄν τις καὶ τὸν ἐκ σκιαγραφίας ἐπὶ σανίδος ἐνσημανθέντα κύκλον ἠφανίσθαι εἴποι, διὰ τῆς τῶν χρωμάτων ἐπιβολῆς. " ἠφάνισται μὲν γὰρ τῷ μὴ διὰ τοῦ προτέρου σκιώδους σχήματος δείκνυσθαι· μένει δὲ ὅμως τῷ λαμπροτέρῳ διὰ τῆς ἐπικαλυψάσης εὐχροίας ἐκφαίνεσθαι."

12 Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι.

Τοῦ Χρυσοστόμου. Βελτίον γὰρ τοῖς ῥήμασιν ὑμᾶς φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε.

13 Ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος·

Ἔστι μὲν περὶ κρίσεως ὀρθῆς ἡ παραίνεσις, "νόμον δὲ ἐλευ- "θερίας" λέγει τὸν νόμον τῆς δικαιοσύνης· τὸν οὕτω κρίνοντα ὡς εὑρίσκει· τοῦτο δέ φησιν ἐπειδὴ τινὲς ἁμαρτάνουσι, τῇ φιλανθρωπίᾳ τοῦ Θεοῦ ἀποχρώμενοι, καὶ λέγοντες, ὅτι φιλάνθρωπος ὢν συγχωρεῖ· διὸ καὶ ἐπιφέρει, "ἀνέλεος ἡ κρίσις τῷ μὴ ποιήσαντι "ἔλεος."

Κατακαυχᾶται ἔλεον κρίσεως.

Ἡσυχίου. Ὥσπερ τὸ ἔλαιον ἐξολισθαίνειν τοὺς ἀθλητὰς τὰς χεῖρας τῶν ἀντιδίκων ποιεῖ, οὕτως ἡ ἐλεημοσύνη τοὺς ταύτην ἀσκουμένους ἐκκλίνειν καὶ ἀποφεύγειν παρασκευάζει τοὺς δαίμονας.

Τοῦ Χρυσοστόμου. Ἡ ἐλεημοσύνη τέχνη τις ἀρίστη ἐστὶ καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν· φίλη γὰρ τοῦ Θεοῦ ἐστὶ, καὶ ἀεὶ πλησίον ἕστηκεν αὐτοῦ, ὑπὲρ ὧν ἂν βούληται εὐκόλως αἰτοῦσα χάριν, μόνον ἂν μὴ ἀδικῆται παρ' ἡμῶν· ἀδικεῖται δὲ, ὅταν ἐξ ἁρπαγῆς αὐτῶν ἐργαζώμεθα, ὡς ἐὰν ᾖ καθαρὰ, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν· καὶ ὑπὲρ προσκεκρουκότων δεῖται, τοσαύτη αὐτῆς ἡ ἰσχὺς, καὶ ὑπὲρ ἡμαρτηκότων· αὕτη διαρρήγνυσι τὰ δεσμὰ, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, θανατοῖ τὸν σκώληκα, ἀπελαύνει τὸν τῶν ὀδόντων βρυγμόν· ταύτῃ μετὰ πολλῆς ἀδείας ἀνοίγονται τῶν οὐρανῶν αἱ πύλαι. Καὶ μετ' ὀλίγα—Βασίλισσα γὰρ ὄντως ἐστὶν ὁμοίως ἀνθρώπους ποιοῦσα Θεῷ· "ἔσεσθε γάρ," φησιν, "οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ ἐν "τοῖς οὐρανοῖς." ὑπόπτερός ἐστι καὶ κούφη, πτέρυγας ἔχουσα χρυσᾶς· πτῆσιν ἔχουσα πάνυ τέρπουσαν τοὺς ἀγγέλους· ἐκεῖ "πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ μετάφρενα αὐτῆς ἐν "χλωρότητι χρυσίου" καθάπερ περιστερά τις χρυσῆ καὶ ζῶσα πέτεται· ὄμμα προσηνὲς ἔχουσα, ὀφθαλμὸν ἥμερον· οὐδὲν ὀφθαλμοῦ ἐκείνου βέλτιον. καλός ἐστιν ὁ ταὼς, ἀλλὰ πρὸς ἐκείνην κολοιός· οὕτως ἡ ὄρνις αὕτη καλή τις ἐστὶ καὶ θαυμαστή· ἄνω διὰ παντὸς ὁρᾷ· πολλὴ τοῦ Θεοῦ τῇ δόξῃ περιστοιχίζεται· παρθένος ἐστὶ,

πτέρυγας ἔχουσα χρυσᾶς, περιεσταλμένη, λευκὸν ἔχουσα πρόσωπον, ἥμερον· ὑπόπτερός ἐστι καὶ κούφη, παρὰ τὸν θρόνον ἑστῶσα τὸν βασιλικόν· ὅταν κρινώμεθα, ἄφνω ἐφίσταται καὶ φαίνεται, καὶ ἐξαιρεῖται τῆς κολάσεως ἡμᾶς, ταῖς αὐτῆς πτέρυξι περιβάλλουσα, ταύτην θέλει ὁ Θεὸς ἢ θυσίας.

ΚΕΦ. Δ[i].

Ὅτι οὐκ ἐκ πίστεως μόνον, ἀλλὰ καὶ ἐξ ἔργων, καὶ οὐκ ἐκ θατέρου ἰδικῶς, ἀλλ' ἐξ ἀμφοῖν ἅμα δικαιοῦται ἄνθρωπος.

14 Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις
ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι
15 αὐτόν; ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ
16 λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς
ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε· μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος;

Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐὰν μὴ ἔργῳ δείξῃ τις ὅτι πιστεύει τῷ Θεῷ, περιττὴ καὶ ἡ προσηγορία· οὐ γὰρ ὁ ἁπλῶς λέγων εἶναι τοῦ Κυρίου, οὗτός ἐστι πιστὸς, ἀλλ' ὁ οὕτως ἀγαπῶν τὸν Κύριον, ὡς διὰ τὴν εἰς αὐτὸν πίστιν καὶ θανάτου κατατολμᾶν. καὶ ὅτι οὗτος τῶν προκειμένων ὁ σκοπὸς, τὰ ὑποδείγματα δηλοῦσιν· Ἀβραὰμ γάρ, φησιν, ἔργῳ ἔδειξεν ὅτι ἐπίστευσε, τῷ Θεῷ ἀνενεγκὼν εἰς ὁλοκάρπωσιν τὸν υἱὸν αὐτοῦ· ὁμοίως δὲ καὶ Ῥαὰβ πιστεύσασα, κατεφρόνησε θανάτου. ταῦτα δὲ λέγει βεβαιῶν τοὺς πιστοὺς καὶ διδάσκων ἀληθῶς εἶναι πιστοὺς, καὶ μὴ ῥήματι μόνον καὶ γλώττῃ τὸν Κύριον ἀγαπᾷν, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ· διὸ καὶ πλείοσιν ὑποδείγμασι κέχρηται εἰς τοῦτο συντείνουσι· τῷ τε τῆς ἐλεημοσύνης, καὶ τῷ τοῦ σώματος· ἀπάγων δὲ αὐτοὺς καὶ τοῦ πολλοῦ τύφου τοῦ ἐπὶ τῷ ὀνόματι, καὶ δεῖξαι βουλόμενος ὅτι ἔργῳ μὴ βεβαιοῦντες τὴν πίστιν, μάτην ὀνόματι μόνον κομπάζουσι. τὸ τῶν δαιμονίων ὑπόδειγμα τίθησι λέγων, μὴ πλέον ἔχειν αὐτοὺς τῶν δαιμονίων οὕτως διακειμένους· καὶ γὰρ ἐκεῖνοι ἐπί-

[i] Abest et Cap. not. et tit. a Cod. N.C. supplevi e Cod. Barocc. 3. et Œcumen.

στευσαν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἦν, καὶ ὅτι ὁ Ἅγιος τοῦ Θεοῦ ἦν, καὶ ὅτι ἐξουσίαν εἶχεν αὐτῶν. ὅρα δὲ καὶ δι' ἑτέρου πνευματικὴν σύνεσιν· οὐ γὰρ εἶπε, τί τὸ ὄφελος, ἐὰν πίστιν τις ἔχῃ· ἀλλὰ τί τὸ ὄφελος, ἐὰν λέγῃ τις πίστιν ἔχειν; ὡσεὶ σαφέστερον ἔλεγε, δεῖξόν μοι τὸ πρᾶγμα, ἀφ' οὗ σοι τὴν προσηγορίαν ταύτην λογίσομαι· ἐὰν λέγῃς μὲν ἔχειν, μὴ ὀρθῶς δὲ τὸ τὴν προσηγορίαν ποιοῦν, οὐδὲ τοῦ ὀνόματός σοι μεταδώσω τῆς πίστεως. κατὰ ποίου γάρ σοι πράγματος ἡ προσηγορία τίθεται; ὥστε ἐὰν μὴ τὰ ἔργα παρῇ, οὐδὲ ἡ προσηγορία χώραν ἕξει ποτέ.

17 Οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔχῃ ἔργα, νεκρά ἐστι καθ'
18 ἑαυτήν. ἀλλ' ἐρεῖ τις, σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω,
δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου· κἀγὼ
19 δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου· σὺ
πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι, καλῶς ποιεῖς· καὶ τὰ
δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.

Τοῦ Χρυσοστόμου. *Κἂν γὰρ εἰς τὸν Πατέρα καὶ εἰς τὸν Υἱὸν ὀρθῶς τις πιστεύῃ, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, βίον δὲ μὴ ἔχῃ ὀρθὸν, οὐδὲν αὐτῷ κέρδος τῆς πίστεως εἰς σωτηρίαν. οὐκοῦν ὅταν λέγῃ, "καὶ αὕτη γάρ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε "τὸν μόνον ἀληθινὸν Θεὸν," μὴ νομίσωμεν ἡμῖν ἀρκεῖν εἰς σωτηρίαν τὸ λεγόμενον· δεῖ γὰρ ἡμᾶς καὶ βίου καὶ πολιτείας καθαρωτάτης.*

Τοῦ αὐτοῦ. *Μέγα μὲν πίστις καὶ σωτήριον, καὶ ταύτης ἄνευ, οὐκ ἔνι σωθῆναί ποτε· ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι· ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς· ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη τῶν μυστηρίων καταξιωθεῖσι, παραινεῖ λέγων· "σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν ἐκείνην·" σπουδάσωμεν φησὶν, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προτεθῆναι καὶ τοῦ βίου, καὶ πολλὴν τὴν σπουδὴν γίνεσθαι· δεῖ γὰρ ὄντως καὶ πολλῆς σπουδῆς ὥστε εἰσελθεῖν εἰς τὸν οὐρανόν. εἰ γὰρ γῆς οὐ κατηξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ, καὶ γῆς τυχεῖν οὐκ ἠδυνήθησαν, ἐπεὶ ἐγόγγυσαν, καὶ ἐπειδὴ ἐπόρνευσαν, πῶς τὸν οὐρανὸν ἡμεῖς καταξιωθησόμεθα, ἀδιαφόρως ζῶντες καὶ ῥαθύμως; δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς. Καὶ πάλιν—*

"Πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν." εἰκότως· ὥσπερ γὰρ σῶμα καλὸν καὶ εὐανθὲς, ὅταν ἰσχὺν μὴ ἔχῃ, ἀλλὰ τοῖς ἐζωγραφημένοις ᾖ προσεοικὸς, οὕτω πίστις ὀρθὴ χωρὶς ἔργων.

Περὶ τῆς μετὰ τὸ βάπτισμα πίστεως φησὶν, ὅτι νεκρὰ καθέστηκεν, ἐάν τις αὐτὴν ἄπρακτον ἔχῃ, καὶ μὴ βεβαιοῖ ταύτην τοῖς τῆς δικαιοσύνης ἐπιτηδεύμασιν. ἀρραβὼν γὰρ ἀγαθῆς πολιτείας ὑπάρχει τὸ βάπτισμα. καὶ γὰρ ὁ Κύριος οὕτω πρὸς τύπον ἡμέτερον βαπτισθεὶς ὑπὸ Ἰωάννου, καὶ ἁγιάσας τὰ ὕδατα, καὶ ἀρχὴν δοὺς τῷ ἡμετέρῳ βαπτίσματι, πρὸς τὸ ὄρος ἄνεισι, καὶ τῆς πρὸς τὸν διάβολον πάλης ἀνέχεται, καὶ πᾶσαν αὐτοῦ προκαταλύει τὴν δύναμιν· ἡμῖν πρόγραμμα καὶ χαρακτῆρα τοῦ τύπου διδοὺς, εἰς τὸ γινώσκειν, ὡς μετὰ τὸ θεῖον λουτρὸν ἔργων δεῖ, καὶ ἀγῶνες ἡμᾶς ἀναμένουσιν, οὓς χρὴ νομίμως διελθεῖν πρὸς τὸν ἀντίπαλον, διὰ τῆς τῶν ἀρετῶν ἐπιδείξεως.

20 Θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενὲ, ὅτι ἡ πίστις
21 χωρὶς τῶν ἔργων νεκρά ἐστι; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον;

Ἀντιθήσει τις ἴσως καὶ ἐρεῖ· καὶ μὴν καὶ ὁ Παῦλος τὸν Ἀβραὰμ εἰς τύπον ἔλαβε τοῦ δικαιοῦσθαι τὸν ἄνθρωπον χωρὶς ἔργων διὰ τῆς πίστεως· καὶ Ἰάκωβος δὲ τὸν αὐτὸν Ἀβραὰμ εἰς εἰκόνα παρέλαβε τοῦ δικαιοῦσθαι τὸν ἄνθρωπον, οὐκ ἐκ πίστεως μόνης ἀλλὰ καὶ ἐξ ἔργων βεβαιούντων τὴν πίστιν. πῶς οὖν οὐκ ἐναντία ταῦτα; καὶ πῶς ὁ αὐτὸς Ἀβραὰμ καὶ τῆς ἀπράκτου καὶ τῆς μετὰ τῶν ἔργων πίστεως ἐστὶν εἰκών; ἀλλ' ἕτοιμον ἐκ τῶν θείων γραφῶν τὴν λύσιν ἐπαγαγεῖν. ὁ γὰρ εἷς Ἀβραὰμ τοῖς χρόνοις διαστελλόμενος ἑκατέρας πίστεως ἐστὶν εἰκών· καὶ τῆς πρὸ τοῦ βαπτίσματος, τῆς μὴ ἐπιζητούσης ἔργα, μόνον δὲ τὴν ὁμολογίαν καὶ τὸ ῥῆμα τῆς σωτηρίας, ᾧ δικαιούμεθα πιστεύοντες εἰς Χριστὸν, καὶ τῆς μετὰ τὸ βάπτισμα, τῆς συνεζευγμένης τοῖς ἔργοις. οὕτως οὐκ ἐναντίον φαίνεται τὸ ἐν τοῖς Ἀποστόλοις ἓν καὶ τὸ αὐτὸ λαλῆσαν Πνεῦμα· περί τε τῆς πρὸ τοῦ βαπτίσματος πίστεως· τῆς μὲν δι' ὁμολογίας ψιλῆς καὶ ἀπράκτου, δικαιούσης τὸν προσερχόμενον, ἱκανὸν ἔχοντα σωτηρίας ἐφόδιον τὸ θεῖον λουτρὸν, εἴγε

παραχρῆμα μετασταίη τοῦ βίου· τῆς δὲ, τὸν ἤδη βεβαπτισμένον, ἀπαιτούσης καὶ ἀγαθῶν ἔργων ἐπίδειξιν, καὶ πρὸς ἕτερον μέτρον ἀναγούσης αὐτόν· διὸ καὶ ἁρμοδίως ἄγαν ὁ Ἰάκωβος ἔφη περὶ αὐτῆς, "καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη." καὶ γὰρ καὶ ὁ Παῦλος συνᾴδει λέγων αὐτῷ ἑτέρωθι, διδάσκων τὴν μετὰ τὸ βάπτισμα πίστιν, τὴν διὰ τῶν ἔργων τελείωσιν ἀπαιτεῖν· λέγει γὰρ, "οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις "δι' ἀγάπης ἐνεργουμένη." ἡ δὲ ἀγάπη πολλῆς φιλοσοφίας δεῖται εἰς τὸ πληρωθῆναι.

ΚΥΡΙΛΛΟΥ ἘΚ ΤΗ͂Σ ΠΡῸΣ ῬΩΜΑΙ͂ΟΥΣ ἘΠΙΣΤΟΛΗ͂Σ. *Ἐπειδὴ ὁ μακάριος Ἰάκωβος τὸν Ἀβραὰμ λέγει ἐξ ἔργων δικαιῶσθαι ἀνενέγκοντα Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον· ὁ δὲ Παῦλος λέγει αὐτὸν ἐκ πίστεως δεδικαιῶσθαι, οὕτω τὴν δοκοῦσαν ἐναντιότητα νοητέον· ὅτι πρὸ μὲν τοῦ ἔχειν τὸν Ἰσαὰκ ἐπίστευσεν, καὶ μισθὸν πίστεως ἔλαβε τὸν Ἰσαάκ· ὅμως καὶ ὅτε ἀνήνεγκε τὸν Ἰσαὰκ ἐπὶ τὸ θυσιαστήριον, οὐ μόνον τὸ ἔργον ἐποίει ὃ προσετάγη, ἀλλὰ καὶ τῆς πίστεως οὐκ ἀπέστη, "ὅτι ἐν τῷ Ἰσαὰκ μέλλει τὸ "σπέρμα αὐτοῦ πολυπληθεῖν ὡς τὰ ἄστρα, λογισάμενος ὅτι καὶ ἐκ "νεκρῶν ἐγεῖραι δυνατὸς ὁ Θεός." ὅμως ὁ Παῦλος μαρτύρα τῶν ἰδίων λόγων καὶ συλλήπτορα ποιεῖται τὸν μακάριον Δαβὶδ, ἄνδρα διαβόητον ἐν εὐσεβείᾳ, καὶ σοφῶς διασκευάζει ὡς ἐν Πνεύματι τὴν διὰ πίστεως ἄφεσιν, καὶ διαγγέλλει πᾶσιν ἀνθρώποις· ᾔδει γὰρ ἐν Χριστῷ παρεσομένην κατὰ καιρούς.*

22 Βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ
ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη.

ΚΥΡΙΛΛΟΥ. *Προσεκόμιζε τὸ λογικὸν ἱερεῖον, καὶ τοῖς τῆς φύσεως νόμους ἐρρῶσθαι φράσας, καὶ τῆς ἀπαραιτήτου φιλοστοργίας πατήσας τὸ κέντρον, καὶ τῶν ἐπιγείων οὐδὲν τῆς εἰς Θεὸν ἀντιπαρεξάγων ἀγάπης.*

23 Καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, Ἐπίστευσε δὲ
Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην,
24 καὶ φίλος τοῦ Θεοῦ ἐκλήθη. ὁρᾶτε ὅτι ἐξ ἔργων δικαι-
οῦται ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον·

Κυρίλλου. Γέρας οὖν ἔχει τὴν δικαιοσύνην ὁ πίστει τιμῶν τὸν τῶν ὅλων Θεὸν καὶ δεσπότην.

25 Ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα;

Σευηριανοῦ Ἐπισκόπου Γαβάλων. Ἄκουε τῆς γραφῆς μαρτυρούσης αὐτῇ τὰ κατορθώματα· ἦν ἐν πορνείᾳ μαργαρίτης· ἐν βορβόρῳ πεφυρμένος χρυσὸς, ἐν πηλῷ διερριμμένος· ἄνθος εὐσεβείας ἀκάνθοις κεχωσμένον· εὐσεβὴς ψυχὴ ἐν ἀσεβείας χώρῳ κατακέκλειστο.

"Τοὺς ἀγγέλους," κατασκόπους.

26 Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς τοῦ πνεύματος νεκρόν ἐστιν, οὕτως καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

Τὴν ψυχὴν λέγει.

1 Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου· εἰδότες ὅτι μεῖζον κρίμα ληψόμεθα.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ τὸ διδάσκειν ἄνευ τοῦ ποιεῖν οὐ μόνον κέρδος οὐδὲν, ἀλλὰ καὶ ζημίαν πολλὴν καὶ κατάκρισιν φέρει τῷ μετὰ τοσαύτης ἀπροσεξίας διοικοῦντι τὸν βίον τὸν ἑαυτοῦ, τὴν φιλονεικίαν τῶν μὴ βουλομένων ἐργάζεσθαι ἐκκόπτων, τὸ διδάσκειν ἀπεῖπε τοῖς ἄνευ ἔργου διδάσκουσι, κρίμα μέγα ἐπιτιθείς. ὁ γὰρ τὰ μὴ ὄντα κατάκριτος, ὥσπερ καὶ τέλειος, ὁ μὴ πταίων ἐν ἔργῳ καὶ λόγῳ τῆς διδασκαλίας, καὶ δυνατὸς καὶ ὅλον τὸ σῶμα χαλιναγωγῆσαι. εἰ γὰρ ταῦτα διδάσκει, καὶ τὴν πίστιν ὁρίζεται λόγων ὀρθῶν μετὰ ἔργων λαμπρῶν συμφώνων τῇ πίστει· δηλονότι ὅλον ἑαυτοῦ χαλιναγωγεῖ τὸ σῶμα, μηδεμίαν φιλίαν πρὸς τὸν κόσμον ἔχειν αὐτὸ ἐῶν.

2 Πολλὰ γὰρ πταίομεν ἅπαντες.

Σευήρου. Εἰ γὰρ "πολλὰ πταίομεν ἅπαντες," ὥς πού τις ἔφη τῶν Χριστοῦ μαθητῶν, δεῖ τὰς ἀντιρρόπους πράξεις ἀγαθὰς ἐπιτηδεύειν ἡμᾶς, δυναμένας ἐξιλεοῦσθαι τὸν πάντων κριτὴν καὶ Θεὸν, ἐν οἷς ἀσθενήσαντες ὡς ἄνθρωποι τοῖς πάθεσιν ὑπεκλίθημεν, καὶ μὴ ἀπογνῶναι τῆς ἡμετέρας σωτηρίας.

ΚΕΦ. Ε.

Ὅτι ἡ προπετὴς καὶ ἄτακτος γλῶττα θανατοῖ τὸν κεκτημένον· ἧς κρατεῖν ἀνάγκη εἰς εὐφημίαν καὶ δόξαν Θεοῦ.

Εἴτις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα.

Κυρίλλου. *Βεβηκότος γὰρ νοῦ καὶ φρενὸς τῆς τελειοτάτης ἀπόδειξις ἐναργὴς, τὸ μηδὲν ἐξίτηλον ἐπὶ γλώσσης ἔχειν, ἤγουν ἀθυροστομεῖν ἀνέχεσθαί ποτε· ἡγεῖσθαι δὲ μᾶλλον τοῦ παντὸς ἄξιον λόγον, εὐηγορεῖν εἰδέναι καὶ λαλεῖν τὰ παντὸς ἐπαίνου μεστά. χρῆμα δὴ οὖν πρεπωδέστατον ὅτι μάλιστά γε ἐν τοῖς εὐζωεῖν ᾑρημένοις τὸ λαλεῖν σοφίαν· ἀπόβλητον γὰρ ἁγίοις τὸ μωρολογεῖν, καὶ ἀσύνηθες κομιδῆ τὸ κεχρῆσθαί τισιν ἢ εὐτραπελίαις, ἤγουν αἰσχρορημοσύναις, αἳ οὐκ ἀνῆκον, καθά φησιν, ὁ πάνσοφος Παῦλος· φίλον δὲ αὐτοῖς καὶ διὰ σπουδῆς γεγόνασι τούτου εὐηγορεῖν· διαμέμνηται γὰρ κατὰ τὸ εἰκὸς τῆς ἁγίας λεγούσης γραφῆς· "ὁ "λόγος ὑμῶν ἐν χάριτι ἅλατι ἠρτυμένος, ἵνα δῷ χάριν τοῖς ἀκού- "ουσι." Καὶ πάλιν—ἀποδέχεται μὲν ἡ θεόπνευστος γραφὴ τὸ ἐπιεικὲς εἰς λόγους, καταψέγει δὲ μάλα εἰκότως τῆς γλώσσης τὸ ἀκρατές. ἔφη μὲν γὰρ "εἴτις ἐν λόγῳ οὐ πταίει, οὗτος "τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα." ψάλλει δέ που καὶ Δαβὶδ, "θοῦ, Κύριε, φυλακὴν τῷ στόματί "μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου." Καὶ πάλιν— "Εἶτα φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ "μου." ἀρίστη γὰρ φυλακὴ τὸ ἄπταιστον ἔχειν τὴν γλῶσσαν.*

3 *Ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα
βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ
4 σῶμα μετάγομεν αὐτῶν. ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα
ὄντα, καὶ ὑπὸ ἀνέμων σκληρῶν ἐλαυνόμενα, μετάγεται
ὑπὸ ἐλαχίστου πηδαλίου, ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύ-
νοντος βούληται.*

Ἔτι καὶ ταῦτα περὶ τοῦ μὴ δεῖν ὡς ἔτυχε τὴν γλῶσσαν κινεῖν. λέγει οὖν ὅτι εἰ χαλινῷ θράσος ἵππου ἀνακόπτομεν, καὶ πηδαλίῳ μικρῷ ὁρμὴν πλοίου μεταφέρομεν, πολλῷ μᾶλλον τὴν γλῶτταν

εἰς τὸ εὖ ἔχον τῷ ὀρθῷ λόγῳ μετάγειν ὀφείλομεν. τὸ γὰρ "οὕτω "καὶ ἡ γλῶττα" τοῦτο σημαίνει, ὅτι οὕτως ὀφείλει καὶ ἡ γλῶττα μετάγεσθαι ἐπὶ τὸν ὀρθὸν λόγον, ἀλλ' οὐ τοῦτο ποιεῖν ὃ ποιεῖ μικρά τις οὖσα μεγαλαυχεῖ· διὸ καὶ μεγάλην ἡμῖν ἀνακαινιεῖ πυρὰν, τὴν ἀδικίαν κοσμοῦσα διὰ τοῦ συνηγορεῖν αὐτῇ, "καὶ ὅλον "ἡμῶν σπιλοῦσα τὸ σῶμα, καὶ ἀνάπτουσα ἡμῖν τὸν τροχὸν τῆς "γεέννης·" τουτέστι καὶ ἐκκαίουσα καὶ κατατρέχειν ἡμῶν ποιοῦσα τὸ πῦρ· ἀλλὰ καὶ αὐτή, φησι, φλογίζεται ὑπὸ τῆς γεέννης. πῶς γὰρ οὐ φλογίζεται δεσμουμένων τῶν ἀσεβῶν χεῖρας καὶ πόδας, καὶ βαλλομένων εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. διὰ τοῦτο καὶ ὁ Ψαλμῳδὸς ἐβόα· "θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου·" ἵνα μὴ πάθῃ ὅπερ ἡ γλῶττα τοῦ πλουσίου φλεγομένη οὐδεμιᾶς ἔτυχε παραμυθίας.

5 Οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ καὶ μεγα-
6 λαυχεῖ· ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει· καὶ ἡ
γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας.

Τοῦ Χρυσοστόμου. *Οὐκοῦν πλέον τῆς γλώσσης φύλαττε τὴν κόρην· ἵππός ἐστι βασιλικὸς ἡ γλῶσσα· ἂν μὲν οὖν ἐπιθῇς αὐτῇ χαλινὸν καὶ διδάξῃς βαδίζειν εὔρυθμα, ἐπαναπαύεται αὐτῇ καὶ ἐπικαθιεῖται ὁ βασιλεύς· ἂν δὲ ἀχαλίνωτον ἀφῇς φέρεσθαι καὶ σκιρτᾶν, τοῦ διαβόλου καὶ τῶν δαιμόνων ὄχημα γίνεται.*

Ἰησοῦ υἱοῦ Σιράχ. Πολλοὶ *ἔπεσον ἐν στόματι μαχαίρας· καὶ οὐχ ὡς οἱ πεπτωκότες διὰ γλώσσης. μακάριος ὁ σκεπασθεὶς ἀπ' αὐτῆς, ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτῆς, καὶ τοῖς δεσμοῖς αὐτῆς οὐκ ἐδέθη· ὁ γὰρ ζυγὸς αὐτῆς, ζυγὸς σιδηροῦς, καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χαλκοῖ—καὶ τὰ ἑξῆς.*

Οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης.

Τουτέστι τὸν τροχὸν τῆς ζωῆς ἡμῶν· οὐ γὰρ εἶπεν ὅτι ὁ τροχὸς σπιλοῖ τὴν γλῶσσαν, ἀλλ' ἡ γλῶσσα τὸν τροχὸν, τὸν τροχοειδῆ δηλονότι χρόνον. τὴν γὰρ προαίρεσιν αἰτιᾶται, καὶ τὴν προπέτειαν ἀναστέλλει· ὑφ' ἧς ὁ βίος ἡμῶν ἐκτραχύνεται, καὶ μυρίαις ἀνωμαλίαις ὑποπίπτει· διὸ καὶ ἐπήγαγε· "καὶ φλογιζομένη ὑπὸ

"τῆς γεέννης·" οὐκ ἂν τοῦτο προσθεῖσα· εἴγε ἄκουσα ἡ γλῶσσα ἐκινεῖτο. ὅτι δὲ τροχὸν τὸν χρόνον ἐκάλεσε διὰ τὸ τροχοειδὲς καὶ κυκλικὸν σχῆμα, εἰς ἑαυτὸν γὰρ ἑλίττεται, ἐγγυᾶται ὁ μελῳδὸς, στέφανον αὐτὸν καλέσας καὶ εἰπὼν πρὸς τὸν Θεὸν, "εὐλόγησον "τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου." κἀνταῦθα γὰρ ἀπὸ τοῦ κυκλικοῦ σχήματος στέφανος εἰκότως ὁ χρόνος ὠνόμασται.

Διττήν μοι δοκεῖ, τὴν μὲν πιθανεστέραν, τὴν δὲ δεινοτέραν καὶ πικροτέραν, ἑρμηνείαν ἔχειν τὸ παρά σου ζητηθέν· "ἡ γλῶσσα "πῦρ, ὁ κόσμος τῆς ἀδικίας." μάλιστα μὲν ἐπειδὴ εὔστροφος οὖσα καὶ ῥάστη εὐχερῶς πολλὰ δρᾷ, λαλοῦσα κακά· καὶ γὰρ καὶ κατηγορεῖ, καὶ ἐπιορκεῖ, καὶ ψεύδεται, καὶ ψευδομαρτυρεῖ, καὶ πολλοὺς ἀδίκως εἰς πῦρ βάλλει, καὶ εἰς ξίφος καὶ εἰς πέλαγος ὠθεῖ. κόσμον δὲ οἶδε καλεῖν ἡ γραφὴ τὸ πλῆθος· "ὁ κόσμος γάρ," φησι, "αὐτὸν οὐκ ἔγνω," τουτέστι τὸ πλῆθος. ἡ γλῶσσα οὖν, φησι, πῦρ ἐστι, πλῆθος ἀδίκως κατακαίουσα, ἢ πλήθους πυρὸς ἀδίκου δοχεῖον. ἐπειδὴ δὲ πολλοὶ τῇ κακίᾳ συμπράττοντες, καὶ τὴν ἀδικίαν σεμνύνοντες, δεινότατοι ὄντες ῥητορεύειν ἐπὶ πράξεσι πονηραῖς καὶ παρανόμοις, λόγων εὐπρέπειαν ἐχόντων οὐκ ἀποπυροῦντες λανθάνουσι καθ' ἑαυτῶν τὴν ψῆφον τιθέμενοι, καὶ δεῖγμα τῆς ἑαυτῶν προαιρέσεως, τῆς ἐπὶ τὰ φαῦλα ῥεπούσης, διὰ τῶν λόγων τούτων ἐκφέρουσιν· ἴσως στηλιτεύων αὐτοὺς τοῦτο ἔφη, "ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας·" ὡσανεὶ ἔλεγεν, ὁ τῆς εὐγλωττίας πυρσὸς, ὅταν τοὺς μεγάλα πταίοντας κοσμεῖ, ἐγκαλλώπισμα δοκεῖ τῆς ἀδικίας. χρὴ τοιγαροῦν τῇ δεινότητι κεχρῆσθαι, οὐ πρὸς τὸ τὴν ἀδικίαν κοσμεῖν, ἀλλὰ πρὸς τὸ τὴν ἀρετὴν σεμνύνειν, τὴν καὶ χωρὶς λόγων ὑπέρλαμπρον.

Τοῦ Ἁγίου Βασιλείου. Εἰ ἀγαπᾷς τὴν ζωὴν, ποίησον τὴν ἐντολὴν τῆς ζωῆς· "ὁ γὰρ ἀγαπῶν με," φησι, "τὰς ἐντολάς μου "τηρήσει·" πρώτη δὲ ἐντολὴ, "παῦσον τὴν γλῶσσαν σου ἀπὸ "κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον·" σχεδὸν γὰρ προχειροτάτη· καὶ πολύτροπος ἡ ἁμαρτία ἡ διὰ γλώσσης ἐστὶν ἐνεργουμένη, ἐν ὀργαῖς, ἐν ἐπιθυμίαις, ἐν ὑποκρίσεσιν, ἐν δίκαις, ἐν ἀπάταις· καὶ τί δεῖ παντὶ τῷ λόγῳ ἐπεξιέναι τῶν διὰ γλώττης ἁμαρτανομένων; ἐξ αὐτῆς γὰρ αἰσχρολογίαι, εὐτραπελίαι, μωρολογίαι, τὰ οὐκ ἀνήκοντα καταλαλίαι, λόγος ἀργὸς, ἐπιορκίαι,

ψευδομαρτυρίαι, ταῦτα πάντα τὰ κακὰ καὶ ἔτι πλείω τούτων, τῆς γλώσσης ἐστι δημιουργήματα. ἐπεὶ οὖν "ἐκ τῶν λόγων σου "δικαιώθησῃ," "παῦσον τὴν γλῶσσαν σου ἀπὸ κακοῦ, καὶ χείλη σου μὴ λαλῆσαι δόλον" ἀντὶ τοῦ, ὅλον τὸ ὄργανον τὸ πρὸς τὴν διακονίαν τοῦ λόγου σοι δεδομένον, σχολάζειν ἀπὸ τῆς πονηρᾶς ἐργασίας ποίησον.

7 Πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ.

Ἐπὶ μὲν τῆς γλώσσης καταδρομή· μεταφέρει δὲ τὸν λόγον πρὸς ἄλλο, δεικνὺς αὐτῆς τὸ κακόν. λέγει οὖν ὡς ἄτοπον, πάντων μὲν ἡμᾶς κρατεῖν χερσαίων τε καὶ ἀερίων καὶ ἐναλίων, τῆς δὲ οἰκείας γλώττης μὴ κρατεῖν.

8 Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κακὸν, μεστὴ ἰοῦ θανατηφόρου.

"Τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι," οὐ γὰρ ὡς ἀποφαινόμενος μὴ δυνατὸν εἶναι, ἀλλ' ὡς ἐρωτῶν ὁ Χριστοῦ μαθητὴς ἔφησε τοῦτο· ὥστε ὡς δυνατὸν ἀναγνωστέον, καὶ μὴ ὡς ἀδύνατον νοητέον. καί μοι μικρὸν ἄνωθεν τῶν γεγραμμένων λαβόμενος, γνῶθι σαφῶς τὸ λεγόμενον· "πᾶσα γάρ," φησι, καὶ τὰ ἑξῆς· πῶς οὖν τούτων πάντων δαμαζομένων ἀδάμαστος ἡ γλῶσσα; "πᾶσα φῦσις" εἶπε· τὸ δὲ "πᾶσα" καὶ αὐτῆς τῆς γλώττης ἐστὶ περιληπτικόν· εἰ δὲ ἀνοίκεια[k] τῆς ἑαυτοῦ φύσεως ὁ ἄνθρωπος δαμάζει θηρία, πόσῳ μᾶλλον τὸ τῆς ἑαυτοῦ φύσεως μέλος εὐχερῶς δαμάσαιεν τὴν γλῶσσαν; ἀλλ' ὡς τῶν πρὸ τούτου καὶ μετὰ τούτων γεγραμμένων ἀκούσωμεν· "τὴν γλῶσσαν," φησὶν, "οὐδεὶς "δύναται ἀνθρώπων δαμάσαι," καὶ τὰ ἑξῆς· εἶτα ἐμφαῖνον ὡς ῥάδιον εἴη πρὸς τὸ δοκοῦν τῆς φωνῆς ἆξαι τὸ πλῆκτρον, ἐπάγει λέγων· "οὐ χρὴ, ἀδελφοὶ, ταῦτα οὕτως γίνεσθαι." τί λέγεις; τί παραινεῖς τὰ ἀδύνατα; εἰ γὰρ οὐδεὶς δύναται δαμάσαι, διατί μὴ δεῖν ταῦτα γενέσθαι; ἀνέφικτα γάρ τις προσταχθεὶς, ἀπειθήσας ἀναίτιος· ἀλλ' ἐπειδὴ φησὶ "δύναται," τούτου χάριν εἶπον, οὐ χρὴ ταῦτα οὕτως γενέσθαι· εἰ γὰρ ἀνίκητον γλῶσσα, πῶς ὑπὸ

[k] ἀνοίκια Cod.

Παύλου νενίκηται; πῶς τὰ βλάσφημα χείλη γέγονε θεολογικά; πῶς ἣν ἠκόνησε κατὰ Χριστοῦ λοιδορίαις, ταύτην ἐπλήρωσε ταῖς ὑπὲρ Χριστοῦ ῥητορίαις;

Τοῦ Χρυσοστόμου. *Μάχαιρά ἐστιν ἡ γλῶσσα ἠκονημένη. ἀλλὰ μὴ ἑτέροις ἐπάγωμεν τραύματα· ἀλλὰ τὰς ἡμετέρας σηπεδόνας ἀποτέμωμεν.*

Ἡσυχίου. *Καθάπερ γὰρ ἡ ῥομφαία ἑτοιμοτέρα πρὸς τομὴν ἂν ἀκονηθῇ, καὶ ὀξυτέρα πρὸς ἀναίρεσιν γίνεται, οὕτως ἡ γλῶσσα δυσχερὴς καὶ καθ' ἑαυτὴν εἰς τὸ ἠρεμεῖν τυγχάνουσα καὶ δυσκάθεκτος, τότε χαλεπωτέρα γίνεται, ὅταν παρὰ τῶν πονηρῶν συκοφαντεῖν καὶ λοιδορεῖν καὶ διαβάλλειν ἐθίζηται.*

9 Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ Πατέρα, καὶ ἐν
αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν
10 Θεοῦ γεγονότας· ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα.

Πόῤῥω ταῦτα τῶν Χριστοῦ μαθητῶν τῶν ἐπιεικῶν καὶ προσηνῶν· τοῦ στόματος τοῦ καταξιουμένου τοιαύτης μυσταγωγίας, μηδὲν πικρὸν ἐκβαλλέτω, μηδὲν ἀηδὲς ἡ τῷ θείῳ προσομιλοῦσα στόματι γλῶσσα· καθαρὰν αὐτὴν φυλάττωμεν· μὴ ἀρὰς δι' αὐτῆς προσφέρωμεν. εἰ γὰρ λοίδοροι οὐ κληρονομήσουσι βασιλείαν, πολλῷ μᾶλλον οἱ κατευχόμενοι. ἀνάγκη γὰρ ὑβρίζειν τὸν εὐχόμενον. ὕβρις δὲ καὶ εὐχὴ ἀλλήλων ἀπεσχοίνισται· ἀρὰ καὶ εὐχὴ πολὺ τὸ μέσον ἔχει· κατηγορία καὶ εὐχὴ πολὺ τὸ μέσον ἔχει· προσέρχῃ τὸν Θεὸν, ἵλεων ποιῆσαι, καὶ ἑτέροις κατεύχῃ; ἐὰν μὴ ἀφῇς, οὐκ ἀφηθήσεταί σοι.

11 Οὐ χρὴ, ἀδελφοί μου, ταῦτα οὕτως γίνεσθαι· μήτι
ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ πικρὸν καὶ γλυκύ;
12 μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαιὰς ποιῆσαι, ἢ ἄμπελος σύκα; οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ.

Φίλαρχοι ὄντες καὶ τῇ σοφίᾳ τοῦ κόσμου αὐχοῦντες, καὶ κατ' ἔριν καὶ ζῆλον τῶν ὀρθῶν διδασκάλων ἐκήρυττον, ὀχλαγωγοῦντες ἁπλῶς, καὶ φθόνον πρὸς τούτους ἔχοντες, καὶ παραμίγνυντες τοῖς θείοις ἀνθρώπινα· ἵνα τῇ καινότητι τῶν λεγομένων ἐπισπῶνται τοὺς

ἀκούοντας· ὅθεν καὶ αἱρέσεις ἐξῆλθον. ταύτας οὖν τὰς διδασκαλίας ἀπαγορεύει· ἅτε καὶ ἐκ σοφίας οὐ θείας ἀλλὰ δαιμονιώδους γινομένας· ταῦτα δὲ εἶπε προσεπαινέσας τὸ ἀγαθὸν διδάσκον, ἐκ πραότητος λόγων αὐτοῦ τὴν σοφίαν, καὶ ἔργων χρηστῶν.

* Περὶ ἀναστροφῆς ἀγαθῆς καὶ ἀμάχου πρὸς ἀλλήλους ἐκ φιλοδοξίας ἐπὶ σοφίᾳ[1] ἀνθρωπίνῃ.

13 Σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν δειξάτω ἐκ τῆς καλῆς
14 ἀναστροφῆς τὰ ἔργα αὐτοῦ, ἐν πραΰτητι σοφίας. εἰ δὲ
ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ
15 κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. οὐκ
ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος,
16 ψυχική, δαιμονιώδης· ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ
ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.

Τοῦ Χρυσοστόμου. Ἐκκαθαίρομεν τὸν ῥύπον ἀπὸ τῶν τῆς ψυχῆς ὤτων. καθάπερ γὰρ ῥύπος καὶ πηλὸς τὰ ὦτα τῆς σαρκὸς, οὕτω καὶ τὰ βιωτικὰ διηγήματα καὶ παχέα, καὶ τὰ περὶ τόκων καὶ δανεισμάτων, ῥύπου παντὸς χαλεπώτερον ἐμφράττει τῆς διανοίας τὴν ἀκοὴν, μᾶλλον δὲ οὐκ ἐμφράττει μόνον, ἀλλὰ καὶ ἀκάθαρτον ποιεῖ.

17 Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα
εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν
18 ἀγαθῶν ἀδιάκριτος καὶ ἀνυπόκριτος. καρπὸς δὲ τῆς
δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Μὴ διακρίνουσα παρατηρήσεις βρωμάτων καὶ διαφόρων βαπτισμάτων. ἀκριβῶς δὲ περὶ τούτων ἐν τῇ πρὸς Κολοσσαεῖς[m] διαλέγεται ὁ Παῦλος.

ΚΕΦ. ϛ.

Ὅτι ἐκ ῥαθυμίας καὶ φιληδονίας ἔρις καὶ ἀκαταστασία καὶ ἡ πρὸς Θεὸν ἔχθρα γίνεται.

1 Πόθεν πόλεμοι, καὶ πόθεν μάχαι ἐν ὑμῖν; οὐκ ἐν-
τεῦθεν ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς

[1] τῆς ἐπὶ σοφ. Cod. Barocc. et Œcumen.   [m] Κολοσσαέων Cod.

2 μέλεσιν ὑμῶν; ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ
ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν. μάχεσθε καὶ πολε-
μεῖτε, καὶ οὐκ ἔχετε δὲ διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς.

Δείκνυσιν οὐκ ἂν ὑποπλάττοντα λόγον διδασκαλικόν. ὅλοι σαρκικοί εἰσι, καὶ τὰ χαλεπώτατα πράττουσι· τοῦτο καὶ ὁ Παῦλος ὠνείδιζεν "ὅπου γὰρ ἐν ὑμῖν," λέγων, "ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοὶ ἐστέ;"

Διονυσίου. Ὁ μὲν γὰρ ἀγρὸν ἀρκοῦντα κεκτημένος, ἐπειδὴ μείζονα θεωρεῖ τὸν τοῦ γείτονος, αὐξῆσαι τὸν ἑαυτοῦ φιλονεικεῖ, ὡσαύτως καὶ ποιῆσαι τὸν οἶκον ὑψηλότερον.

3 Αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

Τοιοῦτος ἦν ὁ Φαρισαῖος, ὁ καὶ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ κατηγορούμενος. ὃς ἑστὼς ἐν μέσῳ τῷ ἱερῷ μεγαλοφώνως ᾔτει τὲ καὶ προσηύχετο. καὶ ὡς ἄξιος ὢν, ᾔτει τυχεῖν, καὶ τὰς οἰκείας πράξεις ἀπηριθμεῖτο, καὶ ἔλεγε "νηστεύω δὶς τοῦ σαββάτου, "ἀποδεκατῶ πάντα ὅσα κτῶμαι." προσεφιλοτιμεῖτο δὲ βοῶν, καὶ τὸ μὴ εἶναι ἅρπαξ, ἢ ἄδικος ἢ μοιχὸς, ἢ πλεονεξίᾳ κρατούμενος· καὶ ὅσῳ πολλὰ κατέλεγε, τοσούτῳ πλέον ἀπεβύει τὴν θείαν ἀκοήν· καὶ ὁ τῶν ῥημάτων ὄγκος κενὸς περὶ τὰ χείλη κατέρρει, καὶ εἰς ἀφρὸν διελύετο, καθάπερ παφλάζοντα κύματα.

Ἀληθοῦς οὔσης τῆς τοῦ Σωτῆρος θέσεως τῆς λεγούσης "αἰτεῖτε "καὶ δοθήσεται ὑμῖν," ἣν καὶ πιστοῦται διὰ τοῦ φάναι "πᾶς ὁ "αἰτῶν λαμβάνει" ζητήσειεν ἄν τις πῶς τινες εὐχόμενοι οὐκ ἀκούονται· πρὸς ὃ λεκτέον, ὁ ὁδῷ τῇ ἀκολούθῳ ἐπὶ τὸ αἰτεῖν ἐρχόμενος, οὐδὲν παραλείψας τῶν συντελούντων πρὸς τὸ τυχεῖν τῶν σπουδαζομένων, πάντως λήψεται ὃ παρεκάλεσε δοθῆναι αὐτῷ. εἰ δέ τις ἔξω χωρήσας τοῦ σκόπου τῆς παραδοθείσης, δόξει αἰτεῖν, οὐκ αἰτῶν ὃν δεῖ τρόπον, οὐδὲ ὅλως αἰτεῖ· διὸ μὴ λαμβάνοντος αὐτοῦ, οὐ ψευδοποιεῖται τὸ, "πᾶς ὁ αἰτῶν λαμβάνει." καὶ γὰρ διδασκάλου λέγοντος, πᾶς ὁ προσιὼν μοι μαθημάτων ἕνεκα ἕξει αὐτῶν τὴν ἐπιστήμην τῷ προσιέναι τῷ διδασκάλῳ γραμματικῶς ἐκλαμβάνομεν[k] τουτέστι μετὰ τοῦ συντόνως προσέχειν τοῖς παρὰ τοῦ διδασκάλου, μετὰ τοῦ ἀσκεῖν καὶ μελετᾶν αὐτά. ὁ δὲ

[k] Corr. rec. m. ἐκλαμβανόμενον.

μὴ οὕτω, λεκτέον αὐτῷ, οὐ προσῆλθες αὐτῷ ὡς προετρέψω, φανερώτερον ποιῶν ὁ γράφων τὴν Ἐπιστολήν.

Τινὲς δοκοῦντες αἰτεῖν οὐ λαμβάνουσιν· τοὺς ἀντιρρήτους καὶ κακῶς αἰτουμένους ἡδονῶν ματαίων ἕνεκα προείληφεν. Ἀλλ' ἐρεῖ τις, καὶ μὴν ὑπὲρ γνώσεως θείας καὶ ἀναλήψεως ἀρετῶν αἰτούμενοί τινες οὐ λαμβάνουσι· λεκτέον δὲ καὶ αὐτοῖς ὅτι[k] καθ' αὐτὰ τὰ ἀγαθὰ λαβεῖν ἠξίωσαν, ἀλλ' ἕνεκα τοῦ ἐπαινεῖσθαι δι' αὐτά. ἔστι δὲ φιληδόνων καὶ τὸ χαίρειν ἐπαίνοις· ὅθεν καὶ τούτοις οὐ δίδοται· ἐπεὶ εἰς ἡδονὰς καταδαπανῆσαι θέλουσι τὰ περὶ ὧν ἀξιοῦσιν.

4 **Ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἐχθρὰ τοῦ Θεοῦ ἐστίν; ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται.**

Κοσμὸν ἐνταῦθα λέγει πᾶσαν τὴν ὑλικὴν ζωήν, τὴν μητέρα τῆς φθορᾶς, ἧς ὁ μετασχεῖν ἐθέλων ἐχθρὸς γίνεται τοῦ θεοῦ.

Ὠριγένους. Ἐπεὶ ἡ κακία προξενεῖ τὴν πρὸς τὸν κόσμον φιλίαν, ἀρετὴ δὲ τὴν πρὸς τὸν Θεόν, ἀρετῇ καὶ κακίᾳ οὐ δύναται συνυπάρχειν.

Παροιμίαι[1]. Ὁ διὰ τοῦ ἁμαρτάνειν φιλῶν τὸν κόσμον, ἐχθρὸς ἀποδείκνυται τοῦ Θεοῦ. ὡσαύτως καὶ ὁ τὴν πρὸς Θεὸν φιλίαν δι' εὐσεβείας βεβαιῶν, εὐθέως ἐχθρὸς εὑρίσκεται τοῦ κόσμου· ὅθεν ἀδύνατόν ἐστιν ὥσπερ δουλεύειν Θεῷ καὶ Μαμωνᾷ, οὕτω φιλιάζειν Θεῷ καὶ κόσμῳ. ἀμέλει γοῦν ἐλθὼν ὁ Κύριος φίλους Θεοῦ τοὺς πειθομένους αὐτῷ ποιῆσαι, μάχαιραν καὶ διαμερισμὸν ἔβαλεν ἐπὶ τῆς γῆς· ὁ γὰρ λόγος τῆς διδασκαλίας αὐτοῦ διαιρεῖ καὶ μερίζει τῶν γηΐνων καὶ ὑλικῶν· διὰ τούτου παρασκευάζων ἔχθραν ἔχειν πρὸς τὸν κόσμον καὶ ἕνωσιν πρὸς τὸν Θεόν, ἥτις ἐστὶν ἡ πρὸς αὐτὸν φιλία. διὸ καὶ εἰρήνην δίδωσιν, οὐ καθὼς ὁ κόσμος ὀρέγει· ἐκεῖνος γὰρ δι' ἧς δίδωσιν εἰρήνης πρὸς τὰ ὑλικὰ ἐμπαθεῖς ποιεῖ· ὁ δὲ Κύριος εἰρήνην παρέχων, φίλους Θεοῦ παρασκευάζει. κόσμον οὖν ἐν τούτοις ἀκούειν δεῖ, τὴν πρὸς τὰ τῆδε συμπάθειαν· εἰ μὲν γὰρ ἀδιάφορόν ἐστι τὸ θλίβεσθαι, πίπτον εἰς δικαίους καὶ ἀδίκους, οὐκ ἂν φανείη εὔλογος ἡ καύχησις.

k Leg. ὅτι οἱ.

1 Cod. παρ$^{\mu}$.

Εἰ καὶ μὴ πάνυ ἁρμοδία πρὸς τὸ ῥητὸν ἡ χρῆσις, ἀλλ' οὖν ἀναγκαῖον ἡγησάμην ταύτην ἐνθεῖναι, διὰ τὸ ἐκ τῆς ἑρμηνείας ἐπωφελὲς καὶ ζητούμενον· φησὶ γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν Εὐαγγελίοις "εἰ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει "σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπό σου. καλὸν γάρ σοι ἐστὶν "εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν καὶ κυλλὸν, ἢ δύο πόδας ἔχοντα "καὶ δύο χεῖρας βληθῆναι εἰς τὸ πῦρ. καὶ εἰ ὁ δεξίος σου "ὀφθαλμὸς σκανδαλίζει σε" καὶ τὰ ἑξῆς. περὶ τούτων ὁ Χρυσόστομός φησι, "οὐ περὶ μελῶν λέγων, ἄπαγε, ἀλλὰ περὶ φίλων, "περὶ προσηκόντων, οὓς ἐν τάξει μελῶν ἔχομεν ἀναγκαίων· τοῦτο "καὶ ἀνωτέρω εἴρηκε, καὶ νῦν λέγει, οὐδὲν γὰρ βλαβερὸν ὡς "συνουσία πονηρά. ὅσα ἀνάγκη μὴ δύναται, φιλία πολλάκις "δύναται καὶ εἰς βλάβην καὶ εἰς ὠφελείαν. διὸ μετὰ πολλῆς "σφοδρότητος τοὺς βλάπτοντας ἡμᾶς ἐκκόπτειν κελεύει."

Ἄξιον ζητῆσαι πῶς οὐκ ἀδιάφοροί εἰσιν αἱ θλίψεις ἐφ' αἷς φησι καυχᾶσθαι ὁ Ἀπόστολος. καὶ αὐτόθεν μὲν οὖν πρὸ τοῦ ἡμᾶς περιεργάζεσθαι τὰ περὶ θλίψεως, ἐμφαίνεται, ὅτι σπουδαῖόν ἐστιν ἡ θλίψις ὑπομονὴν μίαν τῶν ἀρετῶν κατεργαζομένη· τὸ γὰρ κατεργαζόμενον ἀρετὴν, οὔτε φαῦλον οὔτε μέσον εἶναι δύναται· μήτηρ οὖν τῆς ἀρετῆς τῆς ὑπομονῆς ἐστιν ἡ θλίψις· ὡς καὶ ὑπομονὴ παρὰ τῷ Παύλῳ ὀνομαζομένης δοκιμῆς—πολλοὺς τῶν ἀλλοτρίων τῆς πίστεως, ὅταν ἐν περιστάσεσι γένωνται, τὴν στενὴν καὶ τεθλιμμενὴν ὁδὸν ὁδεύειν καὶ ἀπάγουσαν εἰς τὴν ζωὴν, οὐκ ὀλίγους δὲ τῶν μακαρίως βιούντων καὶ κατὰ τὸν βίον εὐτυχέστερον ἐχόντων ὁδεύειν διὰ τῆς πλατείας πύλης ἐπὶ τὴν εὐρύχωρον καὶ ἀπάγουσαν εἰς τὴν ἀπώλειαν. μήποτε οὖν ἐκλεκτέον τῇ διαθέσει, καὶ οὐχὶ τοῖς περιεστηκόσι κρίνεσθαι τὴν στενὴν καὶ τεθλιμμένην ἀπάγουσαν εἰς τὴν ζωὴν, ἢ τὴν εὐρύχωρον ἀπάγουσαν εἰς ἀπώλειαν. ὁ μὲν γὰρ τῆς πίστεως ἀλλότριος, κἂν τὰ περιεστηκότα αὐτὸν ᾖ ἐπίπονα, οἷον πενία καὶ νόσος ἤ τι τῶν παραπλησίων, ὃ βούλεται πράττων καὶ λέγων, καὶ μὴ ἀναστέλλων τὰς ὁρμὰς, μηδὲ ἐπέχων τῷ τοῦ Θεοῦ λόγῳ· καὶ τότε τὴν εὐρύχωρον ὁδεύειν καὶ ἀπάγουσαν εἰς ἀπώλειαν. ὁ δὲ δίκαιος οὐχ ἧττον ἐν τοῖς νομιζομένοις ἀγαθοῖς ἑαυτὸν συνέχει καὶ θλίψει· μηπότε φαγὼν καὶ ἐμπλησθεὶς ἐπιλαθόμενος Κυρίου τοῦ Θεοῦ,

καὶ τῆς παρ' αὐτῷ ἐν τοῖς μὴ βλεπομένοις ἐλπίδος αὐτοῦ ποῦ καταμείνῃ ὑπὸ τῶν τοὺς πολλοὺς καθελκόντων ἀπὸ τῆς ἀρετῆς κατασπώμενος. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῖ καὶ ὁ Ἀπόστολος ἐν τῷ λέγειν "ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι." καὶ πάλιν· "οἶδα καὶ ταπεινοῦσθαι καὶ περισσεύειν," καὶ τὰ ἑξῆς· διὰ γὰρ ἀμφοτέρων τῶν ῥητῶν τὰ δόξαντα ἂν τοῖς πολλοῖς ἐναντία εἶναι μανθάνομεν. εἰ γὰρ ἀληθὲς τὸ, "ἐν παντὶ θλιβόμενοι" πῶς ἀθηθὲς, οὐ μόνον τὸ "οἶδα ταπεινοῦσθαι, ἀλλὰ καὶ περισσεύειν." καὶ πάλιν πῶς ἐν παντὶ θλιβόμενοι ἀληθές. ἀλλὰ καθ' ἡμᾶς ἐν παντὶ τῷ ἔξωθεν συμβαίνοντι θλιβόμενος ὁ Παῦλος ἦν, τοῦ λόγου αὐτὸν θλίβοντος. ἵνα μὴ οὖν ἀνεθῇ τῷ περισσεύειν, μηδὲ βλαβῇ ἐκ τοῦ χορτάζεσθαι· διὸ καὶ ἐκαυχᾶτο ἐν ταῖς θλίψεσιν ἔργον αὐτοῦ τυγχανούσαις· αὕτη δὲ ἡ ἀπὸ λόγου θλίψις ὑπομονὴν κατεργάζεται, ἧς πλουτοῦντες, πολλῶν ἐνδιδόντων πρὸς τὸν πλοῦτον καὶ οὐχ ὑπομενόντων αὐτὸν, ἀλλ' ἐξισταμένων αὐτῶν, καὶ ὑγιαίνοντες [l], χαλεποῦ ὄντος [m] ἀναμαρτήτως ὑγείαν φέρειν. διόπερ ὁ πυκτεύων, ὡς οὐκ ἀέρα δέρων, ὑπωπιάζει ἑαυτοῦ τὸ σῶμα καὶ δουλαγωγεῖ· οὐδὲν δὲ ἧττον καὶ δοξαζόμενοι ὑπὸ τῶν ἀνθρώπων, εἰ καὶ μὴ καθ' ἡμετέραν πραγματείαν τοιοῦτόν τι ἡμῖν συμβαίνοι, δεόμεθα τῆς ἀπὸ λόγου ἐπιστροφῆς καθαιρούσης τὴν ἡδονὴν καὶ κωλυούσης τὸ ἄλογον ἐπὶ τῇ δόξῃ ἔπαρμα· ἢ λεγέτω ἡμῖν ὁ μὴ βουλόμενος ταῦτα παραδέξασθαι, εἰ μὴ δοκιμώτατός ἐστιν, οὐκ ἔλαττον τοῦ πενιὰν γενναίως ὑπομένοντος, ὁ τὸν πλοῦτον οἰκονομῶν κατὰ τὸν λόγον· καὶ οὐχ ἧττον τοῦ ἐγκαρτεροῦντος πόνοις τοῖς ἐν νόσοις ὁ διὰ τὴν ὑγείαν τῆς ψυχῆς μηδὲν παραδεχόμενος πάθος, κατὰ τὸν καιρὸν τοῦ ὑγιαίνειν τὸ σῶμα, ὅτε φιλεῖ ἐπιτίθεσθαι εὐεκτοῦν τοῦ ἐπιθυμεῖν κατὰ τοῦ πνεύματος. εἰ δὲ ἡ ὑπομονὴ δοκιμὴν κατεργάζεται, δόκιμος δὲ καὶ ὁ ἐν τοῖς νομιζομένοις εἶναι κρείττοσι διαφυλάττων ἑαυτὸν ἀβλαβῆ, δηλονότι δόκιμος ἂν γένοιτο τῆς καὶ ἐν αὐτῷ ὑπομονῆς, τὴν δοκιμὴν κατεργαζόμενος· ἥντινα ὑπομονὴν ἀποδιδομένη θλίψις κατειργάσατο. καὶ ὁ Θεός γε βοηθὸς ἐν ταῖς θλίψεσι ταῖς εὑρούσαις τοὺς δικαίους σφόδρα· καὶ ἕκαστος δὲ ἀναλεξάμενος τὸ ὄνομα τῆς θλίψεως, καὶ τοὺς ἐπὶ ταύτῃ ἐλέγξει παρασχηματισμοὺς ἐκ

[l] Male corr. rec. m. ὑγιαινόντων. [m] Cod. ὄντως.

πολλῆς παρατηρήσεως ἀποφανεῖ, πότερόν ποτε ἀεὶ θλίψις δικαίοις μόνοις γίνεται· ἢ ὡς ὁμώνυμος ἡ λέξις φθάνει ποτὲ καὶ ἐπὶ τοὺς ἐναντίους. πλὴν συνάγεται ἐκ τούτων, ὅτι εἴ τις μὴ καταισχυνθήσεται τῷ τὴν ἐλπίδα ἀνειληφέναι ἀψευδῶς, τὴν ἐλπίδα τῆς λεγομένης δοκιμῆς ταύτην αὐτῷ περιπεποιηκυίας ἐλπίζει· καὶ εἴτις ἐστὶ δόκιμος, τῷ ἀνειληφέναι ἀρετὴν τὴν καλουμένην ὑπομονὴν τοιοῦτός ἐστι. καὶ οὐκ ἄλλως δὲ ἐγένετό τινι ἡ ὑπομονὴ ἢ ἐκ τοῦ τὴν θλίψιν κατεργάζεσθαι αὐτήν. ἥτις θλίψις καὶ καύχησίς ἐστι τῶν ἁγίων.

5 Ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει, Πρὸς φθόνον
ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκησεν ἐν ἡμῖν;

"Ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει" καὶ τὰ ἑξῆς. ὑπερηφανίας πάθος τὸ περιφρονεῖν τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ προσκεῖσθαι ταῖς ἡδοναῖς τοῦ βίου τούτου· ὅθεν πρὸς ταῖς ἰδίαις παραινέσεσι καὶ παλαιῶν λογίων ἐπιμνησθεὶς ὁ Ἀπόστολός φησιν, "ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει πρὸς φθόνον," ἀντὶ τοῦ, ἢ νομίζετε ὅτι ματαίως ἡ γραφὴ φθονοῦσα ὑμῖν λέγει ἃ μέλλει λέγειν; εἶτα μεταξυλογίᾳ χρησάμενος φησὶν, "ἐπιποθεῖ τὸ "Πνεῦμα ὃ κατῴκησεν ἐν ἡμῖν· μείζονα δὲ δίδωσι χάριν." οὐ βασκαίνει, φησὶν, ἡ γραφή· τὸ γὰρ Πνεῦμα τὸ λαλῆσαν αὐτὴν "ὃ καὶ κατῴκησεν ἐν ἡμῖν" ὁ Θεὸς καὶ Πατὴρ, ἐπιποθεῖ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, καὶ μείζονα τῶν κατὰ Θεὸν ἡμῶν πραγμάτων δίδωσι τὰ χαρίσματα. διὸ βουλόμενος ἡμᾶς τῆς τοῦ κόσμου φιλίας συστεῖλαι, φησὶν, "ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν."

Ἀντὶ τοῦ, ἐπιθυμητικῶς μὲν ἔχει ἡ ἐν ἡμῖν ψυχὴ τῆς πρὸς Θεὸν οἰκειότητος· τὴν τοῦ κόσμου φιλίαν ἀποστρεφομένη· αὐτὸς δὲ ὁ Θεὸς μείζονα τῆς ἐπιθυμίας διδωσι χάριν.

Σετηριανοῦ. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπιποθεῖ μὲν καὶ ἐφίεται τὸ Πνεῦμα τὸ ἐν ἡμῖν τῆς πρὸς Θεὸν οἰκειότητος, τὴν τοῦ κόσμου φιλίαν ἀποστρεφόμενον, αὐτὸς δὲ μείζονα δίδωσι χάριν.

6 Μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει, Ὁ Θεὸς ὑπερη-
7 φάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ὑπο-
τάγητε οὖν τῷ Θεῷ, ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται
ἀφ' ὑμῶν.

Εἰ φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ κατῴκησεν εἰς τὸν ἔσω ἡμῖν ἄνθρωπον ὁ Χριστὸς κατὰ τὰς γραφάς· διὰ τούτο [n] κατῴκησεν, ἵνα τὸν ἐκ τοῦ φθόνου προσγενόμενον θάνατον καταργήσῃ· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ μείζονα ἡμῖν δώσῃ χάριν. "ἐγὼ" γὰρ "ἦλθον" φησὶν "ἵνα ζωὴν "ἔχωσι, καὶ περισσὸν ἔχωσιν·" ὅτι δὲ ἐπιπόθησας ἡμᾶς ὁ Θεὸς "κατῴκησεν ἐν ἡμῖν," Ἡσαΐας ἐδήλωσεν εἰπὼν, "οὐ πρέσβυς [o] οὐκ "ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς, διὰ τὸ ἀγαπᾷν "ἡμᾶς, καὶ κήδεσθαι ἡμῶν·" πῶς δὲ καὶ σώσας μείζονα δέδωκε χάριν, ἢ καθελὼν τὸν ἐπιβουλεύσαντα Σαταναν; διὰ τοῦτο ἐπήγαγεν. "ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται·" πῶς γὰρ οὐχ ὑπερήφανος ὁ βοῶν, "τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ "ὡς νοσίαν;"

Τῷ γὰρ διαβόλῳ πολεμεῖν ἐπιποθεῖ τὸ Πνεῦμα τὸ Ἅγιον.

Τῷ ξένῳ γεγονότι τῆς κοσμικῆς ζωῆς.

Διδύμου. Ὑπερηφανία ἡ εἰς τέλος ἐπηρμένη κακία· κατὰ διάμετρον δὲ ἀντικειμένη τῇ ὑπερηφανίᾳ ἡ ἀτυφία, μέγα ἀγαθόν ἐστι· καὶ ἐπειδὴ ἀμφότερα προαιρετικῶς καὶ ἑκουσίως, τὸ ἀγαθὸν φημὶ καὶ κακὸν, ἐνεργεῖται, πᾶς ὁ κατὰ ἀλαζονείαν ὑψῶν ἑαυτὸν πρὸς τοῦ ἀντιταττομένου τοῖς ὑπερηφάνοις Θεοῦ ταπεινοῦται ἐν καιρῷ, ὑψουμένου ἐπαινετῶς τοῦ ταπεινώσαντος ἑαυτὸν κατὰ ἀτυφίαν τῶν ἐπ' αὐτῇ ἄθλων ξεναγωγούντων εἰς ὕψος.

ΚΕΦ. Ζ.

Περὶ μετανοίας πρὸς [p] σωτηρίαν, καὶ περὶ τοῦ μὴ κρίνειν τὸν πλησίον.

8 Ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν· καθαρίσατε
9 χεῖρας, ἁμαρτωλοὶ, καὶ ἁγνίσατε καρδίας δίψυχοι. ταλαιπωρήσατε καὶ πενθήσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν.

Τοῦ Χρυσοστόμου. Ὁ γὰρ μετὰ τὸ ἁμαρτάνειν μετανοίᾳ χρώμενος, οὐ πένθους ἀλλὰ μακαρισμῶν ἐστὶν ἄξιος, ἐπὶ τὸν τῶν δικαίων χόρον· λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαι-

[n] Cod. τούτῳ. [o] Sic Cod. sed rec. m. corr. πρέσβις. [p] εἰς σωτ. Œcumen. et Bar.

ωθῇς· εἰ δὲ μετὰ τὸ ἁμαρτάνειν ἀναισχυντεῖ, οὐχ οὕτως ἐπὶ τῷ πεσεῖν ἐστὶν ἐλεεινὸς ὡς ἐπὶ τῷ κεῖσθαι πεσών. εἰ δὲ τὸ μὴ μετανοεῖν ἐφ᾽ ἁμαρτήμασι χαλεπὸν, τὸ καὶ πεφυσῆσθαι ἐπὶ τοῖς ἁμαρτήμασι ποίας κολάσεώς ἐστιν ἄξιον; εἰ γὰρ ὁ ἐπὶ τοῖς κατορθώμασιν ἐπαιρόμενος ἀκάθαρτός ἐστιν, ὁ ἐπὶ ἁμαρτήμασι τοῦτο πάσχων ποίας τεύξεται συγγνώμης;

10 Ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς.

Ἡσυχίου. Μακάριον ἐνώπιον Θεοῦ ταπεινοῦσθαι· φησὶ γὰρ Ἰάκωβος· "ταπεινώθητε ἐνώπιον Κυρίου, καὶ ὑψώσει ὑμᾶς." ὅταν τοίνυν οὕτω ταπεινωθῶμεν· κἂν ὑπὸ δαιμόνων ἐπιβουλευθῶμεν, κἂν ὑπὸ ἀνθρώπων μισούντων τὰς ἀρετὰς πολεμηθῶμεν, ἔχομεν τὸν Θεὸν ἐξαιρούμενον· μόνον ἵνα τοῦ νόμου αὐτοῦ μὴ ἐπιλαθώμεθα, μηδὲ ἀποκάκωμεν ἐν ταῖς θλίψεσι· φησὶ γὰρ ὁ Δαβὶδ, "ἴδε "τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ "ἐπελαθόμην."

11 Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί· ὁ καταλαλῶν
ἀδελφοῦ, καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ
νόμου, καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ
12 ποιητὴς τοῦ νόμου, ἀλλὰ κριτής· εἷς ἐστιν ὁ νομοθέτης
καὶ κριτὴς, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ
τίς εἶ, ὃς κρίνεις τὸν ἕτερον;

Κυρίλλου. Πᾶν χαλεπὸν ἀποκείρει πάθος τῶν ἡμετέρων διανοιῶν, ὑπεροψίας ἀρχὴν καὶ γέννησιν. καίτοι γὰρ δέον τινὰς ἑαυτοὺς κατασκέπτεσθαι, καὶ κατὰ Θεὸν πολιτεύεσθαι, τοῦτο μὲν οὐ δρῶσι, πολυπραγμονοῦσι δὲ τὰ ἑτέρων· κἂν ἀσθενοῦντας ἴδωσι τινας, ὥσπερ εἰς λήθην ἐρχόμενοι τῶν ἰδίων ἀρρωστημάτων, φιλοψοφίας ὑπόθεσιν ποιοῦνται τὸ χρῆμα καὶ καταλαλιᾶς ὑπόθεσιν· καταψηφίζονται γὰρ αὐτῶν· οὐκ εἰδότες, ὅτι τὰ ἴσα νοσοῦντες τοῖς παρ᾽ αὐτῶν διαβεβλημένοις, ἑαυτῶν κατακρίνουσιν. οὕτω που καὶ ὁ σοφώτατος γράφει Παῦλος "ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, "σεαυτὸν κατακρίνεις. τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων."

ΚΕΦ. Η.

Ὅτι οὐκ ἐν ἀνθρώπῳ ἀλλ' ἐν[q] Θεῷ τὰ διαβήματα ἀνδρὸς κατευθύνεται.

13 Ἄγε νῦν οἱ λέγοντες, Σήμερον καὶ αὔριον πορευσώ-
μεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν,
καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν.

Περὶ φρονήματος μετεώρου τὸ λεγόμενον, οὗ τὸ τέλος ἀφανισμός.

Κυρίλλου. Οἱ μὲν γὰρ πρὸς ἐμπορίας καὶ τὰς ἐντεῦθεν φιλοκερδείας ἀκορέστως κεχηνότες ὁδοιποριῶν ἀνέχονται μακρῶν, ναυτιλίας καὶ τῶν ἐν αὐτῇ κυμάτων· οἱ δὲ τὴν πεπορισμένην αὐτοῖς δυναστείαν ὅπλον ποιοῦνται τῆς καθ' ἑτέρων πλεονεξίας· ἕτεροι δὲ αὐτὰ ἐκ μοχθηρῶν εὑρημάτων παχύνουσι βαλάντια, καὶ τόκοις ἐπὶ τόκους ἀνοσίως συλλέγοντες, πῦρ καὶ κόλασιν ταῖς ἑαυτῶν καταχέουσι κεφαλαῖς.

14 Οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ
ζωὴ ὑμῶν; ἀτμὶς γὰρ ἔσται ἡ πρὸς ὀλίγον φαινομένη.
15 ἀντὶ τοῦ λέγειν ὑμᾶς, Ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσωμεν,
16 καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο· νῦν δὲ καυχᾶσθε ἐν ταῖς
ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν.
17 εἰδότι οὖν καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ
ἐστιν.

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ Λουκᾶν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος. Οὐ τὴν ἐξουσίαν ἀναιρεῖ, ἀλλὰ δείκνυσιν, ὅτι οὐ τὸ πᾶν αὐτοῦ ἐστὶν, ἀλλὰ δεῖται τῆς ἄνωθεν χάριτος· δεῖ μὲν καὶ θέλειν καὶ τρέχειν, θαρρεῖν δὲ μὴ τοῖς οἰκείοις πόνοις, ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ· φησὶ γὰρ ἐν ταῖς Παροιμίαις· "μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ γινώσκεις τί τέξεται ἡ ἐπιοῦσα·" οὐ γὰρ ἐφ' ἡμῖν ἐστι τὸ ἐλθεῖν εἰς τὴν αὐρίον, καθάπερ οὐδὲ τῷ μισθωτῷ[r] πρὸς ἡμέραν μισθωθέντι μίαν, ἐξουσία τίς ἐστι ἀφ' ἑαυτοῦ καὶ τῇ ἑξῆς ἐργάσασθαι, πλὴν εἰ μὴ ὁ μισθωσάμενος ἐπιτρέψειεν.

[q] τῷ Θεῷ Cod. Barocc.

[r] μισθίῳ τῷ Cod.

* Περὶ πλεονεξίας πλουσίων καὶ τῆς ἐν κόσμῳ τρυφῆς αὐτῶν, καὶ περὶ δικαιοκρισίας τοῦ Θεοῦ[8].

1 Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς
2 ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος ὑμῶν
3 σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν· ὁ
χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται.

Τοῦ Χρυσοστόμου. Ἀψώμεθα τῆς ὁδοῦ τῆς στενῆς· μέχρι πότε τρυφή; μέχρι πότε ἄνεσις; οὐκ ἐνεπλήσθημεν ῥαθυμοῦντες; γελῶντες; ἀναβαλλόμενοι; οὐ τὰ αὐτὰ πάλιν ἔσται τράπεζα καὶ κόρος καὶ πολυτέλεια καὶ χρήματα καὶ κτῆσις καὶ οἰκοδομαί; καὶ τί τὸ κέρδος; θάνατος· καὶ τί τὸ τέλος; τέφρα καὶ κόνις σοροὶ καὶ σκώληκες.

Ἡσυχίου. Προλέγει τὴν τιμωρίαν, διὰ φιλανθρωπίαν· ἵνα μετανοήσαντες ἔξω γένοιντο τῶν ἀπειλουμένων.

Κυρίλλου. Τουτέστιν ἡ ὀργὴ μονονουχὶ κατασφάξασα, καὶ οἷόν τινας κριοὺς καὶ ταύρους ἁδρούς τε καὶ πίονας καταστρώσασα· οἷς ἂν εἰκότως λέγοιτο πρὸς ἡμῶν· "ἄγε νῦν οἱ πλούσιοι κλαύ-" σατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχο-" μέναις·" προσεποίσομεν δὲ τούτοις τὸ "ἐτρυφήσατε, ἐσπατα-" λήσατε ἐπὶ τῆς γῆς, ἐθρέψατε τὰς καρδίας ὑμῶν, ὡς ἐν ἡμέρᾳ" σφαγῆς·" τοιοῦτοι γὰρ γεγόνασιν οἱ τῶν Ἰουδαίων καθηγηταί, καταβοσκόμενοι μὲν τρόπον τινὰ τόπον πίονα καὶ εὐρύχωρον, τὰς ἐκ τῶν λαῶν δωροφορίας· καταπιανθέντες δὲ ὥσπερ ταῖς παρὰ πάντων τιμαῖς· ὡς κριοὶ καὶ ταῦροι πεπτώκασι τῇ τοῦ Κυρίου μαχαίρᾳ περιπεσόντες οἱ δείλαιοι.

Καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται, καὶ
φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ· ἐθησαυρίσατε ἐν
4 ἐσχάταις ἡμέραις. ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμη-
σάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν,
κράζει· καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου
Σαβαὼθ εἰσεληλύθασιν.

Ἀντὶ τοῦ καταμαρτυρήσει ὑμῶν, διὰ τοῦ ἰοῦ ἐλέγχων τὸ ἀμετάδοτον, ὁμοίως δὲ καὶ τὰ ἱμάτια διὰ τῆς σήψεως.

[8] τ. Θεοῦ αὐτῶν Cod. N.C. τοῦ om. Bar.

5 Ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε· ἐθρέ-
6 ψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς. κατεδι-
κάσατε, ἐφονεύσατε τὸν δίκαιον· καὶ οὐκ ἀντιτάσσεται
ὑμῖν.

Τοῦ Χρυσοστόμου. Τί οὖν; κεκώλυται ἡ τρυφή; καὶ σφόδρα· διατί οὖν εἰς μετάληψιν ἔκτισται; ὅτι καὶ ἄρτον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία· ὅτι καὶ οἶνον ἔκτισε, καὶ κεκώλυται ἡ ἀμετρία· οὐχ ὡς ἀκάθαρτον τοίνυν τὴν τροφὴν παραιτεῖσθαι κελεύει, ἀλλ᾽ ὡς ἐκλύουσαν διὰ τῆς ἀμετρίας τὴν ψυχήν· πᾶν γὰρ κτίσμα Θεοῦ καλόν φησι, καὶ οὐδὲν ἀποβλητὸν μετὰ εὐχαριστίας λαμβανόμενον.

ΚΕΦ. Θ.

Περὶ μακροθυμίας καὶ ὑπομονῆς παθημάτων, καὶ περὶ ἀληθείας.

7 Μακροθυμήσατε οὖν ἀδελφοὶ, ἕως τῆς παρουσίας
τοῦ Κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρ-
πὸν τῆς γῆς, μακροθυμῶν ἐπ᾽ αὐτῷ, ἕως λάβῃ ὑετὸν
πρώϊμον καὶ ὄψιμον.

Κυρίλλου. Εἰ γὰρ καὶ ὑπερτίθεταί, φησιν, ὁ Θεὸς τῶν ἁμαρτανόντων τὴν τιμωρίαν, περιμένων αὐτῶν τὴν μετάνοιαν, οὐχ ὡς μεταβεβλημένος ταῦτα ποιεῖ, ἢ καὶ φιλῶν τοὺς ἁμαρτάνοντας· ἀλλὰ καιρὸν αὐτοῖς ἐπιστροφῆς παρέχων.

Εἰπὼν τῶν ἀδίκων τὴν τιμωρίαν, τοῖς ἀδικηθεῖσιν εἰκότως μακροθυμεῖν παραινεῖ τὴν παρουσίαν ἐκδεχομένοις τοῦ Κυρίου· ἅμα δὲ καὶ ὅρκων ἀπαγορεύει ἅπτεσθαι, καὶ προσευχῇ καὶ ψαλμῳδίᾳ σχολάζειν, καὶ πίστιν ἔχειν περὶ τοὺς ἱερεῖς τοῦ Θεοῦ καὶ πρὸς ἀλλήλους ἀγαπὴν, ὡς καὶ δέεσθαι ὑπὲρ ἀλλήλων· καὶ ἡ ἀπόδειξις τῆς ἰσχύος τῆς προσευχῆς ὁ Ἠλίας εἰς μέσον φέρεται· καὶ τελευταῖον, ὅσος ὁ τῶν ἁμαρτωλοὺς ἐπιστρεφόντων ὁ μισθός.

8 Μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας
ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικε.

Τοῦ Χρυσοστόμου. Μακροθυμίαν πρὸς ἀλλήλους, ὑπομονὴν

πρὸς τοὺς ἔξω· μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν καὶ ἀμύνασθαι· ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι· διὰ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε ὑπομονὴ λέγεται, μακροθυμία δὲ πολλαχοῦ.

Τοῦ αὐτοῦ. Εἰ οὖν καὶ ἐνταῦθα δοκοῦσιν ἐγκαταλελεῖφθαι, ἀλλ᾽ ὅμως ἐκεῖ πολλῆς ἀπολαύσουσι τῆς δόξης· ὅταν δὲ ἴδωσιν οἱ μεγάλα φυσῶντες τοὺς μαστιζομένους ὑπ᾽ αὐτῶν, τοὺς καταφρονουμένους, τοὺς καταγελωμένους τούτους ἐγγὺς ὄντας Θεοῦ, τότε θρηνήσουσι καὶ ὀλολύξουσιν, ὅταν τοὺς οἰκτροὺς καὶ ταλαιπώρους καὶ μυρία παθόντας δεινὰ καὶ πιστεύσαντας, εἰς τοσαύτην ἄγῃ λαμπρότητα.

9 Μὴ στενάζετε κατ᾽ ἀλλήλων, ἵνα μὴ κριθῆτε· ἰδοὺ
10 ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. ὑπόδειγμα λάβετε,
ἀδελφοί μου, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς
11 προφήτας, οἳ ἐλάλησαν ἐν τῷ ὀνόματι Κυρίου. ἰδοὺ
μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ
ἠκούσατε.

Τοῦ Χρυσοστόμου Ῥητὰ Προκείμενα "εὐχαριστοῦντες "ἐν τῶι Θεῶι." Εἰ γὰρ εὐχαριστοῦμεν μετὰ χαρᾶς πολλῆς, μεγάλα τὰ γινόμενα. ἔστι γὰρ εὐχαριστεῖν διὰ φόβον μόνον· ἔστιν εὐχαριστεῖν καὶ ἐν λύπῃ ὄντα· οἷον ὁ Ἰὼβ ηὐχαρίστησεν ὀδυνώμενος, καὶ ἔλεγεν "ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο." μὴ γάρ τις λεγέτω, ὅτι οὐκ ἐλύπει αὐτὸν τὰ γινόμενα, οὐδὲ ἀθυμία περιέβαλε. μὴ δὲ τὸ μέγα ἐγκώμιον ἀφαιρείσθω τοῦ δικαίου· ὅταν δὲ τοιαῦτα ᾖ, οὐ διὰ τὸν φόβον οὐδὲ διὰ δεσποτείαν μόνον, ἀλλὰ δι᾽ αὐτὴν τῶν πραγμάτων τὴν φύσιν· πόσος ὁ ἔπαινος; εἰπέ μοι γὰρ, πότε μακαρίζεις τὸν Ἰώβ; ὅτε εἶχε τὰς τοσαύτας καμήλους, καὶ τὰ ποίμνια, καὶ τὰ βουκόλια; ἢ ὅτε ἐκείνην τὴν φωνὴν ἀφῆκεν, "ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο;" καὶ γὰρ καὶ ὁ διάβολος διὰ τοῦτο ἡμᾶς ζημιοῖ· οὐχ ἵνα τὰ χρήματα ἡμῶν ἀφέληται, οἶδε γὰρ ὅτι οὐδέν ἐστιν, ἀλλ᾽ ἵνα διὰ τούτων ἀναγκάσῃ εἰπεῖν τι βλάσφημον.

Καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστι καὶ οἰκτίρμων.

Ἐκ γὰρ τῆς ἐκβάσεως τῶν πραγμάτων ἐδείχθη καὶ ἡ τοῦ διαβόλου συκοφαντία καὶ ἡ τοῦ Θεοῦ ἀψευδὴς μαρτυρία.

12 Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε, μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε.

Τοῦ Χρυσοστόμου. *Τί οὖν ἐὰν ἀπαιτῇ τις ὅρκον, καὶ ἀνάγκην ἐπάγῃ· ὁ τοῦ Θεοῦ φόβος τῆς ἀνάγκης ἔστω δυνατώτερος· ἐπεὶ εἰ μέλλει τὰς τοιαύτας προβάλλεσθαι προφάσεις, οὐδὲν φυλάξεις τῶν ἐπιταχθέντων· καίτοιγε ἐπὶ τῶν νόμων τῶν ἀνθρωπίνων οὐδαμοῦ τοῦτο τολμᾷς προβαλέσθαι, οὐδὲ εἰπεῖν, ἀλλ' ἑκὼν καὶ ἄκων καταδέχῃ τὰ γεγραμμένα· ἄλλως δὲ οὐδὲ ἀνάγκην ὑποστήσῃ ποτέ· ὁ γὰρ τῶν ἔμπροσθεν μακαρισμῶν ἀκούσας, καὶ τοιοῦτον ἑαυτὸν παρασκευάσας, οἷον ἐπέταξεν ὁ Χριστὸς, οὐδεμίαν παρ' οὐδενὸς ὑποστήσεται τοιαύτην ἀνάγκην· αἰδέσιμος ὢν παρὰ πᾶσι καὶ σεμνός. τί ἐστι τὸ περιττὸν τοῦ ναὶ, καὶ τοῦ οὔ; ὁ ὅρκος οὐκ ἐπὶ τὸ ἐπιορκεῖν· ἐκεῖνο γὰρ οὐδεὶς δεῖται μαθεῖν, ὅτι ἐκ τοῦ πονηροῦ ἐστι καὶ περιττὸν, ἀλλ' ἐναντίον· τὸ δὲ περιττὸν καὶ τὸ πλέον ὁ ὅρκος ἐστίν.*

Διὰ τοῦτο δὲ τὸ παλαιὸν ὁ ὅρκος νενομοθέτηται, ἵνα μὴ κατ' εἰδώλων ὀμνύωσιν· ὀμεῖσθε γάρ, φησι, τὸν Θεὸν τὸν ἀληθινόν.

Κυρίλλου. *Ἔστω ἡ τοῦ βίου ἡμῶν μαρτυρία βεβαιοτέρα ὅρκου· εἰ δέ τις ἀναιδὴς μὴ δυσωπούμενος ὑμῶν τῷ βίῳ τολμᾷ ὑμῖν ἐπαγαγεῖν ὅρκον· ἔστω ὑμῖν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὒ, ἀντὶ τοῦ ὅρκου.*

Διὰ τοῦτο κωλύει ἡμᾶς ὀμνύναι κατὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἵνα μὴ δῶμεν τῇ κτίσει τὸ ὑπὲρ κτίσιν ἀξίωμα, θεοποιοῦντες αὐτά. οἱ γὰρ ὀμνύντες, φησὶ, κατὰ τοῦ μείζονος ὀμνύουσιν, ὡς ὁ Ἀπόστολος φησί.

ΚΕΦ. Ι.

Παραινέσεις ἰδικαὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως.

13 Κακοπαθεῖ τὶς ἐν ὑμῖν; προσευχέσθω.

Ἐν θλίψει τὶς διάγει; παρακαλεῖτο τὸν Θεόν.

Εὐθυμεῖ τίς; ψαλλέτω.

Ἐν χαρᾷ διάγει τίς; ἀνυμνείτω αὐτόν.

14 Ἀσθενεῖ τὶς ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυ-
τέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν,
ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου·
15 καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ
αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται
16 αὐτῷ. ἐξομολογεῖσθε οὖν ἀλλήλοις τὰ παραπτώματα,
καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει
δέησις δικαίου ἐνεργουμένη.

Ἐρώτησις Μαξίμου. Πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Τί ἐστιν ἐνεργουμένη; Κατὰ δύο τρόπους ἐνεργουμένην οἶδα τοῦ δικαίου τὴν δέησιν· καθ' ἕνα μὲν, ὁπόταν μετὰ τῶν καθ' ἐντολὴν ἔργων τῷ Θεῷ τὴν ταύτης ποιῆσαι προσαγωγὴν τῆς δεήσεως ὁ εὐχόμενος· καὶ μὴ μόνον ἐν ψιλῷ λόγῳ, διακένῳ φωνῆς ἤχῳ τῆς γλώττης ἐκπίπτουσαν, ἀργὴν κεῖσθαι τὴν δέησιν καὶ ἀνυπόστατον, ἀλλ' ἔνεργον καὶ ζῶσαν τοῖς τρόποις τῶν ἐντολῶν ψυχουμένην· εὐχῆς γὰρ καὶ δεήσεως ὑπόστασις ἡ διὰ τῶν ἀρετῶν ὑπάρχει προδήλως ἐκπλήρωσις, καθ' ἣν ἰσχυρὰν καὶ πάντα δυναμένην ὁ δίκαιος ἔχει τὴν δέησιν ἐνεργουμένην ταῖς ἐντολαῖς· καθ' ἕτερον δὲ τρόπον, ὁπόταν ὁ τῆς εὐχῆς τοῦ δικαίου δεόμενος, τὰ ἔργα τῆς εὐχῆς διαπράττηται, τόν τε πρότερον διορθούμενος βίον, καὶ τὴν δέησιν ἰσχυρὰν ποιούμενος τοῦ δικαίου διὰ τῆς οἰκείας καλῆς ἀναστροφῆς δυναμουμένην· οὐ γὰρ ὄφελος τῆς τοῦ δικαίου δεήσεως τοῦ ταύτης χρήζοντος πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν· ἐπεὶ καὶ ὁ μέγας ποτὲ Σαμουὴλ ἐπένθει πλημμελοῦντα τὸν Σαούλ· ἀλλ' οὐκ ἴσχυσε τὸν Θεὸν ἱλεώσασθαι μὴ λαβὼν συλλήπτορα τοῦ πένθους τὴν καθήκουσαν τοῦ πλημμελήματος διόρθωσιν· διὸ τοῦ ἀνονήτου πένθους ὁ Θεὸς καταπαύων τὸν ἑαυτοῦ θεράποντα, φησὶ πρὸς αὐτόν· "ἕως πότε σὺ πενθεῖς ἐπὶ "Σαοὺλ, καὶ ἐγὼ ἐξουδένωκα αὐτὸν τοῦ μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ;" Καὶ πάλιν Ἱερεμίας ὁ συμπαθέστατος, ὑπὲρ τοῦ λαοῦ τῶν Ἰουδαίων περὶ τὴν πλάνην μανέντος τῶν δαιμονίων, οὐκ εἰσακούεται προσευχόμενος· οὐκ ἔχων εἰς προσευχῆς δύναμιν τὴν ἀπὸ τῆς

πλάνης τῶν ἀθέων Ἰουδαίων ἐπιστροφήν· ὅθεν τοῦ διακενῆς προσεύχεσθαι καὶ τοῦτον ἀπάγων ὁ Θεὸς φησὶ, "καὶ σὺ μὴ προσεύχου "περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου ἐλεηθῆναι αὐτούς· καὶ μὴ "εὔχου, καὶ μὴ προσέλθῃς περὶ αὐτῶν· ὅτι οὐκ εἰσακούσομαί "σου." πολλῆς γὰρ ὄντως ἐστὶν ἀβελτερίας[t], ἵνα μὴ λέγω παραφροσύνης, δι' εὐχῆς δικαίων ἐπιζητεῖν σωτηρίαν τὸν κατὰ διάθεσιν τοῖς ὀλεθρίοις ἡδυνόμενον, κἀκείνων αἰτεῖσθαι συγχώρησιν, οἷς ἐγκαυχᾶται κατ' ἐνεργείαν προθέσει σπιλούμενος· δέον μὴ ἀργὴν ἐᾶν γινέσθαι καὶ ἀκίνητον τοῦ δικαίου τὴν δέησιν τὸν ταύτης δεόμενον, εἴπερ ἀληθῶς τοῖς πονηροῖς ἀπεχθάνεται· ἀλλ' ἐνεργὸν ποιεῖν καὶ ἰσχυρὰν, ταῖς οἰκειαῖς ἀρεταῖς πτερουμένην, καὶ φθάνουσαν τὸν συγχώρησιν διδόναι τῶν πλημμεληθέντων δυνάμενον. εἴτε οὖν ἐκ τοῦ ποιουμένου τὴν δέησιν δικαίου· εἴτε ἐκ τοῦ γίνεσθαι ταύτην αἰτουμένου τὸν δίκαιον ἐνεργουμένη, πολὺ ἰσχύει τοῦ δικαίου ἡ δέησις. ὑπὸ μὲν γὰρ τοῦ δικαίου ἐνεργουμένη, δίδωσιν αὐτῷ παρρησίαν πρὸς τὸν δοῦναι δυνάμενον τὰ τῶν δικαίων αἰτήματα· ὑπὸ δὲ τοῦ ταύτης αἰτουμένου τὸν δίκαιον, τῆς προτέρας αὐτὸν μοχθηρίας ἀφίστησι, μεταβάλλουσα πρὸς ἀρετὴν αὐτῷ τὴν διάθεσιν.

17 Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ
προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς
18 ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύξατο,
καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν
καρπὸν αὐτῆς.

Τοῦ Χρυσοστόμου. Ἵνα κἂν οὕτω τῷ λιμῷ τηκόμενοι[u] ἐπὶ τὸν δημιουργὸν φθάσωσιν· ἵνα ὁ λιμὸς ὑπόθεσις αὐτοῖς σωτηρίας γένηται. οὐδὲν γάρ, φησι, δύναται παιδεῦσαι, εἰ μὴ λιμὸς, ἵνα κἂν οὕτω παιδευόμενοι, ἐπὶ τὸν πάντων κτίστην χωρήσωσι. Καὶ μετ' ὀλίγα—Ἐξῆλθεν ὁ λόγος τοῦ προφήτου, καὶ εὐθὺς ὁ ἀὴρ μετεβλήθη, ὁ οὐρανὸς χαλκοῦς ἐγένετο, οὐ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὴν ἐνέργειαν χαλινώσας· εὐθὺς τὰ στοιχεῖα μετεσχηματίζετο· ἐνέπεσεν ὁ λόγος τοῦ προφήτου καθάπερ πυρετὸς λάβρος εἰς τὰς

[t] ἀβελτηρίας Cod.   [u] τικόμενοι Cod.

λαγόνας τῆς γῆς, καὶ πάντα εὐθὺς ἐξηραίνετο, καὶ πάντα ἠρημοῦτο, καὶ ἠφανίζετο.

ΘΕΟΔΩΡΗΤΟΥ. Τολμηρόν ἐστι τὸ κατὰ τῶν πνευματικῶν ἀνδρῶν λογίζεσθαί τι τὸ παράπαν μὴ καλῶς εἰρημένον· οὐκ ἀπονοίας τοίνυν οὐδὲ ἐπιδείξεως τὸ εἰρημένον· προφήτης γὰρ ἦν, καὶ προφητῶν ὁ κορυφαῖος, καὶ τῷ θείῳ πυρπολούμενος ζήλῳ· ταῦτα τοῦ θείου πνεύματος ἐνεργοῦντος εἴρηκεν ὁ προφήτης· ὅθεν καὶ τὸ πέρας εἴληφεν.

ΚΕΦ. ΙΑ.

Ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ.

19 Ἀδελφοί μου, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ὁδοῦ
20 τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, γινωσκέτω ὅτι
ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει
ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ πῶς χρὴ ἐπιστρέφειν; καθάπερ ἐπὶ τῶν γεωργῶν τὰ σπέρματα, καταβάλλεται μὲν ἅπαξ, οὐ μένει δὲ διαπαντὸς, ἀλλὰ πολλῆς δεῖται τῆς κατασκευῆς· κἂν μὴ τὴν γῆν ἀναμοχλεύσαντες περιστείλωσι τὰ καταβαλλόμενα, τοῖς ὄρνισιν ἔσπειραν καὶ τοῖς σπερμολόγοις ὀρνέοις πᾶσιν· οὕτω καὶ ἡμεῖς, ἂν μὴ τῇ συνεχεῖ μνήμῃ τὰ καταβληθέντα περιστείλωμεν· καὶ γὰρ ὁ διάβολος ἐξαρπάζει, καὶ ἡ ἡμετέρα ῥαθυμία ἀπόλλυσι· καὶ ὁ ἥλιος ξηραίνει, καὶ ὑετὸς ἐπικλύζει, καὶ ἄκανθαι πνίγουσι. ὥστε οὐκ ἀρκεῖ μόνον ἅπαξ καταβάλλοντα ἀπηλλάχθαι, ἀλλὰ πολλῆς δεῖται προσεδρείας, ἀποσοβοῦν τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰς ἀκάνθας ἐκκόπτοντα, τὰ πετρώδη γῆς πληροῦντα πολλῆς. πᾶσαν λύμην κωλύοντα καὶ ἀποτειχίζοντα καὶ ἀναιροῦντα· ἀλλ' ἐπὶ μὲν τῆς γῆς τὸ πᾶν τοῦ γεωργοῦ γίνεται· ἄψυχος γὰρ ἐκείνη ὑπόκειται, πρὸς τὸ παθεῖν ἕτοιμος οὖσα μόνον· ἐπὶ δὲ ταύτης τῆς γῆς τῆς πνευματικῆς οὐδαμῶς· οὐ τῶν διδασκάλων ἐστὶ τὸ πᾶν, ἀλλ' εἰ μὴ τὸ πλέον, τὸ γοῦν ἥμισυ τῶν μαθητῶν. ἡμῶν μὲν οὖν ἐστὶ καταβάλλειν τὸν σπόρον, ὑμῶν δὲ ποιεῖν τὰ λεγόμενα.

Τοιοῦτον τὸ ἐν τῷ Ἱερεμίᾳ εἰρημένον, φησι, "καὶ ἐὰν ἐξαγάγῃς "τίμιον ἀπὸ ἀναξίου, ὡς στόμα μου ἔσται·" ἐάν, φησι, εἷς τῶν ἀπολλυμένων διὰ τὴν κακίαν εὐτελῶν σωθῇ διὰ τῶν σῶν λόγων· ἔντιμος ἔσῃ διὰ τοῦτο παρ' ἐμοί· στόμα γίνεται Θεοῦ πᾶς ὁ τοὺς αὐτοῦ λόγους ἀπαγγέλλων· "οὐ γὰρ ὑμεῖς ἐστέ," φησι, "οἱ "λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ λαλοῦν ἐν ὑμῖν."

Ὅτι διακονητέον τῇ τοῦ πλησίον σωτηρίᾳ.

ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ Α.

ΥΠΟΘΕΣΙΣ.

ΤΑΥΤΗΝ[a] ὁ Πέτρος αὐτὸς τοῖς ἐν τῇ διασπορᾷ οὖσιν Ἰουδαίοις καὶ γενομένοις Χριστιανοῖς γράφει τὴν Ἐπιστολὴν διδασκαλικήν. ἐπειδὴ γὰρ ἀπὸ Ἰουδαίων ἐπίστευσαν ἐπιστηρίζει αὐτούς· καὶ πρῶτον μὲν ἐξηγεῖται καὶ ἀποδείκνυσιν ὅτι ἡ εἰς τὸν Χριστὸν πίστις ὑπὸ τῶν προφητῶν κατηγγέλη, καὶ δι' αὐτῶν ἐμηνύθη ἡ διὰ τοῦ αἵματος αὐτοῦ λύτρωσις· καὶ ὅτι αὐτοῖς καὶ τοῖς ἔθνεσιν εὐηγγελίσθη τὰ πάντα, "εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι." εἶτα συμβουλεύσας ἀξίως τοῦ καλέσαντος ἀναστρέφεσθαι, προτρέπει καὶ βασιλέας τιμᾶν, γυναιξί τε καὶ ἀνδράσιν ὁμοφροσύνην παραγγέλλει· καὶ εἰς τὰ ἤθη παραινέσας ὀλίγα, σημαίνει ὅτι καὶ εἰς ᾅδην γέγονε παρὰ τοῦ Κυρίου τὸ κήρυγμα τῆς σωτηρίας καὶ ἀναστάσεως· ἵνα καὶ οἱ προαποθανόντες ἀναστῶσι, καὶ κριθῶσι μὲν ἐν τῷ σώματι, τῇ δὲ χάριτι τῆς ἀναστάσεως διαμένωσι· καὶ ὅτι τὸ τέλος πάντων λοιπὸν ἤγγισε, καὶ ὀφείλουσιν ἅπαντες ἕτοιμοι γίνεσθαι, ὡς λόγον ἀποδιδόντες τῷ κριτῇ. καὶ οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦ. Α.

Περὶ τῆς ἐν Χριστῷ ἀναγεννήσεως, καὶ περὶ ὑπομονῆς πειρασμῶν, καὶ περὶ σωτηριώδους πίστεως προκατηγγελμένης ὑπὸ τῶν προφητῶν.

1 Πέτρος ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας.

Καὶ οὗτος ὁ Ἀπόστολος τοῖς ἐκ περιτομῆς κηρύττειν προσταχθεὶς, εἰκότως οὐ τοὺς οἰκοῦντας τὴν Ἰουδαίαν μόνους πρὸς τὸ Εὐαγγέλιον καλεῖ, ἀλλὰ καὶ δι' ἐγκυκλίου Ἐπιστολῆς τοῖς

[a] Ἐπειδὴ Cod. N. C. sed ταύτην Barocc. et Œcum.

ἁπανταχοῦ διασπαρεῖσιν Ἰουδαίους κηρύττειν σπουδάζει, ὡς δέον ὑπὲρ ἧς ἐδέξαντο πίστεως ἀθλεῖν, ὅτι δεῖ[a] *καὶ μεγάλα τοὺς ταύτην φυλάξαντας διαδέξεται ἀγαθὰ καὶ ἄφθαρτα καὶ οὐράνια.*

2 *Κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.*

Ἰδοὺ κατὰ πρόγνωσιν Θεοῦ Πατρὸς ἑαυτὸν Ἀπόστολον ὠνόμασε τοῦ Χριστοῦ. καὶ τῆς ἀποστολῆς τὸν τρόπον ἡμῖν ἐξηγούμενος "ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος "Ἰηροῦ Χριστοῦ" πεπράχθαι φησιν αὐτήν. ὅτε τοίνυν οἱ πιστεύσαντες εἰς αὐτὸν ἁγιαζόμεθα διὰ τοῦ Πνεύματος, ῥαντίζει δὲ ἡμᾶς καὶ τῷ αἵματι αὐτοῦ πρὸς ἀποκάθαρσιν, πῶς οὐκ ἂν νοοῖτο Θεὸς ἁγιάζων μὲν ἰδίῳ Πνεύματι, καθαρίζων δὲ καὶ τῷ ἰδίῳ αἵματι τοὺς πιστεύοντας; "Θεὸς γὰρ[b] *ἦν ἐν σαρκί."*

3 *Εὐλόγητος ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,*

Ἐπειδὴ ἀφθαρσίαν αὐτοὺς ἐσχηκέναι λέγει, καὶ ζωῆς ἐλπίδα, καὶ ἐν οὐρανοῖς ἀγαθὰ ταῦτα δὲ μείζονα ἢ κατὰ τὴν ἀνθρωπίνην ἀξίαν εἰσί· τούτου χάριν εὐλογεῖ τὸν Θεὸν καὶ Πατέρα, καὶ τὸν πολὺν αὐτοῦ ἐλέον ἄγει, ἵνα τὸ πρᾶγμα πιστὸν ποιήσῃ· ὅταν γὰρ ὁ Θεὸς ὁ διδοὺς ἦν καὶ τὰ μείζονα καὶ πιστά. ἔχει δὲ καὶ πρὸς τὴν πρώτην διαθήκην ὁ λόγος ἀπότασιν, ὅτι ἐλπίδας ἐκείνη τοῖς πιστεύουσι γῆν τῶν Χαναναίων ἐδίδου.

4 *Εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον,*

ὨΡΙΓΈΝΟΥΣ ἘΚ ΤΗ͂Σ ἙΡΜΗΝΕΊΑΣ ΕἸΣ ΤῸ ΚΑΤᾺ ΠΡΌΓΝΩΣΙΝ ΘΕΟΥ͂. *Προεωρακὼς γὰρ ὁ Θεὸς τὴν πίστιν καὶ πρᾶξιν τῶν ἀνθρώπων κατορθωθέντα αὐτοῖς ἐκ τῆς εὐαγγελικῆς διδασκαλίας, προγνωστικῶς καὶ ἐξελέξατο αὐτοὺς ἐν Χριστῷ πρὸ καταβολῆς*[c] *κόσμου· τότε προορίσας αὐτοὺς υἱοὺς εἶναι μετουσίᾳ τοῦ Πνεύματος τῆς*

[a] Aut leg. δὴ, aut mox διαδέξασθαι corr. [b] θεὸς add. rec. m. superscr. [c] Cod. προκαταβολῆς.

υἱοθεσίας. πρόγνωσιν γὰρ οὐκ ἄλλό τι ἡγητέον ἢ ἐσομένων θεωρίαν· ἥτις οὐκέτι πρόγνωσις ἀλλὰ γνῶσις ἐστὶν εἰς ὕπαρ ἡκόντων τῶν προεωραμένων. κἂν τοίνυν κατὰ πρόγνωσιν ἐκλεκτοὶ ἦσαν οἷς Πέτρος γράφει, ἀλλ᾽ οὐ νῦν ὑφεστηκόσιν αὐτοῖς ἡ προσφώνησις γίνεται· ἐκβάλλει οὖν τὸν μῦθον τὸν περὶ τῆς φύσεως καὶ ἡ ἐγκειμένη νόησις.

5 Τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς τοὺς ἐν δυνάμει
Θεοῦ φρουρουμένους διὰ πίστεως.

Εἰπὼν ὡς μεγάλα ὑμῖν ἐχαρίσατο ὁ Θεὸς, καὶ ἐχαρίσατο δι᾽ Υἱοῦ· καὶ τίνες οἱ λαβόντες ἐρεῖ· τίνες δὲ οἱ ἐν δυνάμει Θεοῦ φρουρούμενοι· οὕτως γὰρ καὶ αὐτὸς προσηύξατο, "Πατὲρ Ἅγιε, "τήρησον αὐτούς."

Εἰ ἐν οὐρανοῖς τετήρηται εἰς τοὺς πιστοὺς ἡ κληρονομία, ψυχρεύονταί τινες οἰόμενοι αὐτὴν ἀπολήψεσθαι ἐν τῇ κάτω Ἱερουσαλὴμ, ἐν ὅλοις χιλίοις ἔτεσιν οἰόμενοι τρυφὴν λήψεσθαι τὰ ἆθλα τῆς βασιλείας. οὓς καὶ ἐρωτητέον, ὅτι ἔχουσι περὶ σωματικῆς τρυφῆς εἰπεῖν ὡς ἀφθάρτου καὶ ἀμαράντου μάλιστα, ὅτι καὶ περιγράφουσιν αὐτὴν παυσαμένου τοῦ χιλιοστοῦ ἐνιαυτοῦ· πρὸς τούτοις συναπτέον τὰ ῥητὰ δηλοῦντα ἐν βασιλείᾳ οὐρανῶν εἶναι τὴν κληρονομίαν· καὶ ὡς οὐχ ὑποπίπτει διὰ τὸ νοητὴ εἶναι αἰσθήσει θνητῶν.

Εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχά-
6 τῳ, ἐν ᾧ ἀγαλλιᾶσθε.

Πιστωσάμενος πάντας ὅτι τὰ οὕτω μεγάλα ληψόμεθα διὰ τοῦ τὸν Πατέρα εἰπεῖν τὸν αὐτὸν διδόντα· πιστοῦται καὶ δι᾽ ἑτέρου τὸ διὰ τοῦ ἰδίου Υἱοῦ αὐτὰ ἡμῖν χαρίσασθαι· καὶ οὐχ ἁπλῶς τοῦ Υἱοῦ, ἀλλὰ διὰ τῆς ἀναστάσεως τοῦ Υἱοῦ. εἰ γὰρ αὐτῷ πάντα ἡμῖν χαρίσηται, τίνα τὰ διδόμενα λέγει; κληρονομία ἄφθαρτος καὶ ἀμίαντος· καὶ τὸ ἔτι μεῖζον, ὅτι οὐδὲ ἐν γῇ αὕτη ἡ κληρονομία, ἀλλ᾽ ἐν οὐρανοῖς.

Τοῦτό ἐστι δηλοῦντος, ὡς δεῖ ὑπομένειν τὸν πόνον τὸν ὑπὲρ τοῦ κηρύγματος· ὅπου γε ἐγγὺς τῶν ἱδρώτων ἡ ἀμοιβή.

Ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, λυπηθέντας ἐν ποικιλοις
7 πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ

τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ
δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον καὶ δόξαν, καὶ τιμὴν
8 ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες ἀγαπᾶτε.

Τοῦ Χρυσοστόμου. Οἱ δίκαιοι θλίβονται, ἵνα στεφανωθῶσιν· οἱ ἁμαρτωλοὶ, ἵνα τῶν ἁμαρτιῶν δίκην ἐκτίσωσιν· οὐ πάντες δὲ οἱ ἁμαρτωλοὶ δίκην ἐνταῦθα τιννύουσιν, ἵνα μὴ τῇ ἀναστάσει οἱ πολλοὶ ἀπιστήσωσιν· οὐ πάντες οἱ δίκαιοι θλίβονται, ἵνα μὴ τὴν κακίαν ἐπαινετὴν εἶναι νομίσῃς, καὶ μισήσῃς τὴν ἀρέτην.

Εἰς ὃν, ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε
9 χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος
τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

Κυρίλλου. Δεινὸν τοίνυν καὶ χαλεπὸν ἡ ἀπιστία, μέγιστον δὲ ἀγαθὸν ἡ πίστις· πρόξενος πάσης σωτηρίας καθεστῶσα.

10 Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προ-
11 φῆται, οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες,
ἐρευνῶντες, εἰς τίνα ἢ ποῖον καιρὸν δήλου τὸ ἐν αὐτοῖς
Πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν πα-
θήματα, καὶ τὰς μετὰ ταῦτα δόξας.

Παρατηρητέον ὡς τὸ λαλῆσαν ἐν προφήταις Ἅγιον Πνεῦμὰ Χρίστου λέγει ὁ Ἀπόστολος. οὐκ ἄρα κατὰ τοὺς αἱρετικοὺς ἄνθρωπος ψιλὸς ὁ Χριστὸς, ἀλλὰ καὶ σαρκωθεὶς Θεὸς ὁμοούσιος τῷ Πατρί. "Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία."

Διὰ μὲν Ἡσαΐου φησὶν, "ὡς πρόβατον ἤχθη." διὰ δὲ Ἰερεμίου. "δεῦτε ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ·" καὶ διὰ Μωΰσεως "ὄψεσθε ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν τὴν ζωὴν κρεμαμένην ἐπὶ ξύλου." Διὰ τοῦτο ἔλεγεν ὁ Σώτηρ, "πολλοὶ προ-"φῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον."

12 Οἷς ἀπεκαλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν
αὐτὰ, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων
ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ.

Τὰ θεῖα μυστήρια εἰς ἃ ὑμεῖς μυστικῶς ἐσθίετε.

ΘΕΟΔΩΡΗΤΟΥ ῬΗΤΑ ΠΡΟΚΕΙΜΕΝΑ "Ὁ ΟΥΡΑΝΟΣ ΤΟΥ ΟΥΡΑΝΟΥ "ΤΩΙ ΚΥΡΙΩΙ." Εἰς τοῦτον τὸν οὐρανὸν "οὐδεὶς ἀναβέβηκεν εἰ μὴ "ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς·" ἐπεὶ κἀκεῖθεν ἀποσταλεὶς ἐλήλυθε φάσκων. "καταβέβηκα ἐκ τοῦ οὐρανοῦ." ἢ ὁ Πέτρος φησὶν, "ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν Πνεύ-"ματι Ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ." ἔνθα γὰρ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα. ἀλλ' ἐπίστησον ἀκριβῶς· μὴ εἰς αἰσθητὰ κατενέγκῃς τὴν περὶ τούτων νόησιν· οὐρανὸν τοπικὸν καὶ μετάβασιν ἐκεῖθεν καὶ καταφορὰν γινομένην ὑπολαβών· Θεοῦ γὰρ προηγουμένην, ἵνα οὕτως εἴπω, ὑπεροχὴν καὶ κατάστασιν δηλοῖ ἡ τοῦ διηγηθέντος οὐρανοῦ προσηγορία.

Ὅτε ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν.

Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

Ὧν τὴν ἔκβασιν ἐπεθύμησαν ἄγγελοι ἰδεῖν.

Ἐπεὶ τινὲς ἐλάττονα τίθενται τὴν ἐπαγγελίαν καὶ σωτηρίαν τῶν πρὸ τῆς ἐπιδημίας τοῦ Σωτῆρος ἁγίων, οἰόμενοι πλεόν τι ἐσχηκέναι τοὺς μετὰ ταύτην τῷ ἑωρακέναι τὸν Κύριον αἰσθητῶς, καὶ τὰ ὑπ' αὐτοῦ πραχθέντα σημεῖα, δεικτεὸν ὡς ἐσφαλμένη ἐστιν ἡ ὑπόληψις αὐτῶν. πῶς γὰρ ἐλάττων τινὸς τῶν μετὰ τὴν ἐπιδημίαν ὁ Ἀβραὰμ τὴν ἡμέραν τοῦ Κυρίου ἑωρακὼς, πάντων τῶν τελειουμένων κατὰ Κύριον, εἰς τοὺς αὐτοῦ κόλπους ἀπερχομένων; πῶς δὲ ἐλάττων Μωϋσῆς καὶ Ἠλίας ἐν δόξῃ ἅμα τῷ Κυρίῳ μεταμορφωθέντι φανέντες, ἐπεὶ μὴ εἶδον αἰσθητῶς τὸν Κύριον; οὐ γὰρ προκριτέον ποιεῖ τῶν τὴν νοητὴν ἐπιδημίαν ἐσχηκότων τὸν ἑωρακότα τὴν κατὰ σάρκα. πολλοὶ γοῦν τῶν ἑτεροδόξων συμφέρονται τῇ ἐσφαλμένῃ ταύτῃ δόξῃ, πόθον ἔχοντες ἐκ παντὸς τρόπου διαβάλλειν τὴν παλαιὰν διαθήκην· καὶ τοῦτο δὲ λελέξεται, ὅτι εἰ καὶ μὴ εἶδον ἢ ἤκουσαν αἰσθητῶς ἃ ὁ Κύριος εἶπεν, ἀλλ' οὖν ἔρωτα αὐτῶν θεῖον εἶχον· "πολλοὶ γὰρ προφῆται καὶ "δίκαιοι ἐπεθύμησαν ἰδεῖν."

Εἴτις ἐκλάβοι τὴν ζητουμένην ὑπὸ τῶν προφητῶν σωτηρίαν κατὰ τὸ τέλος εἶναι ὃ ἐπὶ πᾶσιν ὀρεκτὸν τυγχάνει· αὐτοῦ μὲν γὰρ χάριν τὰ ἄλλα πάντα γίνεται, αὐτὸ δὲ οὐδενὸς ἕνεκα· οὐκ

ἀποφαίνει περὶ τῶν ἁγίων ἀγγέλων καὶ ἁπλῶς πάντων τῶν μακαρίων λογικῶν τὸ προκείμενον ἐκλαβεῖν· πάντων ὄρεξιν ἐχόντων παρακύψαι εἰς τὰ κατὰ τὸ τέλος πράγματα.

ΚΕΦ. Β.

Περὶ ἐλπίδος καὶ ἁγιασμοῦ, τῆς τε ὀφειλομένης ἐπὶ τῇ υἱοθεσίᾳ ἀσφαλοῦς ἀναστροφῆς.

13 Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ.

Εἰπὼν τὸ μέγεθος τῶν ἀγαθῶν τῆς δωρεᾶς τοῦ Πατρὸς τὰ παθήματα τοῦ Χριστοῦ, τὴν περὶ αὐτὸν τοῦ Ἁγίου Πνεύματος προμήνυσιν, τῶν προφητῶν τὸ κήρυγμα, τῶν ἀγγέλων τὸν πόθον, ταῦτα πάντα εἰπὼν, γενναίως ἀντέχεσθαι τῆς πίστεως παραινεῖ.

14 Ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις.

Τοῦτο φησὶ, ὡς αὐτοῦ τοῦ Κυρίου τοῖς πιστεύουσι εἰς αὐτὸν ἑαυτὸν ἀποκαλύπτοντος καὶ φανεροῦντος.

15 Ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε.

Ἁγίους γὰρ εἶναι πρέπει τοὺς τῷ Ἁγίῳ Θεῷ κολλᾶσθαι σπουδάζοντας.

16 Διότι γέγραπται, Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.

Τὴν οἰκείωσιν ἀπαιτεῖ τὴν πρὸς ἑαυτόν· αὕτη γὰρ σώζει· διὸ καὶ ὄντως ἅγιοι νῦν διὰ Χριστοῦ ἐπὶ τῇ ὄντως ζωῇ.

17 Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε.

Εἰ ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ, τί δεῖ νοεῖν περὶ τοῦ προκειμένου; εἰ γὰρ ὁ Πατὴρ ἐστὶν ὁ σημαινόμενος, πῶς κριτὴς οὗτος κρίνων κατὰ τὸ ἑκάστου ἔργον; εἰ δὲ ὁ Υἱὸς κρίνει πᾶσαν τὴν κρίσιν λαβὼν, πῶς Πατὴρ τυγχά-

νει; πρὸς ἃ λεκτέον, εἰ Πατρὸς καὶ Υἱοῦ μία θεότης, κρίνοντος τοῦ Υἱοῦ, ὁ Πατὴρ ὁ κρίνων ἐστίν· ἀλλὰ καὶ ὁ Υἱὸς δύναται πατὴρ εἶναι τῶν γεννητῶν, γεννήσας αὐτοὺς μετουσίᾳ ἁγιότητος· πολλάκις γοῦν τεκνία τοὺς ἑαυτοῦ μαθητὰς ἐκάλεσε, καὶ ἄλλοις εἶπε, τῷ μὲν, "τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι." τῇ δὲ, "θύγατερ, ἡ πίστις σου σέσωκέ σε." καὶ ταῦτα διελέγχει τοὺς διακόπτοντας τὴν θεότητα.

18 Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώ-
θητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδό-
19 του, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου
20 Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου,
21 φανερωθέντος δὲ, ἐπ' ἐσχάτου τῶν χρόνων δι' ὑμᾶς τοὺς
δι' αὐτοῦ πιστεύοντας εἰς Θεὸν.

Ὅρα διὰ πόσων ἀσπίλους εἶναι παρασκευάζει· πρῶτον μὲν διὰ τοῦ γραφικοῦ· δεύτερον διὰ τοῦ ἀναγκαίου, ἐπειδὴ τὸν Θεὸν ἐπικαλοῦνται Πατέρα, καὶ δεῖ τῆς υἱοθεσίας ἄξια ποιεῖν· τρίτον διὰ τῆς αἰτίας δι' ἧς τὰ μυρία ἐλάβομεν ἀγαθά· αὕτη δὲ ἐστὶ τὸ δοθῆναι ὑπὲρ αὐτῶν τὸ τίμιον αἷμα Χριστοῦ.

Τοῦ Χρυσοστόμου. Κτίσμα ἐσμὲν τοῦ Θεοῦ, ἀλλὰ διὰ τὴν ἁμαρτίαν γεγόναμεν τοῦ διαβόλου· εἶτα γεγονότας ἡμᾶς τοῦ διαβόλου, ἐξωνεῖται ὁ Σωτὴρ τῷ ἑαυτοῦ αἵματι, τουτέστι τὸ, "τιμῆς ἠγορασθῆτε." ἠγοράσθημεν γὰρ τιμίῳ αἵματι. ὥσπερ γὰρ οἰκοδεσπότης σεμνὸς καὶ καλὸς, οἰκέτην μοχθηρὸν πολλὰ ἁμαρτήματα ἔχοντα, μὴ κρίνας ἄξιον τῆς ἑαυτοῦ καλῆς οἰκίας καὶ τῆς ἑαυτοῦ διαίτης ἀποδοῖτο τινὶ, ἵνα αὐτὸν παιδεύσῃ· εἶτα ἐὰν ἴδῃ αὐτὸν κεκολασμένον ὑπὸ πονηρῷ δεσπότῃ καὶ λέγοντα, πορεύομαι πρὸς τὸν δεσπότην μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν. δίδωσιν αὐτῷ πάλιν τὴν τιμὴν, καὶ ἐξαγοράζει αὐτὸν, ἵνα γένηται λαὸς περιούσιος. οὕτως οὖν καὶ ἡμᾶς ἀνακτᾶται ὁ Θεός. καὶ πῶς ἐσμὲν αὐτοῦ ἴδια καὶ οὐκ ἴδια; ὡς μὲν δημιουργήματα, ἴδια, ὡς δὲ διὰ τὸ ἡμαρτηκέναι γενόμενα [c] ἀλλότρια, οὐκ ἴδια· μὴ νομίσῃς ὅτι ἴδιος εἶ τοῦ Θεοῦ· ἐὰν ἦς ἁμαρτωλὸς,

[c] Scr. erat γενόμενα sed. mut. rec. m. et scr. γενόμενοι.

ὁ διάβολος γάρ σε κτᾶται· ἐκείνου εἶ κτῆμα. ἄνθρωπος τῆς ἁμαρτίας, υἱὸς τῆς ἀπωλείας, ἐκεῖνος ἀγοράζει σε, οὐ τιμίῳ αἵματι ἀλλὰ ἀτίμῳ· ἁμαρτίᾳ γὰρ ἀγοράζει· ἀγοράζει πορνείᾳ· ἀκάθαρτος γάρ ἐστιν. ἀγοράζει φόνῳ· μιαίφονος γάρ ἐστιν· "ἀνθρωπόκτονος γὰρ ἦν ἀπ' ἀρχῆς. καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε·" καὶ ταῦτα αὐτοῦ ἐστι τὰ νομίσματα.

Τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόν-
τα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν.
22 Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας
διὰ Πνεύματος εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθα-
23 ρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς.

Τοῦ θανάτου μνησθεὶς τοῦ Χριστοῦ, οὐκ ἐσιώπησεν, ἀλλ' εὐθὺς ἐπήγαγε καὶ τὴν ἀνάστασιν· εἰ δὲ ἀκούεις τὸν Πατέρα ἐγείροντα τὸν Υἱὸν, μὴ θορυβηθῇς ὡς αὐτοῦ ἑαυτὸν μὴ δυναμένου ἐγεῖραι. ἄκουε γὰρ λέγοντος τοῦ Χριστοῦ. "λύσατε τὸν ναὸν τοῦτον, καὶ "ἐν τρισὶν ἡμεραῖς ἐγερῶ αὐτόν." καὶ πάλιν τοῦ Λουκᾶ περὶ αὐτοῦ. ὡς "παρέστησεν ἑαυτὸν ζῶντα" καὶ πάλιν τοῦ Χριστοῦ. "ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν "λαβεῖν αὐτήν." λέγει οὖν τοῦτο ὁ Ἀπόστολος, ἵνα μάθωμεν ὅτι κοινὰ τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐστίν.

Ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος καὶ μένοντος εἰς τὸν αἰῶνα.

Τοῦ Εὐαγγελίου λέγοντος, "ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· "οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι," φησὶν ὁ Κύριος Ἰησοῦς Χριστός.

24 Διότι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε.

Τοῦ Ἁγίου Βασιλείου. *Βούλομαί σοι σφοδρότερον τῆς κτίσεως ἐνιδρυνθῆναι τὸ θαῦμα. ἵνα ὅπου περ ἂν εὑρεθῇς καὶ ὁποιωδήποτε γένει τῶν φυομένων παραστῇς, ἐναργῆ λαμβάνῃς τοῦ ποιήσαντος τὴν ὑπόμνησιν. πρῶτον μὲν ὅταν ἴδῃς βοτάνην χόρτου*

καὶ ἄνθος, εἰς ἔννοιαν ἔρχου τῆς ἀνθρωπίνης φύσεως· μεμνημένος τῆς εἰκόνος τοῦ σοφοῦ Ἡσαΐου, "ὅτι πᾶσα σὰρξ ὡς χόρτος καὶ "πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου·" τὸ γὰρ ὀλιγοχρόνιον τῆς ζωῆς, καὶ τὸ ἐν ὀλίγῳ περιχαρὲς καὶ ἱλαρὸν τῆς ἀνθρωπίνης εὐημερίας, καιριωτάτης παρὰ τῷ προφήτῃ τετύχηκε τῆς εἰκόνος· σήμερον εὐθαλὴς τῷ σώματι, κατασεσαρκωμένος ὑπὸ τρυφῆς, ἐπανθοῦσαν ἔχων τὴν εὔχροιαν ὑπὸ τῆς κατὰ τὴν ἡλικίαν ἀκμῆς, σφριγῶν καὶ σύντονος καὶ ἀνυπόστατος τὴν ὁρμήν. αὔριον ὁ αὐτὸς ἐλεεινὸς, ἢ τῷ χρόνῳ μαρανθεὶς, ὁ δεῖνα περίβλεπτος ἐπὶ χρημάτων περιουσίᾳ, καὶ πλῆθος περὶ αὐτὸν κολάκων, δορυφορία φίλων προσποιητῶν, τὴν ἀπ' αὐτοῦ χάριν θεραπευόντων, πλῆθος συγγενείας καὶ ταύτης κατεσχηματισμένης· ἑσμὸς τῶν ἐφεπομένων μυρίος, τῶντε ἐπισιτείων καὶ τῶν κατὰ τὰς ἄλλας χρείας αὐτῷ προσεδρευόντων· οὓς καὶ προιὼν καὶ πάλιν ἐπανιὼν ἐπισυρόμενος, ἐπίφθονός ἐστι τοῖς ἐντυγχάνουσι· πρόσθες τῷ πλούτῳ καὶ πολιτικὴν τινὰ δυναστείαν· ἢ καὶ τὰς ἐκ βασιλέων τιμὰς ἢ ἐθνῶν ἐπιμέλειαν· ἢ στρατοπέδων ἡγεμονίαν· τὸν κήρυκα μέγα βοῶντα πρὸ αὐτοῦ· τοὺς ῥαβδούχους ἔνθεν καὶ ἔνθεν βαρυτάτην κατάπληξιν τοῖς ἀρχομένοις ἐμβάλλοντας, τὰς πληγὰς, τὰς δημεύσεις, τὰς ἐπαγωγὰς, τὰ δεσμωτήρια ἐξ ὧν ἀφόρητος ὁ παρὰ τῶν οἰκείων συναθροίζεται φόβος· καὶ τί μετὰ τοῦτο; μία νὺξ, ἢ καὶ πυρετὸς εἷς πλευρίτης ἢ περιπνευμονία, ἀνάρπαστον ἐξ ἀνθρώπων ἀπάγουσα τὸν ἄνθρωπον οἴχεται, πᾶσαν τὴν κατ' αὐτὸν σκηνὴν ἐξαπίνης ἀπογυμνώσασα· καὶ ἡ δόξα ἐκείνη ὥσπερ ἐνύπνιον ἀπηλέγχθη· ὥστε ἐπιτέτευκται τῷ προφήτῃ ἡ πρὸς τὸ ἀδρανέστατον ἄνθος ὁμοίωσις τῆς ἀνθρωπίνης δόξης.

Εὐσεβίου Καισαρείας. Αὕτη γοῦν ἐστι πάσης σαρκὸς φύσις, καὶ τοῦ τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦντος ἀνθρώπου, λέγω δὴ τοῦ φιλοσωμάτου καὶ τοῦ κατὰ σάρκα ζῶντος. ὁμοίως γοῦν τῷ χόρτῳ τῆς γῆς καὶ τοῖς ὡραίοις ἄνθεσι πρὸς βραχὺ θάλλει καὶ ὡραΐζεται· εἶτα οὐκ εἰς μακρὰν ὑπὸ τῆς ῥευστῆς καὶ ἀστάτου φύσεως ἀπομαραίνεται, ὅπερ διδάσκει καὶ ἡ γραφὴ λέγουσα, "καὶ "ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν."

Θεοδωρήτου. Ἀληθῶς ὅμοιος χόρτῳ ὁ λαὸς "ἐξηράνθη ὁ "χόρτος, καὶ ἐξέπεσε τὸ ἄνθος." τῶν ἐθνῶν ἁπάντων προθεσπίσας

τὴν σωτηρίαν προμηνύει καὶ τῶν Ἰουδαίων τὴν ἀκαρπίαν· φύσει μὲν γὰρ χόρτου, φησὶν, ἔοικε τῶν ἀνθρώπων τὸ γένος· ἄνθη δὲ χόρτου ἡ ἐπιγινομένη δόξα καὶ δυναστεία· καὶ καθάπερ τοῦ χόρτου ξηραινομένου τὸ ἄνθος ἐκπίπτει, οὕτω τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπιόντος, καὶ ἡ δυναστεία καὶ ἡ ὑπερηφανία σβέννυται.

5 Τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

Ἄνωθεν ταῦτα καὶ προέγνω καὶ προηγόρευσεν, ἀλλ᾽ ὅμως καὶ ταύτην τὴν ἀπείθειαν ἰδὼν ὁ τῶν ὅλων Θεὸς ἐπιμένει προτρέπων εἰς σωτηρίαν.

ΚΕΦ. Γ.

Περὶ τοῦ ἐπαξίως τῆς υἱοθεσίας ζῆν ἐν Χριστῷ πρὸς ὠφελείαν καὶ τῶν ἔξωθεν εἰς δόξαν Θεοῦ.

1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιὰς,

Μετὰ τὸ εἰπεῖν τὴν δύναμιν τοῦ κηρύγματος διδάσκει καὶ ὁποίους εἶναι δεῖ τοὺς αὐτὸ δεχομένους.

Σετήρου. Εἰ μὴ γὰρ ὁ λόγος μείνας ἐν οἷς ἦν· ἀμείνων γὰρ τροπῆς ὡς Θεὸς ἐκ μήτρας αὐτῆς ἑνωθεὶς σαρκὶ καθ᾽ ὑπόστασιν. ψυχὴν ἐχούσῃ τὴν νοερὰν καὶ τῆς ἐμῆς γενέσεως τὰς ὠδῖνας. καὶ αὐτὴν τὴν εἰς τὸ εἶναι πάροδον διὰ τῆς ἰδίας κυοφορίας εὐλόγησε, καὶ τῆς κατὰ σάρκα γεννήσεως, οὐκ ἐλύθη τὸ "ἐν "λύπαις τέξῃ τέκνα," τὸ τῆς πικρᾶς γεύσεως ἐπιτίμιον· εἰ μὴ γαλακτοτροφίας ἠνέσχετο, οὐκ ἂν ἡμεῖς πρὸς τὰ "ἀρτιγεννῆ "βρέφη τὸ λογικὸν ἄδολον γάλα" ἐπεποθήσαμεν, καθώς φησιν ὁ θεσπέσιος Πέτρος.

2 Ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε· ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν.

Εἰ καὶ τελείους ἡμᾶς ὁ θεῖος βούλεται νόμος, ἀλλὰ κατὰ ἀνάβασιν καὶ προκοπὴν πρὸς τὴν τελείωσιν, φθάσαντας πρότερον γάλα ποτιζομένους, "ὡς ἀρτιγέννητα βρέφη," καὶ ἐν αὐτῷ εἰς σωτηρίαν αὐξανομένους· εἰς τοῦτο γὰρ βλέπει καὶ τὸ τῷ Παύλῳ ῥηθὲν, "μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε,

“ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε·” οὐ γάρ ἐστιν, οὐκ ἔστι, μὴ ἀποσμήξαντας τὴν κακίαν καὶ νηπιάσαντας, πρὸς ἁγνείαν ἐλθεῖν, ἢ φρεσὶ τελειωθῆναι, ἢ εἰς ἄνδρα τέλειον, ἐργάτην ἀνεπαίσχυντον, ἀναβῆναι.

Τὴν στοιχειώδη λέγει διδασκαλίαν τῶν λογίων τοῦ Θεοῦ.

3 *Εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος.*

Τοῦ Ἁγίου Βασιλείου. *Πανταχοῦ τετηρήκαμεν, ὅτι τοῖς ἔξωθεν μέλεσιν ὁμωνύμως αἱ τῆς ψυχῆς προσαγορεύονται δυνάμεις. ἐπειδὴ ἄρτος ἐστὶν ἀληθινὸς ὁ Κύριος ἡμῶν, καὶ ἡ σὰρξ αὐτοῦ ἀληθής ἐστι βρῶσις, ἀνάγκη τὴν ἡδονὴν τῆς εὐφροσύνης τοῦ ἄρτου διὰ γεύσεως ἡμῖν νοητῆς γίνεσθαι· ὡς τοῦ μέλιτος ἡ φύσις οὐ τοσοῦτον τῷ λόγῳ δύναταί τις παραστῆσαι τοῖς ἀπείροις, ὅς ἀπ᾽ αὐτῆς τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως· οὕτως οὐδὲ ἡ χρηστότης τοῦ οὐρανίου ἄρτου ἐναργῶς παραδοθῆναι διδασκαλίαις, ἐὰν μὴ τὰ τῆς ἀληθείας δόγματα ἐπιπλεῖον βασανίσαντες, δυνηθῶμεν τῇ οἰκείᾳ πείρᾳ καταλαβεῖν τὴν χρηστότητα τοῦ Κυρίου.*

4 *Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων*
μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτὸν, ἔντιμον.

Τῶν γραμματέων καὶ Φαρισαίων καὶ παντὸς αὐτῶν τοῦ συνεδρίου, περὶ ὧν εἴρηται “λιθὸν ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος “ἐγενήθη εἰς κεφαλὴν γωνίας.”

5 *Καὶ αὐτοὶ ὡς λιθοὶ ζῶντες ἐποικοδομεῖσθε, οἶκος*
πνευματικὸς, εἰς ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς
θυσίας εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ.

Θεοδωρήτου. *Τοῦτον δὲ καλεῖ τὸν τρόπον τοὺς εἰς τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας τοῦ Θεοῦ παραλαμβανομένους· διὰ γὰρ τῆς συμφυΐας καὶ ἁρμονίας τῆς πρὸς ἀλλήλους· διά τε τοῦ τὰ αὐτὰ φρονεῖν καὶ τὰ αὐτὰ λέγειν, τῷ τε αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ στοιχεῖν, ἕνα οἶκον ἀπεργάζονται τῷ Θεῷ.*

6 *Διότι περιέχει ἐν τῇ γραφῇ, Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον*
ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ,
7 *οὐ μὴ καταισχυνθῇ· ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν.*

Κυρίλλου. *Λίθον μὲν ἐκλεκτὸν πολυτελῆ καὶ ἔντιμον τὸν*

Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀποκαλεῖ, τῇ τῆς θεότητος δόξῃ καὶ ὑπεροχῇ διαπρέποντα· ἀκρογωνιαῖον δέ φησιν, ὡς διὰ πίστεως μιᾶς κατασφίγγοντα πρὸς ἑνότητα πνευματικὴν τοὺς δύο λαοὺς, τὸν ἐξ Ἰσραὴλ καὶ τὸν ἐξ ἐθνῶν· ἀλλ' "ὁ πιστεύων," φησιν, "ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ·" ἄθρει δὲ πῶς ἀνίησι τοῖς τεθλιμμένοις τὸ ἐλεύθερον, καὶ φησὶ, "τίθημι τὸν ἐκλεκτὸν λίθον εἰς τὰ θεμέλια Σιών·" καὶ τί τὸ ἐντεῦθεν ὄφελος; "ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ."

Ἀπειθοῦσι δὲ, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, καὶ λίθος προσκόμματος καὶ πέτρα σκανδάλου.

Ὥσπερ ὁ Κύριος φῶς ὢν ἀληθινὸν εἰς κρίμα εἰς τὸν κόσμον ἐλήλυθεν, ἵνα ὀμματώσῃ τοὺς πρὸ τῆς παρουσίας αὐτοῦ τυφλοὺς, τυφλώσῃ δὲ τοὺς κακῶς βλέποντας, οὕτω καὶ λίθος ἐκλεκτὸς ἔντιμος ὢν, τιμὴν παρέχει τοῖς διὰ πίστεως οἰκοδομουμένοις αὐτῷ, θεμέλιος αὐτῶν βέβαιος ἀποδειχθεὶς, τῶν ἀπειθούντων δὲ διὰ ἀπιστίας αὐτῷ οὐκ ἔντιμος ἀλλὰ προσκόμματος λίθος καὶ σκανδάλου πέτρα νομιζόμενος προσχῶσι τοῖς ἐξουθενήσασιν αὐτὸν οἰκοδόμοις· οὗτοι δὲ εἶσι γραμματεῖς καὶ Φαρισαῖοι.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Τοῦτο τὸ ῥητὸν εἰς τὸν Χριστὸν ἀναφέρεται· καὶ γὰρ αὐτὸς ἐν εὐαγγελίοις ταύτην παράγει τὴν προφητείαν λέγων, "οὐδέποτε ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασάν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας."* Καὶ μετ' *ὀλίγα—"λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες" τοὺς Ἰουδαίους λέγει, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους, ὅτι ἀπεδοκίμαζον αὐτὸν λέγοντες, "ὅτι Σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις," καὶ πάλιν· "οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον."*

ΔΙΔΥΜΟΥ. *Ὁ δι' ὑμᾶς γεγονὼς λίθος ἀποδεδοκιμασμένος, "ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες," μετὰ τὴν ἐκείνων ἀποβολὴν, ἑτέρας γωνίας κεφαλὴ γέγονε.* Καὶ μετ' *ὀλίγα—Ἀκρογωνιαῖον αὐτὸν ὠνόμασεν Ἡσαΐας, καὶ ἐκλεκτὸν καὶ ἔντιμον λίθον, διὰ τὸ συνάπτειν ὑπὸ μίαν γωνίαν δύο οἰκοδομίας· ζῶν δ' ἂν εἴη ὡς ἀληθῶς ἐκλεκτὸς λίθος ὁ τοῦ Θεοῦ Υἱὸς, ἅπασαν τὴν κατὰ Θεὸν οἰκοδομὴν συνδέων· καὶ τὰς δύο γωνίας, τῆς τε παλαιᾶς οἰκοδομῆς τῶν ἐκ περιτομῆς,*

καὶ τῆς νέας ἐξ ἐθνῶν, ὑπὸ μίαν συνάπτων γωνίαν· τοῦτον μὲν οὖν τὸν λίθον, οἱ ἐκ περιτομῆς πάλαι πρότερον οἰκοδομοῦντες γραμματεῖς καὶ νομοδιδάσκαλοι καὶ ἀρχιερεῖς, ἐξ αὐτῶν ἀπέβαλον καὶ ἀπεδοκίμασαν· ὁ δὲ γέγονεν ἀρχὴ καὶ κεφαλὴ γωνίας ἑτέρας τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, καὶ γέγονε παρὰ Χριστοῦ δῶρον αὐτῇ μέγιστον κεχαρισμένον.

8 Ὅσοι προσκόπτουσι τῷ λίθῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν.

Ἐκ τῆς μοχθηρᾶς ἑαυτῶν γνώμης καὶ τῆς φαύλης προαιρέσεως· αὕτη γὰρ αὐτοὺς εἰς αὐτὴν ἤνεγκε τὴν μερίδα.

9 Ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος
ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγεί-
λητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν
10 αὐτοῦ φῶς· οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ· οἱ οὐκ
ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.

Ὑμεῖς δὲ γένος ἐκλεκτὸν[b]—*Κατὰ τὴν παλαιὰν τοῦ νόμου διάταξιν ἄλλο ἦν τὸ βασιλικὸν, καὶ ἄλλο ἦν τὸ ἱερατικὸν γένος. μετ᾽ ἐκείνην τὴν διάταξιν διεδέξατο τὸ εὐαγγέλιον ἕνα καὶ τὸν αὐτὸν ἱερέα καὶ βασιλέα διδάσκον· Χριστὸς γὰρ ἀμφότερά ἐστι. τούτων οὕτως οἰκοδομηθέντων, ἀναγκαῖον τοὺς σπαρέντας ὑπ᾽ αὐτοῦ, ἅμα βασιλέως καὶ ἱερέως ὑπάρχοντος, ἐκλεκτὸν γένος εἶναι ἅμα βασίλειον καὶ ἱεράτευμα τυγχάνον. τοῦ γὰρ γεννήσαντος ἀμφοτέρας τὰς ἀρχὰς ἔχοντος, ἀνάγκη καὶ αὐτοὺς ὡς ἐκ βασιλέως βασιλικὸν, καὶ ὡς ἐξ*[c] *ἱερέως ἱεράτευμα εἶναι· διὸ καὶ ἔθνος ἅγιον ὑπάρχουσι κληθέντας ἀπὸ τοῦ καλοῦντος ἁγίου ὄντος, ἐπὶ τὸ "ἅγιοι ἔσεσθε" οἱ αὐτοὶ πρὸς τὸ*[d] *ἅγιον ἔθνος ὑπάρχειν, καὶ λαός εἰσιν εἰς περιποίησιν ἔξω πάσης ἀπωλείας γεγενημένοι. περιποίησις γὰρ τῶν προσλαμβανομένων, ἀλλ᾽ οὐ τῶν ἐξοστρακιζομένων. ἐπεὶ γὰρ οἱ ἀπὸ διαφόρων ἐθνῶν καὶ νομίμων κληθέντες ἀποβεβλήκασι πᾶσαν ποικιλίαν ἐν τῷ ἀναλαβεῖν μίαν γνώμην, μιᾷ πίστει καὶ διδασκαλίᾳ προσέχοντες, δι᾽ ἣν ψυχὴ καὶ καρδία γίνεται μία, ἓν ἅγιον ἔθνος εἰσίν.*

[b] Hæc rubr. scripta sunt. [c] ἐξ suppl. rec. m.
[d] τῷ corr. rec. m.

Σετηρος. Τουτέστι κατ' ἐξαίρετον ἐν περιουσίᾳ καὶ κτήματι λελογισμένος. ἐπειδὴ κτίσματα μὲν τοῦ πεποιηκότος ἅπαντες ἄνθρωποι· κτήματα δὲ οἱ διὰ τῆς ἐπιγνώσεως εἰσποιηθέντες ὑπὸ Θεοῦ, καὶ τὰ τῆς αὐτοῦ δεσποτείας ἄξια πράττοντες, καὶ ὑπ' οὐδενὸς ἢ πάθους ἢ ἁμαρτίας ἢ νόθου θεοῦ δεσποζόμενοι.

Οἱ γὰρ πιστεύοντες εἰς Χριστὸν τοῦτο ἔσχομεν ὅπερ αὐτός· ἐπειδὴ γὰρ αὐτὸς καὶ ἐκ τῆς βασιλικῆς ἦν φυλῆς, καὶ ἀρχιερεὺς γέγονε, τούτου χάριν καὶ ἡμεῖς τὰ αὐτὰ πεπλουτήκαμεν· ταῦτα δὲ ἔχοντες καὶ ἔθνος ἅγιον γεγόναμεν, καὶ λαὸς εἰς περιποίησιν, τουτέστιν εἰς ἀποχήν· εἰσήλθομεν γὰρ εἰς τὴν κατάπαυσιν αὐτοῦ.

11 Ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδή-
μους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρα-
12 τεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν ἐν
τοῖς ἔθνεσιν ἔχοντες καλὴν, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν
ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύοντες, δοξά-
σωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.

Πανταχοῦ μετὰ τὸν δογματικὸν τὸν ἠθικὸν εἰσάγει· μετὰ τοίνυν τὸ εἰπεῖν τὰ ὑπάρξαντα ἀγαθὰ διὰ Χριστοῦ, ἐπὶ τὸ δεῖν ὀρθῶς βιοῦν παρακαλεῖ.

Οἱ διὰ θεοσέβειαν ἄξιοι τοῦ πείθεσθαι τυγχάνοντες, εἰκότως ἀγαπητοὶ προσαγορεύονται· τῶν διὰ τὸ ἀνθρωπίνον ποθουμένων ἀγαπωμένων, ἀλλ' οὐκ ἀγαπητῶν ὄντων. ἐπεὶ τοίνυν οὕτω διάκειμαι πρὸς ὑμᾶς οὓς γράφω τὴν ἐπιστολὴν, παρακαλῶ καὶ προτρέπομαι ἀπέχεσθαι τῶν ἐκ σαρκὸς φυομένων ἡδονῶν. στρατεύονται δὲ αὗται κατὰ τῆς ψυχῆς· ἔχθραν πολλὴν πρὸς αὐτὴν ἔχουσαι, ἐπείπερ ἄλλη ἡ ψυχῆς καὶ ἄλλη ἡ σαρκὸς οὐσία.

ΚΕΦ. Δ.

Περὶ τῆς πρὸς ἄρχοντας ὑποταγῆς καὶ φιλαδελφίας καὶ θεοσεβείας.

13 Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν
14 Κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι· εἴτε ἡγεμόσιν, ὡς
δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν,
15 ἔπαινον δὲ ἀγαθοποιῶν· ὅτι οὕτως ἔστι τὸ θέλημα
τοῦ Θεοῦ.

“Ἀνθρωπίνην κτίσιν,” τὰς ἀρχὰς λέγει τὰς χειροτονουμένας ὑπὸ τῶν βασιλέων· ταύταις οὖν δεῖ ὑποτάσσεσθαι “διὰ τὸν Κύριον” εἰ δὲ διὰ τὸν Κύριον ὑποταττόμεθα, τὸν εἰπόντα· “ἀπόδοτε τὰ τοῦ Καίσαρος Καίσαρι,” ὅτε τι ἔξω τοῦ θελήματος τοῦ Κυρίου προστάττουσιν, οὐχ ὑπακούσωμεν.

ΤΟΥ͂ ΧΡΥΣΟΣΤΌΜΟΥ. ῬΗΤᾺ ΠΡΟΚΕΊΜΕΝΑ· Ὁ ἈΝΤΙΤΑΣΣΌΜΕΝΟΣ ΤΗ͂Ι ἘΞΟΥΣΊΑΙ ΤΗ͂Ι ΤΟΥ͂ ΘΕΟΥ͂ ΔΙΑΤΑΓΗ͂Ι ἈΝΘΈΣΤΗΚΕΝ.

Οὐδὲ γὰρ ἀνατρέπει τὴν εὐσέβειαν αὕτη ἡ ὑποταγή· καὶ οὐχ ἁπλῶς εἶπε πειθέσθω, ἀλλ' ὑποταττέσθω. Καὶ μετ' ὀλίγα—Ἵνα γὰρ μὴ λέγωσιν οἱ πιστοὶ, ὅτι ἐξευτελίζεις ἡμᾶς καὶ εὐκαταφρονήτους ποιεῖς, τοὺς τὴν τῶν οὐρανῶν βασιλείαν ἀπολαβεῖν μέλλοντας—ἄρχουσιν, ὅτι οὐκ ἄρχουσιν, ἀλλὰ τῷ Θεῷ πάλιν ὑποτάττει τοῦτο ποιῶν· ἐκείνῳ γὰρ ὁ ταῖς ἀρχαῖς ὑποτασσόμενος πείθεται.

Ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν.

Τοῦτό φησιν, ἐπειδὴ τινὲς διαβάλλοντες ἔλεγον, ἐπὶ ἀνατροπῇ τῆς πολιτείας ἐληλυθέναι Χριστὸν, πάντων καταφρονεῖν διδάσκοντα τῶν ἐπὶ γῆς· ὅταν οὖν ἴδωσιν ὑμᾶς, φησὶ, διὰ συνείδησιν Θεοῦ ὑποτασσομένους τοῖς ἄρχουσι, τότε φιμοῦνται· εἰδότες ὡς οὐκ ὀρθῶς ἡγήσαντο τὴν τοῦ Χριστοῦ πολιτείαν διασύροντες.

16 Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς
17 κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ. πάντας
τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε, τὸν Θεὸν φοβεῖσθε,
τὸν βασιλέα τιμᾶτε.

Διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οἱ ἄρχοντες, φησὶν, ἐν αὐλίσματι δικαιοσύνης τοὺς νόμους ἔχοντες· ὅσα μὲν δικαίως καὶ νομίμως ποιήσουσιν, οὐ περὶ τούτων ἐτασθήσονται, ὅσα δὲ κατὰ περιτροπὴν τοῦ δικαίου ἀδίκως καὶ ἀνόμως καὶ τυραννικῶς ἐπιτελέσουσιν, ἐν τούτοις καὶ ἀπολοῦνται, τῆς τοῦ Θεοῦ δικαιοκρισίας ἅπαντας ὁμοίως ἐξικνουμένης· ἐπὶ συμφέροντι οὖν τῶν ἐθνῶν ἐπίγειος ἀρχὴ ἐτέθη ὑπὸ τοῦ Θεοῦ, ἀλλ' οὐχ ὑπὸ τοῦ διαβόλου ὥς τινες φασὶν, ἵνα φοβούμενοι αὐτὴν οἱ ἄνθρωποι ἀλλήλους δίκην ἰχθύων μὴ καταπίνωσιν. ἀλλὰ διὰ τῆς τῶν νόμων θέσεως ἀνακρούουσι τὴν

πολλὴν τῶν ἀνθρώπων ἀδικίαν· καὶ κατὰ τοῦτο, καὶ "αἱ οὖσαι "ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσὶ λειτουργοὶ Θεοῦ," καθὼς Παῦλος φησί. φανερὸν οὖν ὅτι ψευδόμενος ὁ διάβολος ἔλεγεν "ὅτι "ἐμοὶ παραδέδοται, καὶ ᾧ ἂν θέλω δίδωμι αὐτάς·" οὐ γὰρ τῇ τούτου κελεύσει βασιλεῖς καθίστανται. οἱ μὲν γὰρ αὐτῶν εἰς ἐπανόρθωσιν καὶ ὠφέλειαν τῶν ὑποτεταγμένων γίνονται, καὶ συντήρησιν δικαιοσύνης, οἱ δὲ εἰς φόβον καὶ τιμωρίαν καὶ σωφρονισμὸν καὶ ἐπίπληξιν, οἱ δὲ καὶ εἰς χλευασμὸν ὕβριν τε καὶ ὑπερηφανίαν, καθὼς καὶ ἄξιοί εἰσι τῆς τοῦ Θεοῦ δικαιοκρισίας, ὡς προέφημεν. Κακίας ἐστὶ τὸ ἀπειθεῖς εἶναι καὶ ἀνηκόους τοῖς ἄρχουσιν· ἵνα τοίνυν μὴ λέγωσιν, ὅτι ἠλευθερώθημεν ἀπὸ τοῦ κόσμου· οὐρανοπολῖται γεγόναμεν· καὶ σὺ πάλιν ἡμᾶς τοῖς τῆς γῆς ἄρχουσιν ὑπακούειν προτρέπεις; τούτου χάριν φησὶν, ὑπακούετε ὡς ἐλεύθεροι· τουτέστι πειθόμενοι τῷ ἐλευθερώσαντι καὶ προστάξαντι τοῦτο ποιεῖν· οὕτω γὰρ οὐ δόξητε τῆς κατὰ γνώμην κακίας, τουτέστι τοῦ ἀπειθοῦς καὶ ἀνηκόου, ἔχειν προκάλυμμα τὴν ἐλευθερίαν, δι' ἧς ἀναίνεσθε τῶν ἀρχόντων τὴν ὑποταγήν.

[e] Καὶ μὴ ἔξωθεν μὲν πρόβατα, ἔσωθεν δὲ λύκοι.

* Περὶ δούλων ὑποταγῆς καὶ ἀνεξικάκου ὑπομονῆς διὰ Χριστόν.

18 Οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπό-
ταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ
19 τοῖς σκολιοῖς· τοῦτο γὰρ χάρις παρὰ Θεῷ, εἰ διὰ συνεί-
δησιν ἀγαθὴν ὑποφέρει τὶς λύπας, πάσχων ἀδίκως·
20 ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι
ὑπομένετε· ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπο-
μενεῖτε, τοῦτο χάρις παρὰ τῷ Θεῷ.

Οὐ τὸν παθητικὸν φόβον ἔχειν προστάττει πρὸς τοὺς δεσπότας τοῖς οἰκέταις, ἄλογος γὰρ οὗτος, καὶ ἐν τοῖς ἀλόγοις ζώοις ὑφιστάμενος, ἀλλὰ τὸν σὺν ἐπιστήμῃ καὶ ὀρθῷ λόγῳ γινόμενον· οὗ κύριον ὄνομα ἡ εὐλάβεια. ὁ γὰρ διὰ Χριστὸν καὶ τὴν διδασκαλίαν αὐτοῦ φοβούμενος δεσπότην, σὺν εὐλαβείᾳ αὐτῷ ὑποτάττεται τοῦ

[e] Schol. ad v. ἐπικάλυμμα.

διὰ κακίαν καὶ ἄλλας βασάνους φοβουμένου δεσπότην, τὸν παθητικὸν ἔχοντες φόβον· τούτῳ τῷ σημαινομένῳ κέχρηται· καὶ μεθ' ἕτερα — πρὸς τὰς γυναῖκας φήσας ἐποπτεύοντες, τουτέστιν οἱ ἄνδρες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν, σύνηθες γὰρ τοῦτο πολλαχοῦ τῆς θείας γραφῆς.

Τοῦ Χρυσοστόμου. Φησὶν ὁ ἀπόστολος Παῦλος· "οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις." συνεχῶς τοῦτό φησι· τί λέγεις, ὦ μακάριε Παῦλε; ἀδελφός ἐστι, μᾶλλον δὲ ἀδελφὸς ἐγένετο, τῶν αὐτῶν ἀπήλαυσεν· εἰς τὸ αὐτὸ σῶμα τελεῖ, ἀδελφὸς ἐγένετο, οὐ τοῦ Κυρίου αὐτοῦ μόνου, ἀλλὰ καὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· τῶν αὐτῶν ἀπολαύει πάντων· καὶ λέγεις, "ὑπακούετε τοῖς κατὰ "σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου" διὰ γὰρ τοῦτο φημὶ, εἰ γὰρ τοὺς ἐλευθέρους ἀλλήλοις ὑποτάσσεσθαι κελεύω διὰ τὸν τοῦ Θεοῦ φόβον, καθάπερ ἀνωτέρω ἔλεγεν, "ὑποτασσόμενοι ἀλλήλοις ἐν "φόβῳ Χριστοῦ·" εἰ γὰρ τὴν γυναῖκα προστάσσω φοβεῖσθαι τὸν ἄνδρα, καίτοι αὕτη καὶ ὁμότιμός ἐστι, πολλῷ μᾶλλον τὸν οἰκέτην· οὐ γὰρ δυσμένεια τὸ πρᾶγμά ἐστιν, ἀλλ' ἡ πρώτη εὐγένεια, τὸ εἰδέναι ἐλαττοῦσθαι καὶ μετριάζειν, καὶ εἴκειν τῷ[f] πλησίον· καὶ ἐλεύθεροι ἐλευθέροις μετὰ φόβου καὶ τρόμου ἐδούλευον. Καὶ πάλιν—Μὴ ἄλγει, φησὶν, ὅτι ἔλαττον ἔχεις τῆς γυναῖκος καὶ τῶν παίδων· ὄνομα δουλείας ἐστὶ μόνον· κατὰ σάρκα ἐστὶν ἡ δεσποτεία πρόσκαιρος καὶ βραχεία· ὅπερ γὰρ ἂν ᾖ σαρκικὸν, ἐπίκηρόν ἐστι· Καὶ πάλιν—Μὴ γὰρ ἐπειδὴ πιστὸς εἶ, νομίσῃς ἐλεύθερος· τοῦτό ἐστιν ἐλευθερία, τὸ μᾶλλον δουλεύειν· ὁ γὰρ ἄπιστος ἂν μὲν ἴδῃ διὰ τὴν ἀπιστίαν αὐθαδῶς προσφερόμενον, βλασφημήσει πολλὰ, ὡς στάσιν ἐμποιοῦν τὸ δόγμα· ὅταν δὲ ἴδῃ πειθομένους, μᾶλλον πεισθήσεται, μᾶλλον προσέξει τοῖς λεγομένοις. καὶ γὰρ ὁ Θεὸς καὶ τὸ κήρυγμα μέλλει βλασφημεῖσθαι.

21 Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ.

Μέγα ἐπιτάξας τοῖς οἰκέταις τὸ ἀδικῶς πάσχοντας ὑποφέρειν,

f τὸ Cod.

ὅρα πόθεν αὐτοὺς παραμυθεῖται ἐκ τῆς μακροθυμίας τοῦ Χριστοῦ. ὅμοιον οὖν ὡσεὶ λέγει· οὐ λόγοις ὑμᾶς πείθω ὑποφέρειν ἀδικουμένους· αὐτόνομοι τὸν δεσπότην θεάσασθε, καὶ παραμυθίαν τοῦ πράγματος ἕξετε.

22 Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν
23 τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει,
πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως.

Λέγω δὴ τὸ δι᾽ ὅλης τῆς τοῦ βίου ζωῆς ἀναμάρτητον καὶ ἀνεπίληπτον ἐν λόγῳ καὶ ἔργῳ. οὐδεὶς οὖν καθαρὸς γέγονεν ἀπὸ ῥύπου· οὐδ᾽ εἰ μία ἡμέρα ἦν ἡ ζωὴ αὐτοῦ, ἢ μόνος αὐτός.

24 Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώ-
ματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενό-
μενοι, τῇ δικαιοσύνῃ ζήσωμεν.

Σετήρου. Καὶ μάλα εἰκότως· ὁ γὰρ προσφέρων ἑαυτὸν ὑπὲρ ἁμαρτιῶν οἰκείαν μὲν ἁμαρτίαν οὐκ ἔχει, φέρει δὲ ἐν ἑαυτῷ τὰς ἐκείνων πλημμελείας, ὑπὲρ ὧν εἰς θυσίαν προσάγεται· τοῦτο δηλοῦντος ἐναργέστατα καὶ τοῦ τύπου τοῦ νομικοῦ· ποῖαν γὰρ ἰδίαν ἁμαρτίαν εἶχεν ὁ ἀμνὸς ἢ ὁ χίμαρος, ὁ ὑπὲρ ἁμαρτιῶν θυόμενος, καὶ ἁμαρτία διὰ τοῦτο καλούμενος;

25 Οὗ τῷ μώλωπι ἰάθητε· ἦτε γὰρ ὡς πρόβατα πλα-
νώμενα· ἀλλ᾽ ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ
ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

Ετσεβίου. Ἐπειδὴ καὶ μώλωπας εἰκὸς ἦν αὐτὸν φέρειν κατὰ τοῦ σώματος καὶ τραύματα, τυπτόμενον καὶ μαστιγούμενον καὶ τὰς ὄψεις ῥαπιζόμενον, τήν τε κεφαλὴν καλάμῳ παιόμενον· πλὴν οἱ μώλωπες οὗτοι σωτῆρες ἦσαν ἡμῶν· "τῷ γὰρ μώλωπι αὐτοῦ "ἰάθημεν" τίνες δὲ ἡμεῖς, ἀλλ᾽ ἢ οἱ πάλαι πλανηθέντες καὶ μὴ λογισάμενοι αὐτὸν, μὴ δὲ συνιέντες τίς ποτε ἦν;

Θεοδωρήτου. Καινὸς καὶ παράδοξος ἰατρείας τρόπος· ὁ ἰατρὸς ἐδέξατο τὴν τιμὴν, καὶ ὁ ἄρρωστος ἔτυχε τῆς ἰάσεως.

ΚΕΦ. Ε.

Περὶ ὑπακοῆς γυναικῶν, καὶ ὁμονοίας τῆς πρὸς τοὺς ἄνδρας, ἐπὶ σωτηρίᾳ τῇ ἐν πνεύματι εἰς τύπον Σάρρας.

1 Ὁμοίως αἱ γυναῖκες, ὑποτασσόμεναι τοῖς ἰδίοις
ἀνδράσιν, ἵνα καὶ εἴτινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς
τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται,
2 ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν·
3 ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως
4 χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος· ἀλλ' ὁ κρυπτὸς
τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος
καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ
πολύτελες.

Εὐσεβίου. Δύο ταῦτα ταῖς γυναιξὶ παραινεῖ, τό τε τοῖς ἄνδρασιν ὑπακούειν, καὶ καλλωπισμοῦ καὶ περιεργίας ἀλλοτρίας γίνεσθαι· ὡς ὅγε ὁ ἔξωθεν κόσμος οὐδὲ κόσμός ἐστιν, ἀλλὰ περιττότης· κόσμος δὲ ἁρμόδιος γυναικὶ ἡ πρὸς τὸν ἄνδρα ὑπακοή· καὶ ὅτι ἀληθὴς ὁ λόγος ἐκ παραδειγμάτων πιστοῦται ἐκ τῶν ἁγίων γυναίκων, ἐκ τῆς Σάρρας αὐτῆς· ἧς τέκνα αὐτῆς γενέσθαι· ὥσπερ γὰρ οἱ μιμούμενοι τὴν πίστιν τοῦ Ἀβραὰμ, πατέρα τὸν Ἀβραὰμ ἐπιγράφονται, οὕτως αἱ μιμούμεναι τὴν ὑπακοὴν τῆς Σάρρας αὐτῆς θυγάτερας ἀναγράφονται.

5 Οὕτω γὰρ ποτὲ καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι
εἰς τὸν Θεὸν, ἐκόσμουν ἑαυτὰς, ὑποτασσόμεναι τοῖς ἰδίοις
6 ἀνδράσιν· ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραὰμ, κύριον
αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα· ἀγαθοποιοῦσαι καὶ
μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

Προτρέπεται τὰς γυναῖκας μιμεῖσθαι τὰς ἁγίας, καὶ μάλιστα τὴν Σάρραν· πείθων αὐτὰς οὕτω τοῖς ἄνδρασιν ὑποτάττεσθαι ὡς ἐκείνη τῷ Ἀβραὰμ, ἧς καὶ τέκνα αὐτῆς γεγονέναι φησὶ, διὰ τὸ ἀγαθοεργεῖν· ὥσπερ γὰρ ποιῶν τις τὰ ἔργα τοῦ Ἀβραὰμ, καὶ ἔχων αὐτοῦ τὴν πίστιν, τέκνον αὐτοῦ γίνεται, οὕτως αἱ ἀγαθὰ πράττουσαι πισταὶ γυναῖκες μητέρα ἔχουσι τὴν Σάρραν. Πρὸς δὲ

ἀλληγορίαν σκόπει πῶς τις γίνεται τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας τέκνον· κατὰ τὸν Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. εἶτα ἀγάγων αὐτὰς εἰς τὰς δύο διαθήκας, μεθ᾽ ἑτερά φησι κατὰ πνεῦμα γεγενῆσθαι, ἐλευθέραν εἰπὼν τὴν ἄνω Ἱερουσαλὴμ συνᾴδει τοῦτο· "ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῖν, καὶ εἰς Σάρραν τὴν ὠδινοῦσαν ὑμᾶς." οὐ γὰρ δυνατὸν εἰς ἐκείνους ἀναφέρεσθαι ταῦτα· πῶς γὰρ ἔτι ὠδίνει τοὺς κατὰ τὸν καιρὸν τοῦ προφήτου, ἡ πρὸ πολλῶν γενεῶν ὀφειλόμενον τῇ φύσει θάνατον ἀναδεξαμένη; ὅθεν ἐκληπτέον ταῦτα εἰς τὴν μητέρα τῶν κατὰ πνεῦμα γεννωμένων τὴν ἄνω Ἱερουσαλὴμ, ἃς προετρέψατο γυναῖκας δι᾽ ἀγαθοεργίας μητέρα ἔχειν τὴν Σάρραν· εἶτα "τὸ δὲ τέλος" φησὶ, "πάντες ὁμόφρονες, συμπαθεῖς·" ἐὰν γὰρ συμπάσχωμεν, οὐ πάσχομεν· ἡ γὰρ ἀγαπὴ κοινοποιεῖ τὰ πάθη.

ΚΕΦ. ϛ.

Περὶ τῆς ἀνδρῶν πρὸς γυναῖκας συμπεριφορᾶς.

7 **Οἱ ἄνδρες ὁμοίως, συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ, ἀπονέμοντες τιμὴν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.**

Σευήρου. Ἀνδρὸς γὰρ καὶ γυναικὸς ἡνωμένων ἁγνὴ καὶ ὁμόφρων ἡ συζυγία διιππεύει πρὸς τὰς οὐρανίας πύλας θᾶττον ἢ πρὸς αἴσχη· εἰ γὰρ τῆς συναφείας, ἣν ἡ Ἐκκλησία συνῆπται Χριστῷ νυμφικῶς ἅμα καὶ μυστικῶς, εἰκόνα φέρουσιν, ἴσα τῇ Ἐκκλησίᾳ κατορθοῦν δύνανται προσευχόμενοι.

Παραινέσας ὑπακοὴν ταῖς γυναιξὶ, καὶ τοῖς ἀνδράσι παραινεῖ τὴν πρὸς αὐτὰς ἔχειν μακροθυμίαν, εἰδότας ὡς ἀσθενέστερον σκεῦος τὸ τῶν γυναικῶν· καί τι ἐστιν ἀσθενέστερον· ἢ κοῦφον ἢ εὐπαράφορον, καὶ ταχέως εἰς μικροψυχίαν ἐρχόμενον· δεικνὺς δὲ καὶ ἑτέρωθεν ἀναγκαίαν τὴν μακροθυμίαν, τῷ μὴ ἐκκόπτεσθαι τὰς προσευχάς· ὁ γὰρ περὶ τὴν οἰκίαν θόρυβος τῶν κατὰ Θεὸν ἔργων ἐμπόδιον.

ΚΕΦ. Ζ.

Περὶ τῆς πρὸς ἅπαντας ἐπιεικοῦς ἀνεξικακίας, ἧς τύπος ἡ ἐπὶ Νῶε τοῦ Θεοῦ φιλανθρωπία· ἐφ' ἡμᾶς δὲ ἡ διὰ τοῦ βαπτίσματος τοῦ Χριστοῦ συμπάθεια.

8 Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι.

Οὐκέτι κατὰ ἄνδρα καὶ γυναῖκα παραινεῖ, ἀλλὰ κοινῇ πᾶσιν ἐκτίθεται νόμον ἀγάπης, ἐξ ἧς φύεται πᾶσα ἀρετὴ, ἡ συμπάθεια, ἡ εὐσπλαγχνία, ἡ ταπεινοφροσύνη, καὶ αἱ ἄλλαι ἃς ἐφεξῆς ἐδήλωσεν.

9 Φιλόφρονες· μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας· τοὐναντίον δὲ εὐλογοῦντες, εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

Τί δέ ἐστι ταπεινοφροσύνη; τὸ ἑτέρου ὀνειδίζοντος φέρειν· τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κατηγορίας· καὶ οὐδὲ τοῦτο ταπεινοφροσύνης ἂν εἴη ἀλλ' εὐγνωμοσύνης.

10 Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν, καὶ ἰδεῖν ἡμέρας ἀγαθάς.

Τοῦ Ἁγίου Βασιλείου. *Εἴτις, φησὶ, θέλει ζωὴν, οὐ τὴν κοινὴν ταύτην ἣν ζῇ καὶ ἄλογα ζῶα, ἀλλὰ τὴν ὄντως ζωὴν, τὴν θανάτῳ μὴ διακοπτομένην· "νῦν γὰρ," φησὶν, "ἀποθνήσκετε καὶ "ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· ὅταν δὲ "Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν·" οὐκοῦν ἡ ὄντως ζωὴ ὁ Χριστὸς, καὶ ἡ ἡμετέρα ἐν αὐτῷ διαγωγὴ ζωή ἐστιν ἀληθινή.*

Ἡσυχίου. *Ἐνταῦθα, τό τις, οὐχ ὡς ἀποροῦντος τοῦ προφήτου κεῖται, ἀλλὰ μακαρίζοντος, καὶ μᾶλλον προτρέποντος ἴσως καὶ ἀποροῦντος. οἱ γὰρ πολλοὶ οὐ θέλουσι τὴν ὄντως ζωὴν, ὑπὸ τῆς προσκαίρου δελεαζόμενοι· οὐδὲ ἰδεῖν ἀγαπῶσιν ἡμέρας ἀγαθὰς τὰς τοῦ μέλλοντος, τῇ κατὰ τὸν παρόντα βίον εὐημερίᾳ προσέχοντες.*

Τοῦ Ἁγίου Βασιλείου. *Ὁμῶς δὲ καὶ ἡμέραι ἄλλαι εἰσιν ἀγαθαὶ, ἃς ἐν ἐπαγγελίᾳ προτίθησιν ὁ προφήτης· "τίς ἐστιν*

“ ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς·” αἱ γὰρ τοῦ αἰῶνος τούτου ἡμέραι πονηραὶ, ἐπειδὴ καὶ ὁ αἰὼν οὗτος τοῦ κόσμου μέρος ὑπάρχων, περὶ οὗ εἴρηται, ὅτι “ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ “ κεῖται·” τῇ φύσει τοῦ κόσμου συνεκμετρεῖται· μέρη δὲ τοῦ χρόνου τούτου αἱ ἡμέραι αὗται· διὰ τοῦτο φησὶν ὁ Ἀπόστολος “ ἐξαγο- “ ραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν·” οὐκοῦν νῦν μὲν οὐκ ἐσμὲν ἐν ζωῇ ἀληθινῇ· ἄλλη δέ ἐστιν ἡ ζωὴ, πρὸς ἣν καλεῖ ἡμᾶς ὁ λόγος· καὶ νῦν μὲν αἱ ἡμέραι ἡμῶν πονηραὶ, ἄλλαι δέ τινες ἀγαθαὶ, ἃς νὺξ οὐ διακόπτει· ἔσται γὰρ ὁ Θεὸς αὐτῶν φῶς αἰώνιον.

Παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ.

Κυρίλλου. Ἁγιοπρεπὲς τὸ μάθημα καὶ σωτήριον, καὶ λόγου παντὸς ἀξίαν εἶναι φημὶ τὴν ὑφήγησιν· γέγραπται γὰρ “ ὅτι “ θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης· οἱ δὲ κρατοῦντες αὐτῆς ἔδον- “ ται τοὺς καρποὺς αὐτῆς.” ἔφη δέ που καὶ ὁ Χριστοῦ μαθητὴς, “ εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγω- “ γῆσαι καὶ ὅλον τὸ σῶμα.” μέγα οὖν τῆς γλώσσης τὸ ἐγκρατὲς, ὥσπερ ἀμέλει παγχάλεπον νόσημα τὸ μὴ οὕτως ἔχειν.

Καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον.

Τοῦ Χρυσοστόμου. Δόλος δέ ἐστι τὸ ψεῦδος, καὶ ἀπάτη καὶ συκοφαντία, καὶ διαβολαὶ τὸ ἀληθὲς οὐκ ἔχουσαι· φίλα δέ πως ταυτὶ τῷ τῆς ἀληθείας ἐχθρῷ, τουτέστι τῷ Σατανᾷ, τῷ τοῦ ψεύ- δους πατρί· “ ψεύστης γάρ ἐστι,” καθὰ φησὶν ὁ Σώτηρ, “ καὶ ἐν “ τῇ ἀληθείᾳ οὐκ ἕστηκε.” παραιτητέον δὲ τοῖς ἁγίοις τὰ ἐκείνου ἁρπαγημαῖα μᾶλλον τὰ Θεοῦ, ὅς ἐστιν ἀλήθεια.

11 Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθόν.

Τοῦ αὐτοῦ. Οὐ γὰρ ἐν ἡμῖν τὸ μηδ᾽ ὅλως εἰς νοῦν δέξασθαί τι τῶν τοιούτων· προσπίπτουσι γὰρ αὐτῷ τοιαῦταί πως ἔννοιαι πλειστάκις· ἀλλ᾽ εἴπερ τις εἴη σοφὸς, ἀποφέρεται μὲν αὐτῶν, τοῖς δὲ ἀμείνοσι καὶ πολὺ λίαν ἔχουσι τὸ ἐπωφελὲς χαρίζεται τὰς ῥοπάς· τοῦτό ἐστιν οἶμαι τὸ ἔκκλινον ἀπὸ κακοῦ.

Τοῦ Ἁγίου Βασιλείου. Στοιχειώδεις αἱ παραινέσεις καὶ εἰσαγωγαὶ εἰς εὐσέβειαν· ἐκνεῦσαι προσήκει ἀπὸ τῆς ἐπὶ τὸ

κακὸν φορᾶς, καὶ οἱονεὶ ὁδοῦ κακῆς τῆς ἐν τῷ πονηρῷ βίῳ συνηθείας ἀπαλλαγέντα, οὕτως ἅψασθαι τοῦ ἀγαθοῦ, ἀποστάντα πρότερον παντελῶς καὶ ἐκνεύσαντα τοῦ κακοῦ, ὡς ἀμήχανον ὑγείαν ἀναλαβεῖν μὴ τῆς νόσου ἀπαλλαγέντα.

Ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτήν.

ΤΟΥ ΑΥΤΟΥ. *Περὶ ταύτης τῆς εἰρήνης ὁ Κύριος ἔφη, "εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν· οὐχ ὡς ὁ κόσμος δίδωσιν ὑμῖν εἰρήνην, κἀγὼ δίδωμι ὑμῖν." διώξεις δὲ τὴν εἰρήνην οὐκ ἄλλως ἢ κατὰ σκόπον τρέχων εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως· ὁ ζητῶν εἰρήνην Χριστὸν ἐκζητεῖ, ὅτι αὐτός ἐστιν ἡ εἰρήνη· ὃς ἔκτισε τοὺς δύο εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ· εἴτε τὰ ἐν τοῖς οὐρανοῖς, εἴτε τὰ ἐπὶ τῆς γῆς.*

Διώκουσι τοίνυν τὸ δίκαιον· ἵν' εὑρόντες ἁρπάσωσιν· οὗτοι δ' ἂν εἶεν οἱ καὶ αὐτὸν ζητοῦντες τὸν Κύριον, τουτέστι τὸν Χριστόν· εὑρίσκουσι γὰρ διὰ πίστεως, καλοῦντος αὐτοὺς εἰς τοῦτο τοῦ Θεοῦ καὶ πατρός.

12 Ὅτι οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.

Ἄξιοι γὰρ ἐπισκοπῆς οὐ τοὺς ταῖς ἁμαρτίαις ἐνεχομένους ἀλλὰ γὰρ ἤδη κεκαθαρμένους[g].

Ἐπεὶ αἱ ἐπιβλέπουσαι τὸ πᾶν τοῦ Θεοῦ δυνάμεις τροπικῶς ὀφθαλμοὶ λεγόμεναι· ἐπιβλέπουσι δὲ ἐπὶ τοὺς δικαίους· ἀλλὰ καὶ τὰ ὦτα αὐτοῦ ἕτοιμα εἰς τὸ δέξασθαι τὴν δέησιν αὐτῶν· τούτου χάριν, φησὶν, εἰ θέλετε τούτων ἀπολαῦσαι, ἐκκλίναντες ἀπὸ κακοῦ τὸ ἀγαθὸν ποιήσατε.

Οὐκοῦν οὐδένα καιρὸν ὁ Θεὸς τῶν δικαίων ἀφίσταται, ἀλλ' ὅταν ἡ τοῦ δικαίου χεὶρ τὴν ἐλεημοσύνην ἐργάζηται, ἔχει τοῦ Θεοῦ τὸν ὀφθαλμὸν ἐπιβλέποντα· καὶ ὅταν ἡ γλῶσσα προσεύχηται, ἕλκει τὸ δεσποτικὸν ὠτίον πρὸς ἀκρόασιν, τοῦ Κορνηλίου τὴν εὐχὴν κερδαίνουσα, "αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ."

g Aliquid hic deesse videtur.

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.

Ἡσυχίου. Ἵνα ἢ μετανοοῦντας προσδέξηται, ἢ ἐπιμένοντας τιμωρήσηται.

13 Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ
14 γένησθε; ἀλλ' εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μα-
κάριοι· τὸν δὲ φόβον αὐτῶν μὴ φοβήθητε, μηδὲ
ταραχθῆτε.

Εἰς μὲν γὰρ τὸν τῶν γάμων θέσμον παρανομούσας καὶ αὐτὰς ἐκβάλλειν ἐκέλευσεν ὁ Σωτὴρ, τούτου δὲ μὴ συμβαίνοντος πάντα τὰ ἐλαττώματα τῶν γυναικῶν φέρειν προσέταξεν.

Τοῦ Χρυσοστόμου. Τὸν γὰρ ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται.

Δείκνυσιν ὡς οὐδὲν αὐτοὺς κατ' ἀρετὴν οἱ ἐξ ἐθνῶν πειρασμοὶ βλάπτουσιν· ὅπουγε καὶ μακαρίους παρασκευάζουσιν ὑπομένοντας εὐχαρίστως.

15 Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν.

"Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν." ὥσπερ τὸ μεγαλύνειν τὸν Θεὸν οὐκ ἐπίδοσιν μεγέθους προσάγειν αὐτῷ δηλοῖ· ἀλλ' οὐδὲ τὸ δοξάζειν εὔκλειαν ἔξωθεν φέρειν παρίστησιν, οὕτως οὐδὲ τὸ ἁγιάζειν τὸν Κύριον προστιθέναι αὐτῷ ἁγιότητα σημαίνει· ὅπερ καὶ ἐν τῇ καρδίᾳ τῇ ἡμετέρᾳ τοῦτο ποιεῖν προσταττόμεθα. εἰ γὰρ τῆς ἁγιότητος αὐτοῦ ἀκριβῆ διάληψιν σχοίημεν, οὐ καθάπαξ αὐτὸν ἁγιάζομεν, ἀλλ' ἐν τῇ καρδίᾳ ἡμῶν προστιθεμένης ἐκ τοῦ τοῦτο[h] ποιεῖν τῇ νοήσει ἡμῶν τῆς περὶ Θεοῦ ἁγιότητος. ὡσαύτως καὶ ὁ μεγαλύνων αὐτὸν τοῦ μεγέθους αὐτοῦ μετοχὴν εἰς ἑαυτὸν δέχεται· ὅθεν εἴρηται· "μεγαλύνει ἡ ψυχή "μου τὸν Κύριον." καὶ "μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί." ὡσαύτως τὸ τῆς δόξης εἰδὼς εἰς αὐτὸν δοξάζει ἑαυτόν. ταῦτα δὲ οὐ δοκεῖ παράδοξα εἶναι τῷ ἀκριβῶς ἐπισταμένῳ, ὡς ὁ Θεὸς οὐ δέχεται, ἀλλὰ χορηγεῖ τὰ ἀγαθά.

Ἔστι μὲν προφητικὴ ἡ φωνὴ, λέγει δὲ ὡς οὐδεὶς φόβος ἔστιν

[h] εκτουτουτο Cod., accentus tantum (acutus ut videtur), notatus erat super primum υ, corrector dein erasit, et circumflexum apposuit super duobus υ.

ἐν ὑμῖν, ὃς δυνήσεται ἡμᾶς ἀναγκάσαι μὴ Κυρίον ὁμολογεῖν τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν, ἀλλ' ἁγιάσετε. δεικνὺς ὡς αὐτὴ ἡ ὁμολογία ἁγιασμός ἐστι τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος.

Ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ ἀπαιτοῦντι
ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, μετὰ πραΰτητος
16 καὶ φόβου· συνείδησιν ἔχοντες ἀγαθὴν, ἵνα ἐν ᾧ κατα-
λαλῶσιν ὑμῶν ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπη-
ρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν.

Διδύμου. Δεῖ γὰρ οὕτως παρεσκευασμένους εἶναι πρὸς γνῶσιν τῆς πίστεως, ὡς ἐν παντὶ καιρῷ ἀπαιτουμένους ἡμᾶς τὸν περὶ αὐτῆς λόγον εὐχερῶς ἀποκρίνεσθαι· ἀποκρινομένους δὲ πραότητα ἐπιδείκνυσθαι καὶ φόβον Θεοῦ· ὁ γὰρ τὸν περὶ τοῦ Θεοῦ λόγον λαλῶν, οὕτως ὀφείλει λαλεῖν ὡς παρόντος τοῦ Θεοῦ.

17 Κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα
18 τοῦ Θεοῦ, πάσχειν, ἢ κακοποιοῦντας· ὅτι καὶ Χρίστος
ἅπαξ περὶ ἁμαρτιῶν ὑπὲρ ἡμῶν ἔπαθε, δίκαιος ὑπὲρ
ἀδίκων· ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ· θανατωθεὶς μὲν
σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι.

Ἐπειδή τινες θαυμάζουσι πῶς ὁ μὲν Σωτὴρ ἔφη, "μὴ μεριμνή-"σητε πῶς ἢ τί λαλήσετε," ὁ δὲ Ἀπόστολος ἐνταῦθα "ἕτοιμοι "πρὸς ἀπολογίαν," οὐκ ἔστιν ἐν ἀντιλογίᾳ· ἀλλὰ τὸ μὲν περὶ μαρτυρίου εἴρηται, τὸ δὲ περὶ διδασκαλίας· ὅταν μὲν γὰρ ἐν συλλόγῳ φίλων ὁ ἀγὼν ᾖ, κελευόμεθα μὴ μεριμνᾶν· ἄτοπον γὰρ μὴ εἶναι ὃ διδάσκειν ἐπαγγελόμεθα· ὅταν δὲ δικαστήριον ᾖ φόβερον, καὶ δῆμοι λυττῶντες, καὶ παντόθεν δέος, τὴν οἰκείαν ἐπηγγείλατο παρέξειν ῥοπήν· καὶ γὰρ μέγιστον ἦν, ἀνθρώπους τῶν ἰχθύων ὀλίγον κατὰ τὴν ἀφωνίαν διαφέροντας, τυράννων καθεζομένων, καὶ πάντων παρεστώτων, καὶ ξιφῶν γεγυμνωμένων, καὶ πάντων ἐκείνοις συμμαχούντων, εἰσελθεῖν δεδεμένους καὶ εἰς γῆν κύπτοντας δυνηθῆναι ῥῆξαι φωνήν· ὥστε εἰκότως οἱ μὲν τῆς θείας ἀπολαύουσι ῥοπῆς· οἱ δὲ διδάσκονται τῷ τῆς ἀμαθίας μὴ ἐκδιδόναι ἑαυτοὺς ὕπνῳ· σοφοὶ γὰρ εἶναι ὀφείλουσιν οἱ τῆς σοφίας φοιτηταί· καὶ γὰρ ἡ

πρᾶξις τότε ἐπαινετή ἐστιν, ὅταν λογισμῷ ἐπιτελῆται· τὸ γὰρ ἄνευ συνέσεως καὶ ἐξετάσεως δοκεῖν τι εἰδέναι μέμψιν φέρει· "γνῶσις γὰρ ἀσυνέτων ἀδιεξέταστοι λόγοι."

Πάλιν αὐτοῖς παραινεῖ μὴ λυπεῖσθαι ἐφ' οἷς ἀδίκως πάσχουσιν, εἰρηκὼς δὲ, "εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ," παθεῖν ἡμᾶς ἐδίδαξε τὰς θλίψεις οἰκονομικῶς διὰ γυμνασίαν ἡμῶν γινομένας κατὰ συγχώρησιν Θεοῦ, καὶ εἰς τοῦτο ἐπαλείφων ἡμᾶς. πάλιν τὸν Χριστοῦ θάνατον ἐξηγεῖται καὶ τὴν ἀνάστασιν. ὅρα δὲ πῶς ἡμῖν ἐκήρυξε τὸ μυστήριον. εἰπὼν γὰρ "θανατωθεὶς μὲν σαρκὶ, "ζωοποιηθεὶς δὲ Πνεύματι," ὅμοιον ὡσεὶ λέγοι, ἀποθανὼν μὲν ὑπὲρ τῆς κατεχομένης ἡμῶν σαρκὸς τῇ φθορᾷ· ἐγερθεὶς δὲ ὡς Θεὸς, τὴν γὰρ θεότητα διὰ τοῦ Πνεύματος ὠνόμασε "Πνεῦμα "γὰρ ὁ Θεὸς," φησὶ τὰ θεῖα λόγια· οὐδαμοῦ γὰρ διαιρεῖ τῆς ἰδίας σαρκὸς τὸν λόγον.

19 Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς
20 ἐκήρυξεν, ἀπειθήσασι ποτὲ, ὅτε ἀπεξεδέχετο ἡ τοῦ Θεοῦ
μακροθυμία, ἐν ἡμέραις Νῶε, κατασκευαζομένης κιβωτοῦ,
εἰς ἣν ὀλίγαι, τουτέστιν ὀκτὼ, ψυχαὶ διεσώθησαν δι'
ὕδατος.

Κυρίλλου. *Λύει ἐνταῦθα τὴν ἀντίθεσιν ἐκείνην ἥν τινες ἀντιτίθεντες λέγουσιν· εἰ ἐπωφελὴς ἦ ἡ ἐνανθρώπησις, τί δήποτε μὴ πρὸ πολλῶν ἐνηνθρώπησε χρόνων· ἰδοὺ γὰρ "καὶ τοῖς ἐν φυλακῇ "πνεύμασι πορευθεὶς ἐκήρυξεν;" ἵνα λύσῃ τούτους, ὅσοι πιστεύειν ἔμελλον· εἰ κατ' ἐκεῖνο καιροῦ σαρκωθεὶς τοῖς ἐπὶ γῆς ἐπεφοίτησεν· οὗτοι γὰρ αὐτὸν καὶ ἐν τοῖς καταχθονίοις ἐπιφανέντα πάντως ἐπέγνωσαν, καὶ τῆς ἐπιφανείας ἀπέλαυσαν.*

Τῇ ψυχῇ πορευθεὶς ἐκήρυξε τοῖς ἐν ᾅδου, ὡς ψυχὴ μετὰ ψυχῶν ὀφθεὶς, ὃν οἱ πυλωροὶ τοῦ ᾅδου ἰδόντες ἔπτηξαν, καὶ πύλαι χαλκαῖ συνετρίβησαν, καὶ μοχλοὶ σιδηροῖ συνεθλάσθησαν· καὶ ὁ μονογενὴς ἐφώνει μετ' ἐξουσίας ταῖς ὁμοιοπαθέσι ψυχαῖς, κατὰ τὸν τῆς οἰκονομίας λόγον, λέγων τοῖς ἐν δεσμοῖς, ἐξέλθετε[1], καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύφθητε.

[1] *ἐξέλθατε* Cod.

Τουτέστι, καὶ τοῖς ἐν ᾅδου ἐκήρυξεν· ἵνα λύσῃ τούτους ὅσοι πιστεύειν ἔμελλον, εἰ κατὰ τὸν τῆς ἐκείνων ζωῆς καιρὸν σαρκωθεὶς ἐπεδήμησεν· οὗτοι γὰρ καὶ εἰς ᾅδου πάντως ἐπέγνωσαν· ἔστι γὰρ τὰ πλείω τῆς καθ' ἡμᾶς οἰκονομίας ὑπὲρ φύσιν καὶ παράδοσιν· καθάπερ οὖν ὁμοτίμως πᾶσι τοῖς ἐπὶ γῆς διὰ τῆς ἐνσάρκου παρουσίας ἐπεφώνει Χριστὸς, καὶ οἱ πιστεύσαντες ὠφελήθησαν, οὕτω καὶ διὰ τῆς εἰς ᾅδου καταβάσεως, τοὺς πιστεύοντας καὶ ἐπεγνωκότας αὐτὸν ἠλευθέρωσε τῶν τοῦ θανάτου δεσμῶν· αἱ γὰρ τῶν ἐν εἰδωλολατρίαις καὶ ἀθεμίτοις ἀσελγείαις βιωσάντων ψυχαὶ, ταῖς σαρκικαῖς προσπαθείαις οἱονεὶ ἀποτυφλωθεῖσαι, πρὸς τὰς τῆς θεοφανείας αὐγὰς βλέπειν οὐκ ἴσχυον· ἵνα καὶ πιστῶς ἐπιγνοῖεν τὸν ἐπὶ τῷ πάντας ἐλευθερῶσαι τό γε ἐπ' αὐτῷ τοῖς καταχθονίοις ἐπιφανέντα, καὶ κοινῇ πᾶσι κηρύξαντα· καὶ μετὰ τοῦ φιλανθρώπου καὶ τὸ δίκαιον ἐνδεικνύμενον· ἵνα οἱ τῆς τοιαύτης εὐεργεσίας ἀποπεσόντες, σφᾶς αὐτοὺς ἔχοιεν αἰτιᾶσθαι, τὸν δημιουργὸν καὶ τὸν τῶν ὅλων Θεὸν ἀπολιπόντες, καὶ δαίμοσι μισανθρώποις δουλεύσαντες, καὶ ὡς ἐκείνοις φιλὸν ὑπῆρχε διαβιώσαντες.

Σευήρου. Ἀλλ' οὐ πᾶσι τοῖς ἐκεῖσε κατεχομένοις, ἀλλὰ μόνοις τοῖς πιστεύσασι καὶ ἐπεγνώκοσιν αὐτὸν τὴν ἄφεσιν ἐδωρήσατο. ἐπέγνωσαν δὲ αὐτὸν οἱ δι' ἀγαθῶν ἔργων τῆς κακίας ἑαυτοὺς ἐκκαθάραντες, καθ' ὃν ἐν σαρκὶ χρόνον ἐβίωσαν· πάντες γὰρ καὶ οἱ δικαίως πολιτευσάμενοι, πρὶν ἐπιφανῆναι τοῖς καταχθονίοις Χριστὸν, ὑπὸ τῶν δεσμῶν τοῦ θανάτου κατείχοντο, καὶ τὴν αὐτοῦ κἀκεῖσε παρουσίαν ἀνέμενον, ἀποκεκλεισμένης αὐτοῖς τῆς ἐπὶ τὸν παράδεισον ὁδοῦ διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως· ὅτι δὲ οὐ πάντες οἱ ἐν τοῖς ὑποχθονίοις ὄντες ἀπώναντο τῆς ἐκεῖσε Χριστοῦ καταβάσεως, ἀλλ' οἱ πεπιστευκότες μόνον, δηλοῖ μὲν Γρηγόριος ὁ Θεολόγος ἐν τῷ εἰς τὸ Πάσχα λόγῳ, προτείνας ἐν ἐπαπορήσει[k] τὴν πρότασιν, ὡς ἀξίαν ζητήσεως, τῇ ἐπαγωγῇ δὲ δοὺς τὴν τοῦ ἀληθοῦς ἐπικράτειαν· ἔφη γὰρ οὕτως· "κἂν εἰς ᾅδου κατίῃ, συγκάτελθε· γνῶθι καὶ τὰ ἐκεῖ μυστήρια, τίς ἡ οἰκονομία τῆς διπλῆς καταβάσεως, τίς ὁ λόγος. ἁπλῶς σώζει πάντας ἐπιφανεὶς, ἢ κἀκεῖ τοὺς πιστεύοντας." Ἰγνάτιος δὲ ὁ θεοφόρος καὶ μάρτυς οὕτω φησί· "πῶς ἡμεῖς δυνησόμεθα ζῆσαι χωρὶς

[k] Sic.

" αὐτοῦ, οὗ καὶ προφῆται, μαθηταὶ ὄντες τῷ Πνεύματι, ὡς διδάσκα-" λον αὐτὸν προσεδόκων· καὶ διὰ τοῦτο ὃν δικαίως ἀνέμενον, παρὼν " ἤγειρεν αὐτοὺς ἐκ νεκρῶν." Καὶ μετ' ὀλίγα—[1]Καθάπερ οὖν ὁμοτίμως πᾶσι τοῖς ἐπὶ γῆς διὰ τῆς ἐνσάρκου παρουσίας ἐφάνη Χριστὸς, καὶ οἱ πιστεύσαντες ὠφελήθησαν· οὕτω καὶ διὰ τῆς εἰς ᾅδου καταβάσεως, τοὺς πιστεύσαντας καὶ ἐπεγνωκότας αὐτὸν ἠλευθέρωσε τῶν τοῦ θανάτου δεσμῶν. αἱ γὰρ τῶν εἰδωλολατρίαις καὶ κώμοις καὶ μέθαις καὶ ἀθεμίτοις ἀσελγείαις βιωσάντων ψυχαὶ, ταῖς σαρκικαῖς προσπαθείαις οἷον ἀποτυφλωθεῖσαι, πρὸς τὰς τῆς θεοφανείας αὐγὰς οὐκ ἰσχύουσιν· ἵνα πίστως ἐπιγνοῖεν τὸν ἐπὶ τῷ πάντας ἐλευθερῶσαι τόγε ἐπ' αὐτῷ τοῖς καταχθονίοις ἐπιφανέντα, καὶ κοινῇ πᾶσι κηρύξαντα, καὶ μετὰ τοῦ φιλανθρώπου τὸ δίκαιον ἐνδεικνύμενον· ἵν' οἱ τῆς τοιαύτης εὐεργεσίας ἀποπεσόντες, σφᾶς αὐτοὺς ἔχοιεν αἰτιᾶσθαι, τὸν δημιουργὸν καὶ τῶν ὅλων Θεὸν ἀπολιπόντες, καὶ δαίμοσι μισανθρώποις δουλεύσαντες, καὶ ὡς ἐκείνοις φίλον ὑπῆρχε διαβιώσαντες.

Ἀμμωνίου. Ἠρώτησέ με ὁ σχολαστικὸς Καισάριος, εἰ κατελθόντος εἰς ᾅδου Ἰησοῦ τοῦ Θεοῦ Λόγου, πασῶν τῶν ψυχῶν ἐλύθη τὰ δεσμά; καὶ εἶπον, ναί. εἶτα οὖν φησι. καὶ ὁ Ἰούδας λελυμένος ἦν; καὶ εἶπον, καὶ πάνυ. οὐ γὰρ οἷόν τε ἦν, τοῦ παμβασιλέως παρόντος, τὸν τύραννον καὶ αὐτὸν χειρωθέντα, λέγω δὴ τὸν θάνατον, ἔτι τοὺς αἰχμαλώτους κατέχειν. τί οὖν ὁ Κύριος ἐποίησέ, φησιν; ἐκήρυξεν ὡς ἐπὶ γῆς, καὶ τοῖς ἐν ᾅδου πᾶσι, τὴν εἰς αἰώνιον σωτηρίαν ἄγουσαν ὁδὸν, ὥστε πιστεύειν εἰς τὸν Πατέρα καὶ εἰς αὐτὸν τὸν ἐνανθρωπήσαντα καὶ ἀποθανόντα ὑπὲρ ἡμῶν, καὶ κατελθόντα εἰς ᾅδου, καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ τοὺς μὲν πιστεύσαντας ἀνήγαγε σὺν ἑαυτῷ· τοὺς δὲ ἀπιστήσαντας εἴασε κάτω πάλιν ἐν τῇ πρώτῃ καταστάσει· εἶτα πάλιν εἶπέ μοι. καὶ πῶς οἷόν τε ἦν τοὺς ἐν ᾅδου διὰ μετανοίας ἐλευθερωθῆναι, " ἐν δὲ " τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι;" ἢ τάχα ἡ ἐξομολόγησις ἐπὶ τῶν μεταμελομένων ἐφ' οἷς ἔπραξαν, καὶ ἐξομολογουμένων τὰ ἴδια πλημμελήματα χώραν ἔχει, ὅπερ τότε οὐ γέγονε· ψιλὴ γὰρ πίστις ἔσωσε τοὺς ἐν ᾅδῃ πιστεύσαντας. καὶ ἔστι μὲν σαφὲς ἀνάγνωσμα ἐν ταῖς Καθολικαῖς, ὅτι ἐκήρυξεν ἐν ᾅδου τοῖς ἀπειθή-

[1] Quæ seq. usq. ad v. διαβιώσαντες jam allata fuere anonymo auct. p. 67, 5.

σασιν ἀνθρώποις, ἐκήρυξε δὲ οὐχὶ μάτην, ἀλλ' ἵνα τοὺς πιστεύσαντας τῷ κηρύγματι λυτρώσηται· ὥσπερ καὶ ἐπὶ τῆς γῆς ὢν, τοὺς πιστευσάντας ἠλευθέρου τῶν προτέρων ἁμαρτημάτων διὰ τῆς θείας ἀναγεννήσεως, ἐπὶ τὸ ἀρχέτυπον αὐτοὺς ἀναστοιχειῶν. εἶτα πάλιν εἶπέ μοι. καὶ τῷ Ἰούδα ἐκήρυξε, καὶ ἔδωκεν αὐτῷ ἄδειαν τοῦ ἐκ μετανοίας συναναβῆναι αὐτῷ; καὶ εἶπον· οὐ νομίζω. καὶ γὰρ περιττὸν ἦν τῷ εἰδότι κηρύξαι, ὅπουγε καὶ τοῖς μέλλουσι βαπτίζεσθαι προσάπαξ αἱ μυσταγωγικαὶ κατηχήσεις γίνονται· ὁ δὲ Ἰούδας οὐ μόνον ὅτε κατηχήθη τὸ μυστήριον καὶ κατεδέξατο, ἀλλὰ καὶ ἄλλοις αὐτὸς ἐκήρυξε, καὶ θείας χάριτος ἠξιώθη, ὥστε καὶ δαίμονας ἐκβάλλειν καὶ ἰάσεις ποιεῖν· ὕστερον δὲ διὰ τοῦ αὐτεξουσίου τῆς ἑαυτοῦ γνώμης μετατραπεὶς ἐξώκειλεν· ὃς οὐδὲ ἐλεγχθεὶς παρὰ τοῦ Κυρίου, ὅτι σύ με ἔχεις παραδοῦναι, ᾐσχύνθη, οὔτε νιπτόμενος τοὺς πόδας μετὰ τῶν ἕνδεκα παρὰ τοῦ Ἰησοῦ, ἐπὶ τῷ ἐλεγμῷ διετράπη, ἀλλ' ἔμεινε τῷ ἑαυτοῦ σκοπῷ. καὶ μή μοι τὶς εἴπῃ, ὅτι ἄκων ἔπραξε τὸ κακόν· τοῦτο γὰρ οὐδεὶς Χριστιανῶν λέγειν ἀνέχεται· τάχα δὲ οὐδὲ ἄλλης θρησκείας ἄνθρωπος. ἀλλ' οὔτε αὐτὸς ὁ Ἰούδας τοῦ πταίσματος τὴν αἰτίαν εἰς ἄλλον ἀνήγαγεν, ἀλλ' εἰς ἑαυτόν. ἀμέλει γοῦν ὕστερον συνεωρακὼς τὸ πταῖσμα, ὃ ἐποίησεν, ἑαυτὸν ἐτιμωρήσατο καὶ ἀπήγξατο· καὶ ἐν τούτῳ δεικνὺς τὸ φονικὸν ἑαυτοῦ τῆς ψυχῆς κίνημα· οὐ γὰρ ἠρκέσθη ὅτι ἐφόνευσε τὸν Κύριον, ἀλλὰ καὶ ἑαυτὸν ἀνεῖλεν· οὐ φόνῳ τὸν φόνον ἐξιλεούμενος· ᾔδει γὰρ ὅτι ὁ ἑαυτὸν φονεύων τιμωρεῖται ὡς ὁ ἄλλον φονεύων· ἀλλὰ μεστὸς ὢν ὑποψίας, καὶ μὴ ἀνεχόμενος ὀνειδισθῆναι ὡς προδότης, ἀγχόνῃ ἐχρήσατο. οὐκ ἠγνόει γὰρ ὅτι ἐπίμονος μετάνοια τὸν Θεὸν δυσωπεῖ, ἀλλ' ὡς ὑπερόπτης οὐκ ἠνέσχετο τοῦτο ποιῆσαι, ὅπερ ποιήσας καὶ Παῦλος ὁ τὸν Στέφανον φονεύσας δυνάμει ἠλεήθη· καὶ Πέτρος ὁ ἀρνησάμενος τὸν Χριστὸν, καὶ διὰ μετανοίας καὶ δακρύων συγχωρηθείς.

Διδάξας ἡμᾶς ὡς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ὁ Χριστὸς, διδάσκει ὅτι καὶ τὴν εἰς ᾅδου πορείαν πεποίηται, τὰς τῶν πάλαι τεθνηκότων ψυχὰς ἀνάξων ἐκεῖθεν· εἴρηκε γὰρ τοῖς ἐν δεσμοῖς, ἐξέλθετε· καὶ ὡς ὁ Εὐαγγελίστης ἔφη, "πολλὰ σώματα τῶν "κεκοιμημένων ἁγίων ἀναστάντα εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, "καὶ ἐνεφανίσθησαν πολλοῖς." διὸ καὶ ὁ Παῦλος κηρύττων

Χριστὸν οὕτω φησὶν, "ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς "ὑπεράνω τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα."

21 Ὃ ἀντίτυπον νῦν καὶ ἡμᾶς σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν.

Τουτέστιν οὐ τύπος ἦν ἐκεῖνο τὸ ὕδωρ. ὥσπερ γὰρ ἐκεῖνο τοὺς μὲν πονηροὺς ἐκόλασε, τοὺς δὲ ἀγαθοὺς διεφύλαξεν, οὕτω καὶ τοῦτο, τοὺς μὲν πονηροὺς ἀποπνίγει δαίμονας· σώζει δὲ τοὺς προσιόντας αὐτῷ. δείκνυσι δὲ καὶ πόσον εἰς δύναμιν τὸ βάπτισμα· ὅπουγε ψυχῆς ἁμαρτημάτων ἐστὶν ἀπόνιψις·[1] καὶ πῶς αὐτοῦ δεόμεθα διδάσκει· πῶς δὲ, ἢ ὁμολογοῦντες τὴν ἀνάστασιν τοῦ Κυρίου;

22 Δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς τὸν οὐρανὸν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

Ὅρα πάλιν ὡς σαφῶς ἡμῖν τὴν οἰκονομίαν ἐκτίθεται, μνημονεύσας γὰρ θανάτου καὶ ἀναστάσεως, καὶ τῆς εἰς οὐρανὸν ἀνόδου μέμνηται· καὶ ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Πατρός· ἵνα γὰρ μὴ νομίσῃς αὐτὸν παθεῖν καὶ ἀπωλεσαί τι τῆς δόξης, ἀκούσας γενόμενον ἄνθρωπον καὶ ἀποθανόντα, τούτου χάριν καὶ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὴν ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδραν λέγει· καὶ ὡς πᾶσα αὐτὸν ἡ τῶν ἄνω πληθὺς προσκυνεῖ· τὸ δὲ "ὑποταγέντων" πάλιν διὰ τὴν οἰκονομίαν εἴρηται.

ΚΕΦ. Η.

Περὶ ἀποθέσεως φαύλων πράξεων καὶ ἐπαναλήψεως τῶν ἐν πνεύματι καρπῶν κατὰ τὴν διαφορὰν τῶν χαρισμάτων.

1 Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε.

Τοῦ Ἁγίου Ἀθανασίου. Διὰ τοῦτο ὁ Ἀπόστολος οὐκ εἴρηκε "Χριστοῦ οὖν παθόντος θεότητι" ἀλλ' "ὑπὲρ ἡμῶν σαρκὶ," ἵνα μὴ αὐτοῦ τοῦ Λόγου ἴδια κατὰ φύσιν, ἀλλ' αὐτῆς τῆς σαρκὸς ἴδια φύσει τὰ πάθη ἐπιγνωσθῇ. Καὶ μετ' ὀλίγα—Εἰ μὲν ἑτέρου τὸ

[1] Cod. ἀπόνηψις.

σῶμα, ἐκείνου ἂν λέγοιτο καὶ τὰ πάθη. εἰ δὲ τοῦ Λόγου ἡ σάρξ. "ὁ γὰρ Λόγος σὰρξ ἐγένετο, ἀνάγκη καὶ τὰ τῆς σαρκὸς πάθη λέγεσθαι αὐτοῦ, οὗ καὶ σάρξ ἐστι· οὗ δὲ λέγεται τὰ πάθη, οἷά ἐστι τὸ κατακριθῆναι, τὸ διψᾶν, καὶ ὁ σταυρὸς καὶ ὁ θάνατος, καὶ αἱ ἄλλαι τοῦ σώματος ἀσθένειαι, τούτου καὶ τὸ κατόρθωμα καὶ ἡ χάρις ἐστίν.

Κυρίλλου. Οὐκοῦν ἀνάγκη νοεῖν, ὅτι γεγονὼς καθ' ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος σαρκὶ πέπονθεν ἑκών. "βεβαπτίσμεθα γὰρ οὕτως "εἰς τὸν αὐτοῦ θάνατον" ὡς ἑνὸς ὄντος Υἱοῦ, κατὰ μὲν τὴν τῆς θεότητος φύσιν ἀπαθοῦς, παθητοῦ δὲ κατὰ τὴν σάρκα.

Σευήρου ἐκ τῆς πρὸς Φώτιον Ἐπιστολῆς. Προδήλως δείκνυσι διὰ τοῦ προσδιορίσασθαι καὶ εἰπεῖν "σαρκὶ," ὡς ὁ αὐτὸς ἀπαθὴς ὑπῆρχε θεότητι καὶ οὐ συναισθανόμενος τῶν αἰκιῶν· καθὰ δὴ καὶ συναισθάνεσθαι πέφυκεν ἡ τοῦ καθ' ἡμᾶς ἀνθρώπου ψυχή. τὸ γὰρ θεῖον ἀπαθὲς, καὶ οὐδενὶ τῶν ἀλγύνειν πεφυκότων ὑποκείμενον, οὐδὲ κατά τι τῶν τῆς ἀπαθείας ἐξιστάμενον ὁρῶν· ἀλλ' αὐτὸς τῶν παθῶν πάθος γινόμενον καὶ ἀμβλῦνον τοῦ θανάτου τὸ κέντρον, κἂν εἰ διὰ σαρκὸς παθητῆς τοῦτο συμπλέκοιτο.

Τοῦ Αὐτοῦ ἐκ τῆς πρὸς Ἀνδρόνικον Κοινοβιάρχην Ἐπιστολῆς. "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ"—Καὶ ὡσαύτως, "ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ὑπὲρ ἡμῶν ἀπέ-"θανε, δίκαιος ὑπὲρ ἀδίκων· θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ "Πνεύματι." καὶ γὰρ κηρύξας τὸν Χριστὸν πεπονθέναι καὶ τεθανατῶσθαι σαρκὶ, σαφῶς ἔδειξεν, ὡς ὑπῆρχε καὶ αὐτὸς παθητὸς σαρκὶ καὶ ἀπαθὴς τῇ θεότητι· καὶ οὐ διαιρούμενος μετὰ τὴν ἄφραστον ἕνωσιν τῇ δυάδι τῶν φύσεων· ἀλλ' εἷς ὢν Κύριος καὶ Χριστὸς καὶ Υἱὸς, καὶ ἓν πρόσωπον, καὶ ὑπόστασις μία, ἡ αὐτοῦ τοῦ Λόγου σεσαρκωμένη· παθόντος μὲν καὶ ἀποθανόντος ἑκουσίως, ᾧ γέγονεν ἄνθρωπος· μείναντος δὲ ἀπαθοῦς, ᾧ κατ' οὐσίαν ὑπῆρχε πρὸ αἰώνων Θεὸς, καὶ ὁμοούσιος τῷ Πατρὶ καὶ τῷ Πνεύματι· καὶ τὸ πρὸς ἡμᾶς ὁμοούσιον καὶ ὁμοιοπαθὲς ἐν ἀληθείᾳ καὶ βουλήσει καταδεξάμενος.

Τοῦ Αὐτοῦ ἐκ τῆς πρὸς τοὺς ἐν Κωνσταντινουπόλει ὀρθοδόξους ἐπιστολῆς. "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν "σαρκί." τοῦτο γὰρ οὐ κατὰ τὴν τῶν Δοκητῶν ψυχρολογίαν δια-

ζευγνύντος ἐστὶν, ἀλλὰ καὶ μᾶλλον ἕνα καὶ ἀδιάτμητον εἰδότος, τὸν ἀτρέπτως σαρκωθέντα Λόγον μονογενῆ· καὶ γὰρ ἐπειδὴ περὶ ἀπαθοῦς κατὰ φύσιν Θεοῦ διελέγετο "παθόντος ὑπὲρ ἡμῶν·" τούτου χάριν ἀναγκαῖον ἡγήσατο τὸν προσδιορισμὸν, καὶ κατήγγειλεν αὐτὸν πεπονθέναι σαρκί. τοῦ αὐτοῦ δὲ ὄντος ἀπαθοῦς, καὶ ἑνὸς ἐξ ἀμφοῖν τοῦ Ἐμμανουὴλ, θεότητος λέγω καὶ ἀνθρωπότητος, χρειωδέστατα λίαν προσδιωρίσατο τὸν πεπονθότα, γινώσκειν μὲν ἀπαθῆ, πεπονθότα δὲ τῇ πεφυκυίᾳ πάσχειν σαρκί.

Τοῦ Αὐτοῦ. "Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ," διὰ τοῦτο ἀναγκαῖον ὁ Πέτρος ἡγήσατο τὸν προσδιορισμὸν, εἰπὼν "παθόντος σαρκὶ," ὡς περὶ ἑνὸς προσώπου, καὶ μιᾶς ὑποστάσεως, καὶ μιᾶς φύσεως τοῦ Θεοῦ Λόγου σεσαρκωμένης, διαλεγόμενος· εἰ γὰρ εἰς δύο διῄρητο, περιττὸν ἦν καὶ ἀπόπληκτον ἄγαν, καὶ ῥῆμα μεθύοντος νοῦ καὶ παραπαίοντος λογισμοῦ, τὸ τὸν παθητὸν λέγειν πεπονθότα σαρκί. ἀλλ' ἐπείπερ ἦν Θεὸς ἀπαθὴς, καὶ δι' ἡμᾶς ἀτρέπτως παθητὸς γενόμενος ἄνθρωπος, Χριστὸν ἡμῖν ἐκήρυξε παθητὸν σαρκί.

Κυρίλλου. Ὡς γὰρ ὑπάρχοντος Θεοῦ τοῦ Χριστοῦ, σοφῶς καὶ ἐμφρόνως ὁ μαθητὴς σαρκὶ πεπονθέναι φησὶν αὐτόν. ὑπεξάγων τοῦ παθεῖν τὴν ἀπόρρητον φύσιν, ἧς ἀλλότριον τὸ παθεῖν· ἰδίᾳ τοίνυν πέπονθε σαρκὶ, καίτοι τοῦ παθεῖν ἀμοιρεῖν εἰθισμένος ὁ ἐκ Θεοῦ Λόγος. Θεὸς οὖν ἄρα ὁ Χριστὸς, θεϊκῶς μὲν ἀπάθης, παθητὸς δὲ κατὰ τὴν σάρκα.

2 Ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἄγεσθαι, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον.

Τουτέστιν ἀνθρωπίναις ἤτοι κοσμικαῖς· αἱ μὲν γὰρ κατὰ Θεὸν τῆς ψυχῆς εἰσὶ σωτηρία, κατὰ τὸ, "ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με." αἱ δὲ μὴ τοιαῦται, ἀλλ' οἷαι αἱ τῶν Ἰουδαίων, γίνονται τῆς ἐπιθυμίας, ὡς ὁ λαὸς ὁ ἐπιθυμητός [n].

3 Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ βούλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους,

[n] ὡς ὁ λαὸς ἐπιθ. add. rec. m. in marg.

ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρίαις.

Σετήρου. *Ὃ τοίνυν λέγει τοιοῦτόν ἐστι. δεῖ τῶν τοῦ ἐθνικοῦ βίου πράξεων ἀσελγῶν ἀπέχεσθαι, καὶ μὴ ἀνατρέχειν πρὸς τὰ παλαιὰ, μήτε ζηλοῦν ἐκείνους τοὺς ἐν κώμοις καὶ μέθαις ἀνεστρεφομένους.*

4 *Ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες.*

Σετήρου. *Οἵ τινες ξενίζονται καὶ ἐκπλήττονται βλέποντες ὑμᾶς καθάπαξ εἰς τὸ ἀγαθὸν ἐπιστρέφοντας, καὶ μὴ συντρέχοντας αὐτοῖς "εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν·" καὶ οὐ μόνον τὸ ἀγαθὸν οὐ ζηλοῦσιν, ἀλλὰ καὶ πρὸς βλασφημίαν ἐκτρέπονται.*

5 *Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς.*

Τινές φασιν ὅτι ζῶντας τὰς ψυχὰς ἐκάλεσε, καὶ νεκροὺς τὰ σώματα. ἀδύνατον γὰρ ψυχὴ ἐκτὸς τοῦ ἰδίου σώματος ἐλθεῖν εἰς κρίσιν· ὅμως ζῶντας ἐνταῦθα τοὺς δικαίους καλεῖ, διὰ τὸ πράξεις ἐπιτηδεῦσαι τῆς μελλούσης ζωῆς· νεκροὺς δὲ τοὺς ἁμαρτωλοὺς, τοὺς νενεκρωμένους τοῖς παραπτώμασι, καὶ τοῖς νεκροῖς ἔργοις ἐναποθανόντας· καὶ γὰρ δικαίοις ἀλλὰ καὶ ἁμαρτωλοῖς μάλιστα καὶ τοῖς νενεκρωμένοις τοῖς παραπτώμασιν ἐκηρύχθη τὸ εὐαγγέλιον· ἵνα αὐτοὶ κρίνωσιν ἑαυτοὺς, τὴν ψῆφον καθ' ἑαυτῶν ἀνθρωπίνως ἐκφέροντες· καὶ τὴν σάρκα κρίνοντες, καὶ τοῖς πόνοις τῆς μετανοίας δαμάζοντες, καὶ τῆς θείας ἑαυτοὺς ἐξαρπάζοντες κρίσεως· ὥστε κρίνεσθαι μὲν ἐν σαρκὶ κατὰ ἀνθρώπους, τουτέστιν ὡς ἄνθρωπος ἑαυτοῦ φειδόμενος κρίνει ἑαυτὸν, ζῆν δὲ κατὰ Θεὸν ἐν πνεύματι.

Σετήρου ἐκ τοῦ κατὰ Ἀλέξανδρον. *Τουτέστι τῷ μέλλοντι, τῷ λόγου θᾶττον καὶ ἑτοίμως καὶ μετ' εὐκολίας πάσης, οὐδενὸς ὄντος τοῦ ἐμποδίζοντος, πάντα γὰρ αὐτῷ γυμνὰ παραστήσεται, κρίναι δικαίους τε καὶ ἁμαρτωλούς· κρινεῖ γὰρ τότε καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὡς φησὶν αὐτὸς ὁ Σωτὴρ, "καὶ "στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ "εὐωνύμων," ζῶντας γὰρ τοὺς δικαίους καλεῖ· διὰ τὸ πράξεις*

ἐπιτηδεῦσαι τῆς μελλούσης ζωῆς, καὶ πρὸς ταύτην παρασκευάσασθαι· νεκροὺς δὲ τοὺς ἁμαρτωλοὺς τοὺς νενεκρωμένους τοῖς παραπτώμασι, καὶ τοῖς νεκροῖς ἔργοις ἐναποθανόντας· οὕτω που φησὶ καὶ ὁ προφήτης· "προσκαλέσατε τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ." τοὺς μὲν τοῦ οὐρανοῦ πράξαντας ἄξια προσαγορεύσας οὐρανὸν, γῆν δὲ ὀνομάσας τοὺς προσηλωθέντας καὶ προσπαγέντας τῇ γῇ· καὶ διὰ τοῦτο τοὺς μὲν ἄνω καλουμένους ὡς μεταρσίους καὶ ὑψηλοὺς, τοὺς δὲ βρίθοντας κάτω πάντως εἰς γῆν, καὶ διακρινομένους τοῦτον τὸν τρόπον. καὶ οὐκ ἕξουσιν ἀπολογίαν ὡς μὴ τυχόντες τῆς προσηκούσης προνοίας· "εἰς τοῦτο γάρ," φησι, "καὶ νεκροῖς εὐηγγελίσθη," καὶ τὰ ἑξῆς.

6 Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι
μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ Θεὸν Πνεύ-
7 ματι. πάντων δὲ τὸ τέλος ἤγγικε.

Νεκροὺς ἐνταῦθα καλεῖ τοὺς ἐν τοῖς ἔθνεσιν ὑπὸ τῶν κατηριθμημένων ἁμαρτιῶν νενεκρωμένους· οὓς καὶ εὔχεται ὁ Ἀπόστολος ἐπιστρέψαντας λόγον ἄμεμπτον ἀποδοῦναι "τῷ ἑτοίμως ἔχοντι "κρῖναι ζῶντας καὶ νεκρούς·" ζῶντας δὲ καὶ νεκροὺς πάλιν φησὶ τοὺς δικαίους καὶ ἁμαρτωλοὺς, οἷς ὁ θεῖος λόγος ἐπιδημήσας εὐηγγελίσατο τὴν τῶν οὐρανῶν βασιλείαν· οἵ τινες ἁμαρτωλοὶ προσδεξάμενοι αὐτοῦ τὰς ἐντολὰς κρίνουσιν ἑαυτοὺς κατὰ ἀνθρωποὺς σαρκὶ, τουτέστιν ἐν τῷ ἀνθρωπίνῳ τούτῳ βίῳ τὴν ἑαυτῶν σάρκα καταδικάζουσιν ἐν νηστείαις καὶ χαμευνίαις καὶ δάκρυσι καὶ τῇ λοιπῇ κακοπαθείᾳ. ἵνα ζήσωσι κατὰ Θεὸν πνεύματι, τὸ ἀποστολικὸν λόγιον ἐνθυμούμενοι τὸ φάσκον, "εἰ καὶ "ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται "ἡμέρᾳ καὶ ἡμέρᾳ."

ἘΡΩΤΗΣΙΣ ΤΙ ἘΣΤΙΝ ΕἸΣ ΤΟΥ͂ΤΟ ΚΑῚ ΝΕΚΡΟΙ͂Σ ΕΥ̓ΗΓΓΕΛΊΣΘΗ, ἽΝΑ ΚΡΙΘΩ͂ΣΙ ΜῈΝ ΚΑΤᾺ ἌΝΘΡΩΠΟΝ ΣΑΡΚῚ, ΖΩ͂ΣΙ ΔῈ ΚΑΤᾺ ΘΕῸΝ ΠΝΕΎΜΑΤΙ· ΠΩ͂Σ ΟἹ ΝΕΚΡΟῚ ΣΑΡΚῚ ΚΡΊΝΟΝΤΑΙ; Ἔθος ἐστὶ τῇ γραφῇ τοὺς χρόνους μεταλλάσσειν, καὶ εἰς ἄλλους μετεκλαμβάνειν· καὶ τὸν μέλλοντα ὡς παρῳχηκότα, ὡς μέλλοντα·[o] καὶ τὸν ἐνεστῶτα εἰς τὸν πρὸ αὐτοῦ καὶ μετὰ τὸν

[o] Leg. vid. καὶ παρῳχηκ. ὡς μελλ.

χρόνον ἐκφωνεῖν, ὡς ἐστὶ δῆλον τοῖς αὐτῆς πεπειραμένοις. φασὶν οὖν τινὲς νεκροὺς λέγειν ἐνταῦθα τὴν γραφὴν τοὺς πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τελειωθέντας ἀνθρώπους, οἷον τοὺς ἐν τῷ κατακλυσμῷ, τοὺς ἐν τῷ χρόνῳ τῆς πυργοποιΐας, τοὺς ἐν Σοδόμοις, τοὺς ἐν Αἰγύπτῳ, καὶ τοὺς ἄλλους, τοὺς κατὰ διαφόρους καιρούς τε καὶ τρόπους, τὴν πολύτροπον δίκην καὶ τὰς ἐξαισίους ἐπαγωγὰς τῶν θείων κριμάτων δεξαμένους· οἵτινες οὐχ ὑπὲρ ἀγνοίας Θεοῦ τοσοῦτον ὅσον τῆς εἰς ἀλλήλους παροινίας, τὴν δίκην ἔτισαν, οἷς εὐηγγελίσθη, λέγει, τὸ μέγα τῆς σωτηρίας κήρυγμα· κριθεῖσιν ἤδη σαρκὶ κατὰ ἄνθρωπον, τουτέστιν ἀπολαβοῦσι τῶν εἰς ἀλλήλους ἐγκλημάτων τὴν δίκην διὰ τῆς ἐν σαρκὶ ζωῆς· ἵνα ζήσωσι κατὰ Θεὸν πνεύματι, τουτέστι ψυχῇ δεχόμενοι, κατὰ τὸν ᾅδην ὄντες, τῆς θεογνωσίας τὸ κήρυγμα, διὰ τοῦ καὶ νεκροὺς σῶσαι κατελθόντος καὶ εἰς ᾅδην Σωτῆρος πιστεύσαντες. ὑπὲρ δὲ τοῦ νοηθῆναι τὸν τόπον οὕτως ἐκλάβωμεν· εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη κριθεῖσι κατὰ ἄνθρωπον σαρκὶ, ἵνα ζήσωσι κατὰ Θεὸν πνεύματι· ἢ πάλιν νεκροὺς λέγει τυχὸν ἐπικεκρουμμένως τοὺς τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντας· οἷς εἰκότως κατὰ ἀλήθειαν δι' αὐτῶν τῶν ἔργων δίδοται τὸ θεῖον Εὐαγγέλιον· καὶ σαρκικῆς μὲν εἰσηγεῖται ζωῆς ἄρνησιν, πνευματικῆς δὲ ὁμολογίαν, τοὺς ἀεὶ μὲν κατὰ ἄνθρωπον, λέγω δὴ τὴν ἀνθρωπίνην ἐν σαρκὶ κατὰ τὸν αἰῶνα τοῦτον ζωὴν ἀποθνήσκοντας, ζῶντας δὲ κατὰ Θεὸν μόνῳ τῷ πνεύματι κατὰ τὸν θεῖον Ἀπόστολον καὶ τοὺς ἀμφ' αὐτὸν, τοὺς ζῶντας μὲν οὐδαμῶς ἰδίαν ζωὴν, ζῶντα δὲ τὸν Χριστὸν ἐν ἑαυτοῖς κατὰ μόνην ἔχοντας τὴν ψυχήν. οὕτως οἱ διὰ τὸν Θεὸν ἐν τῷ αἰῶνι τούτῳ νεκροὶ σαρκὶ κρίνονται· θλίψεις καὶ βασάνους πολλὰς καὶ στενοχωρίας ἔχοντες, καὶ διωγμοὺς καὶ μυρία πειρασμῶν εἴδη μετὰ χαρᾶς ὑπομένοντες. εἴτε οὖν διατρίβειν ὁ Θεὸς ἡμᾶς βούλεται φησὶ, τοῦ καλῶς ἀγωνίζεσθαι προνοώμεθα, εἴτε ἐντεῦθεν ἤδη ἡμᾶς ἀπαλλάξαι, σκοπῶμεν περὶ τοῦ καλῶς καὶ ἱλαρῶς καὶ συνειδότι ἀγαθῷ διοδεῦσαι ἐπὶ τὸ Ἰησοῦ ἀποκείμενον τοῖς ἁγίοις τέλος· ὁ αὐτὸς γὰρ τέλος. ὥστε ἂν τοῦ ζητουμένου τέλους παρ' Ἕλλησιν, ὅτι πότερόν ἐστιν ἡδονὴ, ἢ ἐπιστήμη, ἢ θεωρία, ἢ ἀρετὴ, ἢ ἀδια-

φορία, ἢ ὁτιδήποτε λέγουσι φιλοσόφων παῖδες, ἡμᾶς εἰπεῖν ὅτι τὸ τέλος ἐστὶν ὁ Χριστός· μεταβαλὼν δὲ εἰς τὰς δυνάμεις αὐτοῦ τὸ Χριστὸς ὄνομα, ἔτι μᾶλλον ὄψει τὸ τέλος χρηματίζει τῶν μετὰ Θεὸν λόγων, καὶ ζωὴ καὶ φῶς, καὶ δικαιοσύνη, καὶ τὰ λοιπά.

Σετήρου. Νεκροὺς οἶδεν ἡ θεία γραφὴ τοὺς ἁμαρτωλοὺς καὶ νενεκρωμένους τὴν ψυχὴν ταῖς ἁμαρτίαις ἀποκαλεῖν, ὡς ἔνθα Παῦλος Ἐφεσίοις ἐπιστέλλων φησὶ "καὶ ἦμιν τέκνα ὀργῆς ὡς καὶ οἱ λοιποὶ, ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν "ἀγαπὴν αὐτοῦ, ἣν ἀγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς "παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ." Καὶ μετ' ὀλίγα— Καὶ πάλιν ἐκ τοῦ ἐναντίου νεκροὺς τοῖς ἱεροῖς γράμμασι προσαγορεύειν ἔθος τοὺς διὰ τῶν τῆς δικαιοσύνης ἔργων τὸ σῶμα νεκροῦντας ἀπὸ τῶν τῆς ἁμαρτίας παθῶν καὶ τῶν ἐπιθυμιῶν τῆς σαρκὸς, κατὰ τὸ εἰρημένον τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, "τὸ "μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιο- "σύνην." καὶ πάλιν, "πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες."

Τοῦ αὐτοῦ. Καὶ δικαίοις ἀλλὰ ἁμαρτωλοῖς μάλιστα καὶ τοῖς νενεκρωμένοις τοῖς παραπτώμασιν ἐνεκηρύχθη τὸ Εὐαγγέλιον, ἵν' αὐτοὶ κρίνωσιν ἑαυτοὺς, τὴν ψῆφον καθ' ἑαυτῶν ἀνθρωπίνως ἐκφέροντες, καὶ τὴν σαρκὰ κρίνοντες, καὶ τοῖς πόνοις τῆς μετανοίας δαμάζοντες, καὶ τῆς θείας ἑαυτοὺς ἁρπάζοντες κρίσεως· ἐπεὶ καὶ "φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος." ὥστε κεκρίσθαι μὲν σαρκὶ κατὰ ἀνθρώπους, ὡς ἄνθρωπος ἑαυτοῦ φειδόμενος κρίνει ἑαυτῶν, ζῆν δὲ κατὰ Θεὸν πνεύματι· οὕτω γὰρ καὶ Παῦλος φησὶν, "εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανα- "τοῦτε ζήσεσθε."

Ἐπειδὴ ἀσεβεῖς ἦσαν οἱ προαπελθόντες, οἱ δὲ ἀσεβεῖς οὐκ ἀναστήσονται ἐν κρίσει, τούτου χάριν κἀκεῖ ἐκήρυξεν ὁ Σωτὴρ, ἵνα πιστεύσαντες καὶ αὐτοὶ τῆς ἐπὶ τοῦ κριτοῦ παραστάσεως, γένωνται ἄξιοι ἐν τῷ τῆς ἀναστάσεως καιρῷ, ὅτε κομιεῖται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξε, ζῶσιν οὖν πνεύματι ἅτε συγχωρηθέντες καὶ ἀνεθέντες τῶν δεσμῶν διὰ τῆς εἰς τὸν Ἰησοῦν πίστεως.

8 Σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς· πρὸ
πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι
9 ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν· φιλόξενος εἰς ἀλλή-
10 λους, ἄνευ γογγυσμῶν· ἕκαστος καθὼς ἔλαβε χάρισμα,
εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες.

Τῶν γὰρ ἐφ' ἡμῖν κειμένων, καὶ ὧν ἐσμὲν κύριοι, μὴ ποιεῖν τι, πάσης ἀδικίας ἔχει γραφήν. οὐ γὰρ μόνον ἐπὶ τῆς τῶν χρημάτων κτήσεως, καὶ τῶν ἔξωθεν ὑπόχρεώς ἐστιν ὁ πλέον ἔχων τοῖς ἐνδεέσι τὴν χρείαν πληροῦν, ἀλλὰ καὶ ἐπὶ τῶν ἐκ φύσεως πλεονεκτημάτων καὶ τῶν τοῦ Πνεύματος δωρεῶν, οὐκ ἄν τις εἴποι τοῦ ἔχοντος ἴδιον εἶναι τοῦτο, ὅπερ ἔχει, μᾶλλον ἢ τοῦ πλησίον καὶ ἐν ἐνδείᾳ καθεστηκότος καὶ μετέχειν ὀφείλοντος· "εἴ τις γὰρ "διακονεῖ ὡς ἐξ ἰσχύος," φησὶν, "ἧς χορηγεῖ ὁ Θεὸς," καὶ τὰ ἑξῆς.

11 Ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ· εἴ τις
λαλεῖ, ὡς λόγια Θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς
χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ
Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. ἀμήν.

Τοῦ Χρυσοστόμου. Εἰ ὡς τὸν Χριστὸν δέχῃ, μηδὲν γογγύσῃς μὴ δὲ ἐπαισχυνθῇς, μᾶλλον δὲ καὶ σεμνύνου ἐπὶ τῷ πράγματι· εἰ δὲ μὴ ὡς τὸν Χριστὸν δέχῃ μὴ δὲ δέξῃ, "ὁ δεχόμενος "ὑμᾶς" φησὶν, "ἐμὲ δέχεται·" ἐὰν μὴ οὕτως δέχῃ, οὐδὲ μισθὸν ἔχεις. ἀνθρώπους παριόντας ὁδίτας, ὡς ἐνόμιζεν, ὁ Ἀβραὰμ ὑπεδέχετο· καὶ οὐ πάντα τοῖς οἰκέταις ἐπέταττεν, ἀλλὰ καὶ τῇ γυναικὶ τὰ ἄλευρα φύρειν ἐπέταττε, καίτοι τιη ἔχων οἰκογενεῖς. ἀλλ' αὐτὸς ἐβούλετο τὸν μισθὸν ἔχειν μετὰ τῆς γαμετῆς· οὐ τῆς δαπάνης μόνον, ἀλλὰ καὶ τῆς διακονίας· οὕτω δεῖ φιλοξενίαν ἐπιδείκνυσθαι, δι' ἑαυτῶν πάντα πράττοντας, ἵνα ἡμεῖς ἁγιαζώμεθα.

Ὅσα ἀπὸ φιλοξενίας εὐεργετηθῆναι συμβαίνει διδάσκει ὁ Λὼτ, ὡς μόνος τῶν ἐν Σοδόμοις κατοικούντων, διὰ τὸ ἥμερον καὶ φιλόξενον, ἠξιώθη μετὰ τῶν τέκνων διαφυγεῖν[q] τὴν ἀπώλειαν.

[q] Cod. διαφυγὴν.

Κυρίλλου. Οἱ τὴν ἑστίαν εὐρύνοντες ὑπαντάτωσαν ἱλαροὶ, πρόθυμοι, οὐχ ὡς δίδοντές τι μᾶλλον, ἀλλ' ὡς αὐτοὶ ληψόμενοι κατὰ διττὸν τρόπον· πρῶτον μὲν γὰρ ταῖς παρὰ τῶν ξενιζομένων ἐντρυφήσωσι συντυχίαις· εἶτα πρὸς τοῦτο καὶ τὸν τῆς φιλοξενίας κερδάνουσι μισθόν· δεχόμενοι δὲ εἰς ἑστίαν τοὺς ἀδελφοὺς, μὴ περισπάσθωσαν περὶ πολλὴν διακονίαν, μὴ ζητήτωσαν τὰ ὑπὲρ χεῖρα καὶ χρείαν· λυπεῖ γὰρ πανταχοῦ ἐν παντὶ πράγματι τὸ περιττόν· ἐνεργάζεται μὲν τοῖς φιλοξενεῖν ἐθέλουσιν ὄκνον· καμάτου δὲ τοῖς ἑστιωμένοις εὑρίσκεται· μὴ ξένον[r] τοῦτον νομίσητε συμβαίνειν ὑμῖν καὶ στενοχωρίας καὶ θλίψεις καὶ ἀρρωστίας σωματικάς· ἀλλ' ἐν τοῖς δοκοῦσι δυσχερέσι τὸ δόκιμον ἐπιδείξασθε.

ΚΕΦ. Θ.

Ὅτι κοινωνίᾳ τῇ πρὸς Χριστὸν κρατεῖν χρεὼν τῶν φυσικῶν παθῶν, ἐλπίδι τε τῆς εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων βλάβας.

12 Ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς
13 πειρασμὸν ὑμῖν γενομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος·
ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι, χαί-
ρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χάρητε
14 ἀγαλλιώμενοι. Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μα-
κάριοι· ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τὸ τοῦ Θεοῦ
Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς βλασ-
φημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται.

Διδάσκει αὐτοὺς πρὸς τοὺς ὑπὲρ τῆς πίστεως ἐγκαρτερεῖν διωγμοὺς καὶ τὰς λοιπὰς τοῦ βίου δυσκολίας.

Τοῦ Ἁγίου Βασιλείου. Φυσικῶς γὰρ τοῖς οἰκειοτάτοις μάλιστα δυσχεραίνομεν, ὅταν εἰς ἡμᾶς ἐξαμαρτάνωσιν.

Τουτέστιν ἀπὸ τῶν πιστῶν καὶ συμπληρούντων τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. τοῦτο γὰρ καὶ ὁ Σωτὴρ ἔλεγεν, "ἐρεῖ πρῶτον τοῖς "ἐκ δεξιῶν."

15 Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ
16 κακοῦργος, ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς Χριστι-

[r] In marg. πρόξενον sec. man. quædam certe exciderunt.

ανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ
17 μέρει τούτῳ· ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ
τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος
τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;

'Ενστάντος καιροῦ τοῦ λαβεῖν ἀρχὴν τὸ τοῦ Θεοῦ κρίμα, διαβαίνειν ἄρχεται ἐκ τῶν μειζόνων εἰς τοὺς ὑποδεεστέρους, τουτέστιν ἀπὸ τῶν πιστῶν καὶ συμπληρούντων τὴν τοῦ Θεοῦ 'Εκκλησίαν· διὸ καὶ ἐπιφέρει· εἰ πρῶτον ἀφ' ἡμῶν ὄντων Θεοῦ οἴκων ἡ ἐξέτασις τῶν βεβιωμένων γίνεται, τί χρὴ νομίζειν τέλος τοῖς ἀπειθήσασι τῷ Εὐαγγελίῳ τοῦ Θεοῦ; ἀγῶνα καὶ φόβον πολὺν ἐμποιεῖ τοῖς πιστοῖς, ὅπως ἀσφαλῶς μάθωσι τὸν κριτὴν πρὸς ὃν ἔχουσι τὸν λόγον· τούτους διεγείρας εἰς τὸν αὐτοῦ φόβον προτρέπει τοὺς ἀπειθοῦντας τῇ θείᾳ διδασκαλίᾳ, φάσκων ἄφευκτον ἀπαντήσεσθαι τοῖς τοιούτοις κόλασιν, ἣν τέλος αὐτῶν ὠνόμασε περιγράφουσαν, ἣν εἶχον ἀπείθειαν· τούτους διεγείρων ἔτι μᾶλλόν φησι, τοῦ δικαίου μόγις τὴν σωτηρίαν λαβόντος, τί χρὴ νομίζειν περὶ τῶν ἀσεβῶν τῶν διὰ τὸ αὐτοκατάκριτον μὴ ἐγειρομένων εἰς κρίσιν, καὶ περὶ τῶν ἁμαρτωλῶν τῶν ἐν βουλῇ δικαίων μὴ ἀνισταμένων; μόγις γὰρ τοῦ δικαίου σωζομένου ἀγωνιῶντος περὶ τοῦ πῶς τὸ κατ' αὐτὸν ἐξετέλεσε κρίμα· εἰ γὰρ καὶ μηδὲν φαῦλον ἑαυτῷ σύνοιδεν, ἀλλ' οὖν εἰδὼς ὅτι οὐκ ἐν τούτῳ δεδικαίωται, ἕως ὁ κριτὴς αὐτὸν δικαιώσει ἀγωνιᾷ· δύναται δὲ ἀσεβὴς εἶναι ὁ ἔξω Θεοῦ πάντη τυγχάνων· ἁμαρτωλὸς δὲ ὁ περιεχόμενος μὲν Θεοῦ, ἄλλως δὲ καταφρονῶν καὶ παραβαίνων αὐτοῦ τοὺς νόμους· εἰ δὲ καθ' ὑποκείμενον ὁ αὐτὸς ἁμαρτωλὸς ἀσεβὴς εἴη, τὴν διαφορὰν κατ' ἐπίνοιαν ἕξει· δυνατὸν δὲ τὸν ἁμαρτάνοντα εὐθέως καὶ ἀσεβῆ εἶναι, τῷ διὰ καταφρονήσεως ἀσεβεῖν εἰς Θεόν.

18 Καὶ εἰ ὁ δίκαιος μόλις σώζεται.

Παραίνεσίς ἐστι σπουδῆς καὶ ἐπιμελείας περὶ τὸ σωθῆναι.

19 'Ο ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥστε καὶ
οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, ὡς πιστῷ

κτιστῇ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

Οὐδεμίαν θλίψιν ἔχων οὐδὲ ἱδρῶτα ὑπὲρ ἀρετῆς.

Δίκαιος ὁ ἐν πράξει καθήκων, συμβαίνει δὲ τοῦτον φύσει καὶ οὐκ ἐπιστήμῃ τοῦτο ποιῶν· ἀσεβὴς ὁ τὸν ὄντα Θεὸν μὴ σέβων· ἁμαρτωλὸς δὲ ὁ περὶ τὰς πράξεις πονηρός.

ΚΕΦ. I.

Παραίνεσις πρεσβυτέρων περὶ ἐπισκοπῆς τοῦ ποιμνίου.

1 Πρεσβυτέρους οὖν τοὺς ἐν ὑμῖν παρακαλῶ, ὁ συμ-
πρεσβύτερος καὶ μάρτυς τῶν τοῦ Χριστοῦ παθημάτων,
ὁ καὶ τῆς μελλούσης ἀποκαλύπτεσθαι δόξης κοινωνὸς,
2 ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ, ἐπισκοποῦντες
μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως· μηδὲ αἰσχροκερδῶς,
3 ἀλλὰ προθύμως· μήδ' ὡς κατακυριεύοντες τῶν κλήρων,
4 ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος
τοῦ ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης
στέφανον.

Τοῦ Χρυσοστόμου. Φησὶ γὰρ ὁ Χριστὸς, "ὁ θέλων ἐν "ὑμῖν εἶναι πρῶτος ἔσται ὑμῖν διάκονος· ὃς γὰρ ταπεινώσει ἑαυτὸν "οὗτος ὑψωθήσεται." τί λέγεις; ἐὰν ταπεινώσω ἐμαυτὸν[r], τότε ὑψηλὸς ἔσομαι; ναί φησι· τοιαύτη γὰρ ἡ ἐμὴ δύναμις διὰ τῶν ἐναντίων τὰ ἐναντία παρέχειν· εὔπορός εἰμι καὶ εὐμήχανος· μὴ δείσῃς· τῷ ἐμῷ θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις· οὐκ ἐγὼ τῇ φύσει ἕπομαι.

* Περὶ κοινῆς[s] πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

5 Ὁμοίως δὲ οἱ νεώτεροι ὑποτάγητε πρεσβυτέροις·
πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφρο-

[r] ἑαυτὸν Cod. [s] τῆς παντ. Bar.

σύνην ἐγκομβώσασθε· ὅτι ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσ-
6 σεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ταπεινώθητε οὖν
ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ
ἐν καιρῷ.

Τοῦ αὐτοῦ. Οὐχ ἁπλῶς τὸ "ὑψώσει," ἀλλ' "ἐν καιρῷ" προσέθηκε· διδάσκων αὐτοὺς ἐκείνην ἀναμένειν τὴν ὄντως ἐν τῷ μέλλοντι αἰῶνι ὕψωσιν.

7 *Πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες ἐπ' αὐτὸν,*
ὅτι αὐτῷ μέλει περὶ ὑμῶν.

Κυβερνήτην ἔχετέ, φησι, καὶ ἡνίοχον· καὶ τὰ κατ' αὐτοὺς τῆς προνοίας ἐκείνης ἐξαρτήσατε· οὕτω γὰρ ἀσάλευτοι διαμενεῖτε καὶ ἀκλόνητοι.

8 *Νήψατε, γρηγορήσατε· ὁ ἀντίδικος ὑμῶν διάβολος,*
ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα καταπίῃ·
9 ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ
τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτε-
λεῖσθαι.

Ἰστέον δὲ ὅτι τοῖς νοητῶς ὑπνοῦν εἰωθόσι τὸ χαλεπὸν ἀληθῶς ἐπιπηδᾷ θηρίον· καὶ τοῦτο διδάσκει λέγων ὁ Χρίστου μαθητὴς, "νήψατε, γρηγορήσατε," καὶ τὰ ἑξῆς.

Καλῶς ὁ Ἰουστῖνος εἶπεν, "ὅτι πρὸ μὲν τῆς τοῦ Κυρίου παρουσίας οὐδέποτε ἐτόλμησεν ὁ Σατανᾶς οὕτω βλασφημῆσαι τὸν ἄνθρωπον, ἅτε μηδέπω εἰδὼς τὴν ἑαυτοῦ κατάγνωσιν ἢ κατάκρισιν, διὰ τὸ ἐν παραβολαῖς καὶ ἀλληγορίαις κεῖσθαι· μετὰ δὲ τὴν παρουσίαν τοῦ Κυρίου ἐκ τῶν λόγων αὐτοῦ καὶ τῶν Ἀποστόλων, μαθὼν ἀναφανδὸν, ὅτι πῦρ αἰώνιον αὐτῷ ἡτοίμασται, κατ' ἰδίαν γνώμην ἀποστάντι τοῦ Θεοῦ, καὶ πᾶσι τοῖς ἀμετανοήτως παραμείνασιν ἐν τῇ ἀποστασίᾳ, διὰ τῶν τοιούτων ἀνθρώπων βλασφημεῖ τὸν τὴν κρίσιν ἐπάγοντα Κύριον, ὡς ἤδη κατακεκριμένος, καὶ τὴν ἁμαρτίαν τῆς ἰδίας ἀποστασίας τῷ ἐκτικότι αὐτὸν ἀποκαλεῖ[t], ἀλλ' οὐ τῇ ἰδίᾳ αὐθαιρέτῳ γνώμῃ· ὡς καὶ οἱ

[t] ἀποκαλεῖν Cod.

“ παραβαίνοντες τοὺς νόμους, ἔπειτα δίκας διδόντες, αἰτιῶνται τοὺς “ νομοθέτας, ἀλλ᾽ οὐχ ἑαυτούς· διὰ τοῦτο ὡς λέων περιπατεῖ “ ὠρυόμενος πάντας φιλονεικῶν ἑλκῦσαι πρὸς τὴν ἰδίαν ἀπώ- “ λειαν.”

Σευήρου. Ἐντεῦθεν ἐμανθάνομεν καὶ τοῦ ἀνταγωνιστοῦ τὸ θηριῶδες ὁμοῦ καὶ ἀκόρεστον· καὶ ὅτι πάντας τοὺς εἰς τοῦτο τὸ στάδιον ἀξιωθέντας καταβῆναι διὰ τῶν ὁμοίων ἐλθεῖν πρὸς τὸ μέτριον τῆς ἐνούσης ἑκάστῳ δυνάμεως. βούλεται γὰρ ἡμᾶς ὁ ἀγωνοθέτης ὁμοίως διὰ πάντων ἀγαγεῖν, ὅπως ἐκ πάντων καθάπερ ἐκ λειμῶνος ἄνθη συλλέγων, τὸν τῆς ἀφθαρσίας ἡμῖν στέφανον πλέξας δωρήσηται.

ΚΕΦ. ΙΑ.

Εὐχὴ ὑπὲρ τελειώσεως τῶν πιστευσάντων.

10 Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς εἰς
τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον
παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξει, σθενώσει,
11 θεμελιώσει· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς
αἰῶνας. ἀμήν.

Ὅρα πῶς τὴν αὐτὴν ἀρχὴν καὶ τέλος πεποίηται ἐκεῖ, τὸν Πατέρα διὰ τοῦ Υἱοῦ ἐλεήσαντα ἡμᾶς φήσας, πάλιν ἐνταῦθα αὐτὸν τὸν Πατέρα καλέσαντα ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν διὰ τοῦ Ἰησοῦ Χριστοῦ· οὗτος γὰρ αὐτοῖς πανταχοῦ σκοπὸς κηρύξαι τὸ μυστήριον, εἰ καὶ τοῦ βίου ἡμῶν φροντίζοντες παραινετικὸν, καὶ ἡμῖν συμφέροντα συναίρουσι λόγον.

12 Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογί-
ζομαι, δι᾽ ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν
ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ εἰς ἣν ἑστήκατε.
13 Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρ-
κος ὁ υἱός μου. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι
ἀγάπης.

Βαβυλῶνα οὖν τροπικώτερον τὴν Ῥώμην ὀνομάζει· συνεκλεκτὴν δὲ τὴν ἐν αὐτῇ τῇ Ῥώμῃ συστᾶσαν Χριστοῦ Ἐκκλησίαν· Μάρκον

δὲ τὸν εὐαγγελιστὴν λέγει, ὃν καὶ υἱὸν ἐν Χριστῷ ἀποκαλεῖ· ᾧ καὶ ἐπέτρεψε γράψαι τὸ Εὐαγγέλιον.

14 Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ. ἀμήν.

Τοῦ Χρυσοστόμου. Ὅρα πῶς ὅταν τὰ πρακτέα ὑπαγορεύῃ, ἐπισημαίνεται αὐτὰ τῇ εὐχῇ· καθάπερ σήμαντρα τῶν ἀποτεθέντων τίθεις τὴν εἰρήνην.

Τέλος τῆς πρώτης ἐπιστολῆς καθολικῆς Πέτρου.

ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ Β.

ΥΠΟΘΕΣΙΣ.

ἘΠΕΙΔΗ καὶ ταύτην πάλιν ὁ αὐτὸς Πέτρος ἐπιστέλλει τοῖς ἤδη πιστεύσασιν· ἔστι δὲ ἡ Ἐπιστολὴ ὑπόμνησις τῶν πρώτων· εἰδὼς γὰρ ταχεῖαν αὐτοῦ ἔσεσθαι τὴν ἀνάλυσιν τοῦ σώματος, ἐσπούδασε πάντας ὑπομνῆσαι περὶ ὧν κατηχήθησαν τὴν διδασκαλίαν· καὶ πρῶτον μὲν περὶ τῆς πίστεως ἐξηγεῖται· δεικνὺς ἀπὸ τῶν προφητῶν αὐτὴν εὐηγγελίσθαι· καὶ ὅτι αἱ προφητεῖαι, αἱ περὶ τοῦ Σωτῆρος, οὐκ εἰσὶν ἀνθρωπίναι, ἀλλὰ παρὰ Θεοῦ ἐλαλήθησαν. ἔπειτα παραγγέλλει μὴ προσέχειν τοῖς ἀπατῶσι, λέγων ἔσεσθαι αὐτῶν ἀπώλειαν, ὥσπερ καὶ τῶν παραβάντων Ἀγγέλων γέγονε· προμηνύει δὲ ἐν τῇ Ἐπιστολῇ ἡμέρας ἔσεσθαι ἐν αἷς ἐμπαίκται περιπατήσουσι καὶ θελήσουσιν ἀπατᾶν τινὰς, λέγοντες μάτην λέγεσθαι παρ᾽ ἡμῶν τὴν παρουσίαν τοῦ Σωτῆρος διὰ τὸ ἀεὶ λέγεσθαι, καὶ μήπω παραγεγενῆσθαι. ἀπὸ τούτων οὖν καὶ μάλιστα ἀπέχεσθαι παραγγέλλει, διδάσκων μὴ ὀλιγωρεῖν ἐν τοῖς χρόνοις· πάντα γὰρ τὸν χρόνον μηδὲν εἶναι ἐνώπιον Κυρίου· διὰ τὸ καὶ μίαν ἡμέραν ὡς χίλια ἔτη εἶναι, καὶ τὰ χίλια ἔτη ὡς ἡμέραν μίαν· ἔσεσθαι δὲ καὶ ταχέως τὴν ἡμέραν Κυρίου διαβεβαιοῦται καὶ ἀποδείκνυσιν, καὶ ἐντέλλεται ἑτοίμους τὲ εἶναι εἰς αὐτὴν ἔργοις ἀγαθοῖς, καὶ ἀγαπᾶν τὰ ὑπὸ τοῦ Ἀποστόλου Παύλου γραφέντα, καὶ μὴ προσέχειν τοῖς διαβάλλουσιν αὐτὰ, διὰ τὸ καὶ πάσας τὰς θείας γραφὰς διαβάλλειν αὐτούς. ὑπομνήσας οὖν καὶ διατάξας πάντας προειδέναι τὰ πράγματα, παραινεῖ μὴ ἐκπίπτειν τοῦ σκοποῦ τῆς πίστεως, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦ. Α.

Περὶ κλήσεως τῆς ἐν πίστει βεβαιουμένης, ἔργοις τοῖς τῆς ἀρετῆς, καὶ ἐλπίδος τῶν μελλόντων ἀγαθῶν.

1 Συμεὼν Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ
Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δι-
καιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.

Ὅρα πῶς ἐξ ἀρχῆς ἀνίστησι τὰς ψυχὰς τῶν πιστευσάντων, εἰς τὸ ἶσον αὐτοὺς τοῖς ἀποστόλοις ἀναφέρων χάρισμα.

Ἴση γὰρ ἡ χάρις ἡ τοῦ θείου βαπτίσματος.

2 Χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει
τοῦ Θεοῦ, καὶ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Τοῦ Χρυσοστόμου. Οὐδὲν γὰρ ταύτης ἶσον· διὰ τοῦτο εὐχόμεθα καὶ λέγομεν αἰτοῦντες τὸν Ἄγγελον τῆς εἰρήνης· καὶ πανταχοῦ εἰρήνην αἰτοῦμεν ἐν ταῖς Ἐκκλησίαις, εἰρήνην ἐν ταῖς εὐχαῖς, ἐν ταῖς λιταῖς, ἐν ταῖς προσρήσεσι· καὶ ἁπαξαπλῶς καὶ δὶς καὶ τρὶς καὶ πολλάκις αὐτὴν δίδωσιν ὁ τῆς Ἐκκλησίας προεστὼς, "εἰρήνη ὑμῖν·" διατί; ὅτι αὕτη μήτηρ πάντων ἐστι τῶν ἀγαθῶν· αὕτη τῆς χαρᾶς ἡ ὑπόστασις. διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰσιοῦσιν εἰς τὰς οἰκίας τοῖς Ἀποστόλοις τοῦτο λέγειν προσέταξεν εὐθέως, καθάπερ σύμβολον τῶν ἀγαθῶν· "εἰσερχόμενοι "γάρ," φησιν, "εἰς τὰς οἰκίας λέγετε εἰρήνη ὑμῖν·" ταύτης γὰρ οὐκ οὔσης, πάντα περιττά· καὶ ὁ Χριστὸς τοῖς μαθηταῖς ἔλεγεν, "εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν." αὕτη τῇ ἀγάπῃ προοδοποιεῖ.

3 Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς
ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως
4 τοῦ καλέσαντος ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ· δι' ὧν τὰ
μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται, ἵνα
διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόν-
τες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς.

Διὰ μακροῦ μὲν ἀποδίδωσιν· ἔστι δὲ ἡ διάνοια αὕτη· ὡς μυρία λαβόντες ἀγαθὰ διὰ τῆς ἐπιφανείας Χριστοῦ, δι' ὧν δυνάμεθα[a] καὶ θείας φύσεως γενέσθαι κοινωνοὶ, καὶ πρὸς ζωὴν καὶ

[a] δυνόμεθα Cod.

εὐσέβειαν γενέσθαι· ὀφείλομεν οὖν πολιτεύεσθαι οὕτως ὡς ἐπιχορηγεῖν τῇ πίστει τὴν ἀρετὴν, καὶ διὰ τῆς ἀρετῆς ὁδῷ βαδίζειν τὴν κατ' εὐσέβειαν προκοπὴν, ἕως ἂν εἰς τὸ τέλειον τῶν ἀγαθῶν ἔλθωμεν, ὅπερ ἐστὶν ἡ ἀγάπη.

5 Καὶ αὐτὸ δὲ τοῦτο σπουδὴν πᾶσαν παρεισενέγκαντες,
ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετὴν, ἐν δὲ τῇ
6 ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν
δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν, ἐν δὲ τῇ ὑπομονῇ τὴν
7 εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ
8 φιλαδελφίᾳ τὴν ἀγάπην. ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα
καὶ πλεονάζοντα, οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν
εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν.

Τοῦ Χρυσοστόμου. Ταῦτα ποῖα, ἢ τὰ προειρημένα· ἀρετὴ, γνῶσις, ἐγκράτεια, ὑπομονὴ, εὐσέβεια, φιλαδελφία, ἀγάπη, ἅτινα ἡμῖν οὐ μόνον παρεῖναι δεῖ ἀλλὰ καὶ πλεονάζειν· εἰ γὰρ ἡ παρουσία ὠφελεῖ, πολλῷ μᾶλλον ἡ περιουσία· τίς δὲ ἡ ἐξ αὐτῶν ὠφελεία, ἢ τὸ παρρησίαν ἔχειν ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; λέγει δὲ τὴν δευτέραν αὐτοῦ παρουσίαν· ὅτε ἔρχεται κρίναι ζῶντας καὶ νεκρούς· μέγα δὲ καὶ ὑπερβάλλον ἀγαθὸν ἀληθῶς τὸ παρρησίαν ἔχειν ἐπὶ τοῦ θείου καὶ φοβεροῦ βήματος.

9 Ὧι γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων.

Τοῦ Χρυσοστόμου. Ταῦτ' οὖν ἀκούοντες, πάντοθεν ἑαυτοὺς τειχίζωμεν καὶ προσέχωμεν τοῖς λεγομένοις, καὶ ἑαυτοὺς ἐκκαθάρωμεν τῶν βιωτικῶν· ἂν δὲ τὰ μὲν ποιῶμεν, τὰ δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ἔσται πλέον· ἂν γὰρ μὴ οὕτως, ἀλλ' ἐκείνως ἀπολλύμεθα· τί γὰρ διαφέρει ἂν μὴ διὰ πλούτου ἀλλὰ διὰ ῥαθυμίας; ἂν μὴ διὰ ῥαθυμίας ἀλλ' ἀνανδρείας διαφθαρῶμεν; ἐπεὶ καὶ ὁ γεωργὸς, ἄν τε οὕτως ἄν τε ἐκείνως ἀπολέσῃ τὸν σπόρον, ὁμοίως πενθεῖ.

Καὶ ἐκ τοῦ ἐναντίου διεγείρει ἡμᾶς ἐπὶ τὸ ἐργάζεσθαι πάντα τὰ προειρημένα καλά.

Λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτημάτων.

Δέον γὰρ, εἰδότα ὡς καθαρισθεὶς καὶ ἁγιότητος μετέλαβε, νήφειν, ἵνα διὰ παντὸς τηρῇ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

ΚΕΦ. Β.

Παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας μετὰ τὴν ἀνάλυσιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὼρ τῆς τοῦ Θεοῦ περὶ Χριστοῦ ἤκουσε[b] φωνῆς.

10 Διὸ μᾶλλον ἀδελφοὶ, σπουδάσατε, ἵνα διὰ τῶν καλῶν
ἔργων βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθε.

Ἵνα μὴ ὡς ἐπιλελησμένοι τῆς δωρεᾶς τοῦ Θεοῦ κριθῆτε, ἀλλὰ μείνητε, βεβαίαν τὴν κλῆσιν ἔχοντες.

11 Ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. οὕτω
γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν
αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ
12 Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν
περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ
παρούσῃ ἀληθείᾳ.

Πάλιν τὰ προειρημένα λέγει, ἀρετὴν καὶ τὰς ἑξῆς δηλωθείσας ἐντολὰς, δι' ὧν καὶ μετὰ παρρησίας πολλῆς εἰσέρχονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅρα δὲ πῶς πρότερον ἀπὸ τῶν φοβερῶν προτρεψάμενος, καὶ ἀπὸ τῶν ἀγαθῶν προτρέπεται, ἀπὸ τοῦ βήματος τοῦ κριτοῦ, τὴν βασιλείαν εἰπὼν τῶν οὐρανῶν.

Ἵνα μὴ δόξωσι συνεχῶς ἀναμιμνησκόμενοι περὶ αὐτῶν ὡς ἐν ἀργίᾳ εἶναι κατεγνωσμένοι, καὶ λυπηθῶσι, τούτου χάριν θεραπεύων ἐπήγαγε, "καίπερ εἰδότας ἐστηριγμένους ἐν τῇ παρούσῃ "ἀληθείᾳ."

13 Δικαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκη-
14 νώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς ὅτι ταχίστη
ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ
15 Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. σπουδάσω
δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν
τούτων μνήμην ποιεῖσθαι.

[b] ἐπήκουσε Bar.

Αἰτίαν τῆς ὑπομνήσεως ἀποδίδωσιν· αὕτη δέ ἐστι τὸ ταχέως ἐλπίζειν αὐτὸν τοῦ παρόντος μετατεθήσεσθαι βίου.

16 Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες
ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς
17 ἐκείνου μεγαλειότητος· λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς
τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ
τῆς μεγαλοπρεποῦς δόξης.

Τοῖς διδάγμασι τῶν σοφῶν τοῦ κόσμου τούτου.

ΚΥΡΙΛΛΟΥ. Μύθοι γὰρ ὄντως καὶ ἀνθρώπινα σοφίσματα τῶν αἱρετικῶν τὰ προβλήματα, οὕστινας ἐκτρέπεσθαι βουλόμενος ἡμᾶς ὁ Παῦλος γράφει· "αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν "νουθεσίαν παραιτοῦ," καὶ τὰ ἑξῆς.

Ἄρχεται μὲν ἤδη τῆς κατὰ τῶν αἱρετικῶν ἐπιδρομῆς· καθὸ ἐκεῖνοι τὴν ἀλήθειαν οὐκ ἔχοντες ποικίλοις λόγοις ἀναγκάζονται περιπλάττειν τὸ ψεῦδος· ἀλλ' ἡμεῖς οὐχ οὕτω φησὶν, ἀλλὰ τοῖς ὀφθαλμοῖς τὴν ἀλήθειαν ἐθεασάμεθα, μετ' αὐτοῦ ὄντες ἐν τῷ ὄρει· ἔχομεν οὖν καὶ τοὺς προφήτας ταύτην αὐτὴν τὴν ἀλήθειαν ἡμῖν προμηνύσαντας, καὶ οὕτως διὰ τῆς ὄψεως βεβαιότερος τῶν προφητῶν ὁ λόγος ἡμῖν ἐγένετο· ἃ γὰρ ἐκεῖνοι εἶπον, ταῦτα παρὼν ὁ Χριστὸς ἐπιστώσατο. καὶ μάρτυρες ἡμεῖς, οἱ καὶ τὴν μαρτυρίαν ἀκούσαντες τοῦ Πατρός. εὖ δὲ καὶ ὑμεῖς ποιήσετε τῷ προφητικῷ πειθόμενοι λόγῳ· οὗτος γὰρ τοὺς ἐν ἀγνοίᾳ φωταγωγεῖ, ἕως καθαρὸν ὑμῖν τὸ φῶς τοῦ Εὐαγγελίου διαφανῇ, καὶ ὁ νοητὸς ἑωσφόρος, τουτέστι Χριστὸς, ἐν ταῖς καρδίαις ὑμῶν ἀνατείλῃ.

Μαρτυρηθεὶς ὑπὸ τοῦ Πατρός.

Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδό-
18 κησα. καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρα-
νοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ.

Τοῦτο ἤδη τρίτον ἠνέχθη· ἐπὶ τοῦ βαπτίσματος πρῶτον· δεύτερον ὅτε ἐβόησεν ὁ Υἱὸς πρὸς τὸν Πατέρα, τὸ, "Πάτερ, "δόξασόν με τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρά "σοι." καὶ τρίτον ἐπὶ τῆς μεταμορφώσεως.

19 Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ
καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν
αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος
ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

Εἰ[c] τῷ αὐτῷ Πνεύματι προφητεύουσιν οἱ τῆς νέας καὶ τῆς παλαιᾶς· ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ἐντολὴν ἔχει ὁ πρῶτος σιωπᾶν· πάντως οὐκ ἐξιστάμενοι οἱ προφῆται προεφήτευον τῷ λόγῳ, ἀλλ' ἐν τῷ κατὰ φύσιν ἱστάμενοι. καὶ ἑκόντες καὶ εἰδότες ὑπούργουν τῷ πρὸς αὐτοὺς γινομένῳ λόγῳ· ὅς τις λόγος οὐ κατὰ βούλησιν ἀνθρώπου ἠνέχθη ποτὲ, ἀλλ' ἐκ Θεοῦ φέρεται εἰς ἀνθρώπους. οἵτινες ἄνθρωποι ἑκόντες ὑπούργουν αὐτῷ. διὰ τοῦτο καὶ ὁ Βαλαὰμ παραγγέλλεται λαλεῖν τὰ ὑποβαλλόμενα αὐτῷ, ὡς αὐτεξουσίως ἔχων καὶ τοῦ μὴ λαλῆσαι αὐτά. καὶ τοῦτο δὲ αὐτὸ βεβαιοῖ καὶ ὁ Ἰωνᾶς.

20 Τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία
21 γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ γὰρ θελήματι
ἀνθρώπου ἠνέχθη προφητεία ποτὲ, ἀλλ' ὑπὸ Πνεύματος
Ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ ἄνθρωποι.

Οὐκ αὐτοί φησιν ἑαυτοὺς ἡρμήνευσαν οἱ προφῆται· οὐ γὰρ ἑαυτοῖς ἐφθέγγοντο, ἀλλὰ διακονοῦντες τῷ Πνεύματι τῷ Ἁγίῳ· τίς οὖν ἡ ἑρμηνεία αὐτῶν, ἢ τὰ ἔργα ἃ ἔδειξεν ὁ Χριστὸς ἐλθών; ὥστε ὁ τῶν προφητῶν τοὺς λόγους ἀκριβῶσαι βουλόμενος, τὴν εἰς τὸν Κύριον Ἰησοῦν πίστιν ἁρπάσει, δι' ἧς τὰ τῶν προφητῶν γινώσκεται λόγια.

Τὸν Ἰωάννην πρὸ ἡμῶν μαρτυροῦντα.

Ὁ Χριστὸς ἔλθῃ ἀπ' οὐρανοῦ, φωτίζων[d] πάντα ἄνθρωπον. ἄντικρυς γοῦν δείκνυσιν, ὅτι τοῦ Ἁγίου Πνεύματος ἔστιν ἐνέργεια τὸ προφητεύειν· καὶ ὁ Παῦλος δὲ τῷ Ἁγίῳ Πνεύματι τὴν προφητείαν δίδωσι λέγων· "ἄλλῳ δὲ προφητεία," καὶ τὰ ἑξῆς· οὐκοῦν ὁ προφητεύων ἀναμφιβόλως ἐξ Ἁγίου Πνεύματος γλώσσῃ ἐνεργουμένῃ ἀποφθέγγεται.

[c] Leg. vid. ἐν.
[d] Cod. φωτίζων, pertinet ad "φωσφόρος ἀνατείλῃ." v. 19.

ΚΕΦ. Γ.

Πρόρρησις ἀπατηλῆς ἐπαναστάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν καὶ μελλούσης κολάσεως.

1 Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ.

Ἵνα μὴ ἀκούσαντες προφητικὸν λόγον, ἁπλῶς καὶ ἀδιακρίτως τοῖς ὀνομασθεῖσι πιστεύσωσι· τούτου χάριν φησὶν, ἀσφαλίζεσθε, ἵνα μὴ ἀντὶ τῶν προφητῶν τοῖς ψευδοπροφηταῖς πεισθέντες σφαλῆτε.

Ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες
παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα
αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν
2 ἀπώλειαν· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς
ἀσελγείαις.

Ἥψατο ἤδη τῆς κατὰ τῶν Νικολαϊτῶν καταδρομῆς· λέγει δὲ διττὴν αὐτῶν εἶναι τὴν κακίαν· εἰσὶ δὲ περὶ μὲν δόγμα ἀσεβέστατοι, περὶ δὲ βίον ἀσελγέστατοι.

Δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται.

Οἱ γὰρ ἔτι πλανώμενοι, τοιαῦτά τινα ὁρῶντες περὶ τοὺς διδασκάλους τῆς ἀληθείας γινόμενα, ἀγνοοῦντες βλασφημοῦσι τὴν ἀλήθειαν. ὅμοιον δὲ τῷ εἰρημένῳ πρὸς Ἰουδαίους· "δι' ὑμᾶς τὸ "ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν."

3 Καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται.

Τουτέστι διὰ κέρδος· ἡ γὰρ πλεονεξία ποτὲ μὲν τὴν ἀδικίαν, ποτὲ δὲ τὸ κέρδος δηλοῖ· ὅθεν οἰκείως καὶ τὸ "ἐμπορεύσονται" προσέθηκεν· ἀλλοτριῶν δὲ αὐτοὺς παντελῶς τῆς θείας διδασκαλίας, "πλαστοῖς λόγοις" εἶπεν αὐτοὺς χρωμένους.

Οἷς τὸ κρίμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει.

Ἀλλ' ἕξουσί, φησι, τῆς ἀσεβείας τὰ ὀψώνια, θάνατον· τὸ δὲ "ἔκπαλαι" τῆς προγνώσεως τοῦ Θεοῦ ἐστὶ σημαντικόν. ὥσπερ

γὰρ προειδὼς τοὺς ἀγαθοὺς, ἡτοίμασεν αὐτοῖς τὰ ἐν οὐρανοῖς ἀγαθά· οὕτω καὶ τοὺς πονηροὺς προγινώσκων, κατάλληλον αὐτοῖς ἡτοίμασε τόπον.

4 Εἰ γὰρ ὁ Θεὸς Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφεί-
σατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς
5 κρίσιν τηρουμένους· καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο.

ΚΥΡΊΛΛΟΥ ἘΚ ΤΟΥ͂ ΕἸΣ ΤῸΝ ΠΡΟΦΉΤΗΝ ΜΙΧΑΊΑΝ ὙΠΟΜΝΉΜΑΤΟΣ ῬΗΤᾺ ΠΡΟΚΕΊΜΕΝΑ, "ΚΑῚ ΑἹ ΚΟΙΛΆΔΕΣ ΤΑΚΉΣΟΝΤΑΙ "ὩΣ ΚΗΡῸΣ ἈΠῸ ΠΡΟΣΏΠΟΥ ΠΥΡῸΣ ΚΑῚ ὩΣΕῚ ὝΔΩΡ ΚΑΤΑΦΕΡΌ-"ΜΕΝΟΝ." *Κοιλάδες ἡ τῶν δαιμόνων ἀγέλη καὶ πληθὺς, ἡ ταπεινὴ καὶ κατερριμμένη, ἡ δίκην κηροῦ κατατετηγμένη· ῥεύσασα δὲ καὶ ὡς ὕδωρ εἰς τοὺς ἐν ᾅδου μυχούς. προσῄεσαν γοῦν τὰ πονηρὰ πνεύματα τῷ Χριστῷ, καὶ παρεκάλουν αὐτὸν, ἵνα μὴ συντάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. ὡς γὰρ ἑτέρων ἤδη προαπεσταλμένων, οἱ περιλειφθέντες ἔτι τὸ χρῆμα καταπεφρίκασιν.*

Σημείωσον περὶ Ἀγγέλων, ὅτι καὶ Ἄγγελοι ἁμαρτήσαντες κολάζονται.

Ὅτε ἦλθεν ἐξ οὐρανῶν ὁ Χριστὸς, τοὺς μάλιστα τῶν δαιμόνων ἀρχικωτάτους κατέκλεισεν εἰς τὴν ἄβυσσον· καὶ τοῦτο δῆλον ἐκ τοῦ παρακαλεῖν τὰ πνεύματα, ἵνα μὴ βληθῶσιν εἰς τὴν ἄβυσσον· τοὺς μὲν οὖν δήσας, τοὺς δὲ κελεύσας διώκεσθαι, ἐκ τοῦ εἰπεῖν, "ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων." "δαι-"μόνια γὰρ ἐκβάλλετε," φησιν. ἐν τῷ τῆς συντελείας ἐπὶ μείζονα τιμωρίαν οὓς ἀπέκλεισε πρώην ἐξάγει, ἐκβάλλων αὐτοὺς εἰς τὸ πῦρ τὸ αἰώνιον.

ἩΣΥΧΊΟΥ ΠΡΕΣΒΥΤΈΡΟΥ ἘΚ ΤΗ͂Σ ἙΡΜΗΝΕΊΑΣ ΤΩ͂Ν ΨΑΛΜΩ͂Ν ῬΗΤῸΝ ΠΡΟΚΕΊΜΕΝΟΝ, "ἜΛΕΟΣ ΚΑῚ ἈΛΉΘΕΙΑΝ ΑΥ̓ΤΟΥ͂ ΤΊΣ "ἘΚΖΗΤΉΣΕΙ;" *Τίς γὰρ αὐτοῦ τὴν φιλανθρωπίαν δύναται καταλαβεῖν; ἢ τίς λογιστεῦσαι τὴν ἀλήθειαν δύναται; ἀπὸ μὲν γὰρ τῆς ἀληθείας "Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο," διὰ δὲ τὴν φιλανθρωπίαν πόρνας καὶ τελώνας εἰς τὴν βασιλείαν εἰσήγαγε.*

Ἀποδειξις τοῦ πάντως τοὺς ἀσεβεῖς κολασθήσεσθαι· ἐπεξιὼν δὲ τοῖς ὑποδείγμασι καὶ τὰ περὶ Σοδόμων λέγει διὰ τοῦτο τεθῆναι, ἵνα εἰς αὐτά τις ὁρῶν μὴ ἀσεβῇ, εἰδὼς ὡς πάντως τὰ ὅμοια

διαπραττόμενος τῆς ἴσης μεταλάβοι κολάσεως. συμπλέκει δὲ αὐτοῖς καὶ τὰ κατὰ τὸν Λὼτ, διδάσκων ὡς ἐξὸν, μὴ κοινωνοῦν τὰ τοῖς πονηροῖς, ἔξω γενέσθαι τῆς ὁμοίας αὐτῶν τιμωρίας.

Ἀλλ᾽ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε.

Φίλωνος. Ἑτέρως γὰρ ἄνθρωποι δοκιμάζουσι τοὺς βίους, καὶ ἑτέρως τὸ θεῖον· οἱ μὲν ἐκ τῶν φανερῶν, οἱ δὲ ἐκ τῶν κατὰ ψυχὴν ἀοράτων λογισμῶν.

Κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας.

Τοῦ ἁγίου Ἐφραίμ[b]. Δεινὸς γὰρ ὄλεθρος κατεῖχε τὸν βίον κομπαζόντων[c], πορνευόντων, παροινούντων εἰς τὴν εὐσέβειαν· οὐκ ἦν αὐτοῖς ὁ βίος εἰ μὴ μανία καὶ τέρψις· ὡς θῆρες ἦσαν πρὸς πρόβατα, μόνον πρὸς τὰς γυναῖκας εἰρήνην ἔχοντες, καὶ ἐν αὐταῖς οὐ τὸν τυχόντα πόλεμον ὑπομένοντες· ἐπὶ εἴκοσι φόνοις ἀνδρῶν γυνὴ περιεφέρετο· ἡ γὰρ φθορὰ τὴν ἰσχὺν τοῦ σώματος ἐν τῇ μοιχείᾳ ἐγύμναζε. καὶ γυναῖκες οὐκ εἶχον ἐν τῇ εὐνοίᾳ τὸ καύχημα, ἀλλ᾽ ἐν τῇ πολυανδρίᾳ· οὕτω καὶ αὗται ἐξεμάνησαν· οὐχ ἥκιστα τῶν ἀνδρῶν ταῖς ψυχαῖς πολεμοῦσαι. τοὺς ἔχοντας ηὔχοντο θανεῖν, ἵνα τῇ φθορᾷ λειτουργήσωσι· προέκοπτεν ἐν αὐταῖς τὸ πάθος εἰς ἀκρασίαν· ὥστε καὶ τοὺς υἱοὺς τοῦ Θεοῦ ἑλεῖν πρὸς τὴν μίξιν τὴν ἄτιμον. οἳ ἐκ τοῦ γένους τοῦ Σὴθ ἦσαν υἱοὶ τοῦ Θεοῦ, ἐπειδὴ καὶ τὸ Εὐαγγέλιον λέγει περὶ τοῦ Χριστοῦ, ὅτι "γέγονεν υἱὸς Σὴθ, υἱὸς Ἀδὰμ, υἱὸς Θεοῦ." καὶ τὸν Ἰσραὴλ υἱὸν πρωτοτοκον ὠνόμασεν.

6 Καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας κατα-
στροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθει-
7 κώς· καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν
ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐρρύσατο.

Τοῦ Χρυσοστόμου. Βούλει τὴν αἰτίαν μαθεῖν δι᾽ ἣν τότε ταῦτα ἐγένετο; ἓν ἦν ἁμάρτημα μὲν χαλεπὸν καὶ ἐπάρατον· πλὴν ἀλλ᾽ ἐν παισὶν ἐπεμένοντο οἱ τότε· καὶ διὰ τοῦτο ταύτην ἔδοσαν τὴν δίκην.

8 Βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν

[b] ΕΥΦΡΑΙΜ Cod. [c] In marg. rec. m. κωμαζόντων.

αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις
9 ἐβασάνιζεν. οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι,
ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν.

ΣΕΥΗΡΟΥ ἘΚ ΤΗ͂Σ ΠΡῸΣ ΛΕΌΝΤΙΟΝ ΧΑΡΤΟΥΛΆΡΙΟΝ ἘΠΙΣΤΟΛΗ͂Σ. Πεπεῖσθαι χρὴ σαφῶς ὡς καὶ ὁ ἐπὶ τούτοις στεναγμὸς καὶ τὸ συναλγεῖν τοῖς πάσχουσι μέγιστον φέρει παρὰ Θεοῦ τὸν μισθὸν, καὶ τὴν πρὸς αὐτὸν οἰκείωσιν προξενεῖ. καὶ τοσοῦτον, ὡς καὶ πανδήμου πολλάκις ὀργῆς ἐπαιωρημένης ἐξαιρεῖσθαι τοὺς τῇ λύπῃ συντετριμμένους καὶ συμπαθεῖς τὴν διάνοιαν· ὅθεν γέγραφέ τι τοιοῦτον ὁ τῶν Ἀποστόλων πρωτοστάτης καὶ ἔγκριτος Πέτρος περὶ τοῦ Λὼτ ῥυσθέντος ἀπὸ τῆς Σοδόμων καταστροφῆς· "βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν "ἐν αὐτοῖς," καὶ τὰ ἑξῆς.

10 Μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίαις μι-
ασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας.
τολμηταὶ, αὐθαδεῖς, δόξας οὐ τρέμουσι βλασφημοῦντες·
11 ὅπου Ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ
φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν.

Ἀπὸ τῶν ὑποδειγμάτων εὐφυῶς εἰς τὴν παροῦσαν ἦλθεν ὑπόθεσιν· αὕτη δέ ἐστιν ἡ τῶν Σιμωνιανῶν, τῶν ἀσελεγείαν τῇ ἀσεβείᾳ μιξάντων.

12 Οὗτοι δὲ, ὡς ἄλογα ζῶα, γεγενημένα εἰς ἅλωσιν καὶ
φθορὰν, ἐν οἷς ἀγνοοῦσι βλασφημοῦντες, ἐν τῇ φθορᾷ
13 αὐτῶν καταφθαρήσονται, κομιούμενοι μισθὸν ἀδικίας.

ΚΥΡΙΛΛΟΥ. Καὶ γοῦν ὁ θεσπέσιος μελῳδὸς "ἄνθρωπος," φησὶν, "ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, "καὶ ὡμοιώθη αὐτοῖς." ἔθη γὰρ ἀλογίας συμπεπλεγμένα νόμους ὥσπερ ἔχοντες, ὀλίγα κομιδῇ διενεγκόντες ἐφαίνοντο κτηνῶν, ὡς ἔφην, ἃ πρὸς μόνην γέγονε φθοράν.

Πρὸς τῷ ἀσεβεῖν φησὶ, καὶ τὸν βίον ἅπαντα κατεφθαρμένον ἔδειξεν.

Ἔθος τῇ θείᾳ γραφῇ τὰ κατὰ φύσιν ὄντα θεῖα πράγματα ταῦτα τοῖς ἀνθρώποις εἰς εἰκόνας καὶ παραδείγματα λαμβάνειν.

τοῦτο δὲ ποιεῖ, ἵνα ἐκ τῶν κατὰ φύσιν ἐκείνων τὰ ἐκ προαιρέσεως φαίνηται τῶν κινημάτων τῶν ἀνθρώπων. καὶ οὕτως ἢ φαῦλος ἢ δίκαιος ὁ τούτων δείκνυται τρόπος. ἐπὶ μὲν οὖν τῶν φαύλων ἐὰν παραγγέλῃ, "μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι "σύνεσις," ἢ καὶ ὅταν μεμφόμενος τοὺς οὕτω γενομένους λέγῃ· "ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς "ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς." καὶ πάλιν, "ἵπποι θηλυμανεῖς "ἐγενήθησαν." καὶ ὁ Σωτὴρ τὸν Ἡρώδην "ἀλώπεκα" καλεῖ· καὶ τοῖς μαθηταῖς παρήγγειλεν· "ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς "πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε φρόνιμοι ὡσεὶ ὄφεις, καὶ "ἀκέραιοι ὡς αἱ περιστεραί." ἔλεγε δὲ τοῦτο, οὐχ ἵνα γενώμεθα ὄφεις ἢ περιστεραὶ, οὐ γὰρ οὕτως ἡμᾶς αὐτὸς πεποίηκε· διὸ οὐδὲ τοῦτο οἶδεν ἡ φύσις, ἀλλ' ἵνα ἡμεῖς, τῶν μὲν τὰς ἀλόγους ὁρμὰς ἐκφεύγωμεν, τοῦ δὲ τὸ φρόνιμον, ἵνα γινώσκοντες μὴ ἀπατώμεθα παρ' αὐτοῦ. καὶ τῆς περιστερᾶς τὸ πρᾶον ἀναλάβωμεν. ἐπὶ δὲ τῶν θείων πάλιν εἰκόνας τοῖς ἀνθρώποις λαμβάνων, φησὶν ὁ Σωτὴρ, "γίνεσθε οἰκτιρμόνες, ὡς ὁ Πατὴρ ὑμῶν[d] ὁ ἐν τοῖς οὐρανοῖς." καὶ "ἔσεσθε ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν[d] ὁ οὐράνιος τέλειός "ἐστι." ἔλεγε δὲ καὶ τοῦτο, οὐχ ἵνα γενώμεθα πάλιν ὡς ὁ Πατὴρ, γίνεσθαι γὰρ ἡμᾶς ὡς ὁ Πατὴρ ἀδύνατον, κτίσμα ὄντας καὶ ἐκ τοῦ μὴ ὄντος γινομένους· ἀλλ' ὥσπερ οὐχ ἵνα γενώμεθα κτήνη παραγγέλλει, "μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος·" ἵνα μὴ τὸ ἄλογον ἐκείνων μιμησώμεθα· οὕτως οὐχ ἵνα γενώμεθα ὡς ὁ Θεὸς ἔλεγε, "γίνεσθε οἰκτίρμονες ὡς ὁ Πατὴρ," ἀλλ' ἵνα πρὸς τὰς εὐεργεσίας ἐκείνου βλέποντες, ἃ ποιοῦμεν καλὰ, μὴ δι' ἀνθρώπους, ἀλλὰ δι' αὐτὸν ποιῶμεν· ὥστε παρ' αὐτοῦ καὶ μὴ παρὰ ἀνθρώπων τὸν μισθὸν ἔχειν. ὥσπερ γὰρ ἑνὸς ὄντος Υἱοῦ φύσει καὶ ἀληθινοῦ καὶ μονογενοῦς, γενόμεθα[e] καὶ ἡμεῖς υἱοὶ κατὰ χάριν τοῦ καλέσαντος· καὶ ἄνθρωποι τυγχάνοντες θεοὶ χρηματίζομεν[f], οὐχ ὡς ὁ ἀληθινὸς Θεὸς ἢ ὁ τούτου Λόγος· ἀλλ' ὡς ἠθέλησεν ὁ τοῦτο χαρισάμενος Θεός· οὕτω καὶ ὡς ὁ Θεὸς οἰκτίρμονες γινόμεθα, οὐκ ἐξισούμενοι τῷ Θεῷ, οὐ δὲ φύσει καὶ ἀληθινοὶ εὐεργέται γινόμενοι· οὐ γὰρ ἡμῶν εὕρημα τὸ εὐεργετεῖν ἀλλὰ τοῦ Θεοῦ. ἵνα δὲ αὐτὰ

[d] ἡμῶν Cod. [e] γενώμεθα corr. rec. m.
[f] χρηματίζωμεν rec. m.

τὰ παρὰ Θεοῦ εἰς ἡμᾶς κατὰ χάριν γινόμενα, ταῦτα καὶ ἡμεῖς μεταδιώκωμεν εἰς ἑτέρους, μὴ διακρινόμενοι, ἁπλῶς δὲ εἰς πάντας ἐκτείνοντες τὴν εὐεργεσίαν· κατὰ τοῦτο γὰρ μόνον δυνάμεθά πως αὐτοῦ μιμηταὶ γενέσθαι, καὶ οὐκ ἄλλως· ὅτι παρ' αὐτοῦ διακονοῦμεν ἀλλήλοις.

Ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφὴν, σπῖλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν.

Ἐπειδὰν ἀπατήσωσι, φησὶ, καὶ δυνηθῶσιν ἀσελγεῖν τοὺς συνόντας καὶ τὰς συνούσας, παρασκευάσει τὸ πρᾶγμα ἀναπληροῦντας ἑαυτῶν τὴν ἀσέλγειαν.

14 Συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας· δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες.

Οὐ δι' ἀγάπην καὶ τὸ μεταλαβεῖν ἁλῶν φησὶ, συνευωχοῦνται ὑμῖν, ἀλλὰ διὰ τὸ καιρὸν εὑρίσκειν τῆς πρὸς γυναῖκας ἀπάτης ἐπιτήδειον· ὅμοιον δὲ καὶ ὁ Ἀπόστολος περὶ αὐτῶν εἴρηκεν· "οἱ "παρεισδύνοντες εἰς τὰς οἰκίας, καὶ αἰχμαλωτίζοντες γυναικάρια "σεσωρευμένα ἁμαρτίαις."

15 Κατάρας τέκνα, καταλιπόντες εὐθείαν ὁδὸν, ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν.

Ὥστε καὶ ἐντεῦθεν ἔγνωμεν, ὅτι διὰ τὸ φιλάργυρον αὐτοῦ πάθος ὁ Βαλαὰμ, ὅπερ διὰ τῆς μανιώδους μαντείας ἔτρεφεν, ἅπαξ κωλυθεὶς ὑπὸ τοῦ Θεοῦ. τὸ δὲ δεύτερον φιλονείκως πορευθῆναι πρὸς τὸν Βαλὰκ κατηπείγετο, καὶ τῷ φόβῳ μόνον τῷ τοῦ Θεοῦ παιδευθεὶς, καὶ τοῖς δείμασι τοῖς ἐπιστᾶσιν αὐτῷ κατὰ τὴν ὁδὸν τὸ ῥῆμα τῆς εὐλογίας οὐ παρεποίησεν· ὅπερ τῆς τοῦ Θεοῦ δυνάμεως ἦν, οὐ τῆς ἐκείνου μοχθηρᾶς προαιρέσεως· οὐ δὲ τῆς γλώττης αὐτοῦ τῆς ἐντραφείσης τῇ διακονίᾳ τοῦ ψεύδους.

16 Ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν.

Ἐν τῇ βιβλῳ τῶν Ἀριθμῶν ἐμφέρεται, καὶ φησὶν, "ἤνοιξεν "ὁ Θεὸς τὸ στόμα τῆς ὄνου, καὶ εἶπε τῷ Βαλαὰμ, Τί πεποίηκά "σοι, ὅτι πέπαικάς με τοῦτο τρίτον;" καὶ τὰ ἑξῆς. πρὸς ταῦτα οὖν οἱ ἐξηγηταί φασιν, "ἡ ὄνος τοῦ Βαλαὰμ κατακρίνει αὐτὸν, ὅτι "ὑπήκουσε τῷ Ἀγγέλῳ καὶ ὑπεχώρησεν, αὐτὸς δὲ ἀκούσας τοῦ "Θεοῦ, οὐ πορεύσῃ οὐδὲ ἀρόσῃ τὸν λαὸν, οὐχ ὑπήκουσε τῇ βουλῇ. "ὅθεν καὶ διδάσκαλος αὐτοῦ γίνεται ἡ ὄνος, καὶ κριθεῖσα πρὸς "αὐτὸν, ἐδικαιώθη ὑπὲρ αὐτόν."

Εὐσεβίου Ἐμίσης. Εἶτε σὺ μὲν ἀπαιτεῖς με φυλάξαι σοι ὑπακοὴν, αὐτὸς δὲ παρακοῦσαι τοῦ Θεοῦ οὐ φοβῇ; καὶ σὺ μὲν ἀγανακτεῖς ὡς ὑπερορώμενος παρ' ἐμοῦ· αὐτὸς δὲ παριδὼν τὴν κέλευσιν τοῦ Θεοῦ οὐκ εὐλαβήθης; διόπερ ὁ Ἀπόστολός φησιν ἐν τῇ Καθολικῇ "ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον "ἤλεγξε τοῦ προφήτου τὴν ἀφροσύνην."

Τοῦ Χρυσοστόμου. Εἰ εἰς ὄνον ἐνήργησε[g] καὶ εἰς μάτην ἡ τοῦ Θεοῦ χάρις, δι' οἰκονομίαν καὶ τὴν τῶν Ἰσραηλιτῶν ὠφελείαν, εὔδηλον ὅτι εἰς ἡμᾶς παραιτήσεται ἐνεργεῖν, ἀλλ' ἀνέξεται καὶ τοῦτο δι' ἡμᾶς.

17 Οὗτοι εἰσὶ πηγαὶ ἄνυδροι.

Οὐκ ἔχοντες τὸν ζῶντα τοῦ Πνεύματος λόγον, τὸν χειμάρρουν τῆς τρυφῆς, τὸν ἐπικλύζοντα εἰς δόξαν ἐθνῶν.

Καὶ ὁμίχλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.

Οὐκ εἴσι, φησὶ, διαυγεῖς ὥσπερ οἱ ἅγιοι οἱ ὄντες νεφέλαι, ἀλλ' "ὁμίχλαι," τουτέστι σκότους καὶ γνόφου μεστοί· ὑπὸ τοῦ πονηροῦ πνεύματος ἐλαυνόμενοι[h].

18 Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείαις, τοὺς ὄντως ἀποφυγόντας, τοὺς ἐν πλάνῃ ἀναστρεφομένους.

Καὶ ματαιότης εἰσὶ τὰ ῥήματα, φησὶ, καὶ ὑπέρογκα· ἵνα μὴ μόνον διὰ τὴν ἀσέβειαν, ἀλλὰ καὶ διὰ τὸ μέγεθος τῆς ἀσεβείας κολάζωνται.

[g] ἐν ἐνήργησε Cod. [h] ἐλαυνώμενοι Cod.

19 Ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι
ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ
δεδούλωται.

Τὴν ἀπὸ τῆς πλάνης ἐλευθερίαν δηλονότι, διὰ τοῦτο γὰρ καὶ προετάξατο τοὺς ἐν πλάνῃ ἀναστρεφομένους.

20 Εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κοσμοῦ, ἐν
ἐπιγνώσει τοῦ Κυρίου καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ,
τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς
21 τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν αὐ-
τοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ
ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης ἁγίας ἐν-
22 τολῆς. συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας,
κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα· καὶ, ὗς λουσα-
μένη, εἰς κύλισμα βορβόρου.

Δείκνυσι διὰ τούτων, ὡς οὐκ ἐλευθεροῦσι τῆς πλάνης τοὺς πειθομένους αὐτοῖς· ἀλλ' εἰς χείρονα πλάνην ἕλκουσι· τὰ ἔσχατα δὲ χείρονα τῶν πρώτων λέγει, καθὸ ποτὲ μὲν ἐν ἀγνοίᾳ διάγοντες καιρὸν εἶχον ἐπιστροφῆς· νῦν δὲ ἐν τῇ δοκούσῃ γνώσει ἁμαρτάνοντες, ποῖον ἔτι σωτηρίας εὕρωσι καιρόν;

ΚΕΦ. Δ.

Ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν. Ὅτι αἰφνιδίως ἥξει Χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος· ὥστε δεῖν εὐτρεπίζεσθαι πάσῃ ἀρετῇ.

1 Ταύτην ἤδη, ἀγαπητοὶ, δευτέραν ὑμῖν γράφω ἐπιστο-
λὴν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ
2 διάνοιαν· μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ
τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων ἡμῶν
3 ἐντολῆς, τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· τοῦτο πρῶτον
γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτου τῶν ἡμερῶν
ἐν ἐμπαιγμονῇ[1] οἱ ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν

[1] Cod. ἐν ἐμπαιγμῶν.

4 ἐπιθυμίας πορευόμενοι καὶ λέγοντες, Ποῦ ἐστιν ἡ
ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πα-
τέρες ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ' ἀρχῆς
κτίσεως.

Ὅτι χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι, Παῦλός φησιν, ὁ τῶν θείων μυστηρίων ἱερουργός. καὶ τοῖς μὲν ἐν ἀγνοίᾳ ταύτης διαμαρτάνουσι τάχα μέν τις δοίη συγγνώμην· τοῖς δὲ ἅπαξ τὴν ἀλήθειαν ἐπεγνωκόσι, καὶ εἰς τουπίσω πάλιν δρομήσασι συγγνώμης οὐδεὶς ἀπολείπεται λόγος.

Κατὰ τῶν ἀνοσίων Λαμπετιανῶν ἤτοι Εὐχιτῶν ἢ Ὀφιανῶν· πολυώνυμος γὰρ ἡ πλάνη, ἐπεὶ καὶ πολύμορφος. τὸ "οἱ νῦν "οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσὶν" ὁμοιοῦται τοῖς κατὰ τὸν κατακλυσμὸν συμβεβηκόσι· φησὶ γὰρ, ὡς διὰ τῶν πάλαι οὐρανῶν καὶ τῆς γῆς ἀπώλετο κατακλυσθεὶς ὁ τότε κόσμος, οὕτως ἀναστοιχειουμένων εἰς πῦρ τῶν οὐρανῶν καὶ τῆς γῆς, οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ ἄρδην ἀπωλοῦνται· καὶ τουτέστι τὸ τῆς ὁμοιότητος, τὸ ἅμα αὐτοὺς ἀπόλλυσθαι ὡσαύτως τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολωλόσιν· "ὡς γὰρ ἐν ταῖς ἡμέραις "Νῶε," φησὶν ὁ Κύριος, "ἤσθιον, ἔπινον, ἐγάμουν, ἐγαμίζοντο· "ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτὸν, καὶ ἦλθεν ὁ "κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας, κατὰ ταῦτα ἔσται ἡ παρουσία "τοῦ Υἱοῦ τοῦ ἀνθρώπου." ἐπὶ πλεῖον δὲ συναγορεύων ὅτι οὕτως ἔσται, φησιν ἐλεύσεσθαι τὴν τῆς κρίσεως ἡμέραν λανθάνουσαν οἷα κλέπτης, ἐν ᾗ ὀξέως καὶ ἀνυπερθέτως οἱ οὐρανοὶ παρελεύσονται, τῶν στοιχείων ἐκτηκομένων πρὸς τοῦ ἐπενεχθέντος πυρός. μεθ' οὓς οὐρανοὺς ῥυζηδὸν παρεληλυθότας καὶ καινοὺς οὐρανοὺς καὶ καινὴν γῆν ἔσεσθαι, ἐν οἷς δικαιοσύνη καὶ τὰ ἐπαγγέλματα τοῦ Θεοῦ τὴν οἴκησιν ἴσχει.

5 Λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ
ἦσαν ἐκπάλαι, καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συν-
6 εστῶσα τῷ τοῦ Θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος
7 ὕδατι κατακλυσθεὶς ἀπώλετο· οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ
γῆ τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι εἰσὶν ἐν πυρὶ

τηρούμενοι, εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων.

ΕΥ̓ΣΕΒΙΟΥ. "Κατ' ἀρχὰς, σὺ Κύριε, τὴν γῆν ἐθεμελίωσας, "καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοὶ," φησὶν ὁ ψαλμῳδός· εἰ μὲν γὰρ μὴ σὺ ἦσθα, φησι, κατ' ἀρχὰς, ὦ Κύριε, ὁ τὴν γῆν ἐθεμελίωσας, καὶ εἰ μὴ ἔργα τῶν χειρῶν σου ὑπῆρχον οἱ οὐρανοὶ, οὐχ οἷόν τε ἦν αὐτὰ μετατεθῆναι, οὐδὲ εἰς μεταβολὴν ἐλθεῖν· εἰ γὰρ ἀγένητα ἦν, ἔμειναν ἂν καὶ ἀτελεύτητα· νῦν δὲ ἐπεὶ ποιητὴς αὐτῶν γέγονας, δυνατὸς εἶ καὶ παραγαγεῖν αὐτὰ θελήσας· φύσεως γὰρ ὑπάρχουσι φθαρτῆς καὶ ἀπολλυμένης· ὅτι καὶ μὴ πρότερον ὄντα σῇ βουλῇ καὶ δυνάμει γέγονεν· ἓν γάρ ἐστι μόνον ἀεὶ καὶ οὔ ποτε δυνάμενον μὴ εἶναι, δηλαδὴ σὺ, ὁ μόνος τῶν ὅλων ποιητής.

Ὥσπερ γὰρ πάλαι, φησὶ, διὰ τῶν οὐρανῶν καὶ τῆς γῆς ἀπώλετο κατακλυσθεὶς ὁ κόσμος· οὕτως ἀναστοιχειουμένων τῶν οὐρανῶν καὶ τῆς γῆς διὰ πυρὸς, ὁμοίως πάλιν οἱ ἀσεβεῖς ἀπολοῦνται.

8 Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοὶ, ὅτι μία
ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς
9 ἡμέρα μία. οὐ βραδύνει Κύριος τῆς ἐπαγγελίας, ὡς
τινὲς βραδυτῆτα ἡγοῦνται· ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς,
μὴ βουλόμενος τινὰς ἀπολέσθαι, ἀλλὰ πάντας εἰς με-
τάνοιαν χωρῆσαι.

Ὅμοιον τὸ παρὰ τῷ θεσπεσίῳ Δαβὶδ εἰρημένον ἐν τῷ πι ψαλμῷ "ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ "ἐχθὲς, ἥτις διῆλθε καὶ φυλακὴ[k] ἐν νυκτί." πρὸς ταῦτα οὖν εἰρήκασιν οἱ ἐξηγηταὶ οὕτως.

ΕΥ̓ΣΕΒΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ. Λέγει δὲ ὅτι σμικρά τις ἐστὶ καὶ ἀλγεινὴ λίαν ἡ τῶν ἀνθρώπων ζωή. σὺ δὲ τῷ ἀϊδίῳ καὶ αἰωνίῳ. καὶ ὁ τῶν χιλίων ἐτῶν ἀριθμὸς μιᾷ ἡμέρᾳ παρείκασται, μᾶλλον δὲ μικρῷ μορίῳ νυκτός· φυλακὴν δὲ νυκτερινὴν τὸ τεταρτημόριον ἐκάλεσε τῆς νυκτός· τετραχῇ γὰρ οἱ ταύτην φυλάττειν πεπιστευμένοι διαιροῦνται· τετάρτῃ γὰρ φυλακῇ καὶ ὁ Κύριος πρὸς τοὺς ἱεροὺς Ἀποστόλους ἀφίκετο. εἰ δὲ περὶ χιλίων ἐτῶν οὕτως εἴρηκε,

[k] Cod. φυλακῇ.

δηλονότι βίος ἀνθρώπου διάστημα ἔσται τὸ λεπτότατον, καὶ ὥσπερ ἀμέριστον, εἰ ἡμέρα Κυρίου ὡς χίλια ἔτη· οὐδεὶς δὲ τῶν ἀνθρώπων γέγονε χιλίων ἐτῶν, οὐδεὶς ἄρα τῶν ἀνθρώπων ὅλην τὴν ἡμέραν ἔγνω τὴν τοῦ Κυρίου.

Τὰ γοῦν χίλια ἡμῶν ἔτη, ἐν οἷς ἤκμασε μὲν ταῦτα, παρῆλθεν "ὡς ἡ ἡμέρα ἡ χθὲς, ἥτις διῆλθεν."

Ἀθανασίου Ἀλεξανδρείας. Χίλια ἔτη τὸν καιρὸν τῆς ἐν νόμῳ λατρείας φησὶ, καθ᾽ ὃν μάλιστα ἐπιτελεσθέντος τοῦ θείου ναοῦ ἤνθησεν· ἀπὸ γὰρ Σολομῶνος, τοῦ τὸν οἶκον Κυρίου ἐγείραντος, μέχρι τῆς πολιορκίας τῆς μετὰ τὸν τίμιον γενομένης σταυρὸν, εἰς τοῦτον συντείνει ἔτη χίλια. ἀλλὰ ταῦτά, φησι, τὰ χίλια ἔτη μία ἡμέρα λογισθείη ἐνώπιόν σου· μᾶλλον μὲν οὖν μικρὸν μόριον νυκτός· εἰκότως νυκτὶ παρεικάζει τὸν πρὸ τῆς ἐπιδημίας τοῦ Σωτῆρος καιρόν· ἅτε ὡς ἐν ἀωρίᾳ καὶ συγχύσει πάντων ἀνθρώπων ὄντων· διὰ τὸ μήπω αὐτοῖς ἀνατεῖλαι τὸν ἥλιον τῆς δικαιοσύνης. Καὶ πάλιν—ὅτι χίλια ἔτη ἀντὶ τοῦ, πάντα σοι εὐχερῆ καὶ εὔκολα· τουτέστιν, ὅτε οὐ προσδοκῶμεν. οὕτω γὰρ καὶ ὁ Κύριος εἶπεν, "ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, "ἠγρύπνησεν ἄν," καὶ τὸ "περὶ τῆς ἡμέρας καὶ τῆς ὥρας οὐδεὶς "οἶδεν, εἰ μὴ ὁ Πατὴρ, καὶ ᾧ ἂν ὁ Πατὴρ ἀποκαλύψῃ."

10 Ἥξει δὲ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ
οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσού-
μενα λυθήσονται, γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαή-
11 σεται. τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ
ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις;
12 προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ
Θεοῦ ἡμέρας,

Εὐσεβίου. Πᾶν γὰρ σῶμα χρόνοις καὶ μακροῖς αἰῶσι παλαιοῦται, ὡς ἱμάτιον παλαιωθέντα· παλαιωθέντα δὲ, αὖθις ἀνακαινωθήσεται τῇ σῇ πάλιν ἐνθέῳ βουλῇ.

Οὐχ ὡς ἀπολλυμένων λέγει τῶν οὐρανῶν· ἀλλ᾽ ὡς ἀναστοιχειουμένων εἰς κρείττονα λῆξιν· ὥσπερ γὰρ τὰ σώματα τὰ ἡμέτερα λυόμενα οὐκ εἰς τὸ μηδαμῶς εἶναι χωρεῖ, ἀλλ᾽ ἀνακαινίζεται εἰς

ἀφθαρσίαν, καθὼς εἶπεν ἡ θεῖα γραφὴ, οὕτω καὶ τὰ οὐράνια σώματα διὰ τοῦ δηλουμένου πυρὸς ἀνακαινίζεται, ἐλευθερούμενα καὶ αὐτὰ ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, τὰ ὅμοια καὶ ὁ Ἀπόστολος Παῦλος φησίν.

Δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα
13 καυσούμενα τακήσεται. καινοὺς δὲ οὐρανοὺς καὶ γῆν
καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς
δικαιοσύνη κατοικεῖ.

Τουτέστι ἀνακαινισθέντας τοὺς οὐρανοὺς ὀψόμεθα, ὁμοίως δὲ καὶ τὴν γῆν.

Οὐ μόνον ἡμεῖς, φησὶν, ἀλλὰ καὶ ἡ περὶ ἡμᾶς ὁρωμένη κτίσις ἐπὶ τὸ ἄμεινον μεταποιηθήσεται· συμμεθέξουσα τῆς ἡμῶν λαμπρότητος, ἐπείπερ δι' ἡμᾶς φθοραῖς καὶ ἀλλοιώσεσιν ὑπηνέχθη· καὶ ὡς δι' ἡμᾶς γενομένη ἀκολουθεῖ τῇ ἡμετέρᾳ καταστάσει.

Σευήρου. *Οὐ γὰρ ἡμεῖς μόνοι διὰ τῆς ἀναστάσεως ἐλπίζομεν τὴν εἰς τὸ ἄμεινον μεταποίησιν, ἀλλὰ καὶ ἡ περὶ ἡμᾶς ὁρωμένη κτίσις ἅπασα, κατάλληλον ἕξει τῇ ἡμετέρᾳ δόξῃ μετασχηματισμὸν, καὶ συμμεθέξει τῆς ἐκεῖθεν λαμπρότητος· ὥσπερ γὰρ νῦν τῇ ἐκ τῆς ἁμαρτίας φθορᾷ δουλευσάντων ἡμῶν, καὶ τὰ περὶ ἡμᾶς στοιχεῖα φθοραῖς τισὶν ὑπέζευκται καὶ ἀλλοώσεσιν. ὁρῶμεν γὰρ ἥλιον ἐκλείποντα, σελήνην δὲ φθίνουσαν, ὡς εἶπε φιλοσοφῶν ὁ μέγας Ἰώβ· οὕτως τότε, τῆς ἀθανασίας καὶ τῆς ἀφθαρσίας μελλούσης τοῖς ἡμετέροις σώμασιν ἐπανθεῖν ἐκ τοῦ λειμῶνος τῆς ἀναστάσεως, καὶ ὁ περὶ ἡμᾶς ὁρατὸς οὗτος κόσμος τῇ ἁρμοζούσῃ φαιδρότητι γανωθήσεται· δεικνύντος διὰ τούτου τοῦ καλοῦ δημιουργοῦ καὶ ἐπὶ τὸ κάλλιον μετασκευαστοῦ, ὡς καὶ τὴν ἀρχὴν διὰ τὴν ἡμετέραν δουλείαν τε καὶ διακονίαν τὴν αἰσθητὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε· καὶ ἐς ὕστερον δι' ἡμᾶς πάλιν μεθαρμόσει πρὸς τὴν ἔνδοξον ἐκείνην καὶ ἀγήρω κατάστασιν.* Καὶ *μετ' ὀλίγα—Ὥσπερ γὰρ οἰκέτης, κακῶς μὲν πράττοντος τοῦ δεσπότου, μετέχει τῆς κακοπραγίας· ἐπὶ τὸ ἄμεινον δὲ μεταβάλ-*

λοντος, εὖ διάκειται καὶ αὐτὸς, οὕτω καὶ ἡ κτίσις ταχθεῖσα δουλεύειν ἡμῖν ἐκοινώνησε τὸ πρὶν τῆς φθορᾶς· εἰς ἀφθαρσίαν δὲ ἐπανελθοῦσι συμμεθέξει πάλιν τῆς ἐκεῖθεν τιμῆς. ὅπερ καὶ ὁ θεσπέσιος Παῦλος Ῥωμαίοις γράφων ἔλεγε· "ἡ γὰρ καραδοκία "τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται· "τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη· οὐχ ἑκοῦσα, ἀλλὰ διὰ "τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι· ὅτι καὶ αὕτη ἡ κτίσις ἐλευθερω-"θήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν "τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· οἴδαμεν γὰρ ὅτι πᾶσα "ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν." προσωποποιεῖ τὴν κτίσιν ὁ κῆρυξ τῆς ἀληθείας, ἐναργῶς παραστῆσαι βουλόμενος τὸ τοῦ πράγματος μέγεθος. Καὶ μετ' ὀλίγα —τῇ γὰρ ἁμαρτίᾳ δελεασθέντες ἡμεῖς εἰς ματαίαν ἐξεκυλίσθημεν καὶ ἐφθαρμένην ζωήν. καὶ ὅμως καὶ οὕτως ἔχουσι, καὶ πρὸς πᾶσαν αἰσχρὰν ἐπιθυμίαν ὀκείλασι, καὶ πρὸς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον, ἡ κτίσις ἐδούλευσεν, "οὐχ ἑκοῦσα," τουτέστιν οὐ κατ' ἀξίαν, τοῖς γὰρ ἀξίοις ἕλοιτο ἄν τις ἑκουσίως δουλεύειν· τὸ γὰρ ὑποτέταχθαι τοῖς ἀναξίοις ὡς ἐπὶ τὸ πλεῖστον ἀκούσιον "ἀλλὰ διὰ τὸν ὑποτάξαντα," τῷ ὑπερβάλλοντι τῆς χρηστότητος, καὶ τῷ περιόντι τῆς ἀγαθότητος.

14 Διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπουδάσατε
15 ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ, καὶ
τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε.

Ὥσπερ τὰ ἀγαθὰ ἐν οἷς τὴν ἀρχὴν ἐκτίσθημεν, οἷον, οὐρανὸς, γῆ, θάλασσα, ἄστερες, ὅσα ἡμῖν ὁ Θεὸς πρὸς ἀπόλαυσιν ἔδωκε κοινῇ πάσης τῆς ἀνθρωπότητος, οὕτω καὶ ἡ τοῦ Κυρίου δωρεὰ δι' ἧς ἀνεκτίσθημεν, οὐρανὸν καινὸν καὶ γῆν καινὴν καὶ πᾶσαν κτίσιν καινὴν ἔχουσά τε καὶ καταγγέλλουσα, ὅλης ἡμῶν κοινὴ τῆς φύσεως γέγονεν, οὐκ ἐπὶ τὸν Ἰσραὴλ μόνον· ὑψώθη γὰρ ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, διὰ τοῦ σταυροῦ ἑλκύσας ἡμᾶς ἄνω πρὸς ἑαυτόν.

Οὐ τοῖς πιστεύουσιν ὑπέσχετο; τί δὲ ὑπέσχετο; τὸ ἥξειν καὶ

λαμβάνειν αὐτοὺς, καὶ ἐν ταῖς μοναῖς ταῖς πολλαῖς ταῖς παρὰ τῷ Πατρὶ κατοικήσειν.

Καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψεν ὑμῖν.

Τοῦτο γὰρ καὶ ἐκεῖνος εἶπε λέγων· "ἀγνοεῖς ὅτι τὸ χρηστὸν τοῦ "Θεοῦ εἰς μετάνοιάν σε ἄγει;"

16 *Ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς, λαλῶν ἐν αὐταῖς περὶ τούτων· ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γραφὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.*

Κυρίλλου Ἀλεξανδρείας. Δοκεῖ δέ τισιν ὁ πάνσοφος Παῦλος δυσχερῆ τινα λέγειν, ἤτοι "δυσνόητα" κατὰ τὴν τῶν ἁγίων Ἀποστόλων φωνήν· ὅτι δὲ σοφίας τῆς ἄνωθεν μεμέστωται ταῦτα οὐκ ἔστιν ἀμφιβάλλειν· λαλεῖ γὰρ ἐν αὐτῷ ὁ Χριστός.

17 *Ὑμεῖς οὖν ἀγαπητοὶ, προγινώσκοντες φυλάσσεσθε,*
ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες, ἐκπέ-
18 *σητε τοῦ ἰδίου στηριγμοῦ· αὐξάνετε δὲ ἐν χάριτι*
καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ
Χριστοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος.
ἀμήν.

Κυρίλλου. Προσήκει τοίνυν ἀποστρέφεσθαι τοὺς τοιούτους· κἂν τὸ ὄνομα τοῦ Χριστοῦ πρὸς ἀπάτην ἀμφιέννυνται. αὐτοῦ γὰρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρόσταξίς ἐστι πρὸς ἡμετέραν ἀσφάλειάν τε καὶ σωτηρίαν λέγοντος, "προσέχετε ἀπὸ τῶν ἐρχο- "μένων πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι "ἅρπαγες." Καὶ πάλιν—"βλέπετε μήτις ὑμᾶς πλανήσῃ· "πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, ἐγώ εἰμι "ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσι·" καὶ ὁ Παῦλος βοᾷ, "βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας τῆς πί- "στεως τῆς εἰς τὸν Κυρίον Ἰησοῦν."

Ὥσπερ οἱ ἀποκτείναντες τοὺς προφήτας καὶ τοὺς Ἀποστόλους, οὕτως οἱ ἀναιροῦντες τοὺς λόγους αὐτῶν δόγμασιν ἀσεβείας καὶ πράξεσι κακίας. πονηρότεροι δὲ οἱ δεύτεροι τῶν προτέρων, ὅτι οὐ μόνον εἰς τοὺς ζῶντας ἁμαρτάνουσιν, ἀλλὰ καὶ εἰς τοὺς σωζομένους.

Τέλος σὺν Θεῷ τῆς Β Ἐπιστολῆς Πέτρου.

ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ Α.

ΥΠΟΘΕΣΙΣ.

ἘΠΕΙΔΗ αὐτὸς ὁ Ἰωάννης τὸ Εὐαγγέλιον γράψας αὐτὸς καὶ ταύτην ἐπιστέλλει· ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν Κύριον· καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ Εὐαγγελίῳ, οὕτως καὶ ἐν ταύτῃ τῇ Ἐπιστολῇ θεολογεῖ περὶ τοῦ Λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ Θεῷ, καὶ διδάσκων τὸν Πατέρα φῶς εἶναι, ἵνα καὶ οὕτως γνῶμεν τὸν Λόγον ὡς ἀπαύγασμα ἐξ αὐτοῦ εἶναι. θεολογῶν δὲ ἐξηγεῖται, μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν αὐτὸν, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ Κυρίῳ· ὅς τις ἐστὶ ζωὴ αἰώνιος καὶ Θεὸς ἀληθινός. καὶ τὸ αἴτιον δὲ τῆς αὐτοῦ παρουσίας καὶ ἐπιφανείας αὐτοῦ τίθησι, λέγων εἶναι τοῦτο· ἐπὶ τῷ καταλῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ἡμᾶς ἐλευθερῶσαι ἀπὸ τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν Πατέρα καὶ τὸν Υἱὸν αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει γοῦν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας· ὅτι ὁ μὲν Θεὸς ἐγνώσθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται, καταργηθέντος τοῦ θανάτου· εἶτα λοιπὸν δι' ὅλης τῆς Ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾶν, καὶ ἀποδεικνὺς ὅτι δεῖ ἀλλήλους ἀγαπᾶν, ἐπειδὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. ἐξηγεῖται οὖν περὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων Θεοῦ καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς καὶ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευμάτων· καὶ λοιπὸν διαιρεῖ ποῖον μὲν πνεῦμα ἐκ τοῦ Θεοῦ ἐστὶ, ποῖον δὲ τῆς πλάνης· καὶ πότε μὲν γι-

νωσκόμεθα τέκνα Θεοῦ, πότε δὲ διαβόλου· καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ τῶν ἁμαρτανόντων, καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι· καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ· καὶ τὴν ἑνότητα δὲ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δείκνυσι, καὶ ὅτι ὁ ἀρνούμενος τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει· διακρίνει δὲ ἐν τῇ Ἐπιστολῇ ταύτῃ λέγων, καὶ τὸ ἴδιον τοῦ Ἀντιχρίστου εἶναι τὸ λέγειν μὴ εἶναι τὸν Ἰησοῦν Υἱὸν αὐτὸν τὸν Χριστὸν, ἵνα μὴ ᾖ δῆλον ὅτι, ὡς μὴ ὄντος ἐκείνου, ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης· παραινεῖ δὲ δι' ὅλης τῆς Ἐπιστολῆς, μὴ ἀθυμεῖν τοὺς πιστεύοντας τῷ Κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύσαντας μεταβεβηκέναι ἀπ' αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. καὶ ἐν τῷ τέλει δὲ τῆς Ἐπιστολῆς πάλιν ὑπομιμνήσκει, λέγων ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ζωὴ οὐράνιός ἐστι καὶ Θεὸς ἀληθινὸς, καὶ ἵνα τούτῳ δουλεύωμεν καὶ φυλάττωμεν αὐτοὺς ἀπὸ τῶν εἰδώλων.

ΚΕΦ. Α.

Εὐαγγελικὴ θεολογία Χριστοῦ [a].

1 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς
ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν
2 ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφα-
νερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν.

ΣΕΥΗΡΟΥ ἈΠΟ ΛΟΓΟΥ ΝΘ'. Καὶ μὴν αὐτὸς εἶπε "Θεὸν οὐδεὶς "πώποτε τεθέαται·" πῶς οὖν τὸν τῆς ζωῆς καὶ τὸν ζῶντα Λόγον ἑωρακέναι καὶ ἐψηλαφηκέναι διισχυρίζεται; ἢ δῆλον ὅτι τῷ σεσαρκῶσθαι καὶ ἐνηνθρωπηκέναι θεατὸς καὶ ψηλαφητὸς γενέσθαι εὐδόκησεν· οὐχ ὃ ἦν θεαθεὶς καὶ ψηλαφηθεὶς, ἀλλ' ὃ γέγονεν· εἷς γὰρ ὑπάρχων καὶ ἀδιαίρετος, ὁ αὐτὸς ἦν καὶ θεατὸς καὶ ἄθεατος, καὶ ἁφῇ μὴ ὑποπίπτων καὶ ψηλαφώμενος ὁ αὐτὸς καὶ θεϊκῶς καὶ ἀνθρωπίνως φθεγγόμενος, καὶ θεοπρεπῶς ἐνεργῶν τὰ θαύματα, καὶ οἰκονομικῶς τὰ πάθη δεχόμενος.

[a] περὶ Χριστοῦ Œcumen.

Ἕκαστον τῶν γεννητῶν τι εἶναι λέγεται· οἷον, εἶναι Ἄγγελος, εἶναι ἥλιος ἢ οὐρανὸς, μόνος δὲ ὁ Σωτὴρ καθάπαξ ὢν τυγχάνει· οὗ μετέχοντα τὰ πάντα εἰς ὕπαρξιν ἔρχεται· τούτου ἀκρόασιν πρότερον κατὰ τὴν εἰσαγωγικὴν διδασκαλίαν δεξάμενός τις, ἔρχεται εἰς τὸ ἰδεῖν αὐτὸν ἐπιστημονικῶς μετὰ πολλὴν γυμνασίαν· ἥτις ψηλάφησις περὶ τοῦ Λόγου τῆς ζωῆς εἴρηται, τῆς εἰπούσης ὅτι "ἐγώ εἰμι ἡ ζωή."

Λελέξεται καὶ οὕτως περὶ τοῦ ἐν ἀρχῇ ὄντος. ἀκηκόαμεν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν ὡς ἐλεύσεται· τοῦτον ἐλθόντα ἐμφανῶς τοῖς ὀφθαλμοῖς ἡμῶν εἴδομεν· οὐχ ὡς ἔτυχε συγκαταθέμενοι τῷ ὀφθέντι σαρκί· μετὰ πολλὴν γὰρ ἡμῶν ψηλάφησιν ἐρευνῶντες τὰς περὶ αὐτοῦ μαρτυρούσας γραφὰς, ἐπιστεύσαμεν τῷ περὶ τῆς ζωῆς Λόγῳ.

Τοῦτο διὰ τὴν ἄκραν ἕνωσιν τὴν πρὸς τὴν σάρκα τοῦ Λόγου εἴρηται.

Ἢ διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ τοῦτο λέγει, καθὸ διὰ τοῦ Θωμᾶ πᾶσιν ἐγνωρίσθη τοῖς Ἀποστόλοις· ταύτην ἀναστήσας τὴν σάρκα, ἣν προσήλωσαν τῷ σταυρῷ· ἢ ὅτι, ὃ ἠκούσαμεν διὰ τῶν προφητῶν ἠκούσαμεν δὲ ὡς ἐπιδημήσει ὁ τοῦ Θεοῦ Λόγος· τοῦτον καὶ τεθεάμεθα καὶ ἐψηλαφήσαμεν· γέγονε γὰρ σὰρξ παραπλησίως ἡμῖν μετασχὼν αἵματος καὶ σαρκὸς, ὡς πάλιν λέγει τὸ, "ἐν ἀρχῇ ἦν ὁ Λόγος" καὶ τὰ ἑξῆς.

Καὶ ἀπαγγελλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν
3 πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν· ὃ ἑωράκαμεν καὶ
ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν
ἔχητε μεθ' ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡμετέρα μετὰ τοῦ
4 Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ· καὶ
ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

Τὴν οὖσαν ἐν τῷ Πατρὶ ζωὴν φανερωθεῖσαν ἡμῖν ἑωράκαμέν φησι καταλλήλως ἰδεῖν αὐτὴν καὶ ἀκούσαντες περὶ αὐτῆς· ταύτῃ τῇ φανερωθείσῃ ζωῇ μαρτυροῦντας ἀπαγγέλλομεν καὶ ὑμῖν ἐκεῖνα τὰ οἷς ἕπεται καὶ ἰδεῖν αὐτὴν καὶ ὑμᾶς.

Τί ἀπήγγελον, ἢ ὅτι ζωὴ αἰώνιος ὢν ἐφανερώθη ἡμῖν, καὶ θεαταὶ αὐτοῦ γεγόναμεν; ἐκ ταύτης δὲ τῆς ἐπαγγελίας τοῦτο

κερδαίνετε· τὸ γενέσθαι ἡμῶν κοινωνοί· ὁ δὲ γενόμενος ἡμῶν κοινωνὸς, καὶ μετὰ τοῦ Πατρὸς καὶ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ κοινωνίαν ἔχει, ἐπειδὰν δὲ ταύτην σχῆτε κοινωνίαν, χαρᾶς ἐσόμεθα μεστοὶ, ὅτι τῷ Θεῷ ἐκολλήθημεν.

5 Καὶ αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν.

Αὕτη ποία; ἣν εἶπεν, ὅτι ἐφανερώθη ἡ ζωὴ ἡμῶν ἡ αἰώνιος· ἀγαπήσας γὰρ ὁ Πάτηρ τὸν κόσμον, τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε, καὶ τοῦτο ὑμῖν ἀπαγγέλλομεν, ὅτι ἐλθὼν εἰς τὸν κόσμον ὁ τοῦ Θεοῦ Λόγος, καὶ γενόμενος ἄνθρωπος, Θεός ἐστι καὶ φῶς ἐστί· τοῦτο γὰρ καὶ αὐτὸς ἔφασκε περὶ αὐτοῦ, "ἐγὼ φῶς εἰς τὸν "κόσμον τοῦτον ἐλήλυθα." καὶ πάλιν, "ἐγὼ εἰμὶ τὸ φῶς τοῦ "κόσμου."

Ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία.

Ἐν τῷ Εὐαγγελίῳ ὅμοιόν φησι, "καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ "φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε·" πρὸς τοῦτο ὁ Χρυσόστομος οὕτω φησί· "σκοτίαν, ἢ τὸν θάνατον, ἢ τὴν πλάνην "φησί· ἐπεὶ γὰρ οὔτε ὁ θάνατος αὐτοῦ παραγέγονεν, οὔτε ἡ "πλάνη, ἀλλ' ἔστι φαιδρὸς πανταχοῦ, καὶ λάμπει μετὰ τῆς οἰ"κείας ἰσχύος, διὰ τοῦτό φησι, 'καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε·' "καὶ γάρ ἐστιν ἀκαταγώνιστον οὐκ ἐμφιλοχωροῦν ταῖς μὴ βου"λομέναις φωτισθῆναι ψυχαῖς· οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλὰ "βουλήσει καὶ γνώμῃ."

Σκοτίαν τὴν κακίαν φησί· τοῦτο δὲ λέγει διὰ τοὺς Ἰουδαίους τοὺς διαβάλλοντας αὐτὸν ὡς ἁμαρτωλόν· φησὶ γὰρ, "σὺ περὶ "αὐτοῦ μαρτυρεῖς, ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής."

Ἐρώτησις. Ἐπειδὴ πάλιν λέγει ὁ ἅγιος Ἰωάννης, "ὁ Θεὸς "φῶς ἐστι·" καὶ πάλιν μετ' ὀλίγα—"ἐὰν ἐν τῷ φωτὶ περιπα"τῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ," πῶς καὶ φῶς ὁ αὐτὸς λέγεται καὶ ἐν τῷ φωτὶ εἶναι, ὡς ἄλλος ἐν ἄλλῳ;

Ἀπόκρισις. Ὁ κατ' οὐσίαν ἀληθῶς φῶς ὑπάρχων Θεὸς, ἐν τοῖς ἐν αὐτῷ περιπατοῦσιν ἐστὶν ἀληθῶς φῶς γενόμενος· ὥσπερ οὖν τὸ κατὰ μέθεξιν φῶς, ὡς οἱ ἅγιοι πάντες διὰ φιλοθεΐαν ἐν τῷ

κατ' οὐσίαν γίνονται φωτὶ, οὕτως τὸ κατ' οὐσίαν ἐν τῷ κατὰ μέθεξιν φωτὶ διὰ φιλανθρωπίαν γίνεται φῶς. ἐὰν οὖν ἐσμὲν κατὰ τὴν ἀρετὴν καὶ τὴν γνῶσιν ὡς ἐν τῷ φωτὶ τῷ Θεῷ, καὶ αὐτὸς ὁ Θεὸς ὡς φῶς ἐν φωτί ἐστιν ἐν ἡμῖν· ὁ γὰρ φύσει φῶς ὁ Θεὸς ἐν τῷ μιμήσει γίνεται φωτὶ, ὡς ἐν εἰκόνι ἀρχέτυπον· ἢ μᾶλλον φῶς ἐστὶν ὁ Θεὸς καὶ Πατὴρ, ἐν φωτὶ δηλαδὴ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι· οὐκ ἄλλο καὶ ἄλλο φῶς ὑπάρχον, ἀλλὰ κατ' οὐσίαν ἓν, καὶ τὸ αὐτὸ κατὰ τὸν τῆς ὑπάρξεως τρόπον τρισσοφαές.

Ὑπ' αὐτοῦ τοῦ Σωτῆρος ἀγγελίαν γεγονέναι γράφει τοῖς μαθηταῖς δηλοῦσαν, ὡς φῶς ὑπάρχων ὁ Θεὸς οὐδεμίαν σκοτίαν ἔχει ἐν αὐτῷ· ταύτην ἀγγελίαν καὶ ὑμῖν προσφέρομεν, ἵνα τὴν αὐτὴν ἐν ὑμῖν περὶ Θεοῦ δόξαν ὡς ὄντος φωτὸς ἔχητε· φῶς δέ ἐστιν νοητὸν ὁ Θεὸς, ἀΐδιον γὰρ οὐδὲν αἰσθητὸν ἀεὶ ὑπάρχον[a]*· τούτῳ τῷ φωτὶ ἐναντίως νοητέον τὴν σκοτίαν ἄγνοιαν καὶ ἕξιν χειρίστην οὖσαν· ἐπεὶ οὖν οὐδέτερον τῶν εἰδῶν τῆς σκοτίας, οὔτε ἄγνοια οὔτε κακία, ἐν τῷ Θεῷ ἐστιν, εἰκότως εἴρηται μηδεμίαν σκοτίαν ἐν αὐτῷ εἶναι· εἰ δὲ εἴρηταί που "σκότος ἀποκρυφὴν αὐτοῦ" σκότος ἐν τούτοις λέγεται τὴν ἐν ἀκαταληψίᾳ ἀσάφειαν, οὐ μὴν τοῦ Κυρίου σκότους ὄντος.*

* *Περὶ ὁμολογήσεως*[b] *καὶ προσοχῆς τοῦ*[c] *μὴ ἁμαρτάνειν.*

6 Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ
ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν
7 τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς
αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων,
καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει
ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

Ἐὰν ἁμαρτάνωμέν φησιν, οὐδεμίαν κοινωνίαν ἔχομεν μετ' αὐτοῦ· ἐὰν δὲ φωτὸς ἔργα διαπραξώμεθα, κοινωνοῦμεν ἀλλήλοις· τοῦτο σημαίνει ὃ ἀνωτέρω εἶπεν, ὅτι "ἡ κοινωνία ἡμῶν μετὰ τοῦ "Πνεύματος καὶ μετὰ τοῦ Υἱοῦ ἐστιν." ὅλος δὲ ὁ νοῦς τοῦ ῥητοῦ ἀνατροπὴ τῆς τῶν Ἰουδαίων βλασφημίας ἐστίν· εἰ γὰρ

[a] *ὑπάρχων* Cod. [b] *ἐξομολογήσεως* Bar. *ἐξομολογίας* Œcumen.
[c] *εἰς τὸ μὴ* Bar.

φωτὸς ἔργα πράττοντες κοινωνοὶ αὐτοῦ ἔσμεν, καὶ σκότους ἔργα ποιοῦντες ἀλλοτριούμεθα αὐτοῦ, πῶς οὐκ ἀληθῶς αὐτός ἐστι τὸ φῶς, καὶ ἁμαρτίαν οὐδεμίαν ἐποίησεν, εἰ καὶ "ἐν τοῖς ἀνόμοις κατελογίσθη;"

8 Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλα-
9 νῶμεν, καὶ ἡ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν. ἐὰν ὁμολογῶμεν
τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ
ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ
πάσης ἀδικίας.

Πάλιν καὶ τοῦτο πρὸς Ἰουδαίους ἀποτείνεται τολμήσαντας εἰπεῖν "τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν," ὡς μὴ οὔσης ἁμαρτίας σταυρῶσαι Χριστόν. ἐὰν οὖν τοῦτο λέγωμεν, φησὶ, "ἑαυτοὺς πλανῶμεν." διὸ οὐ ψευδόμεθα εἶπεν, ἀλλ' "ἑαυτοὺς "πλανῶμεν·" καὶ ἡ πλάνη αὕτη ἐκτὸς τῆς ἀληθείας ποιεῖ, τουτέστι τοῦ Θεοῦ. εἰ δὲ τουναντίον γνῶμεν τὴν ἁμαρτίαν, καὶ ὁμολογῶμεν αὐτὴν, αὐτὸς ἡμῖν ἀφίησιν αὐτήν. οὐκ αὐτὴν δὲ μόνον ἀλλὰ καὶ τὰς ἄλλας πάσας. ἐπειδὰν γάρ τις μετανόησας βαπτισθῇ εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, πάσας αὐτῷ τὰς ἁμαρτίας ἀφίησιν, ἅς τε εἰς αὐτὸν, ἅς τε εἰς οὐρανοὺς ἐποίησεν.

10 Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

Αὐτὸς γὰρ καὶ διὰ τοῦ προφήτου μὲν ἔλεγεν, "ἀνταπεδίδοσάν "με πονηρὰ ἀντὶ ἀγαθῶν." καὶ παρὰ τὸν καιρὸν δὲ τοῦ πάθους. "εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, "τί με δέρεις;" εἰ ἐλέγομεν τοίνυν ὅτι οὐχ ἡμαρτήκαμεν, τὸν λόγον αὐτοῦ ἀρνούμεθα, ὅς ἐστι πνεῦμα καὶ ζωὴ, "τὰ ῥήματα "γὰρ, ἃ ἐγὼ λαλῶ," φησὶ, "πνεῦμα ἐστὶ, καὶ ζωή ἐστι."

1 Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε,
καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πα-
2 τέρα, Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι
περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ
μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου.

Οἶδε γὰρ τοὺς φωτισθέντας οὐκ εἰς ἀπαθῆ φύσιν μεταχωρήσαντας, ἀλλ' ἐκ φυλακῆς πρὸς ἁμαρτίαν μὴ ὑποφερομένους.

Διὰ τοῦτο ταῦτα ὑμῖν ἐπιστέλλω, ἵνα μὴ λέγητε μὴ ἁμαρτεῖν, ἁμαρτάνοντες δὲ ἅπαξ μὴ ἐμμείνητε· ἱλάσεται ὑμῶν τὰς ἁμαρτίας Ἰησοῦς ὁ ὢν μετὰ τοῦ Πατρός.

* Ὅτι τήρησις ἐντολῶν Θεοῦ τὴν γνῶσιν βεβαιοῖ.

3 Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν
4 τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων, ἔγνωκα αὐτὸν,
καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ
5 ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν· ὃς δ᾽ ἂν τηρῇ τὸν λόγον
αὐτοῦ, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται.
6 ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. ὁ λέγων ἐν
αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ
αὐτὸς οὕτω περιπατεῖν.

Δείκνυται καὶ ἐκ τούτου, ὡς αὕτη γνῶσις ἐστὶ, τῷ ἔργῳ δεῖξαι τὸ εἰς αὐτὸν πιστὸν, τῶν λόγων τῶν ἐντολῶν αὐτοῦ ἀκούοντας.

Τὸ γινώσκειν ἐν τῇ γραφῇ μάλιστα οὐκ ἀεὶ τὸ ἐπίστασθαι δηλοῖ, ἀλλὰ καὶ τὸ πεῖράν τινος ἐσχηκέναι, καὶ ἡνῶσθαι αὐτῷ, ὡς ἐν τῷ "τὸν μὴ γνόντα ἁμαρτίαν" καὶ τὸ "μὴ ἐπίστασθαι, τί ἐστι "ἁμαρτία; ἀλλὰ τὸ μὴ ἐνεργηκέναι αὐτήν" λέγει δὲ τοῖς ἐργάταις τῆς ἀνομίας ὁ Κύριος, "οὐδέποτε ὑμᾶς ἔγνω," ἐκφαίνων ὅτι οὐδέποτε μετέσχον αὐτοῦ οἷς ἐλέγετο τοῦτο. ὁ λέγων οὖν ἐγνωκέναι τὸν Θεὸν, τὸ ἀνακεκρᾶσθαι αὐτῷ καὶ μετέχειν αὐτοῦ ἑπόμενον ἀναγκαίως ἔχει τὸ τηρεῖν αὐτοῦ τὰς ἐντολάς· διὸ καὶ ἀντιστρέφει ἑκάτερα τὰ σημαινόμενα τοῦ γινώσκειν φανεροῦται ἐκ τοῦ προκειμένου. φησὶ γὰρ ἐν τούτῳ, "γινώσκομεν," τουτέστιν ἐπιστάμεθα "ὅτι ἐγνώκαμεν αὐτὸν," ἑνωθέντες αὐτῷ καὶ τηροῦντες αὐτοῦ τὰς ἐντολάς. ὁ γὰρ μὴ τηρῶν αὐτὰς, φανερός ἐστιν ἔξω τῆς γνώσεως τοῦ Θεοῦ τυγχάνων. ὥσπερ οὖν οὐ γνοὺς ἁμαρτίαν ὁ Κύριος ἡμῶν Ἰησοῦς, οὐδὲ τοὺς ἐργάτας τῆς ἀνομίας, οὐ στερεῖται πληρότητος, σοφία καὶ ἀλήθεια Θεοῦ ὑπάρχων, οὕτως οὐ γνοὺς τὴν τῆς κρίσεως ἡμέραν ἐλαττοῦται, ἐπεὶ μηδὲ, ὅταν περὶ Θεοῦ λέγῃ ὡς λήθην καὶ μεταμέλειαν καὶ ὀργὴν ἔχοντος, ἐλαττοῦται ἡ θεότης· ᾧ γὰρ λόγῳ ἐκεῖνα σαφηνίζεται, τούτῳ καὶ περὶ τοῦ ἀγνοεῖν τὴν ἡμέραν λυθείη. ὡς γὰρ μόνον σοφοῦ Θεοῦ καὶ γνῶσιν ἔχοντος πάντων ἢ κατὰ πάθος λήψῃ, ἡ μεταμέλεια ἥτι τῶν τοιούτων, οὐχ

ὑπάρχει οἰκονομικῶς λεγόμενα περὶ αὐτοῦ, οὕτως τῆς σοφίας καὶ ἀληθείας τοῦ Θεοῦ οὐκ ἐπιδεχομένης ἄγνοιαν διατί[c] χρήσιμον εἴρηται, ὅτι τὴν ὥραν καὶ τὴν ἡμέραν τῆς κρίσεως ἀγνοεῖ.

ΚΕΦ. Β.

Περὶ ἀγάπης τῆς ἄνευ ἀσεβείας.

7 Ἀγαπητοὶ, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιὰ ἔστιν ὁ λόγος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς.

Ἴσως τις ἐρεῖ, πῶς οἷόν τε νοεῖν ἐστὶ τὴν γραφομένην ἐντολὴν ἀπ' ἀρχῆς εἶναι, καὶ ἤκουσται τούτοις οἷς Ἐπιστολὴ γράφεται; οὐ γὰρ Ἰουδαῖοι ἦσαν, ὡς παρίστησι τῆς Ἐπιστολῆς τὸ τέλος· "τεκνία γάρ," φησι, "φυλάξασθε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων." μήποτ' οὖν ἐντολὴ[d] παλαιὰ καὶ ἀπ' ἀρχῆς ὑπάρχουσα καὶ ἀκουσθεῖσα πᾶσιν ἀνθρώποις ἐστιν ἡ κατὰ τὰς φυσικὰς ἐννοίας φυλακὴ διάθεσις· πάντες γὰρ φύσει ἥμερα καὶ κοινωνικὰ[e] ζῶα ὄντες ἀγαπῶσι τοὺς πλησίον· ὅθεν ὁ Σωτὴρ τὴν φυσικὴν ταύτην διάθεσιν ἀνακινῶν λέγει· "πάντα οὖν ὅσα θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ "ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς·" ἀληθῶς δὲ τελείαν ἀγάπην λέγει, ἀφ' ἧς οὐδὲν τῶν κακῶν ἢ ἀπατηλῶν χωρίσαι δύναται τὸν περιεχόμενον αὐτῆς.

Κυρίλλου. Περὶ ἀγάπης ὑμῖν διαλεγόμενος· τοῦτο γάρ ἐστι τὸ καθὼς ἐκεῖνος περιεπάτησεν ἐν ἀγάπῃ· ὡς γὰρ αὐτὸς ὁ Κύριος ἔλεγε, "μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει ἐνδείξασθαι, ἢ ἵνα "τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ." ταύτην οὖν τὴν περὶ ἀγάπης ἐντολὴν οὐ καινὴν γράφω ὑμῖν· πάλαι γὰρ αὐτὴν διὰ τῶν προφητῶν ἐπηγγείλατο. "οὐ γὰρ πρέσβυς," φησιν, "οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτοὺς, διὰ τὸ ἀγαπᾶν "αὐτοὺς καὶ κήδεσθαι αὐτῶν."

8 Πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν· ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει.

Ποῖα ἡ καινὴ ἐντολὴ τὸ φῶς εἰς τὸν κόσμον ἐληλυθέναι τὸν

[c] Sic. [d] ἐντολὴν Cod. [e] κοινωνηκὰ Cod.

Κύριον ἡμῶν Ἰησοῦν, δι' οὗ, καὶ τοῦ διαβόλου παρῆλθεν ἡ δυναστεία, ὅς ἐστι σκότος νοητόν.

9 Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ
μισῶν, ψεύστης ἐστὶ καὶ ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι.
10 ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ
11 σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. ὁ δὲ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστί.

Ὅστις λέγει, φησιν, ἑαυτὸν εἶναι Χριστοῦ, καὶ μισεῖ τὸν ἀδελφὸν αὐτοῦ, πῶς ὁ αὐτοῦ εἶναι λέγων μισεῖ τὸν ἀδελφὸν, ὑπὲρ οὗ ὁ Χριστὸς ἀπέθανεν; ἢ οὕτως· ὁ λέγων ἑαυτὸν τοῦ Θεοῦ, καὶ μισῶν τὸν Χριστὸν, ὃς γέγονεν ἡμῶν ἀδελφὸς, γενόμενος ἄνθρωπος κατὰ τὸ εἰρημένον "ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου." οὐκ ἔστι τοῦ Θεοῦ, ἀλλὰ τοῦ διαβόλου· εἰ γὰρ ἦν τοῦ Θεοῦ, ἐφίλει τὸν ἀπεσταλμένον καὶ χρηματίσαντα αὐτοῦ ἀδελφὸν κατὰ χάριν.

Καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Ἀγνοοῦσι γὰρ οἱ μισοῦντες τὸν Χριστὸν, τοῦ πυρὸς τοῦ αἰωνίου κληρονόμοι γενόμενοι. τοῦτο δὲ αὐτοὺς πάσχειν ὁ διάβολος ποιεῖ, τοὺς ἔσω αὐτῶν σκοτίσας ὀφθαλμούς.

*** Παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν, καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης.**

12 Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι
13 διὰ τὸ ὄνομα αὐτοῦ. γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε
τὸν ἀπ' ἀρχῆς. γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε
τὸν πονηρόν.

Νόει μοι ἡλικίας ἐνταῦθα κατὰ τὸν ἔσω ἄνθρωπον, καὶ νεανίσκων καὶ παιδίων καὶ πρεσβυτέρων. οὐ γὰρ ὁ Εὐαγγελιστὴς ἔλεγε, γράφω ὑμῖν παιδία τοῖς τετραέτεσιν ἢ πενταέτεσι τῶν συναγομένων· οὐ γὰρ δύναται συνιέναι τῶν λεγομένων· καὶ "γράφω "νεανίσκοι," καὶ γράφω "πατέρες," ἀλλὰ κατὰ τὸν ἔσω ἄνθρωπον ἔστι τις παιδίον· γάλα ὑμᾶς ἐπότισε οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε. καὶ ἐκεῖνα παιδία εἰσὶ περὶ ὧν λέγει. "οὐκ ἠδυνήθην

" ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς. ὡς νηπίους " ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα." ὁρᾷς κἂν πολιὰς ἔχῃ τὸ σῶμα, ἡ δὲ ψυχὴ τὰ τοῦ νηπίου φρονεῖ μήπω καταργοῦσα· τὰ τοῦ νηπίου νηπία ἐστὶν, οὕτως ἐστί τις καὶ τῇ ἡλικίᾳ προκόψας νεανίσκος, καὶ ἄλλος ἀνὴρ καὶ ἤδη πρεσβύτης καὶ τέλειος. περὶ τούτου τοῦ πρεσβυτέρου ἐντολὴν λαμβάνει Μωυσῆς. " ἔκλεξαι σὺ ἀπὸ " παντὸς τοῦ λαοῦ ἄνδρας θεοσεβεῖς πρεσβυτέρους, οὓς καὶ αὐτὸς " σὺ οἶδας, ὅτι πρεσβύτεροί εἰσιν." ἐπιστήμης χρεία καὶ νοητῶν ὀφθαλμῶν καθαρῶν, ἵνα ἴδῃ καὶ τὴν πολιὰν τὴν ἔνδον· πολιὰ γάρ ἐστι φρόνησις ἀνθρώποις, καὶ δόξα πρεσβυτέρων πολιά.

Δεῖ πρῶτον παιδίον γενέσθαι καὶ νηπιάσαι τῇ κακίᾳ· καὶ ταύτῃ τὸν τῶν πρεσβυτέρων ἁμαρτιῶν ἀποθέσθαι βάρος· ἵνα ἀκούσῃς, " γράφω ὑμῖν παιδία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ " τὸ ὄνομα αὐτοῦ." εἶτα τὴν τῶν παίδων τάξιν ὑπεξελθόντα, νεανιεύεσθαι κατὰ τῶν παθῶν, καὶ ἀκοῦσαι πάλιν, " γράφω ὑμῖν νεανίσκοι, " ὅτι ἰσχυροί ἐστε." προελθόντα δὲ καὶ γνώσεως ἀξιωθέντα θείας, πρὸς τὸν τῶν πατέρων ἀναβῆναι βαθμὸν, καὶ ἀκοῦσαι " γράφω " ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς." αὕτη ἡ τάξις ἀρίστη καὶ ἀληθεστάτη πρὸς τὴν τοῦ πατρὸς φέρουσα προσηγορίαν.

Σετήρου. Ὁ Θεόλογος Ἰωάννης ἐπιστέλλων, τισὶ μὲν ἔλεγε " γράφω ὑμῖν παιδία," τισὶ, " γράφω ὑμῖν πατέρες·" καὶ ἄλλοις, " γράφω ὑμῖν νεανίσκοι" πρὸς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας ἁρμοδίως ἑκάστῃ τάξει διαλεγόμενος. καὶ παιδία μὲν καλῶν τοὺς εἰσαγωγικῶν μαθημάτων δεομένους καὶ γάλακτος· πατέρας δὲ τοὺς μέσως ἔχοντας τῆς θείας παιδεύσεως· νεανίσκους δὲ τοὺς κατὰ τῶν παθῶν τῆς ἀτιμίας στρατευομένους, καὶ κατὰ τοῦ διαβόλου τρόπαια φέροντας[e]· μετὰ γὰρ τοὺς πατέρας τοὺς νεανίσκους ὠνόμασεν· οὐ γὰρ κατὰ τὴν σωματικὴν ἡλικίαν καὶ ἡ πνευματικὴ πάντως ἀκολουθεῖ.

Εἴ τις ὁμολογήσας τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ τέκνον αὐτοῦ γένηται, κατὰ τὸ λεχθὲν παρ' αὐτοῦ, " ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, " ἅ μοι ἔδωκεν ὁ Θεὸς," οὗτος γινώσκει τὸν Πατέρα κατὰ τὴν

[e] φέροντ. Cod.

κυριακὴν φωνὴν τὴν λέγουσαν· "οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα "εἰ μὴ δι' ἐμοῦ." "ἐγὼ εἰμὶ ἡ ὁδὸς, καὶ ἐγὼ εἰμὶ ἡ θύρα."

Ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα.
14 ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς.
ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος
τοῦ Θεοῦ μένει ἐν ὑμῖν, καὶ νενικήκατε τὸν πονηρόν.

Κυρίλλου ἐκ τοῦ ἐν πνεύματι λατρεύσεις. Νεανίαι μὲν εἰς ἀνδρείας τύπον, φρονήσεως δὲ πρεσβῦται, νηπιότητος δὲ τῆς ἐν Χριστῷ νοουμένης υἱοὶ καὶ θυγατέρες.

Ὠριγένους ἐκ τοῦ ᾌσματος τῶν ᾀσμάτων τόμος α΄. Ὁμώνυμά τινα τοῖς συμβαίνουσι κατὰ τὸν ἔξω ἄνθρωπον ἐστὶ, καὶ παρὰ τὸν ἔσω, καὶ ἀναλογίαν προσάλληλα ἔχοντα· οἷον κατὰ τὰς ἡλικίας, ἐστὶ παιδίον κατὰ τὸν ἔξω ἄνθρωπον, ὅπερ ἐπιδεχόμενον αὔξησιν ἐπὶ τὸν νεανίσκον φθάνει, ἕως οὗ χρηματίσας ἀνὴρ, γένηται πατήρ· χρῶμαι δὲ τούτοις τοῖς ὀνόμασι διὰ τὴν γραφὴν τὴν παρὰ τῷ Ἰωάννῃ ἐν τῇ Καθολικῇ Ἐπιστολῇ· τὰ τρία τάξας ὀνόματα ταῦτα· ὁμωνύμως δὲ καὶ ἀναλόγως τοῖς κατὰ τὸν ἔξω ἄνθρωπον τούτοις τρισί· καὶ εἴποιμι ἂν, ὅτι ἐστί τις παιδίον κατὰ τὸν ἔσω ἄνθρωπον ὅμοιον, ὁποῖός ποτ' ἂν εἴη, ὅμοιος τοῦ τοιούτου ὁ ἔξω· οὕτω καὶ νεανίσκος κατὰ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον. ἀκόλουθον δὲ τούτοις ἐστι λέγειν, ὅτι τις καὶ ἔσω ἀνὴρ καὶ πατήρ. λέγει δὲ οὕτως ὁ Ἰωάννης· "ἔγραψα ὑμῖν παιδία, ὅτι "ἐγνώκατε τὸν Πατέρα· ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν "ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ λόγος "τοῦ Θεοῦ μένει ἐν ὑμῖν, καὶ νενικήκατε τὸν πονηρόν." σαφὲς δ' οἶμαι καὶ τῷ τυχόντι τυγχάνει, ὅτι τοῖς τὴν ψυχὴν παιδίοις καὶ νεανίσκοις καὶ πατράσι ταῦτα λέγει γράφειν. καὶ Παῦλος δέ που φησὶ, "οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς "σαρκικοῖς· ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα, οὐ "βρῶμα." ὁ δὲ ἐν Χριστῷ νήπιος τὴν ψυχὴν τοιόσδέ τις ὢν, οὕτως ὀνομάζεται, καθὼς καὶ ἀλλαχοῦ ὁ αὐτὸς Παῦλος φησὶν, "ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς "νήπιος ἐλογιζόμην." εἶτ' ἐπεὶ μὴ ἔμεινεν ἐν τῷ νηπίῳ, φησὶν, "ὅτε δὲ ἐγενόμην ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου." οὕτως ἀκούω καὶ

τοῦ, "μέχρι καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον "ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ." οἶδε γὰρ καταντήσοντας πάντας τοὺς πιστεύοντας εἰς ἄνδρα τέλειον, καὶ μέτρα νοητῆς ἡλικίας. ὥσπερ δὲ παρὰ τὸν ἔσω ἄνθρωπον καὶ τὸν ἔξω ἄνθρωπον ταῦτα συμβέβηκεν ὁμώνυμα, καὶ ἀναλογίαν ἔχοντα πρὸς ἄλληλα, οὕτως εὕροις ἂν καὶ τὰ ὀνόματα τῶν μελῶν τοῦ σώματος μεταφερόμενα ἐπὶ τὴν ψυχήν.

15 Μὴ *ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ* Πατρὸς *ἐν αὐτῷ.*

Ὅπως μὴ νομίσῃ τις τὸ σύστημα τὸ ἐξ οὐρανοῦ καὶ γῆς τῶν ἐν αὐτοῖς παρίστασθαι, ἐνταῦθα ἐκ τῆς τοῦ κόσμου φωνῆς, ἡρμήνευσε τίνα τὰ ἐν αὐτῷ τυγχάνει· ἵνα ἑπομένως καὶ αὐτοὶ ἐκλάβωμεν. ἔστι τοίνυν καὶ τὰ ἐν αὐτῷ ἐμπαθὴς καὶ ὑλικὴ διάθεσις, σημαινομένη δι' ἐπιθυμίας σαρκὸς τῆς στρατευομένης κατὰ τῆς ψυχῆς, καὶ ὀφθαλμῶν ὄρεξις· δυνατὸν δὲ ἐκ τῶν προκειμένων ἐκδέξασθαι καὶ περὶ τοῦ ὁρατοῦ κόσμου, οὐκέτι ἀγαπωμένου ὑπὸ τῶν ὑπεραναβάντων, τῷ σκοπεῖν οὐκέτι τὰ πρόσκαιρα ἀλλὰ τὰ αἰώνια· καὶ ἐπεὶ οἱ ἐν αὐτῷ τῷ φιλοζωεῖν προτιθέμενοι διατρίβειν παθητικῶς μεταχειρίζονται τὰ αἰσθητὰ, εἰκότως ἀλαζονεία βίου καὶ σαρκὸς καὶ ὀφθαλμῶν ἐπιθυμία εἴρηται ἐν αὐτῷ· ὧν πάντων ὁ ὑπερφρονῶν ὑπερκόσμιος ἔσται, ποιῶν τὰ θελήματα τοῦ Θεοῦ, *τῷ μένειν ἀεὶ καὶ ἀγαπᾶν τὸν* Θεόν.

Κυρίλλου. Καὶ *τί τὰ ἐν τῷ κόσμῳ ἢ ματαιότης, ἣν ἐπ' οὐδενὶ τῶν χρησίμων τηροῦσί τινες; ἤγουν ἐμμόνως ὁρῶνται πράττοντες· ὁ περιττὸς καὶ ἀνόητος τοῦ παρόντος βίου περισπασμός· ἡ τῶν κοσμικῶν ἐπιθυμιῶν χυδαιότης· ἐξίστησιν ἡμᾶς ὁ* Χριστοῦ *μαθήτης οὕτω λέγων "μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ "κόσμῳ," καὶ τὰ ἑξῆς.*

Σευήρου. Τούτου *χάριν καὶ πρὸς τοὺς μαθητὰς ἐν* Εὐαγγελίοις *ὁ* Κύριος *ἔλεγεν. "ὅτι ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου "τούτου." δηλαδὴ τῆς κοσμικῆς ἡδυπαθείας καὶ διαχύσεως, ἧς ἄρχων ἐστὶν ὁ διάβολος· τῆς γὰρ ἀνθρωπείας φύσεως ὥσπερ καὶ*

τῆς ἄλλης πάσης κτίσεως καὶ ποιητὴς ὑπάρχει καὶ βασιλεὺς ὁ τοῦ Θεοῦ Λόγου[f] *Χριστὸς, σὺν Πατρὶ καὶ τῷ Πνεύματι.*

Τοῖς ἐγνωκόσι Χριστὸν καὶ τῆς εὐαγγελικῆς μετειληφόσι παιδείας ἀναγκαία τῶν καλῶν ἔργων ἡ ἐπιτήδευσις· ταῦτα δὲ πράξομεν, εἰ τὸν κόσμον τοῦτον μισήσομεν.

16 Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς,
καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ
βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου
ἐστί.

Οὐδὲν γὰρ τῶν ματαίων καὶ φθορᾶς μεστῶν διαιωνίζει, ἀλλὰ προσκαιρά ἐστι καὶ σαθρὰ, καὶ πάσης ἀράχνης ἀσθενέστερα.

17 Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ
δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα.

Ὡς αὐτὸς εἶπεν ὁ Χριστὸς Ἰουδαίοις διαλεγόμενος· "τοῦτο "δέ ἐστι τὸ θέλημα τοῦ Πατρὸς, ἵνα πιστεύητε εἰς ὃν ἐκεῖνος "ἀπέστειλεν." καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶν τὴν αἰώνιον κληρονομήσει ζωήν.

ΚΕΦ. Γ.

Περὶ ψευδαδέλφων ἀρνησιθέων, καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια Πατρὸς ὁμολογία· ἡ γὰρ τοῦ Πατρὸς ὁμολογία τοῦ Υἱοῦ ἐστι θεολογία.

18 Παιδία, ἐσχάτη ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε, ὅτι
ὁ Ἀντίχριστος ἔρχεται, καὶ νῦν Ἀντίχριστοι πολλοὶ
γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν.

Προτρεψάμενος εἰς ἔργα λαμπρὰ ἀπὸ τοῦ θελήματος τοῦ Θεοῦ, προτρέπεται καὶ ἐκ τοῦ καιροῦ, ὅτι ἐπὶ θύραις ἤδη τούτου τοῦ κόσμου τὸ τέλος, καὶ τεκμήριον τὸ τὴν πονηρίαν πλεονάσαι. ἥξει μὲν γάρ, φησιν, ἐπὶ τέλει τοῦ κόσμου ὁ Ἀντίχριστος· ἀλλ' ἰδοὺ ἤδη πεφανέρωται ἐν τῷ κόσμῳ· προώδευσαν γὰρ αὐτοῦ αἱ αἱρέσεις, αἵτινές εἰσιν αὐτοῦ φίλαι καὶ ἀδελφαί· ὁμοίως γὰρ ἑκάτεραι βλασφημοῦσιν εἰς τὸν Χριστὸν, οἵτε αἱρετικοὶ καὶ ὁ υἱὸς τῆς ἀπωλείας.

ΣΕΥΗΡΟΥ. *Καὶ Ἰωάννης δὲ ὁ Εὐαγγελιστὴς καὶ ὁ Ἀπόστολος*

[f] Sic.

φήσας, "παιδία, ἐσχάτη ὥρα ἐστὶν," οὐκ ἐψεύσατο, καὶ γὰρ ὥρας ἔθος καλεῖν, οὐ τὰς τῶν ἡμερῶν μόνον, ἀλλὰ καὶ τὰς ὅλας τοῦ ἔτους· διαιρεῖται γὰρ πᾶς ὁ ἐνιαυσιαῖος κύκλος εἰς ἐαρινὴν καὶ θερινὴν καὶ μετοπωρινὴν καὶ χειμερινὴν ὥραν· χειμὼν δὲ ὡς ἀληθῶς ἦν ὁ τῆς ἀθεΐας, ὁ κατακρατήσας παντὸς κόσμου, καθ' ὃν ἀκαρπία πᾶσα πνευματικὴ, καὶ τῆς τοῦ Θείου Πνεύματος πυρώσεως ψύξις, καὶ ἐρημία παντέλης τῶν ἐξ οὐρανοῦ δωρεῶν καθ' ὅλης τῆς γῆς, ὅτε Χριστὸς ἡμῖν διὰ τῆς ἐνσάρκου παρουσίας, ὁ ἥλιος τῆς δικαιοσύνης ἀνέτειλε. καὶ ἄλλως δὲ πεντακισχιλίων ἐνιαυτῶν παραδραμόντων, ἐξ οὗ γέγονεν ὁ κόσμος, ὡς τὰ Μωσέως ἡμῖν παραδέδωκε γράμματα, καὶ ἀπὸ τῆς Χριστοῦ παρουσίας οὔπω πεπληρωμένων ἑξακοσίων ἤγουν ἑπτακοσίων ἢ χιλίων ἐτῶν, δῶμεν γὰρ οὕτω, πῶς οὐκ ἔξω λόγου φανήσεται τῶν ἑξακοσίων ἐτῶν ἢ χιλίων, εἰ τύχοι, τὰς ἡμέρας, πρὸς τὰς τῶν πεντακισχιλίων παρεξεταζομένας, ἐσχάτας καλεῖν; ταύταις δὲ ταῖς ἐννοίαις συνωδᾶ[f] καὶ τὸν ἁγιώτατον τῆς Κωνσταντίνου πόλεως Ἐπίσκοπον Ἰωάννην, ἐν τῷ λδ' λόγῳ τοῦ εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον ὑπομνήματος, εὑρίσκομεν[g] εἰρηκότα ταυτί· "πόθεν γὰρ οἶδας, ἄνθρωπε, ὅτι οὐκ "ἐγγὺς τὸ τέλος, καὶ μετὰ βραχὺν χρόνον ἀπαντήσεται τὰ εἰρη- "μένα; ὥσπερ γὰρ τοῦ ἐνιαυτοῦ τὸ τέλος οὐ τὴν ἐσχάτην ἡμέραν "λέγομεν εἶναι, ἀλλὰ καὶ τὸν ἔσχατον μῆνα, καίτοιγε λ' ἡμέρας "ἔχοντα· οὕτω καὶ τῶν τοσούτων ἐτῶν, κἂν τριακόσια ἔτη τέλος "εἴπω, οὐχ ἁμαρτήσομαι."

19 Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν.

Τοῦτό φησιν, ἐπειδὴ γεγονότες μαθηταὶ, ἀπέστησαν μὲν τῆς ἀληθείας, ἰδίας δὲ ἐπινοίας βλασφημιῶν ἐξεῦρον· ἀλλ' εἰ καὶ μεθ' ἡμῶν ἦσαν πάλαι, φησι, οὐκ ἦσαν ἐξ ἡμῶν· ἐπεὶ εἰ ἦσαν ἡμέτεροι, μετὰ τῶν ἰδίων ἔμειναν ἂν, νῦν δὲ εἰσὶν ἀλλότριοι.

20 Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου, καὶ οἴδατε
21 πάντα. οὐκ ἔγραψα ὑμῖν, ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν,
ἀλλ' ὅτι οἴδατε αὐτήν.

[f] Sic. [g] εὑρήσκομεν Cod.

Ὅπερ ἕκαστος ἔλαβε διὰ τοῦ ἰδίου βαπτίσματος.

Σετήρου ἐκ τῆς πρὸς Ἡρακλιανὸν[h] Ἐπιστολῆς. Χριστοί εἰσιν, οὐχ οἱ προφῆται μόνον, καὶ ἅγιοι κατ' ἐκείνους καὶ πρὸ ἐκείνων ἄνδρες, ἀλλ' ἐξαιρέτως καὶ πάντες οἱ εἰς τὸν μέγαν καὶ μόνον καὶ ἀληθῆ Χριστὸν καὶ Σωτῆρα Θεὸν πιστεύσαντες ὕστερον, καὶ νῦν ἔτι πιστεύοντες· καὶ ἐν τῷ θείῳ τῆς παλιγγενεσίας λουτρῷ καὶ βαπτίσματι συμβολικῶς τῷ μύρῳ χριόμενοι, καὶ τὴν διὰ τοῦ Ἁγίου Πνεύματος υἱοθεσίαν λαμβάνοντες, καὶ τὰς πλουσίας παρ' αὐτοῦ δωρεὰς, δι' ὧν γινόμεθα κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι Χριστοῦ.

22 Καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι. τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ Ἀντίχριστος.

Τοιαύτη γὰρ ἡ αἵρεσις ἦν ἡ ἀπὸ Σίμωνος, ἡ λέγουσα ἄλλον εἶναι τὸν Ἰησοῦν, καὶ ἄλλον τὸν Χριστόν. τὸν μὲν Ἰησοῦν βούλονται εἶναι ἐκ Μαρίας ἄνθρωπον, τὸν δὲ Χριστὸν τὸν ἐπὶ τοῦ Ἰορδάνου καταβάντα ἐξ οὐρανῶν ἐν εἴδει περιστερᾶς. ἀναθεματίζει οὖν τοὺς οὕτω φρονοῦντας, καὶ τὸ τοῦ διαβόλου περιτίθησιν ὄνομά τε καὶ πρᾶγμα.

Ὁ ἀρνούμενος τὸν Πατέρα καὶ τὸν Υἱόν.

Ἄλλοι πάλιν τινὲς ἐξεληλύθεισαν αἱρεσιῶται λέγοντες, ἄλλον Πατέρα εἶναι, καὶ ἀκατονόμαστον παρὰ τοῦτον, τὸν λεγόμενον Πατέρα τοῦ Χριστοῦ. αὐτοὶ οὖν οὗτοι καὶ τὸν Ἰησοῦν ἀρνοῦνται, διὰ τοῦ ἄνθρωπον ψιλὸν λέγειν, καὶ μὴ κατὰ φύσιν Θεὸν ὡς ἐκ Θεοῦ ὄντα.

23 Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει.

Καὶ ἕτεροί τινες πάλιν ἀρνούμενοι τὸν Υἱὸν προσποιοῦνται εἰδέναι τὸν Πατέρα· τοῦτο δὲ ἴστωσαν ὅτι οὐδὲ τὸν Πατέρα ἐπίστανται· εἰ γὰρ ᾔδεσαν τὸν Πατέρα, ᾔδεσαν ὅτι καὶ Υἱοῦ Πατήρ ἐστι τοῦ μονογενοῦς· τοῦτο δὲ ἁρμόσει μὲν καὶ Ἰουδαίοις, καθὸ λέγοντες εἰδέναι τὸν Πατέρα, οὐχ ὁμολογοῦσι τὸν Υἱόν· ἁρμόσει δὲ καὶ τοῖς ἐκ Σίμωνος· καὶ αὐτοὶ γὰρ τῆς αὐτῆς ἀσεβείας μετέχουσιν.

[h] Ἡρακλιανὴν Cod.

24 Ὁ ὁμολογῶν τὸν Υἱὸν καὶ τὸν Πατερὰ ἔχει. ὑμεῖς
οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς ἐν ὑμῖν μενέτω. ἐὰν ἐν ὑμῖν
μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ καὶ
25 ἐν τῷ Πατρὶ μενεῖτε. καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία, ἣν
αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον.

Ἀπαγορεύσας τὴν ἀσέβειαν, καὶ τῆς εὐσεβείας διδάσκει τὸ δόγμα, καὶ τοῖς ἀκούουσιν ἀντέχεσθαι παραινεῖ, λέγων ἐξ αὐτοῦ κοινωνίαν αὐτοὺς ἔχειν καὶ πρὸς τὸν Πατέρα καὶ πρὸς τὸν Υἱὸν, καὶ ἐπαγγελίαν αἰωνίου ζωῆς.

* **Περὶ Θείου καὶ Πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ ἐπ' ἐλπίδι εἰς γνῶσιν Θεοῦ.**

26 Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς.

Τούτους, φησιν, ἅπαντας τοὺς λογισμοὺς διεξῆλθον διὰ τὰς ἐξεληλυθυίας αἱρέσεις.

27 Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν
ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε ἵνα τὶς διδάσκῃ
ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς περὶ
πάντων, καὶ ἀληθές ἐστι, καὶ οὐκ ἔστι ψεῦδος· καὶ
28 καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ. καὶ νῦν, τεκνία,
μένετε ἐν αὐτῷ. ἵνα ὅταν φανερωθῇ, ἔχωμεν παρρη-
σίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ, ἐν τῇ παρουσίᾳ
29 αὐτοῦ. ἐὰν ἴδητε ὅτι δίκαιός ἐστι, γινώσκετε, ὅτι πᾶς ὁ
ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

Τουτέστι, μηδὲν γηϊνὸν προσμίξητε τῷ ἐλαίῳ τῆς χρίσεως ᾧ ἐχρίσθητε, καὶ οὐ περικρατήσει ὑμῶν ὁ διάβολος.

Ἔχοντές, φησι, τὸ Πνεῦμα τὸ Ἅγιον διδάσκαλον τῆς εὐσεβοῦς γνώσεως, μὴ προσέχετε πνεύμασι πλάνοις, ἀλλὰ καθὼς ἐκεῖνος ἐδίδαξεν ὑμᾶς, οὕτω φρονεῖτε, ἵνα καὶ ἐν τῇ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ μετὰ παρρησίας στῶμεν ἔμπροσθεν αὐτοῦ.

Ὁ διειληφὼς ἐπιστημονικῶς περὶ Θεοῦ ὡς ὄντος κατ' οὐσίαν δικαίου, εὐθέως γνῶσιν ἕξει, ὡς γεννᾶται ἐκ τούτου ὁ τὴν δικαιοσύνην αὐτοῦ ποιῶν· ὥσπερ ὁ γνοὺς αὐτὸν ἁγιασμὸν ὄντα ἐπιδί-

δωσιν ἑαυτὸν τῷ [g] ἁγιασθῆναι· ἐπιστάμενος ἀκριβῶς τὸ "ἅγιοι ἔσεσθε [h], ὅτι ἐγὼ ἅγιός εἰμι." εὖ δὲ καὶ τὸ φάναι "ποιῶν," ἀλλ' οὐ "ποιήσας" ἢ "ποιήσων" δικαιοσύνην· δίκαιον παρίστησιν ἡ ἀρετὴ τὸν ἐνεργοῦντα πρακτικὴ οὖσα. οὐδεὶς οὖν πρὸ ποιήσεως αὐτῆς δίκαιός ἐστιν· οὐδ' ὁ παυσάμενος τοῦ κατ' αὐτὴν ἐνεργεῖν. ὅτι δὲ ὁ Θεὸς δίκαιός, φησι Μωϋσῆς, "ὅσιος καὶ δίκαιος ὁ Κύριος." οὗτος Πατὴρ τοῦ Σωτῆρός ἐστι· "Πατὲρ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω" τούτου Υἱὸς ὢν, ὡς Θεὸς ἐκ Θεοῦ καὶ Ἅγιος ἐξ Ἁγίου, οὕτω καὶ δίκαιος ἐκ δικαίου ὑπάρχει. οὐ μάχεται τούτοις τὸ δικαιοσύνην αὐτὸν εἶναι λέγεσθαι· τὸ γὰρ κατ' οὐσίαν τοιοῦτον ῥηθείη δικαιοσύνη καὶ δίκαιος.

1 *Εἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ Πατὴρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν, καὶ ἐσμέν.*

Ἀναγκαίαν αὐτοῖς ἐργάζεται τὴν ὑπομονὴν διὰ τῆς δοθείσης αὐτοῖς υἱοθεσίας.

Διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν.

Κόσμον ἐνταῦθα τοὺς πονηροὺς ἀνθρώπους λέγει.

Σευήρου. Ὥστε οὖν καὶ κατὰ τὴν παροῦσαν ζωὴν τέκνα Θεοῦ χρηματίζομεν, ἁγνίζοντες ἑαυτοὺς διὰ τῶν ἀρετῶν, καὶ πρὸς τὴν τοῦ κρείττονος ὁμοίωσιν σπεύδοντες· ἐναργεστέρας δὲ ταύτης τευξόμεθα κατὰ τὴν λαμπρότητα τῆς ἀναστάσεως· ὅτε καὶ ὀψόμεθα αὐτὸν, ὡς ἂν οἷόν τε, καθώς ἐστιν.

* Ὅτι πᾶς ὁ ἐν Χριστῷ ἐκτὸς ἁμαρτίας. ὁ γὰρ ἁμαρτάνων ἐκ τοῦ διαβόλου ἐστίν.

2 *Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα.*

Ἐρώτησις Μαξίμου. Τί λέγει ὁ ἅγιος Ἰωάννης; "ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα." εἰ "οὔπω ἐφανερώθη τί ἐσόμεθα," πῶς ὁ ἅγιος Παῦλος λέγει, "ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ." πῶς δὲ καὶ τοιαῦτα φιλοσοφεῖ περὶ τοῦ "τί ἐσόμεθα;"

g Cod. prim. m. τὸ rec. m. corr. τῷ.

Ἀπόκρισις. Ὁ μὲν ἅγιος Εὐαγγελίστης Ἰωάννης τὸν τρόπον τῆς μελλούσης τῶν γενομένων ἐνταῦθα τέκνων τοῦ Θεοῦ, διὰ τῶν κατὰ τὴν πίστιν ἀρετῶν θεώσεως, ἠγνοηκέναι λέγει, μήπω φανείσης τῆς αὐθυπάρκτου κατὰ τὸ εἶδος τῶν μελλόντων ἀγαθῶν ὑποστάσεως· διὰ πίστεως γὰρ ἐνταῦθα περιπατοῦμεν, οὐ διὰ εἴδους. ὁ δὲ ἅγιος Παῦλος τὸν ἐπὶ τοῖς μέλλουσιν ἀγαθοῖς θεῖον σκοπὸν λέγει δι' ἀποκαλύψεως εἰληφέναι, οὐ μὴν αὐτὸν ἐγνωκέναι τὸν κατὰ τὸν θεῖον σκοπὸν τῆς ἐκθέσεως τρόπον· διὸ λέγει σαφῶς ἑαυτὸν ἑρμηνεύων, κατὰ σκόπον διώκω τῆς ἄνω κλήσεως· γνῶναι δηλονότι θέλων ἐκ τοῦ παθεῖν τῆς κατ' ἐνέργειαν ἐκπληρώσεως τοῦ θείου, καὶ αὐτῷ δι' ἀποκαλύψεως ἐνταῦθα γνωθέντος σκοποῦ τῆς ἐκθέσεως τῶν ἀξιουμένων δυνάμεως. συνᾴδουσιν οὖν οἱ Ἀπόστολοι διὰ τῆς δοκούσης ἐναντιοφανοῦς διδασκαλίας ἀλλήλοις συμπνέοντες, ὡς ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ κινούμενοι Πνεύματος. ὁ μὲν γὰρ τοῦ τρόπου τῆς μελλούσης κατὰ τὴν χάριν θεώσεως ὁμολογεῖ τὴν ἄγνοιαν· ὁ δὲ τοῦ σκοποῦ μεγαλοφυῶς εἰσηγεῖται τὴν εἴδησιν· ὅτι δὲ ταύτης ἔχεται τῆς γνώμης ὁ μέγας Ἀπόστολος, αὐτὸς ἑαυτοῦ διὰ πάντων τῶν θείων αὐτοῦ λόγων μάρτυς καθέστηκε. ποτὲ μὲν γὰρ πᾶσαν καταργηθήσεσθαι φάσκων γνῶσιν καὶ προφητείαν· ποτὲ δὲ οὔπω λογζόμενος ἑαυτὸν κατειληφέναι· ποτὲ δὲ δι' ἐσόπτρου καὶ αἰνιγμάτων βλέπειν τὰ μέλλοντα· καὶ εἶναι καιρὸν, ὅτε τις πρόσωπον πρὸς πρόσωπον τῶν ἐλπιζομένων μεγάλης καὶ ὑπὲρ νόησιν ἀπολαύσειεν χάριτος· ποτὲ δὲ ἐκ μέρους γινώσκειν ὁμολογῶν, καὶ ἐκ μέρους προφητεύειν· ποτὲ δὲ χρὴν αὐτὸν γνώσεσθαι καθὼς καὶ ἐπεγνώσθη, διαρρήδην βοῶν, ὡς οὔπω δηλονότι γνοὺς τὸ γνωσθησόμενον· καὶ συντόμως εἰπεῖν τὸ "ὅταν ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται·" τῷ Ἀποστόλῳ εἰρημένον ταυτὸν εἶναί μοι φαίνεται τῷ, "οὔπω ἐφανερώθη τί "ἐσόμεθα," λεχθέντι τῷ Θεολόγῳ.

Οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα,
3 ὅτι ὀψόμεθα αὐτὸν, καθώς ἐστι. Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι.

Τοῦ συμβασιλεῦσαι καὶ συνδοξασθῆναι λέγει, ἐκ τούτων τῶν

ῥημάτων λέγουσι τινὲς, ὅτι ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα μὲν, οὐ καθ' ὁμοίωσιν δὲ, μέλλει δὲ διδόναι τὸ καθ' ὁμοίωσιν· ἐνεπιστεύθη τὸ κατ' εἰκόνα, εἰ τούτου ἄξιος γένῃ, λήψῃ καὶ τὸ καθ' ὁμοίωσιν· ἐὰν δὲ πιστευθεὶς τὸ κατ' εἰκόνα, μὴ καλῶς ἀναστροφῇς ὡς κατ' εἰκόνα, ἀλλ' ἀπολέσῃς αὐτὸ, τίς σοι δώσει τὸ καθ' ὁμοίωσιν; οὐ γὰρ δύναται τὸ καθ' ὁμοίωσιν ἐλθεῖν, ἐὰν μὴ ὑποβάθραν ἔχῃ τὸ κατ' εἰκόνα· διὰ τοῦτο γὰρ ὑπήνεγκε τὸ, " καὶ " πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς " ἐκεῖνος ἁγνός ἐστι·" μόνος γὰρ ὁ εἰς Θεὸν ὁρῶν, ἐκεῖνος ὄντως καθαρός ἐστιν. ὁ δὲ ἐμὸς δεσπότης[h] *παρέστησεν ἐν τῇ πρὸς Κόνωνα Ἐπιστολῇ ἐκ τῶν ἐγκρίτων πατέρων, ὅτι τὸ κατ' εἰκόνα αὐτό ἐστι τὸ καθ' ὁμοίωσιν, καὶ περὶ γεγονότος ἀπέδειξε τοῦτο.*

4 Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ·
5 καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε ὅτι ἐκεῖνος
ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ· καὶ ἁμαρτία ἐν
6 αὐτῷ οὐκ ἔστι. πᾶς ὁ ἐν αὐτῷ μένων, οὐχ ἁμαρτάνει· πᾶς
ὁ ἁμαρτάνων, οὐχ ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν.

Εἰ γὰρ κατὰ μηδένα τρόπον αὐτοῦ χωρίζεται, πῶς αὐτοῦ ἁμαρτία ἅψασθαι δύναται;

7 Τεκνία μου, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δι-
καιοσύνην, δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν.

Τοῦτο ἄρα ἐστὶ γνῶσις ἐπιστημονικὴ καὶ ἐνδιάθετος κατανόησις.

8 Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν· ὅτι
ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει· εἰς τοῦτο ἐφανερώθη
ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

Ὁσάκις οὖν ἁμαρτάνομεν, ἐκ τοῦ διαβόλου γεννώμεθα· ἐκ τοῦ Θεοῦ δὲ πάλιν, ὁσάκις ἀρετὴν κατορθώσομεν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ἐπείπερ πρὸ πάντων τραπεὶς ὁ διάβολος ἐν τῷ ἁμαρτάνειν γέγονεν, ἐξ αὐτοῦ χρηματίζει πᾶς ὁ ἁμαρτητικῶς ἐνεργῶν· προάρχεται γὰρ ἐν τῷ ἁμαρτάνοντι δι' ὑπερβολὴν πονηρῶν λογισμῶν, ὡς ἐπὶ τοῦ Ἰούδα. ἀλλ' ἐρεῖ τις*

[h] Severus Antiochenus, opinor.

ὅτι γίνεται ὁ διάβολος ἐν τοῖς ἁμαρτάνουσι τῶν πρὸ αὐτοῦ ἡμαρτηκότων ἐν τῷ διδόναι αὐτῷ τόπον· πρὸς ὃ λεκτέον ταυτὸν εἶναι τὸ ποιεῖν τὴν ἁμαρτίαν τῷ ἁμαρτάνειν, ἐν τῷ διδόναι τόπον τῷ διαβόλῳ. δίδωσι γὰρ αὐτῷ τόπον ἐπιθυμίᾳ ὑπαχθεὶς μετὰ τὸ δέξασθαι αὐτόν· πρακτικῶς ἐπιτελῶν τὴν ἁμαρτίαν. τοῦτο γὰρ σημαίνει τὸ ποιεῖν αὐτήν· εὖ δὲ καὶ τὸ εἰπεῖν "ποιῶν" ἀλλ' οὐ "ποιήσας" τοῦ μετανοήσαντος οὐκέτι ὄντος ἐκ τοῦ διαβόλου, ἀλλὰ μόνου τοῦ ἐνεργοῦντος αὐτὴν ἔτι· οὕτω γὰρ καὶ τῆς ἁμαρτίας δοῦλός ἐστιν ὁ ποιῶν, ἀλλ' οὐχ ὁ ποιήσας αὐτήν. πῶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν, φησὶ, δοῦλος αὐτῆς ἐστιν.

9 Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ.

Σευήρου. Οὐ τοῦτο εἶπεν ὡς εἰς τὸ ἐπίδεκτον ἁμαρτίας καὶ ἀπαθείας ἡμῶν περιστάσης τῆς φύσεως· ἀλλ' ὅτι ἐφ' ὅσον ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ φυλάττει τὴν τῆς γεννήσεως χάριν, διὰ τῆς καθαρᾶς πολιτείας ἁμαρτάνειν οὐ δύναται· καὶ τὴν αἰτίαν προστίθησι τοῦ μὴ δύνασθαι ἁμαρτάνειν λέγων, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει. τί δέ ἐστι τὸ σπέρμα τοῦ Θεοῦ τὸ μένον ἐπὶ τοὺς πιστούς; ἢ ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις δι' ἧς ἀναγεννήθημεν· ἥτις οὐκ ἀφίσταται ἡμῶν· ὅταν κατὰ Παῦλον, μὴ λυπῶμεν διὰ τῶν αἰσχίστων πράξεων "τὸ Πνεῦμα τὸ "Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀποκαλύψεως." τὸ οὖν "οὐ δύναται ἁμαρτάνειν" οὐ κατὰ τὸ γενέσθαι τὴν φύσιν ἡμῶν ἀνεπίδεκτον ἁμαρτίας, καὶ εἰς ἀπάθειαν περιστῆναι νοητέον· ἀλλὰ κατὰ τὸ μὴ ἀκόλουθον μηδὲ ἁρμόδιον· οὐ γὰρ ἐνδέχεται τὸν τὴν πνευματικὴν φυλάττοντα γέννησιν καὶ πνευματικας καὶ καθαρὰς πράξεις ἐπιτηδεύοντα. κατὰ τουτὸ καὶ ἁμαρτάνειν. καὶ ὅτι τοῦτο οὕτως ἔχει, καὶ οὐχ ἡμεῖς βιαζόμεθα πρὸς τὸ δοκεῖν τοῦ ῥητοῦ τὴν ἐξήγησιν, αὐτὸν τὸν θεσπέσιον Ἰωάννην λάβε μοι μάρτυρα· ἐν γὰρ τῷ τέλει τῆς Ἐπιστολῆς τὸ αὐτὸ ῥητὸν ἀναλαμβάνων σαφηνίζει τὴν οἰκεῖαν διάνοιαν· λέγει γὰρ οὕτως. "οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ, "ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ "ἅπτεται αὐτοῦ." ὁρᾷς ὅτι "ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ," διὰ τοῦτο οὐ δύναται ἁμαρτάνειν, οὐχ ὅτι τὴν φύσιν ἐστὶν ἀπαθὴς,

ἀλλ' ὅτι "τηρεῖ ἑαυτὸν," καὶ τὰ τῷ Ἁγίῳ Πνεύματι δοκοῦντα πράττων, ἁμαρτάνειν οὐ δύναται.

Ἐρωτησις Μαξιμου. Εἰ κατὰ τὸν Ἅγιον Ἰωάννην "ὁ γε-"γεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ "ἐν αὐτῷ μένει, καὶ οὐ δυνάται ἁμαρτάνειν." ὁ δὲ γεγεννημένος ἐξ ὕδατος καὶ Πνεύματος οὗτος ἐκ τοῦ Θεοῦ γεγέννηται· πῶς οἱ ἐκ τοῦ Θεοῦ διὰ τοῦ βαπτίσματος γεγεννημένοι δυνάμεθα ἁμαρτάνειν;

Ἀπόκρισις. Διττὸς ἐν ἡμῖν τῆς ἐκ Θεοῦ γεννήσεως ὁ τρόπος. ὁ μὲν πάσῃ δυνάμει παροῦσαν τοῖς γεννωμένοις διδοὺς τὴν χάριν τῆς υἱοθεσίας· ὁ δὲ κατ' ἐνέργειαν ὅλην παροῦσαν καὶ τοῦ Θεοῦ γεννωμένου· πᾶσαν πρὸς τὸν γεννῶντα Θεὸν προαίρεσιν γνωμικῶς μεταπλάττουσαν εἰς αὐτόν. καὶ ὁ μὲν κατὰ πίστιν μόνην δυνάμει παροῦσαν τὴν χάριν ἔχων· ὁ δὲ πρὸς τῇ πίστει καὶ τὴν κατ' ἐπίγνωσιν ἐνεργοῦσαν ἐν τῷ ἐπεγνωκότι τὴν τοῦ γνωσθέντος θειοτάτην ὁμοίωσιν ἐμποιῶν. οἷς μὲν οὖν ὁ πρῶτος τῆς γεννήσεως ἐνθεωρεῖται τρόπος, διὰ τὸ μήπω τὴν γνώμην καθαρῶς ἐξηλωθεῖσαν τῆς σαρκικῆς προσπαθείας ποιωθῆναι δι' ὅλου τῷ Πνεύματι κατὰ τὴν τῶν ἐπεγνωσμένων θείων μυστηρίων δι' ἐνεργείας τὴν μέθεξιν, τὸ πρὸς ἁμαρτίαν ῥέψαί ποτε βουλομένοις οὐκ ἄπεστιν. οὐ γὰρ γεννᾷ γνώμην τὸ Πνεῦμα μὴ θέλουσαν· ἀλλὰ βουλομένην μεταπλάττει πρὸς θέωσιν· ἧς ὁ κατ' ἐπίγνωσιν πείρα[i] μεταλαβὼν, οὐ δύναται, τοῦ κυρίως κατὰ ἀλήθειαν ἅπαξ ἔργῳ διαγνωσθέντος, πρὸς ἄλλό τι παρ' ἐκεῖνο, κἀκεῖνο εἶναι προσποιούμενον, μεταπεσεῖν· ὥσπερ οὔτε ὀφθαλμὸς ἅπαξ τὸν ἥλιον θεασάμενος, εἰς τὴν σελήνην, ἢ τινὰς ἄλλους τῶν κατ' οὐρανὸν ἀστέρων, παραγνωρίσαι. ὧν δὲ κατὰ τὴν γέννησιν τὴν ὅλην προαίρεσιν λαβὼν τὸ Πνεῦμα τὸ Ἅγιον, ἀπὸ τῆς γῆς πρὸς οὐρανοὺς δι' ὅλου μετέθηκε· καὶ διὰ τῆς κατ' ἐνέργειαν ἀληθοῦς ἐπιγνώσεως ταῖς τοῦ Θεοῦ καὶ Πατρὸς μακαρίαις ἀκτῖσι τὸν νοῦν μετεποίησεν, ὡς ἄλλον εἶναι νομισθῆναι Θεὸν[k] παθόντα κατὰ τὴν ἕξιν διὰ τῆς χάριτος, ὅπερ οὐ πάσχων ἀλλ' ὑπάρχων κατ' οὐσίαν ἐστὶ Θεός· τούτων σαφῶς ἀναμάρτητος κατὰ τὴν ἕξιν τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἡ προαίρεσις γέγονε, μὴ δυναμένων ἀρνήσασθαι τὸ διὰ τῆς πείρας αὐτοῖς κατ'

[i] Sic. [k] Θεὸν add. rec. m.

ἐνέργειαν διεγνωσμένον. κἂν οὖν ἔχωμεν τὸ πνεῦμα τῆς υἱοθεσίας, ὅπερ ἐστὶ σπέρμα, πρὸ τὴν τοῦ σπείραντος ἰδιοποιοῦν τοὺς γεννωμένους ἑμοίωσιν, ἀλλ' οὐ παρέχομεν αὐτοῦ τὴν γνώμην τῆς ἐπ' ἄλλο ῥοπῆς τε καὶ διαθέσεως καθορᾶν· καὶ διὰ τοῦτο, καὶ μετὰ τὸ γεννηθῆναι δι' ὕδατος καὶ πνεύματος θέλοντες ἁμαρτάνομεν· εἰ δὲ τούτων, ὕδατος λέγω καὶ πνεύματος, τὴν ἐνέργειαν δέχεσθαι γνωστικῶς τὴν γνώμην παρασκευάζομεν, ἄρα ἂν καὶ διὰ τῆς πρακτικῆς τὸ μυστικὸν ὕδωρ ἐποιεῖτο τὴν τῆς συνειδήσεως κάθαρσιν· καὶ τὸ ζωοποιοῦν Πνεῦμα τὴν ἄτρεπτον ἐν ἡμῖν τοῦ καλοῦ διὰ τῆς ἐμπείρα [k] γνώσεως ἐνήργει τελείωσιν. λείπει τοιγαροῦν ἑκάστῳ ἡμῶν τῶν ἁμαρτεῖν ἔτι δυναμένων τὸ καθαροὺς ἑαυτοὺς ὅλως κατὰ τὴν γνώμην ἐμπαρέχειν βουληθῆναι τῷ Πνεύματι.

Εἶπας "ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστιν," ἐκ τοῦ οὕτω πράττειν φανεροῦται ὢν τέκνον τοῦ διαβόλου· καθάπερ καὶ Ἐλύμας ὁ μάγος, ἐκ τοῦ "πλήρης παντὸς δόλου" ἐγνώσθη υἱὸς διαβόλου· καὶ ἐπεὶ "πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, τῷ ἔχειν ἐν ἑαυτῷ Θεοῦ σπέρμα·" τὸν οὕτω μὴ ἁμαρτάνοντα εὑρεῖν ἐστὶ σαφῶς υἱὸν ὄντα Θεοῦ· προσέθηκα δὲ τῷ ἁμαρτάνοντι οὕτως, ἵνα μήτις σοφίσηται, τέκνα Θεοῦ λέγων, ἡμᾶς τίθεσθαι πάντας τοὺς μὴ ἁμαρτάνοντας· τὰ γὰρ βρέφη ἁμαρτίαν μὴ ποιοῦντα, οὐ ῥητέον τέκνα Θεοῦ εἶναι· ἐξ ἡλικίας γὰρ, ἀλλ' οὐκ ἐξ ἀρετῆς κωλύονται τοῦ ἁμαρτάνειν· ἵνα μὴ ἑτερόν τι εἴπωμεν, φάσκοντες, μὴ ὑγιῶς λέγεσθαι περὶ βρεφῶν, ὅτι ἁμαρτίαν οὐ ποιοῦσιν· οὐ ταυτὸν γὰρ τὸ ἁμαρτάνειν τῷ [l] μὴ ποιεῖν ἁμαρτίαν· τὸ μὲν γὰρ ἀπόφασις ἔοικε· τὸ δὲ ἐκ διαθέσεως ὑπάρχει· καὶ γὰρ λέγοντες μὴ δύνασθαι ἀδικεῖν τὸν δικαιοσύνην ἔχοντα, οὐκ ἀδυναμίαν φυσικὴν δηλοῦμεν, καθ' ἣν λέγομεν μὴ δύνασθαι τὸ ἄλογον ζῶον ἐπιστήμην ἢ ἕτερόν τι τοιοῦτον ἔχειν.

Ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν.

Σπέρμα θεῖόν ἐστιν ὁ Χριστὸς, ὃς ἐνοικῶν ἐν τοῖς πιστοῖς, ποιεῖ αὐτοὺς γενέσθαι υἱοὺς Θεοῦ· οὕτως ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ, ὅς ἐστι πάλιν Χριστὸς, εὐλογοῦνται πάντα τὰ ἔθνη.

k Sic. l Cod. τὸ.

Σπέρμα φησὶ τὸ Πνεῦμα, ὃ διὰ νοῦ χαρίσματος λαμβάνομεν. ὅπερ ἐν ἡμῖν μένον, ἀνεπίδεκτον τὸν νοῦν ἁμαρτίας ποιεῖ.

Εἰ μὴ γάρ τις γεννηθῇ ἐκ τοῦ Θεοῦ, τὸ Πνεῦμα τὸ Ἅγιον οὐ λαμβάνει.

10 Ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται· ἐν τούτῳ φανερά ἐστι
τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου.

Ἐν τῷ μὴ ἁμαρτάνειν καὶ ἀγαπᾷν· ἐν τῷ ἁμαρτάνειν καὶ μισεῖν.

ΚΕΦ. Δ.

Περὶ ἀγαπῆς τῆς πρὸς τὸν πλησίον καὶ διαθέσεως μεταδοτικῆς.

Πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ,
καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. ὅτι αὕτη ἐστὶν
11 ἡ ἀγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν
ἀλλήλους.

Ἐπεὶ ὁ ποιῶν τὴν δικαιοσύνην ἐκ τοῦ Θεοῦ γεγέννηται, ἕπεται δὲ τῷ οὕτω γεννηθέντι ἀγαπᾷν τοὺς ἀδελφοὺς, ὁ μὴ ἔχων δικαιοσύνην τὸ μὴ ποιεῖν αὐτήν· μισῶν δὲ τὸν ἀδελφὸν αὐτοῦ ἐκ τοῦ Θεοῦ οὐκ ἔστιν· οὐ κατ' ἄλλον τρόπον ἢ τὸ μὴ γεγεννῆσθαι ἐξ αὐτοῦ· οὐ γὰρ προσεκτέον τοῖς λέγουσι μὴ εἶναι ἐκ Θεοῦ τούτους διὰ χοϊκὴν φύσιν.

Οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν
12 ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι
τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ
δίκαια.

Ἀνοσιεύεται γὰρ, καὶ πρωτόλειον ὥσπέρ τι καὶ ἀπαρχὴν τῷ θανάτῳ δίδωσι τὸν ὁμαίμονα[m]*, καὶ τῆς εἰς μιαιφονίαν ὁδοῦ τῇ ἀνθρώπου φύσει διδάσκαλος ἦν.*

Καὶ μὴ θαυμάζετε ἀδελφοὶ, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.
13 ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς
14 τὴν ζωὴν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν
τὸν ἀδελφὸν, μένει ἐν τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν
15 ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε ὅτι

[m] Cod. *ὁμαίμωνα*.

πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μέ-
16 *νουσαν. ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος*
ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε.

Τὸν λόγον τοῦ Θεοῦ δεξάμενοι, αὐτὸς γὰρ εἶπεν· " ὁ ἀκούων " μου τοὺς λόγους καὶ τηρῶν αὐτοὺς, οὐκ ὄψεται θάνατον, ἀλλὰ " μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν."

17 *Καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς*
θεῖναι. ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρεῖ
τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ
σπλάγχνα αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ;

Τοῦ Χρυσοστόμου. Ὅταν ἴδῃς πένητα μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον, τίς ἂν ἦς, εἰ σὺ ἐκεῖνος· τί οὐκ ἂν ἠθέλησας πάντας σοι ποιεῖν;

Τουτέστιν ἐν εὐπορίᾳ καθέστηκεν.

18 *Τέκνια, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ*
καὶ ἀληθείᾳ.

Τοῦ Χρυσοστόμου. ῬΗΤᾺ ΠΡΟΚΕΙΜΕΝΑ Ὁ ΠΡΟΪΣΤΑΜΕΝΟΣ ἘΝ ΣΠΟΥΔΗ͂Ι.

Οὐ γὰρ ἀρκεῖ προστῆναι, ἀλλὰ μετὰ δαψιλείας καὶ γνώμης ἀλύπου τοῦτο δεῖ ποιεῖν· μᾶλλον δὲ οὐ μετὰ ἀλύπου μόνον ἀλλὰ μετὰ φαιδρᾶς καὶ χαιρούσης ψυχῆς.

* **Περὶ συνειδήσεως ἐν πίστει Ἰησοῦ Χριστοῦ.**

19 *Καὶ ἐν τούτῳ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν,*
20 *καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν· ὅτι*
ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ
Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα.

Ἐὰν, φησὶν, ἁμάρτωμεν, οὐ λανθάνομεν, οὐδὲ διαφευξόμεθα· εἰ γὰρ ἁμαρτάνοντες, τὴν καρδίαν ἑαυτῶν λαθεῖν δυνάμεθα, ἀλλὰ νυττόμεθα ὑπὸ τοῦ συνειδότος, πόσῳ μᾶλλον τὸν Θεὸν πράττοντές τι τῶν φαύλων δυνηθῶμεν λαθεῖν;

21 *Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ*
ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεὸν, καὶ ὃ ἐὰν
αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ

23 *τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. καὶ
αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ Υἱῷ
αὐτοῦ Ἰησοῦ Χριστῷ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς
ἔδωκεν ἐντολὴν ἡμῖν.*

ΚΥΡΙΛΛΟΥ. *Ἕως εἶ κατὰ τὸν βίον τοῦτον, ὁδὸς γὰρ ὁ βίος ὑπὸ πάντων ἀνθρώπων παροδευόμενος, προσδέχου καὶ μὴ παραλογίζου τὴν ἐκ τοῦ συνειδότος ὑπόμνησιν· εἰ δὲ παραλογίσῃ καὶ παραδράμῃς τὸν βίον, αὐτὸ τὸ συνειδὸς ἀντιδίκου τάξιν ἐπέχον ἐπὶ τοῦ κριτοῦ κατηγορήσει, καὶ ὑπὸ τὴν ψῆφον ποιήσει σε τοῦ δικάζοντος, καὶ παραδοθήσῃ ταῖς ἀνηκέστοις κολάσεσιν· ἃ οὐκ ἂν ἔπαθες, εἴγε κατὰ τὴν ὁδὸν εὔνοιαν ἐκτήσω πρὸς τὸν ἀντίδικον, τοὺς ἐλέγχους ὡς μετ' εὐνοίας προσφερομένους καταδεχόμενος. τοῦτο γὰρ καὶ ὁ θεσπέσιος Εὐαγγελιστὴς Ἰωάννης ἐπιστέλλων φησὶν, "ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν "ἔχομεν πρὸς τὸν Θεόν."*

24 *Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ
αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν
ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.*

Ἐν τούτῳ μὲν ἐν τῷ κατορθοῦν τὰς ἐντολάς· τίς δὲ ὁ μένων ἢ ὁ Θεὸς; καὶ πόθεν δῆλον, ἐκ τοῦ δοῦναι ἡμῖν τὸ Ἅγιον *ἑαυτοῦ* Πνεῦμα.

* **Περὶ διακρίσεως πνευμάτων ἐφ' ὁμολογίᾳ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.**

1 *Ἀγαπητοὶ, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δο-
κιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστίν· ὅτι πολλοὶ
ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον.*

Εἰ ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστὶ, καὶ ὁ Θεὸς ἀγάπη ἐστὶ, τίς ἂν εἴη ὁ ἐξ αὐτοῦ προερχόμενος ἢ αὐτὸς ὁ Λόγος; ἐάν τις τοίνυν ἔχῃ τὴν ἀγάπην, Χριστὸν ἔχει ἐν ἑαυτῷ, ἤγουν ὁ εἰπὼν "ὁ Θεὸς ἀγάπη "ἐστὶν," οὗτος πάλιν οἶδεν ἀγάπην ἐκ Θεοῦ, ἥντινα οὐκ ἄλλην εἶναι νομιστέον, ἢ τὸν μονογενῆ, ὥσπερ Θεὸν ἐκ Θεοῦ, οὕτως καὶ ἀγάπην ἐξ ἀγάπης ὄντα· ὅνπερ γὰρ τρόπον πρὸ τῆς Χριστοῦ παρουσίας, ὄντων ἐν τῇ Ἰουδαίᾳ Θεοῦ προφητῶν, πολλοὶ ἐτύγχανον

ὑποκρινόμενοι τὴν προφητείαν, ὡς χρείαν εἶναι ἐπιστήμης ἐπιστατικῆς· τίνες τῶν λεγόντων, "τάδε λέγει Κύριος," Πνεῦμα Ἅγιον καὶ Θεοῦ λόγον εἶχον· καὶ τίνες ὑπὸ πονηροῦ κινούμενοι, τοῦ ψευδοῦς ἦσαν προφῆται· οὕτω καὶ μετὰ τὴν ἐπιδημίαν τῶν Ἀποστόλων ἐν Χρίστῳ λαλούντων καὶ Πνεῦμα Ἅγιον ἐχόντων, ὃ δέδωκεν ὁ Κύριος, πολλοὶ ψευδαπόστολοι προεβλήθησαν ὑπὸ τοῦ διαβόλου, ὑποκρινόμενοι τὴν εὐαγγελικὴν διδασκαλίαν. ἀναγκαῖον ἔχειν ἐκεῖνο τὸ χάρισμα τοῦ Ἁγίου Πνεύματος, ὃ ὠνόμασται διάκρισις πνευμάτων, ἵνα ἐπιστήμην ἔχωμεν δοκιμάζειν τὰ πνεύματα, ὥστε τῷ μὲν πιστεύειν, τῷ δὲ ἀνθίστασθαι. χαρακτηριστικὸν λέγει τοῦ Ἀντιχρίστου[1], οὗ ἀκηκόαμεν ὅτι ἔρχεται, ἤδη δὲ ἐν τῷ κόσμῳ ἐστὶ, τὸ διὰ ψευδοπροφητῶν καὶ πνευμάτων λύειν τὸν Ἰησοῦν, ἐν τῷ μὴ ὁμολογεῖν αὐτὸν ἐν σαρκὶ ἐληλυθέναι. τοῦ λέγειν "καὶ νῦν" πραγματικῶς ἀκουστέον· πολλοὶ γὰρ γλώσσῃ μόνῃ λέγουσιν.

Μετὰ τὴν ἀνάληψιν Χριστοῦ τὴν εἰς οὐρανοὺς εὐθὺς πολλοὶ ψευδοδιδάσκαλοι γεγόνασι, διαφόρους βλασφημιῶν εἰσάγοντες αἱρέσεις· ἃς ἐν μέρει διδάσκει νῦν.

Ἐν τούτῳ γινώσκετε τὸ Πνεῦμα τοῦ Θεοῦ· πᾶν
2 πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυ-
θότα, ἐκ τοῦ Θεοῦ ἐστί· καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογεῖ
3 τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, τοῦ Θεοῦ οὐκ
ἔστι.

Ἐγένοντο γάρ τινες, οἳ ἔλεγον ἐν φαντασίᾳ ἀνθρώπου ἐξ οὐρανοῦ κατεληλυθέναι τὸν Κύριον· ὧν ἐπεβεβαίωσαν τὰς δόξας οἱ Μανιχαῖοι.

Ἐὰν οὖν ἁμαρτάνων λέγω, ὅτι Ἰησοῦς Χριστὸς ἐν σαρκὶ ἐλήλυθε, καὶ ταῦτα φρονῶν λέγω, ὅτι ἐπεδήμησεν ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν σαρκὶ, ἄρα ἐκ Θεοῦ Πνεῦμα ἔχω; οὐκ ἐνδέχεται ἄλλως παραδέξασθαι τὸ ῥητόν· λέγει ὁ Ἰωάννης· "πᾶν πνεῦμα "Ἰησοῦν Χριστὸν ὁμολογοῦν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ "ἐστί." ἐπαπορήσας οὖν ὁ βουλόμενος καὶ ἐξετάζων καὶ ἐρευνῶν τί βούλεται ὁ Ἀπόστολος λέγειν· "πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν

[1] Cod. χριστοῦ.

"Χριστὸν ἐληλυθότα ἐν σαρκὶ, ἐκ τοῦ Θεοῦ ἐστι," διὰ τὸ τὴν διαθήκην τοῦ Θεοῦ εἰρῆσθαι μένειν ἐπὶ τῆς σαρκὸς τοῦ Ἀβραὰμ καὶ τῶν μετ' αὐτόν· εἴποι ἂν κατανοήσας τὸ "πάντοτε τὴν νέκρωσιν "τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες." ἐννοήσας τὸ, "ζῶ "οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς," διὰ τοῦ παραδέξασθαι Χριστὸν Ἰησοῦν ζῶντα ἐκ ἐμοὶ, διὰ τοῦ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρειν. ὁμολογῶν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, οὐκ ἐκείνῃ μόνῃ τῇ ἰδίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ ἐμῇ. "οὐ γὰρ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται "εἰς τὴν βασιλείαν τῶν οὐρανῶν." εἴπερ οὖν βούλει λέγεσθαι ὅτι πᾶν πνεῦμα Θεοῦ ἔχεις, ὁμολόγησον Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἵνα λέγοιτο καὶ περὶ σοῦ τὸ, "ἡ διαθήκη μου "ἔσται ἐπὶ τῆς σαρκός ὑμῶν."

Καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ῬΗΤᾺ ΠΡΟΚΕΊΜΕΝΑ ΜΉΤΙΣ ἩΜΑ͂Σ ἘΞΑΠΑΤΉΣῌ ΚΑΤᾺ ΜΗΔΈΝΑ ΤΡΌΠΟΝ· ὍΤΙ ἘᾺΝ ἜΛΘῌ Ἡ ἈΠΟΣΤΑΣΊΑ ΠΡΩ͂ΤΟΝ ΚΑῚ ἈΠΟΚΑΛΥΦΘΗ͂Ι Ὁ ἌΝΘΡΩΠΟΣ ΤΗ͂Σ ἉΜΑΡΤΊΑΣ Ὁ ΥἹῸΣ ΤΗ͂Σ ἈΠΩΛΕΊΑΣ, ΚΑῚ ΤᾺ ἙΞΗ͂Σ.

Περὶ τοῦ Ἀντιχρίστου ἐνταῦθα διαλέγεται, καὶ μέγα ἀποκαλύπτει μυστήριον. τί ἐστιν ἡ ἀποστασία; αὐτὸν καλεῖ τὴν ἀποστασίαν, ὡς πολλοὺς μέλλοντος ἀπολλύναι καὶ ἀφιστᾶν, "ὥστε" φησὶν "σκανδαλισθῆναι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκ-"τούς," καὶ "ἄνθρωπον ἁμαρτίας" αὐτὸν καλεῖ· μυρία γάρ φησιν ἐργάσεται, καὶ παρασκευάσει ἑτέρους ἐργάσασθαι δεινά. καὶ "υἱὸν τῆς ἀπωλείας" αὐτὸν φησὶ, διὰ τὸ καὶ αὐτὸν ἀπόλλυσθαι, καὶ ἑτέρους ἀπολλύειν. τίς δὲ οὗτός ἐστιν; ἆρα ὁ Σατανᾶς; οὐδαμῶς· ἀλλὰ ἄνθρωπός τις, πᾶσαν αὐτοῦ δεχόμενος τὴν ἐνέργειαν. ὁ ἄνθρωπος γάρ ἐστι, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα. οὐ γὰρ εἰς εἰδωλολατρίαν ἄξει ἐκεῖνος, ἀλλ' ἀντίθεός τις ἔσται, καὶ πάντας καταλύσει τοὺς θεοὺς, καὶ κελεύσει προσκυνεῖν αὐτὸν ἀντὶ τοῦ Θεοῦ, οὐ τὸν ἐν Ἱεροσολύμοις, ἀλλὰ τὸν καθ' ἑκάστην ἐκκλησίαν, ἀποδεικνύντα, φησὶν, ἑαυτόν. οὐκ εἶπε λέγοντα, ἀλλὰ πειρώμενον[k] ἀποδεικνύναι· καὶ γὰρ ἔργα

[k] Cod. πειρόμενον.

μεγάλα ἐργάσεται, καὶ σημεῖα ἐπιδείξεται θαυμαστὰ τοῖς ἐξ αὐτῶν πλανωμένοις.

4 Καὶ *νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη· ὑμεῖς ἐκ τοῦ* Θεοῦ
ἐστὲ, τεκνία, καὶ νενικήκατε αὐτούς.

Προώδευσεν *γὰρ αὐτοῦ αἱ αἱρέσεις· προοδοποιοῦσι καὶ οἱ* Μανιχαῖοι, *οἱ νῦν ἀρτιφανεῖς* Παυλικίανοι, *θεὸν αὐτὸν εἶναι διαγορεύοντες.*

Ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν

Ὁ Θεὸς *δηλονότι καὶ* Πατὴρ *διὰ τοῦ* Υἱοῦ *καὶ τοῦ* Παρακλήτου.

Ἢ ὁ ἐν τῷ κόσμῳ.

"Ὁ *ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας·*" *λέγει δὲ τὸν* Σατανᾶν. *κόσμον γὰρ ἐνταῦθα τοὺς πονηροὺς ἀνθρώπους φησίν.*

5 Αὐτοὶ *ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου*
6 *λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει· ἡμεῖς ἐκ τοῦ* Θεοῦ
ἐσμέν· ὁ γινώσκων τὸν Θεὸν, *ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ* Θεοῦ, *οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ* Πνεῦμα *τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης.*

" Αὐτοὶ" *τίνες ἢ οἱ αἱρεσιῶται καὶ οἱ* Μανιχαῖοι ; *διὰ τοῦτο βλασφημοῦσι, φησὶν, ἐκ τῆς πονηρᾶς αὐτῶν γνώμης πονηρὰ προχεόμενοι ῥήματα.*

ΚΕΦ. Ε.

Περὶ *φιλαδελφίας εἰς θεοσέβειαν.*

7 Ἀγαπητοὶ, *ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ* Θεοῦ *ἐστὶ, καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ* Θεοῦ *γεγέννηται, καὶ γινώσκει τὸν* Θεόν.

Ὥσπερ ἔγκλημα καὶ ψόγον φέρει τῷ μὴ αἱρουμένῳ τὸ αἱρετὸν, καὶ μὴ φιλοῦντι τὸ φιλητὸν, οὕτως ἔπαινον περιποιεῖ [ὁ] τοῖς ἀγαπῶσι τοὺς ἀξίους τὸ ἀγαπᾶσθαι τοῦ εἶναι ἀγαπητούς· πότε δὲ τοῦτο ὑπαχθῆναι δυνατόν ; ἢ ὅτε αἴρει ὁ Σωτὴρ *τὴν ἁμαρτίαν τοῦ κόσμου, ἵνα αναδειχθῇ ὁ ἄνθρωπος, οἷος ὑπὸ* Θεοῦ *γέγονε, καθ'*

ὁμοίωσιν καὶ εἰκόνα ἀποδειχθεὶς τοῦ πεποιηκότος; οὕτω γὰρ καὶ φανερωθεὶς ὁ ἄνθρωπος, εὐθὺς ὢν ἀγαπητὸς καὶ ἄξιος τοῦ ἀγαπᾶσθαι τυγχάνει. ἐπεὶ τοίνυν ὁ ἀποσταλεὶς Σωτὴρ τῷ κόσμῳ ἀγάπῃ τῇ πρὸς τὰ ἑαυτοῦ ποιήματα τοῦ Πατρὸς, ἐπὶ ἀναδείξει τοῦ κάλλους τῶν κατ' εἰκόνα Θεοῦ γεγονότων, οἱ ταύτης τῆς δωρεᾶς τυχόντες ἀγαπητοὶ ὑπάρχουσιν, ὅθεν ἀλλήλους ἀγαπῶσιν· ἔχει γὰρ ἕκαστος καὶ τὸ ἀγαπητὸς καὶ τὸ ἀγαπητικὸς εἶναι, ἐντολὴν ἔχων τοῦ ἀγαπᾷν τὸν πλησίον.

8 Ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω τὸν Θεὸν, ὅτι ὁ Θεὸς
9 ἀγάπη ἐστί. καὶ ὅτι ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ
Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν Υἱὸν αὐτοῦ μονογενῆ ἀπέσταλκεν
10 εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. ἐν τούτῳ ἐστὶν
ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι
αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ
ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

Τοῦ Χρυσοστόμου. *Ἀγάπην ποίαν φησι; τὴν εἰλικρινῆ, οὐ τὴν μέχρι ῥημάτων· ἀλλὰ τὴν ἀπὸ διαθέσεως καὶ γνώμης, καὶ τοῦ συναλγεῖν ἐκ καθαρᾶς καρδίας. ἔστι γὰρ ἀγάπη καὶ ἡ τῶν πονηρῶν· οἷον λῃσταὶ λῃστὰς φιλοῦσι, καὶ ἀνδρόφονοι ἀνδροφόνους. ἀλλ' οὐκ ἔστι τοῦτο ἀπὸ συνειδήσεως ἀγαθῆς, ἀλλ' ἀπὸ κακῆς.*

11 Ἀγαπητοὶ, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ
ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾷν. Θεὸν οὐδεὶς πώ-
12 ποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν
μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν.
13 ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς
ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

Τοῦτο ἡμῖν, φησι, κατορθώσει ἡ ἀγάπη· τὸ ἐνοῖκον ἡμῖν γενέσθαι Θεὸν, ὃν οὐδεὶς πώποτε τεθέαται.

14 Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ
15 ἀπέσταλκε τὸν Υἱὸν αὐτοῦ Σωτῆρα τοῦ κόσμου. ὃς
ἐὰν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ
16 Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. καὶ ἡμεῖς

ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ
Θεὸς ἐν ἡμῖν. ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ ὁ μένων ἐν τῇ
17 *ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. ἐν τούτῳ*
τετελείωται ἡ ἀγάπη μεθ᾽ ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν
ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ὅρα πῶς ἄνω καὶ κάτω τὴν αἵρεσιν ἐκείνην ἀναιρεῖ τὴν πονηρὰν, τὴν λέγουσαν, ἄνθρωπον εἶναι ψιλὸν τὸν Ἰησοῦν Μαρίας Υἱὸν, καὶ μὴ αὐτὸν ὁμολογοῦντας εἶναι τὸν Πατρὸς μονογενῆ Λόγον, ἐνανθρωπήσαντα διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν.

Ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ.

Καὶ πῶς ἐκεῖνος ἦν, ἢ ὡς αὐτὸς εἴρηκεν· "ἔρχεται ὁ ἄρχων "τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν." οὕτω καὶ ἡμεῖς ὀφείλομεν εἶναι, μηδὲν εὑρισκόμενοι πρὸς τὸν κόσμον ἔχοντες.

Τί οὖν ποιήσωμεν τοῖς προφήταις λέγουσιν "ὅτι εἶδον τὸν "Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου;" ὁ δὲ Δανιὴλ πάλιν· "ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθισε." καὶ ὁ Μιχαίας· "εἶδον τὸν Κύριον τὸν Θεὸν τοῦ Ἰσραὴλ καθη-"μένον ἐπὶ θρόνου αὐτοῦ." καὶ πολλὰς τοιαύτας ἐπισυναγαγεῖν ἐστὶ μαρτυρίας· πῶς οὖν, "Θεὸν οὐδεὶς ἑώρακε πώποτε," φησίν; ἵνα μάθῃς ὅτι τὴν ἀκριβῆ αὐτοῦ κατάληψιν καὶ τὴν τετρανωμένην γνῶσιν λέγει. ὅτι γὰρ πάντα ἐκεῖνα συγκατάβασις ἦν, καὶ ἀκραιφνῆ τὴν οὐσίαν οὐδεὶς οἶδεν ἐκείνων, δῆλον ἐκ τοῦ διαφόρως ἕκαστον ὁρᾶν. ὁ γὰρ Θεὸς ἁπλοῦς καὶ ἀσύνθετος καὶ ἀσχημάτιστος. οὗτοι δὲ πάντες σχήματα ἔβλεπον διάφορα. τοῦτο γοῦν αὐτὸ δι᾽ ἑτέρου προφήτου ἐμφαίνων πάλιν, καὶ πείθων αὐτοὺς, ὡς οὐκ ἀκριβῆ τὴν οὐσίαν εἶδον, ἔλεγεν· "ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ "ἐν χερσὶ προφητῶν ὡμοιώθην." οὐκ αὐτὴν τὴν οὐσίαν ἔδειξα τὴν ἐμὴν, ἀλλὰ συγκατέβην, φησὶ, πρὸς τὴν τῶν ὁρώντων ἀσθένειαν. ὁ μέντοι Ἰωάννης, φησὶν, "ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε·" τοῦτο γὰρ δῆλον ἦν, ἀλλὰ καὶ περὶ τῶν ἄνω δυνάμεων, "ὁ μονογενὴς "Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο," ἀξιόπιστον εἰσάγει τοῦ δόγματος μάρτυρα καὶ διδάσκαλον.

18 Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.

Ὁ τὸν Θεὸν δεξάμενος, φησὶν, ὅς ἐστιν ἀγάπη, οὐ δέδοικέ τινα. τί δὲ καὶ φοβηθείη ὁ λαβὼν "ἐξουσίαν περιπατεῖν ἐπάνω "ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ;"

Ἐρώτησις Μαξίμου. Εἰ ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, πῶς οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν; ἐὰν οὐκ ἔστιν ὑστέρημα, δῆλον ὅτι τετελείωται· πῶς οὖν "ὁ φο-"βούμενος οὐ τετελείωται;"

Ἀπόκρισις. Ἡ καλὴ τῶν θείων γραφῶν εὐτάξια, κατὰ τὸν σωστικὸν τοῦ Πνεύματος θεσμὸν, τὸν ἀπὸ τῆς ἐκτὸς κατὰ τὰ πάθη πλήθυος ἐπὶ τὴν θείαν ἑνότητα κινουμένων[1] τοὺς βαθμοὺς διορίζουσα, τοὺς μὲν εἰσαγομένους, καὶ ἐπὶ τὰ πρόπυλά που τυγχάνοντας τῆς θείας αὐλῆς τῶν ἀρετῶν, φοβουμένους ἐκάλεσε· τοὺς δὲ κτησαμένους σύμμετρον ἕξιν τῶν κατὰ τὴν ἀρετὴν λόγων τε καὶ τρόπων, οἶδεν ὀνομάζειν προκόπτοντας· τοὺς δὲ κατ' αὐτὴν γνωστικοὺς ἤδη γεγενημένους τῆς τῶν ἀρετῶν ἐκφαντικῆς ἀληθείας, κορυφὴν προαγορεύει τελείους. οὔτε οὖν ὁ φοβούμενος τὸν Κύριον, ἀπεστραμμένος δι' ὅλου τὴν κατὰ τὴν φθορὰν τῶν παθῶν ἀρχαίαν ἀναστροφὴν, καὶ πᾶσαν αὐτοῦ τὴν διάθεσιν διὰ τὸν φόβον ἐκδεδωκὼς τοῖς θείοις πράγμασιν ὑστερεῖ τινὸς καλοῦ τῶν εἰσαγομένοις πρεπόντων· κἂν οὔπω τὴν ἐν ἀρεταῖς ἕξιν ἐκτήσατο, καὶ τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας γέγονε μέτοχος. οὔτε μὴν ὁ προκόπτων τῶν ἐπιβεβλημένων αὐτοῦ τῷ βαθμῷ καλῶν τινὸς ὑστερεῖ, κἂν τὴν αὐτὴν οὕτω τοῖς τελείοις ὑπερέχουσαν τῶν θείων ἐκτήσατο γνῶσιν. καὶ πάλιν οἱ μὲν τὴν πρακτικὴν ἀνδρικῶς μετιόντες φιλοσοφίαν, φόβου καὶ μνήμης τῶν μελλόντων θείων δικαστηρίων οὔπω τὴν ψυχὴν ἀπολύσαντες, νοείσθωσαν ἡμῖν οἱ φοβούμενοι. μηδενὸς μὲν, κατὰ τὸν μακάριον Δαβὶδ, διυστεροῦντες καθάπαξ τῶν ὑπὲρ ἀληθείας ἀγωνιζομένων κατὰ τῆς ἀντικειμένης δυνάμεως, ὅμως δ' οὖν ἔτι λειπόμενοι τῆς κατὰ τῶν τελείων ἀκραιφνοῦς τῶν μυστικῶν θεαμάτων διαδόσεως· οἱ δὲ τῆς θεωρητικῆς ἀξιωθέντας[m] θεολογίας, καὶ πάσης φαντασίας ὑλικῆς τὸν

[1] Sic. [m] ἀξιοθέντας Cod.

νοῦν καθαρὸν καταστήσαντες, καὶ εἰκόνα τῆς θείας ὡραιότητος ὅλην ἀνελλιπῶς φέρουσαν τὴν μίμησιν, ἔστωσαν ἡμῖν οἱ ἀγαπῶντες. οὐκ ἔστιν οὖν ὑστέρημα τοῖς φοβουμένοις, κατὰ τὸν μακάριον Δαβὶδ, ὡς φοβουμένοις· κἂν οὐκ ἔχῃ τὸ πλῆρες καὶ τέλειον τῆς ἀμέσου πρὸς τὸν λόγον ἑνώσαν κατὰ τὸ ἶσον τοῖς ἀγαπῶσι τὸν Κύριον ὁ φοβούμενος. ἕκαστος γὰρ ἐν τῷ ἰδίῳ τάγματι καὶ τὴν ἠφορισμένην αὐτῷ μονὴν ἔχει τὸ τέλειον· κἂν ἄλλος ἄλλου κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς πνευματικῆς ἡλικίας ἐστὶν ὑψηλότερος· ἐπειδὴ διττός ἐστιν ὁ φόβος, κατὰ τὸ "φοβήθητε δὲ μᾶλλον τὸν "δυνάμενον καὶ σῶμα καὶ ψυχὴν ἀπολέσαι ἐν γεέννῃ," καὶ κατὰ τὸ, "ὁ φόβος Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος·" καὶ "μέγας "καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ." ζητητέον, πῶς ἔξω βάλλει τὸν φόβον ἡ ἀγάπη, εἴπερ εἰς αἰῶνα αἰῶνος διαμένει; πῶς δὲ φοβερός ἐστι διαμένων ὁ Θεὸς εἰς τοὺς ἀπείρους αἰῶνας ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ; ἢ μᾶλλον ἐπειδὴ, καθὼς εἶπον, διττός ἐστιν ὁ φόβος· ὁ μὲν ἁγνὸς, ὁ δὲ οὐχ ἁγνὸς, οἷον ὁ μὲν ἐπὶ πλημμελήμασι κατ' ἐκδοχὴν κολάσεως συνιστάμενος φόβος, αἰτίαν ἔχων τῆς οἰκείας γεννήσεως τὴν ἁμαρτίαν, ὡς οὐχ ἁγνὸς, οὐκ ἔσται διὰ παντὸς τῇ ἁμαρτίᾳ διὰ τῆς μετανοίας συναφανιζόμενος. ὁ δὲ ἁγνὸς φόβος, ὁ δίχα τῆς ἐπὶ πλημμελήμασι μνήμης ἀεὶ συνεστὼς, οὐκ ἀπογενήσεταί ποτε· διότι περιουσιωδῶς ἐμπέφυκέ πως τῷ φόβῳ πρὸς τὴν κτίσιν, ποιούμενος ἔκδηλον πᾶσαν αὐτοῦ τὴν φυσικὴν αἰδεσιμότητα τῆς ὑπὲρ πᾶσαν βασιλείαν τε καὶ δύναμιν ὑπεροχῆς. ὁ τοίνυν μὴ φοβούμενος τὸν Θεὸν ὡς κριτὴν, ἀλλ' αἰδούμενος αὐτὸν διὰ τὴν ὑπερβάλλουσαν τῆς ἀπείρου δυνάμεως ὑπεροχὴν, οὐκ ἔχει δικαίως ὑστέρημα, τέλειος ὑπάρχων ἐν τῇ ἀγάπῃ, μετ' αἰδοῦς καὶ πρεπούσης σεβασμιότητος ἀγαπῶν τὸν Θεόν. καὶ οὗτός ἐστιν ὁ κτησάμενος τὸν διαμένοντα φόβον εἰς αἰῶνα αἰῶνος· καὶ οὕτως οὐκ ἔστιν αὐτῷ ὑστέρημα τὸ παράπαν οὐδέν. συνᾴδουσιν οὖν ἀλλήλοις ὅ τε προφήτης καὶ ὁ Εὐαγγελιστής· ὁ μὲν λέγων, μὴ εἶναι τοῖς κατὰ τὸν ἁγνὸν φόβον τὸν Κύριον φοβουμένοις ὑστέρημα· ὁ δὲ, τὸν φοβούμενον ὡς κριτὴν, διὰ τὴν ῥερυπωμένην συνειδησιν, μὴ εἶναι τέλειον ἐν τῇ ἀγάπῃ· κατὰ ταύτην τὴν ἐκδοχὴν τυχὸν, καὶ "ἐπὶ πάντας "τοὺς περὶ κύκλῳ αὐτοῦ φοβερός ἐστιν ὁ Θεός·" ὡς ἐγκεκραμένην

φόβῳ ποιῶν τὴν τῶν ἀγαπώντων αὐτὸν, καὶ περὶ αὐτῶν γενησομένην ἀγάπην. φόβου γὰρ καθ' ἑαυτὴν κεχωρισμένη ἡ ἀγάπη, εἰς καταφρόνησιν πέφυκεν ὡς τὰ πολλὰ μεταπίπτειν, μὴ οἷον στομουμένης φόβῳ τῆς ἐξ αὐτῆς τικτομένης φυσικῶς παρρησίας. τί δὲ βούλεται τὸ περὶ κύκλῳ αὐτοῦ λεγόμενον, εἰ δοκεῖ, κατανοήσωμεν. ὁ γὰρ κυκλούμενος καὶ ἐμπρὸς[n] *καὶ ὀπίσω καὶ ἐκδεξιῶν καὶ ἐξαριστερῶν ἔχει τοὺς περικυκλοῦντας αὐτόν. ἐπειδὴ τοίνυν καὶ ὁ Κύριος ἔχει τοὺς περικυκλοῦντας, νοήσωμεν τοὺς μὲν ὀπίσω, τοὺς διὰ τῶν ἐντολῶν κατὰ τὴν πρακτικὴν ἀρετὴν ἀμέμπτως ὀπίσω Κυρίου τοῦ Θεοῦ πορευθέντας· τοὺς ἐξαριστερῶν δὲ, τοὺς τὴν φυσικὴν ἐν πνεύματι θεωρίαν μετὰ τῆς τῶν κριμάτων εὐσεβοῦς ἀναλήψεως κατορθώσαντας· φησὶ γὰρ περὶ τῆς σοφίας ἡ τῶν Παροιμιῶν βίβλος. "ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα." τοὺς ἐκδεξιῶν δὲ, τοὺς καθαρὰν αἰσθητῆς φαντασίας τὴν ἄϋλον δεξαμένους γνῶσιν τῶν νοητῶν, "ἐν γὰρ τῇ δεξιᾷ αὐτῆς," φησιν, "ἔτη ζωῆς." τοὺς δὲ ἐμπρὸς, τοὺς δι' ὑπερβάλλουσαν περὶ τὸ θεῖον κάλλος ἐρωτικὴν τῆς κατὰ νοῦν ἐφέσεως ζέσιν, ἀξιωθέντας τῆς "πρόσωπον πρὸς πρόσωπον" ἀπολαύσεως· εἰ δὲ καὶ ἄλλος ἐστι περὶ τούτου λόγος μείζων καὶ ὑψηλότερος, ὑμῖν καὶ τοῖς καθ' ἡμᾶς θείοις ἀνδράσιν ἔστι ληπτός.*

19 Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν
ἡμᾶς.

Οὕτως ἀγαπᾷ, ὡς καὶ τὰς τρίχας ἠριθμηκέναι τῆς κεφαλῆς, καθὼς ἐν Εὐαγγελίοις φησίν· οὐχ ὅτι τὰς τρίχας ὁ Θεὸς ἀριθμεῖ, ἀλλ' ἵνα τὴν ἀκριβῆ γνῶσιν καὶ τὴν πολλὴν πρόνοιαν τὴν περὶ ἡμᾶς ἐνδείξηται.

20 Ἐάν τις εἴπῃ, Ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελ-
φὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν
τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε,
21 πῶς δύναται ἀγαπᾷν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν
ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν
ἀδελφὸν αὐτοῦ.

Ὁ γνησίως ἀγαπῶν τὸν Θεὸν, οὐ διὰ τὴν ἀπειλὴν τῶν κολάσεων

[n] Leg. vid. ἔμπροσθεν.

ποιεῖ τὰ Θεῷ ἀρεστὰ, ἀλλὰ τῷ τῆς ἀρετῆς φίλτρῳ καὶ τῇ ἀγάπῃ τῇ πρὸς τὸν Θεόν· οὐ μὴν ὁ διὰ τὸν γνήσιον φόβον ἑαυτὸν ἀσφαλιζόμενος, ὅς ἐστιν ἔρως τοῦ καλοῦ, ἢ πάλιν φόβῳ, τῷ μὴ ἐμπεσεῖν εἰς κόλασιν, ποιῶν τις τὴν ἐντολήν· διὸ περὶ αὐτοῦ ἐπάγων φησὶν, "ὅτι ὁ φόβος κόλασιν ἔχει."

Ὁ ἀγαπῶν τὸν Θεὸν τὰς ἐντολὰς αὐτοῦ τηρεῖ. τὸ ἀγαπᾷν τὸν ἀδελφὸν αὐτοῦ θείων ἐντολῶν ἐστὶ πλήρωσις· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐφύλαξεν ἐντολὴν, μὴ φυλάττων δὲ, οὐκ ἀγαπᾷ τὸν Θεόν· ψεύστης οὖν ὁ λέγων ἀγαπᾷν μὴ ἀγαπῶν.

ΚΕΦ. ϛ.

Περὶ θεολογίας Υἱοῦ ἐν δόξῃ Πατρὸς, καὶ περὶ νίκης τῆς κατὰ τοῦ πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.

1 Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ἐκ τοῦ
Θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα,
2 ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. ἐν τούτῳ γινώ-
σκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν
Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

Οἱ ἐκ Θεοῦ γεννώμενοι, ἐκ τοῦ κατορθοῦν κατ' ἀρετὴν, τυγχάνουσιν οὗτοι καὶ τέκνα Θεοῦ καὶ φιλοὶ, καθάπερ καὶ Ἀβραάμ.

Τοῦ τῆς ἀληθείας πάλιν ἅπτεται δόγματος, ἐκ βάθρων ἀναιρῶν τῶν αἱρετικῶν τὴν κακοπιστίαν.

Ἤδει τοῦτο ὁ γεννώμενος ἐκ τοῦ Θεοῦ· πιστεύσας ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ὑψηλὴν συγκατάθεσιν ἔχων περὶ τῆς τοῦ Χριστοῦ διαλήψεως, γεννᾶται. ἀλλ' ἐκείνην τὴν πίστιν ᾗ κατ' ἀρετὴν ἔργα συνέζευκται· ἣν καὶ ὁ Ἀβραὰμ ἔχων, λελόγισται δικαιοσύνην ἔχειν. κατὰ τοῦτο τὸ σημαινόμενον ἐκδεκτέον τὸ, "ἄνδρα πιστὸν ἔργα εὑρεῖν·" σπάνιον γὰρ ὁ τοιοῦτος τὴν εὕρεσιν ἔχει· πολλῶν ὄντων τῶν ἄνευ ἔργων σπουδαίων νεκρὰν πίστιν ἐχόντων· ἥτις οὐδὲ ὅλως πίστις ὑπάρχει. ὁ οὕτως πιστεύσας ὡς γεννηθῆναι ἐκ Θεοῦ, ἔχει ζωὴν αἰώνιον, ᾗ φησιν ὁ Σωτὴρ, "ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον·" ἤδη γεννᾶταί τις ἐκ Θεοῦ κατορθῶν τὰ εἰρημένα. ἀποδοχῆς ἄξιον ὄντα ἀγαπᾷν δεῖ καὶ πρὸ αὐτοῦ τὸν γεννήσαντα αὐτόν.

3 Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς
αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν.

Τὴν ὑπόστασιν καὶ, ἵν' οὕτω φράσω, ὕλην ἔχειν, ἧς δεῖ πρὸς τὸν Θεὸν ἀγάπης, τὴν τήρησιν τῶν θείων ἐντολῶν εἶναί φησι· αἵτινες ἀναφέρουσι πρὸς τὸν Θεὸν τὸν κατ' αὐτὰς ἐνεργοῦντα· ὅθεν οὐ κατωφερεῖς οὐδὲ βαρεῖαι τυγχάνουσιν. εἰ δέ τις προσελθὼν αὐταῖς, μὴ ὃν δεῖ τρόπον, λέγει αὐτὰς βαρείας, τὴν ἑαυτοῦ ἀσθένειαν ᾐτιάσατο· φίλον γὰρ τοῖς ἄγαν ἀποβάλλουσιν ἰσχὺν βαρέα νομίζεσθαι, καὶ τὰ πάνυ ἐλαφρὰ καὶ κοῦφα· ὅθεν οὐκ ἔγραψεν, "αἱ ἐντολαὶ αὐτοῦ ἐλαφραὶ," ἀλλὰ "βαρεῖαι οὐκ εἰσὶ," μόνου καὶ παντὸς ἀντιλαμβανομένου τοῦ ἀνωφεροῦς αὐτῶν τοῦ δικαίως τὸ δίκαιον διώκοντος πεῖρα γνῶντος· "ὅτι ὁ Χριστοῦ ζυγὸς ἐλαφρός "ἐστι," χρηστότητα πολλὴν ἔχων ὑπάρξαι τὸ οὕτως προκόψαι τῇ πίστει ἐνεργεῖ καὶ εἰς δικαιοσύνην λελογισμένῃ· ἣν καὶ δεικνὺς ὡς ὑφεστηκυῖαν καὶ μένουσαν εἶπεν· "αὕτη γάρ ἐστιν ἡ νίκη ἡ "νικήσασα τὸν κόσμον," ἣν ἔχομεν πίστιν οἱ προσηκάμενοι τὸν Ἰησοῦν εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ. οὕτω διατεθεὶς ἐκ τοῦ Θεοῦ γεννᾶται, καὶ τούτου τυχὼν, καταφρονεῖ τῆς ἐνύλου ζωῆς καὶ τῶν τοῦ κόσμου ἡδέων· καὶ ταύτῃ νικᾷ τὸν κόσμον, μεταβὰς ἀπ' αὐτοῦ εἰς ὑπερκόσμιον πολιτείαν.

Τί γὰρ ἐλαφρότερον τοῦ ἀγάπην ἔχειν μετὰ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντος ἡμᾶς, καὶ μετὰ τῶν ἀδελφῶν ἡμῶν; "ὁ γὰρ ζυγός "μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι," φησιν ὁ Σωτήρ.

Σκόπει πως κοῦφα ἐπιτάττει· οὐκ εἶπεν, "ἐν φυλακῇ ἤμην" καὶ ἀπηλλάξατέ με. "ἄρρωστος ἤμην," καὶ ἀνεστήσατέ με, ἀλλ' "ἐπεσκέψασθέ με, καὶ ἤλθετε πρός με." καὶ οὐδὲ ἐν τῷ πεινᾷν[o] ἐπαχθὲς τὸ κελευόμενον, οὐ γὰρ πολυτελῆ ζητείων τράπεζαν, ἀλλὰ τὴν χρείαν μόνην καὶ τὴν ἀναγκαίαν τροφὴν τὸν ἄρτον.

Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν
4 κόσμον.

Τὸ γεγεννημένον. αὐτὸς ἐφεξῆς ἐδήλωσε τὸ ῥῆμα τῆς πίστεως ἡμῶν λέγων, τὸ νικῆσαν τὸν κόσμον, τουτέστι πονηρίαν πᾶσαν καὶ ἀσέβειαν· ἡ γὰρ πίστις ἡμῶν πᾶσαν ἀγνωσίαν ἀπήλασε, καὶ

[o] πεινῆν Cod.

πάντα σκότον ἐξήλασε· καὶ ποῖα ἡ πίστις, ἢ ὅτι "'Ιησοῦς ἐστιν ὁ "Υἱὸς τοῦ Θεοῦ;" καὶ οὐ παύεται κηρύττων τὴν ἀλήθειαν πρὸς ἐντροπὴν τῶν αἱρετικῶν· ἵνα κἂν ὀψέ ποτε παύσωνται, πολλάκις περὶ τούτων ἀκούσαντες.

Καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ
5 *πίστις ἡμῶν. τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ*
ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;

ΚΥΡΙΛΛΟΥ. Καὶ οὔτε Ἕλλην οὔτε Ἰουδαῖος οὔτε αἱρετικὸς *δύναται πρὸς αὐτὴν, ἅπαξ τοῖς ἔργοις τὰ νικητήρια τῆς καθ' ἡμᾶς πίστεως ἀπενεγκαμένης.*

6 *Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος καὶ*
Πνεύματος Χριστὸς Ἰησοῦς.

Τοῦ ἀΐξαντος ἐκ τῆς πλευρᾶς αὐτοῦ, καὶ τοῦ αἵματος τοῦ καθαράντος τὴν ἁμαρτίαν καὶ ἁγιάσαντος τὸν λαόν. διὰ τοῦτο γάρ φησι, "καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν "λαὸν, ἔξω τῆς πύλης ἔπαθε." καὶ "Πνεύματος" δὲ προσέθηκεν, ἵνα μάθωμεν, ὡς ὁ ἀνελθὼν εἰς τὸν σταυρὸν, Θεός τε ἦν ὁμοῦ καὶ ἄνθρωπος.

Οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ ἐν τῷ αἵματι.

Τουτέστιν οὐκ ἄνθρωπος ἦν μόνον ὁ ἐλθὼν ἐπὶ τὸν Ἰορδάνην, ἀλλ' ὁ Λόγος τοῦ Θεοῦ σεσαρκωμένος· ᾧ καὶ ἐμαρτύρησεν ὁ Πατὴρ, "οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός." ὁμοίως δὲ καὶ ἐπὶ τοῦ σταυροῦ [ὅτε ἐνόμισαν καὶ βροντὴν εἶναι,] ὅτε καὶ τὸ αἷμα αὐτοῦ ἔσταξεν ἐπὶ τὴν γῆν.

Καὶ τὸ Πνεῦμα ἐστὶ τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμα
7 *ἐστὶν ἡ ἀλήθεια. ὅτι τρεῖς εἰσὶν οἱ μαρτυροῦντες, τὸ*
Πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν
9 *εἰσίν. εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν,*
ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν.

Ἡ φωνὴ τοῦ Πατρὸς ἡ ἐλθοῦσα ἐπ' αὐτόν. "Πνεῦμα γάρ φησιν ὁ Θεὸς," διὸ καὶ παρακατιὼν λέγει, ὡς τοῦ Θεοῦ ἡ μαρτυρία ἀληθής· ἐπὶ τοῦ μαρτυρήσαντος τῷ Υἱῷ δηλονότι.

Ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ, ἣν μεμαρ-
10 *τύρηκε περὶ τοῦ Υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν Υἱὸν*
τοῦ Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ· ὁ μὴ πιστεύων
τῷ Θεῷ, ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐ πεπίστευκεν
εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ
Υἱοῦ αὐτοῦ.

Μετὰ τῆς μαρτυρίας ἐκείνης καὶ ἄλλην μαρτυρίαν ἡμῖν δέδωκε, ζωὴν αἰώνιον διδοὺς τοῖς πιστεύουσιν εἰς τὸν Υἱὸν αὐτοῦ.

11 Καὶ *αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν*
ἡμῖν ὁ Θεὸς, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ Υἱῷ αὐτοῦ ἐστίν.
12 *ὁ ἔχων τὸν Υἱὸν, ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν Υἱὸν*
13 *τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει. ταῦτα ἔγραψα ὑμῖν, τοῖς*
πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἵνα εἰδῆτε,
ὅτι ζωὴν ἔχετε αἰώνιον, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα
14 *τοῦ Υἱοῦ τοῦ Θεοῦ. καὶ αὕτη ἐστὶν ἡ παρρησία, ἣν*
ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα
15 *αὐτοῦ, ἀκούει ἡμῶν· καὶ ἐὰν οἴδαμεν, ὅτι ἀκούει ἡμῶν,*
ὃ ἐὰν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ
ἠτήσαμεν παρ᾽ αὐτοῦ.

Τοῦτο συνᾴδει τῷ εἰρημένῳ ὑπὸ τοῦ Σωτῆρος. "δοῦλος ὁ γνοὺς "τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ ποιήσας ἄξια πληγῶν, δερή- "σεται πολλάς." τοῦτο παραπλήσιον καὶ ὁ Νόμος προστάσσει ἐπὶ δύο πορνευομένων, ὅτι ἡ μὲν τοῦ λαοῦ θάνατον ἔχει τὴν ζημίαν, ἐὰν δὲ ἱερέως θυγάτηρ τυγχάνῃ, οὐ ψιλὸν θάνατον, ἀλλὰ τὸν ἐπὶ πυρὶ ὑπομένει· καὶ ἡ αἰτία φανερά· ἡ μὲν γὰρ τοῦ λαοῦ, ἅπαξ τοῦ σαββάτου ἐρχομένη τοῦ νόμου κατήκουεν· ἡ δὲ ἀχώριστον εἶχε τὸν διδάσκαλον. διὸ καὶ χαλεπωτέραν τιμωρίαν ὑπομένει. εἰ δὲ δεῖ τ᾽ ἀληθὲς εἰπεῖν· πᾶν ἁμάρτημα ὡς πρὸς τὴν λογικὴν οὐσίαν παρόραμά ἐστι· τρόπον γάρ τινα παριδοῦσα, καὶ ἐπιλαθομένη ἑαυτῆς, ὑπενδοῦσα τὲ τοῦ πρὸς τὸ καλὸν τόνου, παρερρύη. ὅπως δὲ ἐὰν ἔχῃ εἰς κρίσιν ἄγεται ὑπὸ τοῦ Θεοῦ, κἂν ὡς ὁ Ἰωάννης εἶπε, τῶν ἁμαρτιῶν αἱ μὲν ὦσι πρὸς θάνατον, αἱ δὲ ὡς νόσοι ψυχῆς ὑπάρχουσιν, οἱ πείρᾳ τεχνικῇ μαθόντες πῶς ἐστὶν ἕκαστα κατορθοῦν

τῶν σπουδαζομένων καλῶν, εὐέλπιδες γίνονται πρὸς τὸ καὶ ἄλλοτε ταῦτα ἀνύσαι. ἐπεὶ οὖν καὶ οἱ ἱεροὶ Ἀπόστολοι καὶ ὁ μακάριος Ἰωάννης οὗτος αὐτοῖς ἔργοις ἔγνωσαν, ὡς πολλάκις αἰτησάμενοι Θεὸν, τὸ αὐτοῖς φίλον καὶ θελητὸν ἐσχήκασι, θαρροῦσιν ὅτι ἑκάστοτε οὕτως αἰτούμενοι, τεύξονται τῶν ποθουμένων, ἐπινεύοντος τοῦ Θεοῦ· ἐκ τούτων δειχθήσεται τὰ ζητούμενα ὑπό τινων πῶς ἀληθὲς εἴη "ὁ αἰτῶν λαμβάνει·" τῆς καθόλου προτάσεως, οὐ πάντας ἁπαξαπλῶς τοὺς καὶ τὰ αὐτὰ αἰτουμένους, ἀλλὰ τοὺς κατὰ τὸ θέλημα τοῦ Θεοῦ, περιεχούσης, ἐγγίνεται ἡ τοιαύτη παρρησία τῷ ἀκατάγνωστον βίον ἔχοντι. σπάνιος δὲ ὁ τοιοῦτος. τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ὀλίγοι γὰρ οἱ οὕτως ἐν ἀρετῇ ὄντες ὡς εἰπεῖν, "ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος·" διὰ τοῦτο εἰσήκουσέ μου, ἐπειδὴ ἀδικίαν οὐκ ἐθεώρουν. ἀπεσιώπησε δὲ αὐτὸ, φόβῳ τοῦ μὴ περὶ αὐτοῦ νομισθῆναι, κατὰ τὸν εἰπόντα, "οὐδὲν ἐμαυτῷ σύνοιδα. ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι." λήψῃ εἰς τὰ προκείμενα, καὶ τὸ, "ἐὰν ἡ καρδία ἡμῶν μὴ γινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν."

ΚΕΦ. Ζ.

Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν.

16 Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρ-
τίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωὴν,
τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία
πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω, ἵνα τις ἐρωτήσῃ·
17 πᾶσα ἀδικία ἁμαρτία ἐστὶ, καὶ ἔστιν ἁμαρτία οὐ πρὸς
θάνατον.

Ἡ τῆς κακοπιστίας ἢ τῆς εἰς τὸ Πνεῦμα βλασφημίας, ὑπὲρ ἧς οὐκ ἔστιν αἰτῆσαι· ἐὰν γὰρ ἄνθρωπος, φησιν, εἰς ἄνθρωπον ἅμαρτῃ, καὶ δὴ προσεύχου[p] περὶ αὐτοῦ· ἐὰν δὲ εἰς Θεὸν, τίς προσεύξεται περὶ αὐτοῦ;

Ἀνάγκη πρὸς θάνατον ἁμαρτίαν ἐκείνην εἶναι, τὴν οὐκέτι δυνα-

[p] Leg. vid. προσεύχου.

μένην συγχωρεῖσθαι, οἷα ἦν ἡ τοῦ Ἰούδα, ἡ μετὰ πλείστας ἱεροσυλίας προδοσία Χριστοῦ. *ὅταν γὰρ ἐπὶ τοῖς διὰ βίου πᾶσιν ἀδικήμασιν ἀμετανόητός τις ἁλοὺς, ἐπαυξήσῃ τὴν κακίαν, ἐν τέλει τὸ μέγιστον προσθείς· τότε καὶ πρὸς θάνατον ἡ ἁμαρτία, καὶ θανάτῳ καταλαμβάνεται, καθάπερ ἐκεῖνος. οὐδὲν δεῖ τούτου πρὸς τὰς ἀφέσεις, ἃς* Χριστὸς *δανείζεται τοῖς δυναμένοις μετανοεῖν, καὶ φέρειν καρποὺς ἀντὶ τῶν πονηρῶν ἀγαθούς· "πᾶν μὲν γὰρ "δένδρον," ὡς εἴρηκε, "μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς "πῦρ βάλλεται," ὃ δὲ δύναται καρπὸν καλὸν ἐνεγκεῖν, οὐκ ἐκκόπτει φιλανθρωπίᾳ* Χριστός· *καθάπερ ἐγνώκαμεν μυρίους μὲν ἀπενεχθέντας εἰς θυσίαν εἰδώλων, φόβῳ τῶν διωκόντων, αὖθις δὲ ἐπιστραφέντας καὶ μαρτυρήσαντας· ὧν καὶ τὰ σώματα τετίμηται παρὰ* Χριστῷ· *ὡς καὶ πρὸς τοῖς μνήμασιν αὐτῶν τοὺς δαίμονας βασανίζεσθαι·* Θεοῦ *σαφῶς δηλοῦντος, ὅτι καὶ δέχεται τοὺς ἐπιστρεφομένους καὶ τιμᾷ· πῶς οὐκ ἐναντίοι τῷ* Θεῷ, *οἱ τὴν ἐκ τῆς μετανοίας σωτηρίαν δευτέραν οὖσαν μετὰ τὴν τῶν καθαρῶν διαμεινάντων ἀπελπίζεσθαι νοοῦντες; ὑπηρεταὶ σαφῶς διαβόλου, τοῦ καὶ διὰ τῆς ἀνελπιστίας, καθάπερ καὶ διὰ τῆς καταφρονήσεως, ἀπόλλυσθαι τοὺς ἀνθρώπους ἐσπουδακότος.*

Σχόλιον. "*Ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον.*" *ἐν ἀγνοίᾳ πλανώμενον.*

* *Περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.*

18 *Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ, οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ, τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.*

Εἰ *γὰρ ἐκ τοῦ ποιεῖν δικαιοσύνην ἔχει τὸ ἐκ* Θεοῦ *εἶναι, ὡς πολλάκις εἰρήκαμεν, ἅμα δὲ τὸ ἁμαρτάνειν καὶ ποιεῖν δικαιοσύνην ἀδύνατον, φανερὸν ἄρα ὅτι οὕτω διακείμενος καὶ ἐνεργῶν, δίκαιός ἐστι, καὶ οὐχ ἁμαρτάνει· εἶτα ἀσφαλιζόμενος, ὡς προαιρετικὸς καὶ οὐ φύσει υἱός ἐστι* Θεοῦ *ὁ ἄνθρωπος, ἁρμοδίως ἐπήγαγε τὸ "ἀλλὰ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ." εἰ γὰρ διὰ τοῦτο ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ, ὅτι τηρεῖ ἑαυτὸν, οὐκ ἐκ κατασκευῆς, ἀλλ' ἐκ προσοχῆς ἔχει τὸ μὴ ἁμαρτάνειν. τηρῶν*

δέ τις ἑαυτὸν τὶ καὶ εὔχεται θεόθεν φυλαχθῆναι; ἵνα ἄψαυστος πάντη μείνῃ ἀπὸ τοῦ πονηροῦ.

Σετήρου. Ὁρᾷς ὅτι ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ διὰ τοῦτο οὐ δύναται ἁμαρτάνειν, οὐχ ὅτι τὴν φύσιν ἐστὶν ἀπαθὴς, ἀλλ' ὅτι τηρεῖ ἑαυτὸν, κατ' ἐκεῖνό που τὸ εἰρημένον τῷ μακαρίῳ Παύλῳ, "ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ" καὶ γὰρ ὡς ἀληθῶς ὁ φυλάττων ἑαυτὸν, καὶ τὰ τῷ Ἁγίῳ Πνεύματι δοκοῦντα πράττων, ἁμαρτάνειν οὐ δύναται.

19 Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμὲν, καὶ ὁ κόσμος ὅλος
20 ἐν τῷ πονηρῷ κεῖται. καὶ οἴδαμεν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ
ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν
ἀληθινόν.

Διὰ πολλῶν μαθόντες τοὺς φαύλους ἀνθρώπους δηλουμένους τῇ κόσμου φωνῇ, οὐ δεισιδαιμονοῦμεν κατὰ τοὺς αἱρετικοὺς, μήπως ἡ τοῦ Θεοῦ κτίσις κόσμος οὖσα ἐν τῷ πονηρῷ ἵδρυται. ἡ "κόσμος" φωνὴ ἐπὶ τῶν ἀνθρώπων κεῖται, ὡς προεῖπον, καὶ ἐνταῦθα καὶ ἐν εὐαγγελίοις. γράφει γὰρ ὁ Ἰωάννης· "μὴ θαυμάζητε, εἰ "μισεῖ ὑμᾶς ὁ κόσμος" φανερόν ἐστι πᾶν τῷ νοῦν ἔχοντι κόσμον μισοῦντα τοὺς ἁγίους, τοὺς πονηροὺς ἀνθρώπους σημαίνων. καὶ προσέτι "αὐτοὶ ἐκ τοῦ κόσμου εἰσὶ, καὶ ὁ κόσμος "αὐτῶν ἀκούει," ἀκούοντα γὰρ κόσμον τῶν ἀπατηλῶς λαλούντων, οὐ τὴν κτίσιν ἀλλὰ τοὺς ἐμπαθεῖς ἀνθρώπους σημαίνει.

Καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ
Χριστῷ· οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ
21 ἡ αἰώνιος. τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώ-
λων. ἀμήν.

Οὐκ ἐπαύσατο μέχρι τέλους τὸ δόγμα ἀναιρῶν τῶν πονηρῶν· ταύτην ἡμῖν τὴν ἀσφάλειαν πορίζόμενος.

Ἣν "δέδωκε διάνοιαν," καθ' ἣν γινώσκεται ὁ ἀληθινῶς ἐλθὼν Υἱὸς τοῦ Θεοῦ. ἣ αὕτη ἐστὶ τὸ "ἡμεῖς δὲ νοῦν Χριστοῦ "ἔχομεν." ὁ ταύτην τὴν διάνοιαν καὶ τοῦτον τὸν νοῦν ἔχων γινώσκει τὸν κατ' οὐσίαν ἀληθινὸν, καὶ ἔστιν ἐν αὐτῷ ἑνούμενος πρὸς

αὐτόν· πραγματικῶς νόησιν αὐτοῦ ἔχων. πῶς δὲ δι' ὅλης τῆς Ἐπιστολῆς τελειότητα μαρτυρήσας τούτοις οἷς γράφει, νῦν προτρέπει ἑαυτοὺς τηρεῖν ἀπὸ τῶν εἰδώλων; λέγομεν οὖν ἐπὶ ὅλῃ Ἐκκλησίᾳ ἐγράφη· εἰκὸς δὲ ἦν ἐν τοιαύτῃ συνόδῳ ἄρτι ἀφισταμένους τῆς εἰδωλολατρίας εἶναι· ἐκείνων οὖν ἕνεκα τὴν λέξιν ἐχάραξεν.

Τέλος τῆς Ἰωάννου καθολικῆς πρώτης Ἐπιστολῆς.

ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ Β.

ΥΠΟΘΕΣΙΣ.

ΤΑΥΤΗΝ ὡς πρεσβύτερος γράφει κυρίᾳ τὲ καὶ τοῖς τέκνοις αὐτῆς. ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη. ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους καὶ λέγοντας μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν Ἐπιστολήν· καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα καλῶς περιπατοῦντα· εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς· καὶ λοιπὸν διδάσκει Ἀντίχριστον εἶναι τὸν λέγοντα μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν· παραγγέλλει δὲ ὥστε τῶν τοιούτων μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μηδὲ λέγειν τοῖς τοιούτοις χαίρειν· καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦ. Α.

Μετὰ τὸ προοίμιον περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ Θεοῦ διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου.

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς,
οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ
2 καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, διὰ τὴν ἀλήθειαν
τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν
3 αἰῶνα· ἔσται μεθ' ἡμῶν χάρις, ἔλεος, εἰρήνη, παρὰ
Θεοῦ Πατρὸς, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ
Υἱοῦ τοῦ Πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

Ἢ πρὸς Ἐκκλησίαν γράφει, ἢ πρός τινα γυναῖκα διὰ τῶν εὐαγγελικῶν ἐντολῶν τὴν ἑαυτῆς οἰκίαν οἰκονομοῦσαν πνευματικῶς.

Ταύτην γράφει τὴν Ἐπιστολὴν μιᾷ τῶν δεξαμένων τὸ κήρυγμα γυναικῶν. δύο δὲ αὐτῇ παραινεῖ· ἓν μὲν τὸ ἐν ἀγάπῃ περιπατεῖν, δεύτερον δὲ τὸ ἐκτρέπεσθαι, ὡς μηδὲ τῆς προσηγορίας τοῦ χαίρειν μεταδιδόναι· τὴν δὲ αἰτίαν τοῦ σύντομον εἶναι τὴν Ἐπιστολὴν αὐτὸς ἐδίδαξεν· αὕτη δέ ἐστι τῆς πρὸς αὐτὴν παρουσίας μήνυσις.

4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περι-
πατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ
5 τοῦ Πατρός. καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν
καινὴν γράφων σοι, ἀλλ᾽ ἣν εἴχομεν ἀπ᾽ ἀρχῆς, ἵνα
6 ἀγαπῶμεν ἀλλήλους. καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα
περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. καὶ αὕτη ἐστὶν
ἡ ἐντολὴ, ἵνα καθὼς ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἐν αὐτῇ
7 περιπατῆτε· ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον,
οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν
8 σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. βλέ-
πετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε, ἀλλὰ
9 μισθὸν πλήρη ἀπολάβητε. πᾶς ὁ παραβαίνων, καὶ μὴ
μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει· ὁ
μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν Πατέρα
καὶ τὸν Υἱὸν ἔχει.

Συμφωνεῖ τὸ προκείμενον τῷ λεχθέντι ἐν τῇ ᾱ Ἐπιστολῇ οὕτως ἔχοντι· "καὶ οἴδαμεν, ὅτι ὁ ἀγαπῶν τὸν Θεὸν τὰς ἐντολὰς τηρεῖ." καὶ ὁ Κύριος, "ἐάν τις ἀγαπᾷ με, τὰς ἐντολάς μου τηρήσει." ταυτὸν τὸ περιπατεῖν κατὰ τὰς ἐντολὰς ἐνεργούμεναι. περιπατεῖ κατ᾽ αὐτὰς, ὁ μὴ ἔξω αὐτῶν γινόμενος. ἐν τούτῳ δὲ ταυτὸν τὸ τηρεῖσθαι αὐτὰς, ὅθεν ὁ παυσάμενος τοῦ κατ᾽ ἀρετὴν ἐνεργεῖν, οὐδὲ τηρεῖ ἔτι τὰς ἐντολὰς, οὔτε περιπατεῖ ἔτι κατ᾽ αὐτάς. ὁ γὰρ κατ᾽ ἀρετὴν προκόπτων, κατὰ τὰς ἐντολὰς βαδίζει· τοῦ περιπατεῖν προκοπὴν δηλοῦντος. τοῦ τελειωθέντος μετὰ τὸ περιπατηκέναι κατὰ τὰς ἐντολὰς τηροῦντος αὐτάς. τοῦτο συνᾴδει τὸ μετ᾽ αἰνιγμοῦ λεχθὲν, ὡς ὁ Ἀδὰμ τέθειται ἐν τῷ παραδείσῳ ἐργάζεσθαι καὶ φυλάττειν αὐτόν· τοῦ ἐργάζεσθαι τὴν κατ᾽ ἐνέργειαν δηλοῦντος προκοπὴν, τοῦ δὲ φυλάττειν τὴν ἐν τῇ τελειώσει παραμονήν.

* Ὅτι οὐ δεῖ αἱρετικὸν εἰσοικίζειν ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ.

10 Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν
οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν
11 αὐτῷ μὴ λέγετε· ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ
τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Τοῦ Ἁγίου Βασιλείου. Τί εἴπωσιν ὅτι τὸν ποιήσαντα αὐτοὺς καὶ τρέφοντα Κύριον οὐκ ἀγαπῶντες, ἀλλὰ καὶ φίλοις κεχρημένοι τοῖς λαλοῦσι κατὰ τοῦ Θεοῦ ἀδικίαν· καὶ τῆς αὐτῆς τραπέζης αὐτοῖς μετέχοντες· καὶ παρ' αὐτὴν τὴν τροφὴν τῶν κατὰ τοῦ τρέφοντος βλασφημιῶν ἀνεχόμενοι;

ΚΕΦ. Β.

Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν.

12 Πολλὰ ἔχων γράφειν ὑμῖν, οὐκ ἐβουλήθην διὰ χάρ-
του καὶ μέλανος· ἐλπίζω γὰρ ἐλθεῖν πρὸς ὑμᾶς, καὶ
στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπλη-
13 ρωμένη. ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς
ἐκλεκτῆς. Ἀμήν.

Σευήρου. Οἱ γὰρ ὀρθῶς μὲν ὁμολογοῦντες καὶ γράφοντες περὶ πίστεως, μὴ ἀποπεμπόμενοι δὲ τοὺς τὰ μὴ ὀρθὰ γεγραφότας, ὑπόπτους σφᾶς αὐτοὺς ποιοῦσιν αὐτοῖς καὶ τοῦ ἀδοκίμου φρονήματος.

Τέλος τῆς Ἰωάννου β' Ἐπιστολῆς.

ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ Γ.

ΥΠΟΘΕΣΙΣ.

ΕΣΤΙΝ ἡ Ἐπιστολὴ περὶ φιλοξενίας· καὶ πρῶτον μὲν ἀποδέχεται τὸν Γάϊον μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ, καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν καὶ προπέμπειν καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. πάλιν τε αὐτοῦ μὲν τὴν προφορὰν ἀποδέχεται· αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα, τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μὴ εἰδέναι τὸν Θεόν. Δημήτριον δὲ συνίστησι μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

ΚΕΦ. Α.

Εὐχὴ ὑπὲρ τελειώσεως καὶ εὐχαριστίας ἐφ' ὁμολογίᾳ φιλοξενίας[a] τῶν ἀδελφῶν διὰ Χριστόν.

1 Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν
2 ἀληθείᾳ. ἀγαπητὲ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι
καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή.

Καὶ ταύτην τὴν Ἐπιστολὴν γράφει, συνιστῶν τινας ἀδελφούς· γράφει δὲ Γαΐῳ· μαρτυρεῖ δὲ αὐτῷ φιλοξενίαν πολλὴν, ἣν καὶ μεγάλων ἐπαίνων ἀξιοῖ. τὸν γὰρ ἀγαθοποιοῦντα ἐκ τοῦ Θεοῦ εἶναι λέγει· πλεῖον δὲ αὐτὸν διεγείρει, καὶ ἐξ ὧν διαβάλλει τὸν μὴ τοῦτο ἐγνωκότα ποιεῖν Διοτρεφῆ. ἐπαινεῖ δὲ καὶ Δημήτριον τὸ αὐτὸ πράσσοντα, καὶ μαρτυρίαν αὐτῷ τῆς ἀρετῆς παρέχεται πιστήν. σύντομος δὲ αὕτη ἡ Ἐπιστολὴ διὰ τὴν προειρημένην αἰτίαν ἐν τῇ β' Ἐπιστολῇ.

a Sic B. et Œcum. φιλοξένων N.

3 Ἐχάρην γὰρ λίαν, ἐρχομένων ἀδελφῶν καὶ μαρτυ-
ρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπα-
4 τεῖς· μειζοτέραν τούτων οὐκ ἔχω χαρὰν, ἵνα ἀκούω τὰ
5 ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. ἀγαπητὲ, πιστὸν
ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς
6 ξένους, οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον Ἐκκλη-
σίας· οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ.
7 ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες
8 ἀπὸ τῶν ἐθνῶν· ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς
τοιούτους, ἵνα συνεργοὶ γενώμεθα τῇ ἀληθείᾳ.

Παιδεύων ἡμᾶς μὴ ἀναμένειν τοὺς δεομένους πότε πρὸς ἡμᾶς ἔλθωσιν, ἀλλ' αὐτοὺς ἐπιτρέχειν καὶ καταδιώκειν· οὕτως ὁ Λὼτ, οὕτως ὁ Ἀβραὰμ ἐποίησαν.

Μένει ἐν τῇ εὐαγγελικῇ διδασκαλίᾳ ὁ κατ' αὐτὴν φρονῶν καὶ πράττων, ἀπάγει δὲ ἑαυτὸν ἀπ' αὐτῆς ὁ ἐναντίως αὐτῆς ἐνεργῶν καὶ δοξάζων· εἶτα ἐπεὶ διὰ πρακτικοῦ καὶ θεωρητικοῦ γίνεταί τινος ὁ Θεὸς, ὁ τῶν ὅλων κτίστης, ὡς τοῦ Ἀβραὰμ, εἰπὼν αὐτῷ, "ἐγὼ "Θεὸς σός." ὁ ἔξω τῆς ὀρθῆς πίστεως καὶ τῆς τηρήσεως τῶν Χριστοῦ ἐντολῶν ἄθεός ἐστιν, ἑαυτὸν ἀποσχοινίσας τοῦ ἔχειν Θεόν. ἀθέου δὲ ὄντος τοῦ ἀπαγαγόντος ἑαυτὸν τῆς θείας παιδεύσεως τῷ εἰρημένῳ τρόπῳ, ὁ μένων ἐν αὐτῇ Πατέρα καὶ Υἱὸν ἔχει. ἐν τῷ γὰρ τηροῦντι τὸν λόγον αὐτοῦ, εἶπεν ὁ Υἱὸς, ἐλεύσεσθαι ἅμα τῷ Πατρὶ ἐπὶ τῷ μεῖναι παρ' αὐτῷ, γενομένῳ ἁγίῳ ναῷ, οἰκοδομηθέντι ἐκ τηρήσεως τῶν θείων ἐντολῶν· διττοῦ ὄντος τοῦ ἔχειν Θεόν· τὸ μὲν ἕτερον κοινὸν πάντων τῶν κτισμάτων, ταὐτὸν σημαῖνον τὸ ἔχειν κτίστην· τὸ δὲ ἕτερον λοιπὸν μόνων τῶν διὰ καλοκαγαθίας θεραπευόντων αὐτόν· καθὸ σημαινόμενον "Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ "καὶ Ἰακὼβ," καὶ συνόλως τῶν Ἑβραίων εἴρηται. ἐπίστησον καὶ τοῖς οὕτω λεχθησομένοις. "ὁ ἔχων τὸν Υἱὸν," φησὶ, "καὶ τὸν "Πατέρα ἔχει." καὶ ἔμπαλιν, ὡς πείθεσθαι ἐκ τούτου τῆς θεότητος τὸ ὁμοούσιον· ἐπεὶ γὰρ ὁ Πατὴρ ἐν Υἱῷ, ὁ ἔχων τὸν Υἱὸν, ἔχει καὶ τὸν Πατέρα. ἀλλὰ καὶ πάλιν καὶ ἀντιστρέφει· ὁ ἔχων τὸν Πατέρα ἔχει καὶ τὸν Υἱὸν, ὄντα ἐν τῷ Πατρί. εἴτις ἐνίστασθαι βουλόμενος λέγοι· καὶ ὁ τοὺς μαθητὰς ἔχων ἔχει τὸν Υἱὸν, καὶ ὁ

τὸν Υἱὸν τὸν Πατέρα, κατὰ τὸ "ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ "ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με." οὐχ ὃν δεῖ τρόπον ἐνιστάμενος· περὶ γὰρ διδασκαλίας εἴρηται ταῦτα· ἐπείπερ ὁ δεξάμενος τοὺς Ἀποστόλους, συγκαταθέσει τῇ πρὸς τὴν διδασκαλίαν, αὐτὸν ἐδέξατο, δι' αὐτῶν Υἱὸν καὶ Πατέρα διδάσκοντας. Καὶ ἑτέρως. Ἐπεὶ καὶ ὁ μένων ἐν τῇ διδαχῇ ἔχει τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἔμενον δὲ οἱ Ἀπόστολοι ἐν τῇ διδαχῇ, ὡς καὶ κηρύττειν αὐτὴν, ὁ δεξάμενος αὐτοὺς ὄντας ναὸν Θεοῦ, δι' αὐτοῦ τοῦ δέχεσθαι αὐτοὺς, ἔχει τὸν ἐν αὐτοῖς Υἱὸν καὶ Πατέρα.

* Περὶ τῆς Διοτρέφους φαυλότητος καὶ μισαδελφίας.

9 Ἔγραψα ἂν τῇ ἐκκλησίᾳ· ἀλλ' ὁ φιλοπρωτεύων
10 αὐτῶν Διοτρέφης οὐκ ἐπιδέχεται ἡμᾶς. διὰ τοῦτο, ἐὰν
ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς, καὶ τοὺς βουλο-
11 μένους κωλύει, καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. ἀγαπητὲ,
μὴ μιμοῦ τὸ κακὸν, ἀλλὰ τὸ ἀγαθόν· ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ ἐστίν· ὁ κακοποιῶν, οὐχ ἑώρακε τὸν Θεόν.

Μηδεμιᾶς κοινωνίας οὔσης φωτὶ πρὸς σκότος, ἢ συμφωνίας Χριστοῦ πρὸς Βελίαρ, ὁ ἀγαθοποιῶν πρακτικῶς, Θεὸν τὸν Χριστὸν ἔχων ὑπάρχοντα φῶς ἀληθινὸν, πόρρω τοῦ σκότους καὶ τοῦ Βελίαρ ἐστίν. ἀλλὰ καὶ ἐπεὶ ἐναντίον τὸ ἀγαθοποιεῖν τῷ ποιεῖν τὸ κακὸν, ὁ κακοποιὸς δι' αὐτοῦ τοῦ οὕτως ἐνεργεῖν, ἐκ τοῦ Βελίαρ καὶ τοῦ σκότους ὢν, οὐχ ἑώρακε τὸν Θεὸν, οὐδὲ κατὰ πόσον γνῶσιν αὐτοῦ ἔχων. "πᾶς γὰρ ὁ ἁμαρτάνων, οὐχ ἑώρακε τὸν Θεὸν, οὐδὲ ἔγνωκεν "αὐτόν·" ἐπεὶ δὲ τὸ ὁρᾶν σῶμα ἢ μὴ ὁρᾶν, τῷ χρᾶσθαι ὄψει καὶ μὴ χρᾶσθαι γνωρίζεται ὁρωμένου τοῦ μαθητοῦ. καὶ τῷ κακοποιοῦντι, ἐὰν ὄψιν ἔχῃ· μὴ βλεπομένου δὲ τοῦ στερουμένου ὄψεως, κἂν ἀγαθοποιὸς ᾖ· ἀντιρρήτως οὓς ἅμα δείκνυται· εἴγε ἀγαθοποιοῦντι, διὰ τὸ καθαρὰν καρδίαν ἔχειν, ὁρᾶται, καὶ ὄψεως λείπεται οὐχ ὁρώμενος τῷ κακοποιοῦντι, κἂν ὀξυωπέστατος[b] ᾖ, παρίσταται τὰ ἐναντία εἶναι,

[b] ὀξυπέστατος Cod.

καὶ διὰ τοῦτο ἀσυνύπαρκτα τὸ κακοποιεῖν καὶ ἀγαθοποιεῖν· καὶ "ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν," καὶ παραπλησίως γεγραμμένων.

ΚΕΦ. Β.

Περὶ Δημητρίου ᾧ μαρτυρεῖ τὰ κάλλιστα.

12 Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς
τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδας ὅτι
ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι.

Ὡς οἶμαι οὗτός ἐστιν ὁ τοὺς ἀργυροὺς ναοὺς ποιῶν τῆς Ἀρτέμιδος, ὁ στασίασας ποτὲ κατὰ Παύλου τοῦ Ἀποστόλου.

ΚΕΦ. Γ.

Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ.

13 Πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ
14 καλάμου σοι γράψαι· ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ
15 στόμα πρὸς στόμα λαλήσομεν· εἰρήνη σοι· ἀσπάζον-
ταί σε οἱ φίλοι. ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.
ἀμήν.

Τέλος τῆς Ἰωάννου καθολικῆς γ' Ἐπιστολῆς.

ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ.

ΥΠΟΘΕΣΙΣ.

ΤΑΥΤΗΝ τὴν Ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν· ἡ δὲ πρόφασις αὕτη· παρεισελθόντων τινῶν καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν Κύριον· ἀνάγκην ἔσχεν γράψαι, καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς· καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι καὶ ἐμμένειν τῇ παραδοθείσῃ αὐτοῖς πίστει· ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους, καὶ παραγγέλλει μηδεμίαν ἔχειν αὐτοὺς κοινωνίαν πρὸς τοὺς τοιούτους, εἰδότας, ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ Κύριος μὴ ἐμμείναντα τῇ πίστει ἀπώλεσε· καὶ Ἀγγέλων τὲ τῶν μὴ τηρησάντων τὴν ἰδίαν τάξιν, οὐκ ἐφείσατο. δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν· καὶ γὰρ καὶ Μιχαὴλ ὁ Ἀρχάγγελος οὐχ ὑπήνεγκε βλασφημίαν τοῦ διαβόλου. ἔσεσθαι γοῦν τὴν ἀπώλειαν αὐτῶν ὡς Σοδόμων διδάσκει· εἶτα παραίνει εἰς τὰ ἤδη, καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ Κυρίου, τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦ. Α.

Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν.

1 Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου,
τοῖς ἐν Θεῷ Πατρὶ ἡγιασμένοις, καὶ Ἰησοῦ Χριστῷ
2 τετηρημένοις κλητοῖς· ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη

3 πληθυνθείη. Ἀγαπητοὶ, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς ἡμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει.

Καὶ τίνα τρόπον ἀρνήσεταί τις τῶν ἅπαξ πεπιστευκότων εἰς[a] τὸν Κύριον[b] Ἰησοῦν Χριστόν; καίτοι παρεδεξάμεθα τὸν τῆς ἐνανθρωπήσεως λόγον· ἀλλ' εἰ φαμὲν ὅτι ἕτερος μέν ἐστιν ὁ Υἱὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, ἕτερος δὲ κατ' ἰδίαν[c] ὁ ἐκ γυναικὸς, ἠρνησάμεθα τὸν ἕνα[d] δεσπότην. εἷς γὰρ Κύριος Ἰησοῦς καθ' ἕνωσιν οἰκονομικὴν, τὴν πρός γε φημὶ τὸν ἐκ Θεοῦ Λόγον, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτώσης αὐτοῦ τῆς σαρκός· εἷς[e] οὖν ἄρα Χριστὸς καὶ Υἱός· ἔστι γὰρ οὗτος τῶν ὅλων δεσπότης.

Κυρίλλου. Ὁμοῦ μὲν ἀσφαλιζόμενος ἡμᾶς, ὁμοῦ δὲ καταστίζων τοὺς αἱρετικοὺς ταῦτα φησί. οὐκοῦν οὐ ξενιστέον ἐπὶ τῇ τῶν αἱρετικῶν πλάνῃ τὲ καὶ κακοπιστίᾳ· τοῦ Ἁγίου Πνεύματος προμηνύσαντος ἡμῖν διὰ τῶν Ἁγίων προφητῶν τε καὶ Ἀποστόλων τὴν τούτων ἔγερσιν· μᾶλλον γὰρ ἡμᾶς διὰ τῆσδε τῆς προφητείας ἀσφαλεστέρους ἐποίησεν, ὥστε μὴ ταῖς σοφιστίαις τούτων ἁλῶναι.

4 Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρίμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν.

Τουτέστι προεγνωσμένοι· ὥσπερ ἀμέλει καὶ τὰ κατὰ τὸν Ἰούδαν προεγράφη.

Τοὺς ἀπὸ Σίμωνος λέγει· οὗτοι γὰρ γαστρίμαργοί τινες[f] καὶ ἀκόλαστοι ὑπεκρίνοντο[g] τῆς εὐσεβείας τὴν διδασκαλίαν, ἵνα δι' αὐτῆς παρείσδυσιν εἰς τὰς οἰκίας[h] εὕρωσι· καὶ δὴ τοῦτο πράξαντες τὰ τῆς ἀκολασίας ἑαυτῶν[i] καὶ ἀκαθαρσίας ἀπεπλήρωσαν· αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα[k] ἁμαρτίαις· τελετὰς γάρ τινες πλασάμενοι νυκτερινὰς, κοίταις καὶ ἀσελγείαις ἑαυτοὺς

[a] εἰς om. B. [b] Κύριον ἡμῶν B. [c] καὶ κατ' ἰδίαν B. [d] ἕνα om. B.
[e] εἰ B. [f] τινες ὄντες B. [g] ὑπεκρίναντο B. [h] οἰκείας N. C.
[i] αὐτῶν B. [k] σεσορευμένα N. C.

ἐκδεδώκασι. τὸ δὲ "μετέθηκαν τὴν εὐσέβειαν" λέγει, ὅτι προφάσει τῆς εὐσεβοῦς διδασκαλίας τὴν ἑαυτῶν ἀπεπλήρουν ἀκρασίαν, παρανόμους μίξεις ἐργαζόμενοι[1].

Εἰς ὃ ἑαυτοὺς ἐνέβαλον, πορνείαν πᾶσαν ἐν εἴδει θρησκείας ἐπιτηδεύοντες.

Καὶ τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.

Ὁ γὰρ βίος αὐτοῖς ἀκάθαρτος ὢν, οἱονεὶ μεγάλῃ φωνῇ[m] ἀρνεῖται τὸν Ἰησοῦν· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος;

* Περὶ μελλούσης αὐτῶν κολάσεως καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτωλῶν καὶ πονηρῶν.

5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ἅπαξ τοῦτο,
ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον
6 τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν· ἀγγέλους τε τοὺς μὴ
τηρησάντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ
ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς
ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν.

Δείκνυσι μὲν καί τις ὁ ἀρνηθεὶς παρ' αὐτῶν· ὅτι οὗτος ἐστὶν ὁ ἐξ Αἰγύπτου τὸν Ἰσραὴλ ἐξαγαγὼν, πρὸς δὲ τοῦτο καὶ ἀπώλειαν αὐτοῖς, εἰ μὴ ἕλοιντο μετανοεῖν, ἀπειλεῖ.

Φυλάττονται γὰρ εἰς τὸ ἐμπεσεῖν ἐν ἐκείνῳ τῷ τελευταίῳ πυρὶ καὶ τοῖς ἀϊδίοις ὑπὸ ζόφον δεσμοῖς· τὸ γὰρ τετήρηκε πρὸς τὸν μέλλοντα χρόνον ὁρῶ, καθάπερ καὶ Πέτρος[n] γέγραφεν· "οἱ δὲ "νῦν[o] οὐρανοὶ καὶ γῆ τῷ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσὶ πυρὶ "τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀν-"θρώπων." διὸ καὶ ὁ Κύριος προανατυπῶν ἐν Εὐαγγελίοις τὴν ἡμέραν τῆς κρίσεως φαίνεται λέγων, "πορεύεσθε οἱ κατηραμένοι "εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς "ἀγγέλοις αὐτοῦ."

Ἀρχὴν[p] αὐτῶν φησι τὴν εἰς τὸ εἶναι παραγωγήν. παρήχθησαν δὲ * * αὐτὸ εἰς πᾶν ἔργον ἀγαθὸν ὥσπερ καὶ ἡμεῖς.

[1] ἐργασάμενοι B. [m] μεγάλη φωνὴ Codd. [n] ὁ ἀεπτὸς B. [o] νῦν superscript. est voc. οὐρανοὶ rec. man. [p] Duo proxima Scholia om. B.

Ἀρχὴ τῶν μὴ τηρησάντων αὐτὴν Ἀγγέλων ὁ λόγος ἐστὶ τυχὸν καθ' ὃν ἐκτίσθησαν· ἢ ἡ δοθεῖσα πρὸς ἐκθέωσιν αὐτοῖς κατὰ χάριν φυσικὴ δυναστεία· ἢ πάλιν ἡ κατὰ τὴν ἀξίαν τῆς χάριτος τάξις τῆς στάσεως.

Καὶ τοῦτο πάλιν τῆς ἀποκειμένης κολάσεως αὐτῶν ἀπόδειξις. εἰ γὰρ τῶν λελυτρωμένων οὐκ ἐφείσατο διὰ τὸ παλινδρομῆσαι εἰς κακίαν· καὶ τῶν Ἀγγέλων μὲν ὄντων, γεγονότων δὲ πονηρῶν δι' οἰκείαν ῥαθυμίαν, καὶ τῶν [q] ἐν Σοδόμοις πόλεων· οὐδὲ τούτων δηλονότι φείσεται ἁμαρτανόντων ἀμετανόητα. λέγει δὲ καὶ τοὺς ἀποστήσαντας [r] Ἀγγέλους ἀπὸ Θεοῦ "δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον "τετήρηκεν."

Ἡσυχίου πρεσβυτέρου [s] ἐκ τῆς Ἑρμηνείας τῶν Ψαλμῶν ῥητὰ προκείμενα [t]. "Ἔλεον καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει [u];" Τίς γὰρ αὐτοῦ τὴν φιλανθρωπίαν καταλαβεῖν, ἢ τίς λογιστεῦσαι τὴν ἀλήθειαν δύναται; ἀπὸ μὲν γὰρ τῆς ἀληθείας Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, διὰ δὲ τὴν φιλανθρωπίαν, πόρνας καὶ τελώνας εἰς τὴν βασιλείαν εἰσήγαγεν.

Μαξίμου [x]. Τὸ οἰκητήριον ἐστὶν ἢ οὐρανὸς, ἢ ἡ κατὰ τὴν ἕξιν τῆς ὑπὲρ ἔννοιαν ἀγαθῶν σοφία, ἣν οἰκεῖν ἐδημιουργήθησαν. οἶδε γὰρ καὶ σοφίας οἶκον ὀνομάζειν ὁ λόγος· ἢ ἡ φρουρητικὴ τῶν δοθέντων αὐτοῖς φυσικῶν τε καὶ ἐπικτήτων ἀγαθῶν, ἐπισκοπὴ τῆς ἀχράντου θεότητος, ἣν ἀπέλιπον τυραννήσαντες. ἀΐδιοι δεσμοὶ εἰσὶν οἱ κατὰ γνώμην αὐτῶν παντελής τε καὶ διηνεκὴς περὶ τὸ καλὸν ἀκινησία· καθ' ἣν οὐδαμῶς οὐδέποτε θείας ἀνέσεως ἀπολαύουσιν. ἢ πάλιν γε διὰ τὴν ἡμῶν σωτηρίαν τῆς καθ' ἡμῶν μανίας αὐτοὺς ἐπέχουσα κατὰ πρόνοιαν τοῦ Θεοῦ, δύναμιν μὴ συγχωροῦσα προβῆναι τῆς ἀπ' αὐτῶν πονηρίας τὰ καθ' ἡμῶν μηχανήματα· ζόφος δέ ἐστιν ἡ παντελὴς καὶ ὁλόκληρος, τῆς θείας ἄγνοια χάριτος· καθ' ἣν δι' ὅλου γνωμικῶς ποιωθέντες, τῆς μακαρίας καὶ παμφαοῦς τοῦ ἀκηράτου φωτὸς ἐστέρηνται διαδόσεως· περὶ τὸ μὴ ὂν [y] πᾶσαν τὴν δοθεῖσαν αὐτοῖς κατὰ φῦσιν νοερὰν δύναμιν ἀναλώσαντες· τί δὲ πείσονται κατὰ τὴν φοβερὰν

[q] καὶ μὴν καὶ τῶν B. [r] ἀποστατήσαντας B. [s] Πρεσβ. ἐκ τῆς ἑρμ. τ. ψαλμ. om. N. C. [t] ῥητοῦ προκειμένου B. [u] αὐτοῦ τήσει B.
[x] Maximi Sch. non habet Cod. B. [y] Cod. ὂν.

τῆς κρίσεως ἡμέραν, οἶδεν ὁ δίκαιος κριτὴς, ὁ κατ' ἀξίαν ἑκάστῳ δικαίαν ἀφορίζων τὴν ἀμοιβὴν, καὶ κατὰ τὸ μέτρον τῆς κακίας ἶσον πρεπόντως τὸ εἶδος διανέμων τῆς κρίσεως, καὶ πρόσφορον τοῖς ἐπ' αἰῶσιν ἀτελευτήτοις ψῆφον συνεκφέρων μετὰ δικαιοσύνης τοῖς ἀγαθοῖς αὐτοῦ δόγμασιν.

7 Ὡς Σόδομα καὶ Γόμοῤῥα, καὶ αἱ περὶ αὐτὰς πόλεις, τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι, καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι.

Ἡγοῦμαι δὲ αἰνίττεσθαι τοὺς Βορβοριανοὺς καὶ Ἑστωτιανοὺς καὶ Βαβυλωνίους καὶ Καϊανίτας, ὧν ἡ ἀσέλγεια ἄθεσμος [z].

Τῇ θείᾳ διδασκαλίᾳ κολακείᾳ σὺν γοητείᾳ χρησάμενοι τινὲς ἄνθρωποι παρεισέδυσαν· διὰ τοῦ ὑποκρίνεσθαι αὐτὴν προγεγραμμένοι, τουτέστι προεγνωσμένοι εἰς τοῦτο τὸ κρίμα, ὅτι [a] ὃ παρ' ἑαυτοῖς [b] ἐκρίθησαν παραδοθέντες ἀδοκίμῳ νῷ, οὗτοι δι' ὑπερβάλλουσαν ἀσέβειαν ἀκόλαστοί τινες ὄντες, τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χάριν εἰς ἀσέλγειαν μετέθηκαν [c], καὶ [d] δι' αὐτοῦ τοῦ λαγνεύειν ἀρνούμενοι τὸν μόνον δεσπότην Ἰησοῦν Χριστὸν, Κύριον τῶν κληθέντων διὰ τοῦ Εὐαγγελίου· εἶτα ἵνα [e] ἀποστρέψῃ τοὺς πιστοὺς τῶν τοιούτων [f] πονηρῶν καὶ ἀσεβῶν, δείκνυσιν, ὡς οἷόν τε τι τὸ μέγεθος οὗ ἠρνήσαντο δεσπότου· δηλώσας ὅτι αὐτός ἐστιν ὁ ἐξαγαγὼν τὸν λαὸν ἐξ Αἰγύπτου, ὡς καὶ σωτηρίαν αὐτοῖς ὀρέξαι. ἀλλ' ἐπεὶ [g] τρεπτοὶ καὶ παλίμβουλοι [h] ἐτύγχανον τινὲς αὐτῶν, φέροντες ἔτι ἣν ἔσχον ἐν Αἰγύπτῳ βλάβην, ἀπώλεσεν αὐτοὺς ἀπιστήσαντας ἐν τῇ ἐρήμῳ, καίτοι σωθέντας διὰ πίστεως ἐξ Αἰγύπτου· μήποτε οὖν οὗτοί εἰσιν οἱ τῆς θείας διδασκαλίας ὑποκριταί· οἱ προιστάμενοι τῆς αἱρέσεως τῶν Νικολαϊτῶν, οὐδὲν εἶδος ἀκολασίας παρορώντων [i]· αἰσχρὰ γὰρ καὶ λίαν αἰσχρὰ ἐπιτελοῦσι δῆθεν μυστικῶς, καὶ οἱ ἀπὸ Σίμωνος τοῦ Μάγου· πρὸς τούτοις καὶ οἱ ἀπὸ Μαρκίωνος καὶ Οὐαλεντίνου καὶ Σηθιανοί [k]· καὶ [l] ἐπὶ [m] προφάσει θρησκείας πράττουσι τὰ αἰσχρὰ,

[z] Hoc Sch. seq. postponit B. [a] ὅτι om. B. [b] ἑαυτοῦ B. [c] μετέθησαν B. [d] καὶ om. B. [e] εἶθ' ἵνἀποστρ. B. [f] τῶν οὕτω πον. B. [g] ἐπειδὴ B. [h] παλίνβουλοι B. [i] παρωρώντων B. [k] σιθιανοὶ B. [l] καὶ om. B. [m] ἐπεὶ vid. leg.

εἰς ἀσέλγειαν μετατιθέναι αὐτοὺς εἶπε τὴν χάριν τοῦ Κυρίου· δι' ἧς ἀσελγείας καὶ τῶν ἔργων αὐτῆς ἀρνοῦνται τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Εἴρηται γοῦν πρὸ τούτων περὶ αὐτοῦ, ὡς εἴη[m] *ἀληθινὸς Θεὸς οὗτος ὁ μόνος δεσπότης ὁ*[n] *Κύριος Ἰησοῦς Χριστὸς, ὁ ἀναγαγὼν*[o] *τὸν λαὸν*[p] *ἐξ Αἰγύπτου διὰ Μωσέως· ἕπεται μὴ ἕτερον εἶναι Θεὸν τὸν Μωσέως· οὐδὲ γάρ ἐστιν ἄλλος*[q] *παρὰ τὴν Τριάδα· ὅθεν αὐτῷ διακονῶν φαίνεται Μωσῆς κατὰ τὸ "ἐκεῖνος περὶ "ἐμοῦ ἔγραψε." καὶ τὸ "ὃν ἔγραψε Μωσῆς εὑρήκαμεν Ἰησοῦν·" διὸ καὶ προθεωρήσας πνευματικῶς τὸν σταυρὸν, μέγιστον πλοῦτον ἔχειν ἡγήσατο τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, οὐχ ἕτερος τοῦ λέγοντος "ἐμοὶ εἴη καυχᾶσθαι ἐν τῷ σταυρῷ τῷ*[r] *Κυρίου Ἰησοῦ."*

8 *Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι, σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν.*

"Ἐνυπνιαζόμενοι" φησι, τουτέστιν οὐδὲν ἀληθὲς ἐνθυμούμενοι, ἀλλ' ὡς ἐν ὕπνῳ φανταζόμενοι καὶ δογματίζοντες δόγματα ἀσεβείας πλήρη[s]*· καὶ τὴν μὲν σάρκα, τουτέστι τὸ ἡμέτερον σῶμα, τοῦ πονηροῦ λέγοντες εἶναι δημιούργημα, τὴν δὲ μίαν κυριότητα καὶ δόξαν τῆς Ἁγίας Τριάδος βλασφημοῦντες· καὶ τῷ μὲν Πατρὶ, τὸ ἄναρχον καὶ ἄκτιστον παρέχοντες, τὸν δὲ Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, τοῖς ὑπὸ χρόνον κτίσμασι καταριθμοῦντες. Ταῦτα*[t] *τὰ ἀνόσια δόγματα Μανιχαίου καὶ Ἀρείου τυγχάνουσι· διὸ καὶ θερμῶς ὁ Ἀπόστολος τὴν κατὰ τῶν τοιούτων δογμάτων ποιεῖται κατάῤῥησιν.*

"Σάρκα μὲν μιαίνουσι," μὴ ὁμολογοῦντες ἕνα Θεὸν εἶναι τῶν ὁρατῶν[u] *τε καὶ ἀοράτων ποιητὴν, ἀλλὰ θεοποιοῦντες τὴν ὕλην καὶ τὸ σκότος, καὶ βδελυσσόμενοι τὴν σάρκα, "κυριότητα ἀθε- "τοῦσι" διὰ τοῦτο αὐτοί· "δόξας δὲ βλασφημοῦσι." "δόξας" ἐκάλεσε τὰς δύο διαθήκας, ὡς ὁ Παῦλος φησὶν, "εἰ γὰρ ἡ*[x]

[m] *ὡσεὶ* N. C. [n] *καὶ* B. [o] *ἀναγ. ἔτι* B. [p] *λ. αὐτοῦ* B. [q] *ἄλλο* B. [r] *τοῦ* B. [s] *πλήρης* B. [t] *ταῦτα δὲ* B. [u] *ὁρατον τὲ καὶ ἀόρατον* B. [x] *τῇ* B.

διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον ἡ διακονία τῆς δικαιοσύνης δόξα."

Ὅρα [y] πόσην αὐτῶν κακίαν καταλέγει, καὶ τὸν νοῦν αὐτῶν καὶ τὸν βίον ὅλον διεφθάρθαι λέγων· καὶ γὰρ καὶ βίῳ εἰσὶν ἀκάθαρτοι καὶ γλώσσῃ ἀσεβέστατοι· "ἐνυπνιαζόμενοι" δὲ εἶπε διὰ τὸ μὴ ἐν νηφούσῃ καὶ ὑγιῆ διανοίᾳ πράττειν, ἃ πράττουσιν ἀσελγήματα· ἐν οἷς τὴν ἑαυτῶν μιαίνουσι σάρκα, καὶ τὴν κυριότητα τοῦ κατὰ Χριστὸν μυστηρίου ἀθετοῦσιν· ἐν τάξει μυστηρίων εὐαγγελικῶν τὰς ἑαυτῶν ἀσελγείας καὶ δαιμονιώδεις ἐννοίας ἐκτελοῦντες.

Προφητικώτερον δὲ καὶ τὴν τῶν ἀσεβεστάτων Βορβοριανῶν αἵρεσιν στηλιτεύει· ἐκ τοῦ Σίμωνος καὶ τούτους [z] τὰς ἀρχὰς εἰληφότας.

Σευήρου ἐκ τῆς πρὸς Θωμᾶν Ἐπισκόπου Γερμανικίας Ἐπιστολῆς. Ἰστέον ὡς περὶ τινῶν διαλέγεται τὴν ἡδονὴν πρεσβευόντων, καὶ τὸ ἡδὺ τῆς σαρκὸς καὶ τὰς ἐν κόσμῳ φαντασίας διωκόντων, καὶ ταῦτα ἡγουμένων εἶναι θρησκείαν, καὶ βλασφήμως ἐκφερομένων πρὸς τὸ μὴ ὁμολογεῖν μίαν κυριότητα καὶ θεότητα· τοιοῦτοι γάρ τινες ὤφθησαν οἱ ἀπὸ Οὐαλεντίνου καὶ Μαρκίωνος μέχρι τῶν ἀνοσιωτάτων καὶ βδελυρῶν Μανιχαίων καταγόμενοι χρόνων. Τοῦτο οὖν φησιν ὁ Ἀπόστολος· ὡς ὁμοίως καὶ αὐτοὶ [a] τοῖς ἐν Σοδόμοις πυρποληθεῖσι διὰ τὴν ἀσέλγειαν ἣν ἐπλημμέλουν· "ἐνυπνιαζόμενοι" δὲ, τουτέστι τὰ ἐν κόσμῳ φρονοῦντες καὶ ταῖς προσκαίροις φαντασίαις κεκαρωμένοι τῷ νῷ [b]. "τὴν σάρκα μιαίνουσι·" τοῖς γὰρ τοιούτοις νὺξ ἐστιν ὁ βίος, καὶ ἐγρηγορότες καθεύδουσι, καὶ ἐνύπνια βλέπουσι τὰ ἅμα τῷ [c] φανῆναι τέρποντα [d] καὶ παροδεύοντα· ταύτῃ τῇ διανοίᾳ καὶ Παῦλος ὁ μέγας, νύκτα τὸν ἀσελγῆ βίον εἰδὼς, καὶ κάρον βαθὺν [e] τὰ τοιαῦτα φρονήματα Ῥωμαίοις ἐπιστέλλων παρῄνει καὶ ἔλεγεν· "ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀποθώμεθα "οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα [f] τὰ ὅπλα τοῦ φω- "τὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ "μέθαις [g]·" καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα—"Κυριότητα δὲ

y Hoc Sch. infra ponit Cod. B. z αὐτοὺς B. a οὗτοι B. b τὸν νοῦν B. c Cod. N. τὸ. d τέρποντά τε B. e βαθὺ B. f ἐνδυσώμεθα δὲ B. g B. add. μὴ κοίταις καί.

" ἀθετοῦσι[h]" μίαν γὰρ θεότητα καὶ κυριότητα οὐχ ὁμολογοῦσιν ἀρχὴν εἶναι τῶν πάντων· ἀλλ' ἕτερον μὲν ὑπάρχειν τῆς παλαιᾶς διαθήκης Θεὸν, πονηρόν τινα καὶ τιμωρητικὸν καὶ αἵμασι χαίροντα· τῆς δὲ νέας ἕτερον, τὸν ἐν τοῖς Εὐαγγελίοις καὶ Ἀποστόλοις λαλήσαντα· ἢ καὶ δύο ἀρχὰς ἀντιτεταγμένας ἀλλήλαις, πονηράν τε καὶ ἀγαθὴν ἐφιστᾶσι πάσῃ[i] τῇ κτίσει· καὶ ἀμφοτέρας ἀγεννήτους λέγουσι· καὶ τὴν μὲν ἐναντίαν εἶναι τῶν ἀγαθῶν· τὴν δὲ, τῶν κακῶν· ὅπερ ἐξαιρέτως περὶ τοὺς ἄλλους τῆς τοῦ Μάνεντος διανοίας ἀπόβρασμα γέγονε. ἐξ οὗ τὸ πονηρὸν σμῆνος τῶν Μανιχαίων κατάγεται. οἱ οὕτως οὖν ἔχοντες, καὶ τὴν κυριότητα ἀθετοῦντες, τουτέστι, τὸν ἕνα καὶ μόνον Κύριον[k] ἐπὶ πάντων Θεὸν, ἀναγκαίως καὶ τὰς δόξας βλασφημοῦσι· δόξας δὲ ἢ τὰ δόγματα τῆς εὐσεβείας φησὶν, ἢ τὴν παλαιὰν διαθήκην καὶ νέαν, μετὰ θεοπρεποῦς δόξης ἐκφωνηθείσας. Καὶ μετ' ὀλίγα —Οὐκοῦν ἐκ τούτων πρόδηλον, ὡς δόξας τὰς διακονηθείσας δύο διαθήκας καλεῖ· τὴν μὲν διὰ τῆς Μωϋσέως ὑπουργίας, τὴν δὲ δι' αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, " τοῦ κενώσαντος ἑαυτὸν καὶ δούλου λαβόντος μορφὴν," καὶ λέγοντος πρὸς τοὺς μαθητὰς, " καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου " οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν " αὐτοῦ λύτρον ἀντὶ πολλῶν."

9 [l]Ὁ δὲ Μιχαὴλ ὁ Ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, ἐπιτιμήσαι σοι Κύριος.

" Ὁ δὲ Μιχαὴλ ὁ Ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος " διελέγετο περὶ τοῦ Μωϋσέως σώματος" καὶ τὰ ἑξῆς. Δείκνυσι καὶ τὴν παλαιὰν συμφωνοῦσαν τῇ καινῇ, καὶ ὑφ' ἑνὸς Θεοῦ δεδομένας· ὁ γὰρ διάβολος ἀντεῖχε θέλων ἀπατῆσαι, ὅτι ἐμὸν τὸ σῶμα ὡς τῆς ὕλης δεσπόζοντι· καὶ ἤκουσε παρὰ τοῦ Ἀγγέλου τὸ " ἐπιτιμήσαι σοι Κύριος." τουτέστι ὁ Κύριος τῶν πνευμάτων καὶ

[h] ἀσελγείαις, ἀθετεῖν B. [i] πᾶσι N. [k] καὶ κύριον καὶ ἐπὶ π. B.
[l] ΕΚ ΤΟΥ ΜΩΥΣΕΩΣ ΑΠΟΚΡΥΦΟΥ. Ὁ ΔΕ ΜΙΧΑΗΛ, κ. τ. λ. sic habet Cod. B.

πάσης σαρκός. διὰ ταύτην τὴν αἰτίαν πρὸ μικροῦ εἶπεν, ὅτι Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, ὁ παλαιᾶς καὶ καινῆς διαθήκης Θεὸς, δόξα αὐτῷ.

Ὁ δὲ Μιχαὴλ οὐκ αὐθεντήσας ἐπήγαγεν αὐτῷ τιμωρίαν ἀξίαν τῆς βλασφημίας, ἀλλὰ κατέλιπεν αὐτὸν τῇ γνώμῃ τοῦ ἑαυτοῦ δεσπότου· ὅτε γὰρ ἤγαγε Μωϋσῆν ἐν τῷ ὄρει, ἔνθα μετεμορφώθη ὁ Κύριος, τότε ἔλεγεν ὁ διάβολος τῷ Μιχαὴλ, ἐψεύσατο ὁ Θεὸς εἰσαγαγὼν τὸν Μωσῆν, ἔνθα ὤμοσε μὴ εἰσελθεῖν αὐτόν.

Λέγεται ὁ Μιχαὴλ περὶ τὴν τοῦ Μωυσέως σώματος διηκονηκέναι ταφήν· τοῦ διαβόλου πρὸς τοῦτο ἀνθισταμένου· συγχωροῦντος τοῦ Θεοῦ, καὶ βουλομένου δεῖξαι διὰ τοῦ φαινομένου τοῖς τότε μικρὰ βλέπουσι καὶ παχύτερον διακειμένοις τὸ ἀφανὲς, ὅτι μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ταῖς ἡμετέραις ψυχαῖς ἀνθίστανται πορευομέναις τὴν ἐπὶ τὰ ἄνω πορείαν, ὅ τε διάβολος καὶ αἱ δυνάμεις αἱ πονηραὶ σὺν αὐτῷ, ἐκκόψαι τὸν δρόμον βουλόμεναι· καὶ τῶν μὲν τὰ φαῦλα ἐργασαμένων κατισχύουσι· τῶν δὲ δικαίων ἡττῶνται διὰ τῆς ἀγγελικῆς συμμαχίας. τοῦτο καὶ ὁ μακάριος Ἀντώνιος ἐν ὁράσει τεθέαται.

Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Θωμᾶν ἐπίσκοπον Γερμανικίας ἐπιστολῆς[m]. Ἐνταῦθα διὰ σωματικοῦ τύπου προυπέδειξεν ὁ Θεὸς περὶ τὴν ψυχὴν γινόμενόν τι[n] μυστήριον. ἐπειδὴ γὰρ τῆς ψυχῆς χωριζομένης ἀπὸ τοῦ σώματος, μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν προϋπαντῶσιν αὐτῇ καὶ ἀγγελικαὶ δυνάμεις ἀγαθαὶ, καὶ δαιμόνων στίφος πονηρότατον[o], ὅπως πρὸς τὴν ποιότητα τῶν ἔργων ὧν ἔπραξαν[p], πονηρῶν τε καὶ ἀγαθῶν, ἐπὶ τοὺς προσφόρους τόπους, ἢ οὗτοι ἢ ἐκεῖνοι, ταύτην ἀποκομίσωσι, φυλαχθησόμεναι[q] μέχρι τῆς τελευταίας ἡμέρας, καθ' ἣν εἰς κρίσιν πάντες παραστησόμεθα· καὶ ἢ εἰς τὴν αἰώνιον ζωὴν, ἢ εἰς τὴν ἀπέραντον φλόγα τοῦ πυρὸς ἀπαχθησόμεθα. βουλόμενος ὁ Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῦτο ὑποδεῖξαι διὰ σωματικοῦ τύπου τινὸς, παρεσκεύασεν ἐν τῇ τοῦ Μωυσέως ταφῇ φανῆναι ὑπ' ὀφθαλμοὺς αὐτοῖς πρὸς τὴν περιστολὴν τοῦ σώματος καὶ τὴν ἐν τῇ γῇ νενομισμένην κατάθεσιν, ἀνθιστάμενον ὥσπερ τὸν πονηρὸν δαίμονα καὶ

[m] Hoc tit. caret N.C. [n] τι om. B. [o] πονηροτάτων B.
[p] ἔπραξε N.C. [q] φυλαχθησομένην B.

ἀντιπράττοντα[r]· καὶ τούτῳ τὸν Μιχαὴλ ἀγαθὸν Ἄγγελον ὄντα προσυπαντῆσαι καὶ ἀποσοβῆσαι· καὶ μὴ ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ Κυρίῳ τῶν ὅλων παραχωρῆσαι τῆς κατ' ἐκείνου κρίσεως, καὶ εἰπεῖν "ἐπιτιμήσαι σοι Κύριος·" ἵνα διὰ τούτων μάθωσιν οἱ παιδαγωγούμενοι, ὥς ἐστί τις ταῖς ψυχαῖς ἀγωνία μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, καὶ ὅτι χρὴ διὰ τῶν ἀγαθῶν ἔργων παρασκευάζεσθαι πρὸς τὸ τῆς ἀγγελικῆς ἡμᾶς συμμαχίας μεταλαχεῖν, τῶν δαιμόνων καθ' ἡμῶν ἐπιτριζόντων φθονερὸν καὶ πικρόν· καὶ ταύτης ὑπ' ὀφθαλμοὺς φανείσης τῆς θείας εἰκόνος, εἰκὸς καί τινα λοιπὸν νεφέλην ἢ φωτὸς ἔκλαμψιν γεγενῆσθαι κατὰ τὸν τόπον ἐκεῖνον ἀμαυροῦσαν καὶ ἀποτειχίζουσαν τῶν περιεστηκότων τὴν θέαν, ἵνα μὴ γινώσκοιεν αὐτοῦ τὴν ταφήν· διὸ καὶ ἐν τῷ Δευτερονομίῳ φησὶ τὸ ἱερὸν γράμμα[s]. "καὶ ἐτελεύτησεν ἐκεῖ Μωυσῆς οἰκέτης Κυρίου ἐν γῇ Μωὰβ, διὰ ῥήματος Κυρίου· καὶ ἔθαψαν αὐτὸν ἐν γῇ Μωὰβ, ἐγγὺς οἴκου Φοφώρ· καὶ οὐκ εἶδεν οὐδεὶς τὴν τελευτὴν, 'ἤτοι τὴν ταφὴν' αὐτοῦ, ἕως τῆς ἡμέρας ταύτης." Καὶ μετ' ὀλίγα—Καὶ ταύτην μὲν τὴν ἐξήγησιν τὸ προκείμενον ἔχειν δοκεῖ, καὶ οὕτως αὐτὸ νενοήκαμεν. Τινὲς δέ γε[t] σῶμα τοῦ Μωϋσέως ἔφησαν καλέσαι τὸν Ἰούδαν τὸν νόμον αὐτόν· καὶ ὅτι κατιόντι αὐτῷ, τοῦτον ἐμφανίσαι[u] τοῖς υἱοῖς Ἰσραὴλ, ὁ διάβολος ἀνθίστατο καὶ ἀντέπραττεν, ἐμποδίζων τῇ δόσει τοῦ νόμου, καὶ διακρινόμενος, καὶ λέγων μὴ ἄξιον εἶναι τὸν λαὸν τούτου τυχεῖν· διὸ δὴ καὶ ὁ Μιχαὴλ προηγούμενος ἀποσοβεῖ τὸν ἀνθιστάμενον, τὸ "ἐπιτιμήσαι σοι Κύριος" ἐκβοῶν. Ἄλλοι δὲ σῶμα τοῦ Μωυσέως ὃν ἐδημαγώγει λαὸν ἀπεκάλεσαν, καὶ εἶπον, ὡς ἐξιοῦσιν αὐτοῖς ἐκ τῆς χώρας τῶν Αἰγυπτίων ὁ διάβολος ἀντέστη καὶ ἀντετάξατο, καθάπερ ἐν δικασίᾳ[x] λέγων τῷ Μωυσῇ[y], μὴ εἶναι τὸ σῶμα αὐτοῦ, τουτέστι τὸν λαὸν, ἄξιον τῆς Αἰγυπτίων ἐλευθερίας τυχεῖν· καὶ τοῦτον ὁ Μιχαὴλ ἀπεῖρξε[z], καὶ ἀντιπραττόμενον ἔπαυσεν, ἐπιφωνήσας τὸ "ἐπιτιμήσαι σοι Κύριος."

Σευήρου ἐκ τοῦ κατὰ Ἀλεξανδρείας συνταγμα[a]. "Οὐκ ἐτόλμησεν αὐτῷ," φησι, "τὴν κρίσιν τῆς βλασφημίας ἐπε-

[r] ἀντίπραττον B. [s] τὸ γρ. τὸ ἱερὸν B. [t] τιν. δέ γε ἔφασαν B.
[u] ἐμφανῆσαι B. [x] διαδικασίᾳ B. [y] Μωυσεῖ B. [z] εἶρξε B.
[a] Hoc tit. caret N. leg. ΣΥΝΤΑΓΜΑΤΟΣ.

" νεγκεῖν, ἀλλ' εἶπε μόνον[b], 'ἐπιτιμήσαι σοι Κύριος,' τουτέστιν ὡς βλάσφημον καὶ θεομάχον ἀπ' ἀρχῆς, ἐξ οὗ τὴν ἀποστασίαν ἐνόσησε, καὶ μετὰ τοῦτο τὸν Ἀδὰμ ἠπάτησε διὰ πανουργίας μαχησάμενος τῇ ἐντολῇ τοῦ Θεοῦ, βλασφημίας κρίσει καὶ ἀποφάσει[c] περιβαλεῖν " οὐκ ἐτόλμησεν, ἀλλ' εἶπεν, ἐπιτιμήσαι σοι " Κύριος·" τὸ γὰρ τῆς ἀποφάσεως καὶ τῆς κρίσεως ἐπεφύλακτο τῷ κριτῇ, τουτέστι τῷ Χριστῷ· " ὁ γὰρ κατακρίνας τὴν ἁμαρ- " τίαν," ὡς Παῦλός φησιν, ἐν τῇ ἰδίᾳ σαρκὶ, ἐπείπερ οὐκ ἔσχεν ἴχνος οὐδὲ ἓν ἐν αὐτῷ, κατέκρινε καὶ διὰ τοῦ ἰδίου θανάτου τὸν θάνατον, καὶ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τὸν διάβολον.

Οὗτοι δὲ, ὅσα μὲν οὐκ οἴδασι, βλασφημοῦσιν· ὅσα
10 δὲ φυσικῶς, ὡς τὰ ἄλογα ζῶα, ἐπίστανται, ἐν τούτοις
φθείρονται.

Περὶ μὲν δόγματός, φησιν, ἀγνοοῦντας τὴν ἀλήθειαν, βλασφημοὺς ἑαυτοῖς συντίθεασι λόγους· περὶ δὲ ἡδονὰς οὕτως ἔχουσιν, ὡς μηδὲν ἀλόγων ζώων διαφέρειν, ἀλλ' ἢ ἵππους θηλυμανεῖς νομίζεσθαι, ἢ χοίρους τῷ βορβόρῳ τῆς ἀσωτίας[d] κυλινδουμένους.

Τελευτήσαντος ἐν τῷ ὄρει Μωϋσέως[e], ὁ Μιχαὴλ ἀποστέλλεται μεταθήσων τὸ σῶμα, εἶτα τοῦ διαβόλου κατὰ τοῦ Μωϋσέως βλασφημοῦντος, καὶ φονέα ἀναγορεύοντος διὰ τὸ πατάξαι τὸν Αἰγύπτιον, οὐκ ἐνέγκων τὴν κατ' αὐτοῦ βλασφημίαν ὁ Ἄγγελος, " ἐπιτιμήσαι σοι ὁ Θεὸς" πρὸς τὸν διάβολον ἔφη· ἔστιν οὖν ἔνδειξις τὸ εἰρημένον ὑπερβολῆς κακίας τῶν κατηγορουμένων· ὅπουγε Ἀρχάγγελος μὲν οὐδὲ ἀνδρὸς βλασφημουμένου ἤνεγκεν· οἱ δὲ[f] τὸν ἐπὶ πάντων βλασφημοῦσι Θεόν.

ΚΕΦ. Β.

Ταλανισμὸς αὐτῶν ἐπὶ τῇ πλάνῃ καὶ ἀσεβείᾳ, καὶ ἀσελγείᾳ καὶ βλασφημίᾳ καὶ ἐπιπλάστῳ ὑποκρίσει, τῇ εἰς ἀπάτην δωροδοκίᾳ.

11 Οὐαὶ αὐτοῖς· ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ
τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ
ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο.

[b] αὐτῷ B. sed μόνον in marg. [c] διὰ πανουργ. usque ad ἀποφάσει caret N. [d] ἀσεβείας B. [e] ἁγίου B. [f] οὐδὲ B.

Καὶ αὐτοὶ γὰρ ἀδελφοκτόνοι εἰσὶ, δι' ὧν διδάσκουσι, τὰς τῶν ἀπατωμένων ἀποκτειννύντες[g] ψυχάς· ὅρα δὲ πῶς τὴν ὑπερβολὴν τῆς ἀσεβείας αὐτῶν δείκνυσιν· οὐ γὰρ ἠρκέσθη παραβαλεῖν αὐτοὺς Καῒν[h] τῷ ἀδελφοκτόνῳ· ὡς καὶ αὐτοὶ διὰ τῆς μυσαρᾶς αὐτῶν σπερμοσφαγίας[i], τὸν δυνάμει ἄνθρωπον καὶ ἀδελφὸν ἀποκτειννύουσιν, ἀλλὰ καὶ τῷ Βαλαὰμ καὶ τῷ Κορέ· τῷ μὲν Κάϊν διὰ τὴν προειρημένην αἰτίαν· τῷ δὲ Βαλαὰμ, ὅτι κέρδους χάριν ἦλθε καταράσασθαι τὸν λαὸν τοῦ Θεοῦ· εἰ καὶ τὴν γλῶσσαν[k] αὐτοῦ εἰς εὐλογίαν ἔστρεψεν ὁ Θεός· τῷ δὲ Κορὲ, ὅτι διδασκαλικὸν ἀξίωμα ἥρπασεν, εἰς ὃ αὐτὸν[l] οὐκ ἔταξεν ὁ Θεός· ὡς γὰρ ὁ Ἀπόστολος λέγει, "οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ "τοῦ Θεοῦ·" ἅμα δὲ καὶ διδασκόμεθα ποῖον καὶ τούτων τὸ τέλος διὰ τῆς τιμωρίας ἐκείνων, οἷς αὐτοὺς καὶ ὡμοίωσεν. Τὸν μὲν Ἀδὰμ, ἐξέβαλεν ὁ Θεὸς ἐκ τοῦ παραδείσου, καὶ κατῴκησεν ἀπέναντι[m] τῆς τρυφῆς τοῦ παραδείσου[n], καὶ οὐκ ἐν γῇ Ναΐδ· τὸν δὲ Κάϊν οὔτε ἐξαπέστειλεν ὁ Κύριος[o], οὔτε ἐξέβαλεν· ἀλλ' αὐτὸς ἐξῆλθεν ἀπὸ προσώπου Κυρίου[p]. χρήσῃ[q] δὲ τῇ συγχωρήσει[r] τῶν ῥημάτων ἐν καιρῷ ποτὲ, ἐπ' ἂν ὁ μέν τις ἐπιδικαζομένης[s] τῆς Ἐκκλησίας μὴ ἑκὼν αὐτῆς ἐξέρχεται ὡς ἐπὶ Ἀδὰμ, ἐν τῷ ἐξαποστέλλεσθαι ἐπιτιμητικῶς καὶ παιδευτικῶς ἀπὸ τῶν προεστηκότων[t] αὐτῆς· ὁ δὲ ὡς αὐθάδης καὶ καταφρονητὴς ὡς Κάϊν· καὶ ἀποστάτης ἐξέρχεται πολλάκις, ἔσθ' ὅτε καὶ παρακαλούμενος ὑπὸ τῶν νουθετούντων τοὺς ἀτάκτους· παραμυθουμένων[u] τοὺς ὀλιγοψύχους· ἀντεχομένων[x] τῶν ἀσθενῶν· ἐρεῖς γὰρ ὅτι οὗτος ὁ ἑκὼν καταλιπὼν τὴν Ἐκκλησίαν, καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν· θελήσας ἐκ τοῦ πονηροῦ γενέσθαι· καὶ διὰ τοῦτο ἐξῆλθεν ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ ὁ ἐξελθὼν δὲ μοχθηρᾷ[y] προαιρέσει καὶ βίῳ ἐπιλήπτῳ[z] καὶ δόγμασιν ἐναντίοις, ἀπὸ τῆς Ἐκκλησίας ἐξῆλθεν, ὡς Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ πάντως ὁ τοιοῦτος[a] οἰκεῖ ἐν τῇ γῇ Ναῒδ κατέναντι Ἐδὲμ, ἐναντιούμενος τοῖς δόγμασι τοῦ παραδείσου τῆς τρυφῆς· Ναῒδ δὲ

[g] ἀποκτέννυντες B. [h] τῷ Καῒν B. [i] σπερμοφαγίας B. [k] γλῶτταν B. mox om. αὐτοῦ. [l] αὐτοὺς B. [m] καὶ κατ. ἀπ. om. N. [n] τοῦ παρ. om. N. [o] κυρ. ὁ Θεὸς B. [p] Θεοῦ B. [q] χρήσει B. [r] συγχρήσει B. [s] ἐπιδικαζόμενος B. ἐπειδὴ καθεζομένης N. [t] πρὸς ἑστηκότων B. [u] παραμυθούμενος B. [x] ἀντεχόμενος B. [y] μοχθηρὰ Codd. [z] ἐπιλίμπτῳ B. [a] ὅτι οὗτος B.

ἑρμηνεύεται σάλος· ὁ οὖν φυγὰς ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ἔξω γενόμενος αὐτοῦ, ποῦ ἂν οἰκήσει[b], ἢ ἐν σάλῳ χειμαζόμενος καὶ κυματούμενος ὑπὸ τοῦ σάλου τῶν παθῶν;

12 Οὗτοί εἰσιν οἱ ἐν ταῖς ἀγαπαῖς ὑμῶν σπιλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, ὑπὸ ἀνέμων παραφερόμεναι.

Περὶ ἀνθρώπων συγγνώμης πταιόντων ὑψηλότερα ἦν τῷ Ἀποστόλῳ ὁ λόγος· οὐ περὶ ἄστρων καὶ νεφῶν[c], κυμάτων τε καὶ δένδρων· οἷς δὴ παραδείγμασι κέχρηται, ὅπερ ἔχουσιν ἐκεῖνα κατὰ φύσιν, τοῦτο πεπονθέναι τοὺς ἀνθρώπους κατὰ προαίρεσιν αἰτιώμενος· ὥσπερ γὰρ αἱ νεφέλαι αἱ ἄνυδροι αἱ ὑπὸ ἀνέμων ἐλαυνόμεναι, καὶ τὰ ἄκαρπα δένδρα, ἃ δισσῶς ἔφη ἀποθανόντα, οὐ τιμωρηθήσονται, ἀλλ' οὐδὲ τὰ κύματα τὰς ἑαυτῶν ἐπαφρίζοντα[d] αἰσχύνας, ἄλογα ὄντα καὶ αἰσθήσεως ἄμοιρα[e]· οὕτω καὶ οἱ λεγόμενοι ἀστέρες πλανῆται οὐ τὸν ζόφον κληρονομοῦσιν, ἀλλ' οἱ ἄνθρωποι κατὰ προαίρεσιν ἁμαρτάνοντες· περὶ ὧν καὶ τὰ ὑποδείγματα ταῦτα ἐλήφθη, ὡς εἶναι τοιοῦτον τὸ λεγόμενον· οἱ ἄνθρωποι οὗτοι, περὶ ὧν ὁ λόγος, ὥσπερ πλανῆται εἰσὶν ἀστέρες τῆς εὐθείας ἐκτρεπόμενοι, καὶ τὴν ἐναντίαν τῇ ἀρετῇ ὁδὸν βαδίζοντες· διὸ αὐτοῖς ὁ ζόφος τετήρηται, οὐχ ὡς ἄστρασιν, ἀλλ' ὡς ἀνδράσιν· οὐ γὰρ περὶ ἄστρων ἢ νεφῶν[f] ἢ κυμάτων ἦν αὐτῷ, ὡς ἔφθην εἰπὼν, ὁ λόγος, ἀλλὰ περὶ ἀνθρώπων εἰς θηριωδίαν καὶ ἀσέλγειαν καὶ ἀλαζονείαν ἐκπεπτωκότων, καὶ διὰ τῆς συνουσίας καὶ τοὺς πλησιάζοντας λυμαινομένων[g]. εἰ γὰρ τὸν προσταχθέντα τοῖς ἄστρασι δι' αἰῶνος θέουσι δρόμον, οὐ ποιητικοὺς αὐτοὺς κακῶν λεκτέον, ἀσεβὲς γὰρ καὶ ἄλογον, ἀλλ' εἰ καὶ καθ' ὑπόθεσιν δοθείη, ὅπέρ τινες φασὶ, σημαντικοὺς[h] εἶναι, οὐδ' οὕτως δώσουσι δίκας, οὐδὲ γὰρ οἱ προφῆται ἔδοσαν[i], τὰ μέλλοντα παρὰ τῶν Ἰουδαίων πράττεσθαι καταμηνύσαντες· οὐ γὰρ[k] ἤδη δι' ὧν προεμήνυσαν γέγονεν, ἀλλ' ἐπειδὴ ἔμελλε γίνεσθαι προεμήνυσαν· δῆλον τοίνυν, ὡς οἶμαι, ὅτι οὐ περὶ ἄστρων, ὥσπερ οὐδὲ περὶ κυμάτων ἢ δένδρων ἢ νεφῶν[l] ἦν τῷ

[b] οἰκῆσαι B. [c] νεφελῶν B. [d] ἀπαφρίζουσιν B. [e] ἄμυρα B. [f] νεφελῶν B. [g] λοιμαινομένων B. λυμαινόμενοι N. [h] σημαντικῶς αὐτοὺς εἶναι B. [i] ἔδωσαν B. [k] οὐδὲ γὰρ εἰ δὴ προεμήνυσαν B. [l] νεφελῶν B.

Ἀποστόλῳ ὁ λόγος· καθὼς καὶ ὁ πάσης τῆς Ἐπιστολῆς νοῦς μηνύει, ἀλλὰ περὶ ἁμαρτησάντων ἀνθρώπων, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνας τετήρηται· ἀρξάμενος γὰρ ἀπὸ τῶν[m] *παραδειγμάτων, εἰς τοὺς περὶ ὧν ἦν ὁ λόγος αὐτῷ*[n] *ἐτελεύτησεν.*

Ἔτι κατὰ τὸν χρόνον ἐκεῖνον τῶν κοινῶν[o] *ἐν ἐκκλησίαις γινομένων τραπεζῶν, περὶ ὧν καὶ ὁ Ἀπόστολος Κορινθίοις ἐπιστέλλει, συνήεσαν*[p]*, οὐ χάριν τοῦ μεταλαβεῖν τοῦ Κυριακοῦ δείπνου, ἀλλ' ἵνα καιρὸν εὕρωσι ψυχὰς ἀστηρίκτους δελεάζειν· τούτων γὰρ καὶ*[q] *ὁ Πέτρος ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ καταλέγει.*

Δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα.

“Δένδρα φθινοπωρινὰ[r]*” τοὺς ἀνοσίους αἱρετικοὺς φησὶν, οἵτινες ὑπὸ τῆς κακίας καταψυχθέντες, τὸν τῆς δικαιοσύνης καρπὸν οὐ διδόασι. δὶς δὲ ἀποθανόντας αὐτοὺς ἐκάλεσεν, ὡς ψυχῇ καὶ σώματι νεκρωθέντας· ψυχῇ*[s] *μὲν, ὡς λογιζομένῃ τὰ πονηρὰ, σώματι δὲ, ὡς ἐκτελοῦντι τὴν ἁμαρτίαν. ἐκριζωθέντας δὲ αὐτοὺς λέγει, ὡς μὴ ἀξίους τοῦ πεφυτεῦσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἔνθα ἑαυτὸν ἐρριζωμένον εἰδὼς ὁ ἅγιος ἔλεγε Δαβὶδ, “ἐγὼ δὲ ὡσεὶ “ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ” καὶ τὰ ἑξῆς*[t]*.*

Τοῦτο φησὶν, ἐπειδὴ πάλιν οἱ[u] *δίκαιοι προσποιούμενοι ἐλαίαις ἑαυτοὺς εὐσκίοις, καὶ μὴν καὶ ἀμπέλοις καρποφόροις παρέβαλον· λέγει οὖν ὡς ἄκαρποί τινές εἰσι, καὶ μᾶλλον διὰ τὸν ἐξ αὐτῶν καρπὸν ὃν διαφθείρουσιν ἐν τῇ σπερμοσφαγίᾳ μὴ ζωογονεῖσθαι· καὶ φθινοπωρινοὶ, τουτέστι καὶ φύλλων καὶ καρπῶν ἔρημοι· οὔτε γὰρ βίος αὔτοις οὔτε δόγμα*[x] *ζωογόνον ἐστὶ λαμπρόν.*

Οὐκ ἐπὶ μιᾶς ἑστηκότα γνώμης δι' ἀβεβαιότητα[y]*.*

13 Κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας.

Βίῳ ἀσελγεῖ[z] *καὶ ἀσεβείᾳ θανατώσαντες τὴν ψυχὴν καὶ δόγμασι πονηροῖς· ἢ οὕτως· ἐπειδὴ πρὸ τῆς πίστεως τεθνήκεισαν*[a] *ἀσεβείᾳ, εἶτα προσελθόντες τῷ Εὐαγγελίῳ ἔζησαν· πάλιν δὲ*

[m] *τῶν* om. B. [n] *αὐτοῦ* B. [o] *τῶν κοιν.* om. B. [p] *συνήεσαν ὅτι οὐκ αὐτοῦ τούτου χάριν* B. *συνίεσαν* N.C. [q] *καὶ* om. N. [r] *δένδρα φθιν.* om. B. [s] *ψυχὴ* Codd. [t] *ἤπησα ἐπὶ τὸ ἔλεος αὐτοῦ* B. [u] *ὡς* N. [x] *σῶμα* B. [y] *διαβεβαιότητα* Codd. [z] *καὶ ὡς ἀσελγεῖ* B. [a] *ἐτεθνήκεσαν* B.

ἀσεβείᾳ καὶ ἡδονῇ ἐκδόντες ἑαυτοὺς, τεθνήκασι[b]· ταύτῃ τοι τεθνηκέναι δὶς αὐτούς φησι.

Ὁ γὰρ οὕτως ἔνοχος, φησὶ, κακῶν, ὡς ἀσεβείᾳ καὶ ἡδοναῖς ἄγεσθαι, ποίαν ἕξει στάσιν ἢ ῥίζαν πανταχόθεν βαλλόμενος[c];

Τὸ μανικὸν αὐτῶν καὶ ἄσχετον[d] περὶ τὰς βλασφημίας σημαίνει· τὸ δὲ ἐπαφρίζειν τὰς ἰδίας αἰσχύνας, τὸ μετὰ τῆς κατὰ Θεοῦ μανίας καὶ αἰσχρότητα πολλὴν ἐπιτηδεύειν αὐτοὺς βίου ἀποφαίνεται[e].

Ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.

Τοῦτο καὶ ἀρχόμενος εἶπεν, οἱ καὶ πάλαι προγεγραμμένοι.

14 Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ
Ἐνὼχ λέγων, Ἰδοὺ, ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν
15 αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας
τοὺς ἀσεβεῖς περὶ πάντων τῶν ἔργων αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν λόγων ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.

Εἰ καὶ μιμούμενοι τὸν ἑαυτῶν ἀρχηγὸν Σατανᾶν κατασχηματιζόμενον εἰς Ἄγγελον φωτὸς, καὶ αὐτοὶ μετασχηματίζεσθαι θέλουσιν εἰς διδασκάλους ἀληθείας, περὶ ὧν εἴρηται, "ἐν οἷς φαίνεσθε[f] "ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες," ἀλλ᾽ οὖν πλανῶντές εἰσι, παραχαράττοντες τὴν ἀλήθειαν ἀσελγείαις δυσφημιῶν, καὶ ὕστερον γνόφῳ καὶ ζόφῳ καὶ σκότῳ, ὅπέρ ἐστι τὸ σκότος ἐξώτερον, κολασθήσονται· ὅπερ ἡτοίμασται[g] τῷ Σατανᾷ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.

16 Οὗτοί εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν.

Οὐ γὰρ ἔχουσι παρρησίαν τῇ διδασκαλίᾳ αὐτῶν[h] χρήσασθαι. πῶς γὰρ ἀκίνδυνον δημοσιεύειν τὴν μετὰ ἀσεβείας καὶ βλασφη-

[b] ἑαυτοὺς τεθνηκέναι φησιν B. [c] βαλλόμενον B. [d] καὶ τὸ ἀσχ. B.
[e] βιοῦν ἀποφαίνεσθαι B. [f] φαίνεσθαι N. [g] ὅπ. ἡτοιμ. om. B. [h] ἑαυτῶν B.

μίας ἀσέλγει; τὸ δὲ "μεμψίμοιροι[i]" ὅτι τὰ τῶν ἄλλων καὶ τὰ τῆς ἀληθείας διαβάλλουσιν, ἵνα τὰ οἰκεῖα κακὰ καὶ ἀσελγήματα στήσωσιν ὡς οἷόν τε[k].

17 Ὑμεῖς δὲ, ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν
προειρημένων ὑπὸ τῶν Ἀποστόλων τοῦ Κυρίου ἡμῶν
18 Ἰησοῦ Χριστοῦ· ὅτι ἔλεγον ὑμῖν, ὅτι ἐπ' ἐσχάτου τῶν
χρόνων ἐλεύσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπίθυ-
μιας πορευόμενοι τῶν ἀσεβειῶν.

Τοῦτο μὲν ὑπὸ Πέτρου· καὶ γὰρ τὴν δευτέραν Ἐπιστολὴν ὁ Πέτρος περὶ τούτων ἔγραψε· τοῦτο δὲ περὶ τῶν γραφέντων ὑπὸ Παύλου· πολλὰ γὰρ[l] αὐτοῦ περὶ τούτων ἐν πάσῃ[m]·διατάξαντος Ἐπιστολῇ.

19 Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοὶ,

Τουτέστιν οἱ τὰ σχίσματα ποιοῦντες ἐν ταῖς βλασφημίαις καὶ ἀσελγείαις ἑαυτῶν, καὶ τῆς Ἐκκλησίας διασπῶντες τὰ μέλη.

Ἀντὶ τοῦ διδασκαλίαν ἔχοντες δαιμονιώδη κατὰ τὸ εἰρημένον, "οὐκ ἔστιν ἡ σοφία αὕτη ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, "ψυχικὴ, δαιμονιώδης."

Πνεῦμα μὴ ἔχοντες.

Θεῖον λαλοῦν ἐν αὐτοῖς[n], ὥσπερ οἱ ἀληθῶς διδάσκαλοι τῆς πίστεως τῆς ὀρθῆς.

ΚΕΦ. Γ.

Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει συμπαθείας καὶ φειδοῦς τοῦ πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ.

20 Ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ἡμῶν πίστει ἐποι-
κοδομοῦντες ἑαυτοὺς, ἐν Πνεύματι Ἁγίῳ προσευχό-
21 μενοι, ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι
τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ζωὴν
22 αἰώνιον· καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι.

Τουτέστι τοὺς διακρινομένους ἀπὸ τῆς ἀληθείας ἐκ τῶν λόγων τῆς ψευδοῦς διδασκαλίας· περὶ δὲ τῶν διακρινομένων ὁ Ἰάκωβος

[i] *μεμψίμωροι* B. [k] *οἴονταί* B. [l] *καὶ* B. [m] *πᾶσι* B. [n] *ἑαυτοῖς* B.

φησὶν ὅτι "ἐοίκασι κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ διὰ τὸ τῆς ψυχῆς ἄστατον. οὗτοι οὖν καὶ ἐλεεινοί εἰσι καὶ ἄθλιοι, παντὶ ἀνέμῳ τῆς διδασκαλίας περιφερόμενοι.

23 Οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες.

Εἴτις τοὺς ἤδη ἐν τῷ ἀπὸ τῶν πεπυρωμένων τοῦ διαβόλου βελῶν ἐξαφθέντι πυρὶ γινομένους, καὶ ἔν τινι ἀπηγορευμένῃ πυρώσει κεκρατημένους, δύναται λόγῳ Θεοῦ ἀνιμησάμενος, ὀξύτατα ἅρπασαι ἀπὸ τοῦ πυρός· οὗτος ἁρπάσαι μὲν ἀνθηκότως[o] οὐχὶ ἅρπαξ χρηματίσηται[p] τῶν ὑπὸ τοῦ Ἀποστόλου κατηγορουμένων.

Εἰ δέ τινες εἰσὶν ἐξ αὐτῶν δυνάμενοί, φησι, τὴν ἀλήθειαν δέξασθαι, ταύτην αὐτοῖς ὑποβάλλοντες, ἐκ τοῦ μέλλοντος αὐτοὺς παραλαμβάνειν πυρός.

Τουτέστι τὸν φόβον αὐτοῖς ὑποβάλλοντες καὶ ὑποτιθέντες, ἐλέους ἀξίους ὁρᾶσθαι μετανοοῦντας παρασκευάζετε.

Μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

Ἐρώτησις[q] Μαξίμου. Τίς ὁ ἀπὸ τῆς σαρκὸς ἐσπιλώμενος χιτών;

Ἀπόκρισις. Ὁ πολλοῖς πλημμέλημα τῶν ἐκ τῆς σαρκὸς παθημάτων κεκηλιδωμένος βίος, χιτών ἐστιν ἐσπιλωμένος, ὡς ἔκ τινος γὰρ ἐνδύματος τῆς κατὰ τὸν βίον ἀναστροφῆς ἕκαστος τῶν ἀνθρώπων διαφαίνεσθαι πέφυκεν, εἴτε δίκαιος εἴτε ἄδικος· ὁ μὲν χιτῶνα καθαρὸν ἔχων, τὸν ἐνάρετον βίον, ὁ δὲ πονηροῖς ἐσπιλωμένην ἔργους τὴν ζωὴν κεκτημένος· ἢ μᾶλλον ἐσπιλωμένος ἀπὸ τῆς σαρκὸς ἔστι χιτὼν, ἡ κατὰ συνείδησιν μορφοῦσα διὰ τῆς μνήμης τῶν ἐκ τῆς σαρκὸς πονηρῶν κινημάτων τὲ καὶ ἐνεργημάτων τὴν ψυχὴν, ἕξις τε καὶ διάθεσις· ἣν ὁρῶσα διὰ παντὸς καθάπερ χιτῶνά τινα περὶ ἑαυτὴν δυσωδίας πληροῦται παθῶν· ὡς γὰρ ἀπὸ τοῦ Πνεύματος διὰ τῶν ἀρετῶν ἀλλήλαις κατὰ λόγον συνυφαινομένων ἀφθαρσίας γίνεται τῇ ψυχῇ χιτὼν, ὃν ἐνδυσαμένη γίνεται καλὴ καὶ ἐπίδοξος· οὕτω καὶ ἐπὶ τῆς σαρκὸς τῶν παθῶν ἀλλήλοις

[o] ἀνθηκότος B. an leg. καθηκόντως? [p] χρηματίσαι N.C.
[q] Hoc Sch. non habet B.

κατὰ τὴν ἀναλογίαν συνυφαινομένων, γίνεταί τις χιτὼν ἀκάθαρτος καὶ ἐσπιλωμένος, ἐξ αὐτοῦ γνώριμον δεικνὺς τὴν ψυχὴν, μορφὴν ἄλλην αὐτῇ καὶ εἰκόνα περὶ τὴν θείαν θέμενος.

ΚΕΦ. Δ.

Εὐχὴ ὑπὲρ αὐτῶν εἰς ἁγιασμὸν καὶ παρρησίαν καθαρὰν σὺν δοξολογίᾳ Θεοῦ.

24 Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους καὶ
στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλ-
25 λιάσει, μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν, διὰ Ἰησοῦ
Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δόξα καὶ μεγαλωσύνη,
κράτος καὶ ἐξουσία, πρὸ παντὸς αἰῶνος, νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς αἰῶνας. ἀμήν.

Τὴν πορνείαν λέγει καὶ τὴν ἀκαθαρσίαν καὶ τὴν ἀσέλγειαν, ἣν οἱ ἀπὸ Σίμωνος ἐπιτήδευον.

Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει· ἐλεεῖσθαι μὲν γὰρ δεόμενον καὶ ἀντιβολοῦντα χρή· ἐγκαλοῦντα δὲ καὶ κατηγοροῦντα οὐχί· οὐ γὰρ χάριν ἀπαιτεῖ, ἀλλὰ ἀδικεῖσθαι διαβεβαιοῦται.

ΟΙΚΟΥΜΕΝΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΚΚΗΣ ΘΕΣΣΑΛΙΑΣ

ΚΑΙ ΑΡΕΘΑ

ΤΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΚΑΠΠΑΔΟΚΙΑΣ ΕΠΙΣΚΟΠΟΥ

ΣΥΛΛΟΓΗ ΕΞΗΓΗΣΕΩΝ ΕΚ ΔΙΑΦΟΡΩΝ

ΑΓΙΩΝ ΑΝΔΡΩΝ

ΕΙΣ ΤΗΝ

ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΙΩΑΝΝΟΥ

ΑΠΟΚΑΛΥΨΙΝ.

Ἐκ τῶν Οἰκουμενίῳ τῷ μακαρίῳ Ἐπισκόπῳ Τρίκκης Θεσσαλίας θεοφιλῶς πεπονημένων εἰς τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου, σύνοψις σχολικὴ μετὰ τῆς δεούσης ὅσον κατὰ σύνοψιν ἀνελλιποῦς αὐταρκείας. Χριστὲ ὁ Θεὸς σύμπραξον ἡμῖν.[a]

Ὅτι καὶ τοῦτο τὸ σύγγραμμα μύησις, τῆς ἀπὸ τοῦ ἐπὶ τὸ στῆθος ἀνακλίσεως[b] *τῆς ὑπερθέου σοφίας τοῦ ἠγαπημένου, ἅτε θεόπνευστον ὂν καὶ ὠφέλιμον ἀναμφιλόγως, κατείληπται· ἀλλ' οὐ τῶν νόθων, ὥς τινες πλάνῳ συγχροτούμενοι πνεύματι ἐληρώδησαν, εἰ μὴ καὶ γνήσιον, καὶ τοῦ τῆς βροντῆς ἐπάξιον υἱοῦ. εἴγε πιστέον Ἀθανασίῳ τῷ παμμεγίστῳ, ἐν τῇ ἐκθέσει τῶν κανονιζομένων τῆς παλαιᾶς τε καὶ νέας βιβλίων, τοῖς γνησίοις καὶ τοῦτο ἐγκρίνοντι· ἀλλὰ καὶ Βασιλείῳ τῷ θείῳ τοῦτο ἐν τῇ περὶ Υἱοῦ συζητήσει συντόμῳ ἔδειξε, καὶ Γρηγορίῳ τῷ θείῳ τὸν λόγον ἐν τῷ συντακτηρίῳ αὐτοῦ λόγῳ· καὶ Μεθοδίῳ τῷ σοφωτάτῳ Ἐπισκόπῳ Πατάρων ἐν τῷ περὶ ἀναστάσεως· Κυρίλλῳ τε τῷ μεγάλῳ, ἐν τοῖς περὶ τῆς ἐν πνεύματι προσκυνήσεως καὶ λατρείας αὐτοῦ πόνοις· πρὸς τούτοις καὶ Ἱππολύτῳ τῷ Ῥώμης προέδρῳ, ἐν τῇ τοῦ εἰς τὸν Δανιὴλ ἑρμηνείᾳ λόγου· καὶ ἄλλοις δὲ πόλλοις, ἵνα μὴ μακρολόγωμεν, οἷς εἰς νόθον καὶ ἀπόβλητον οὐκ ἔδοξεν ἀπέρριφθαι, εἰ μὴ γνήσιον κριθῆναι· οὐκ ἂν τοιούτοις καὶ τοσούτοις ἀκριβασταῖς τοῦτο δοκοῦν, εἰ μὴ τὸ μέτριον αὐτῷ ᾔδεσαν σπουδαζόμενον· εἰ*

[a] Hoc prooemium Œcumenii in Apocal. Commentarii quod jam vulgaverat Montfaucon. Bibl. Coisl. p. 277. ipse descripsi e Cod. Coisl. 224. adjecta lectionis varietate e Cod. Barocc. 3. qui initio autem mutilus est. [b] *ἀνακλήσεως* Cod.

γὰρ μὴ τοῦτο, μηδὲ τὸ ἔντριτον σπαρτίον κατὰ τὸν Ἐκκλησιάζοντα Σολομῶντα ἄρρηκτον μένον οὐ ταχέως διαρραγήσεται, πολλῷ ἂν τὸ ἑξάπλοκον.

Διὰ τῆς ἀποκαλύψεως οὖν ταύτης δείκνυσιν ὁ Χριστοῦ μαθητὴς, ὡς καὶ τὸ προφητικὸν καταπλουτεῖ χάρισμα, εἴπερ τῶν ἐνεστώτων καὶ τῶν παρῳχημένων τε καὶ μελλόντων γνῶσιν τὸ μετὰ χεῖρας σύγγραμμα θησαυρίζει· ὧν καὶ πᾶσα ἐγκύμων προφητεία, ὃ καὶ τοῖς παρ' ἡμῖν θυραυλοῦσιν ἐν λόγῳ σοφοῖς. ἐπεὶ δέ τινες ηὐθαδίσαντο, ἧ καὶ προλέλεκται νοθείας ἐγκλήματι τὸ θεοτελὲς τοῦτο χρησμῴδημα ἀχρειοῦν· παρ' ὅσον ὁ θεόληπτος οὗτος τοῦ λόγου πατὴρ εἰωθὸς αὐτῷ θεολογία σεμνύνειν τῶν θεοπρεπῶν αὐτοῦ τόκων τὴν ἐκ βαλβίδος[b] αὐτῶν, ὡς ἂν εἴποι τις, πρόοδον. οὐ νῦν τοῦτο ποιεῖ· περὶ δὲ τὸ καθ' ἡμᾶς πρόσλημμα διὰ φιλανθρωπίαν ἄφατον τὴν περὶ ἡμᾶς, τὸ προοίμιον προσευκαιρεῖ. ἀναγκαῖον ἐκεῖνο ἐρεῖν, ὡς ἀδιάφορον εἰδὼς τὸ περὶ τὸ ἓν καὶ τὸ αὐτὸ ὑπάρξαν τῇ ἀπορρήτῳ ἑνώσει τῶν συνελθόντων ὁπωσοῦν ἑκατέρως χρῆσθαι· εἴτ' ἀπὸ τῶν θειοτέρων τοῦ Σωτῆρος Χριστοῦ ἀρξάμενον, ἢ ἀπὸ τῶν ἀνθρωποπρεπῶν ἐν τοῖς πρώτοις αὐτοῦ γράμμασιν, ἀπὸ τῶν θεοπρεπεστέρων ἀρξάμενος ἐπὶ τὰ ἀνθρωπινὰ χωρεῖν οὐκ ἠνήνατο· ἀφ' ὧν φάσκει "καὶ ὁ Λόγος "σὰρξ ἐγένετο," ἐν τῷ μετὰ χεῖρας αὖθις συγγράμματι ἀπὸ τῶν ἀνθρωποπρεπῶν ἀρξάμενος, ὡς ἂν μὴ δόξαι ἀπὸ τῶν θειοτέρων μόνων αὐτὸν γινώσκειν, οὐ μέντοι καὶ ἀπὸ τῶν ἀνθρωπίνων οὐκ ἠνέσχετο τοῖς ἀνθρωποπρέπεσιν ἐπαναπαῦσαι τὸν λόγον, ἀλλὰ κἂν τούτοις τὰ θεοπρεπέστερα προσνέμειν[c] οὐ κατοκνεῖ. δι' ὧν καὶ τῷ ἀνθρωπίνῳ[d] τοῦ Κυρίου τὰ ὑπὲρ ἄνθρωπον ἐνθεωρεῖσθαι βούλεται· ὃ καὶ Παύλῳ τῷ θείῳ σκόπος ἐν τῇ πρὸς Κολοσσαεῖς[e] Ἐπιστολῇ· "ἐν αὐτῷ," περὶ τοῦ Χριστοῦ φάσκοντι, "ἐκτίσθη τὰ πάντα, "τάτε[f] ἐν οὐρανῷ καὶ τὰ ἐπὶ γῆς· πάντα δι' αὐτοῦ ἔκτισται, "καὶ αὐτός ἐστι πρὸ πάντων· καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν· "καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας· ὅς ἐστιν ἀπαρχὴ πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν

[b] Hinc. inc. Cod. Barocc. [c] προλέγειν Cod. Bar. [d] τὸ ἀνθρωπινὸν Bar. [e] Κολασσεῖς Coisl. [f] τάτε om. Coisl.

αὐτὸς πρωτεύων. ἡ προσληφθεῖσα γὰρ αὐτῷ[g] σὰρξ ἐψυχωμένη νοερῶς, ἵν' ἐκ δύο φύσεων ἀσυγχύτως νοοῖτο ὁ[h] Ἐμμανουὴλ, συνημμένων θεότητι καὶ ἀνθρωπότητι, τελείως ἐχούσης ἑκατέρας κατὰ τὸν οἰκεῖον λόγον, καὶ τὴν κατὰ ποιότητα φυσικὴν ἰδιότητα καὶ διαφοράν[i]· οὐ συγχυθέντων[k], οὐκ ἀλλοιωθέντων τῶν συνδεδραμηκότων, οὐδ' αὖ διαιρουμένων[l] τῇ ὁλοκληρίᾳ τῶν φύσεων μετὰ τὴν ἄφραστον ἕνωσιν. ἵνα καὶ Νεστόριος καταισχύνοιτο, καὶ Εὐτυχὴς συναπόλοιτο[m]· ἀλλ' ὅπως μὲν ᾖ τὸ περὶ τοῦ Σωτῆρος[n] ἐν τοῖς ἄλλοις θείοις ἀκριβὲς καὶ ἀπεξεσμένον δόγμα, ἐνδιατρίψας ὡς εἴρηται ἐνταῦθα τοῖς ἀνθρωπίνοις κατεχρήσατο ῥήμασιν· πλὴν οὔτε τὰ θεῖα τῶν ἀνθρωπίνων ἀπήλλακται, οὐκ ἔμπαλιν τὰ ἀνθρώπινα τῶν θείων, κατὰ τὸ μᾶλλον δὲ καὶ ἧττον ἡ χρῆσις πρόεισιν.

g αὐτῷ om. Bar. h ὁ om. Bar. i ἀναφορὰν Bar. k συγχυσθέντων Coisl. l διῃρημένων Bar. m συναπόλλοιτο Codd. n τὸ π. τ. σωτ. ἀκριβὲς καὶ ἀπεξεσ. δόγμ. ἐν τ. ἀλλ. θ. Bar.

Ἐκ τῶν Ἀνδρέα τοῦ Μακαριωτάτου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας εἰς τὴν ἀποκάλυψιν πεπονημένων θεαρέστως, σύνοψις σχολική, παρατεθεῖσα ὑπὸ Ἀρέθα ἀναξίου ἐπισκόπου Καισαρείας Καππαδοκίας.

ἼΣΤΕΟΝ[a] ὅτι τὴν πᾶσαν πραγματείαν τοῦ παρόντος βιβλίου εἰς εἰκοσιτέσσαρας λόγους ὁ μακάριος οὗτος καὶ θεοσυνέργητος ἀνὴρ, καὶ εἰς ἑβδομηκονταδύο κεφάλαια οὐκ ἀσυνέτως διεῖλε. τρισσούμενος γὰρ ὁ εἰκοστὸς τέταρτος ἀριθμὸς, γεννᾷ τὸν ἑβδομηκονταδύο. ὁ δὲ εἰκοσιτέσσαρα[b], διὰ τοὺς εἰκοσιτέσσαρας πρεσβυτέρους, οὓς ἐνταῦθα ἡ Ἀποκάλυψις ἐχρημάτισεν, ἐλήφθη. οἳ σύμβολον τῶν ἀπ' αἰῶνος καὶ μέχρι συντελείας εὐηρεστηκότων εἰσὶ Θεῷ. ἐτριπλασιάσθη δὲ οὗτος ὁ ἀριθμὸς ἐπὶ τῶν κεφαλαίων οὐκ ἀσκόπως, ἀλλὰ διὰ τοὺς εὐαρεστοῦντας Θεῷ τριμερῆ τὴν ὑπόστασιν ἐσχηκότας, ψυχῆς, σώματος, καὶ πνεύματος, εἰς οἰκείωσιν τῆς παντοκρατορικῆς κατασπεύσαι[c] Τριάδος. περὶ δὲ τοῦ θεοπνεύστου τῆς βίβλου, ὁ ἐν ἁγίοις Βασίλειος, καὶ[d] Γρηγόριος ὁ θεῖος τὸν λόγον, καὶ Κύριλλος, καὶ Παπίας, καὶ Εἰρηναῖος, καὶ Μεθόδιος[e] καὶ Ἱππόλυτος, οἱ ἐκκλησιαστικοὶ πατέρες, ἐχέγγυοι πιστώσασθαι.

[a] ἰστέον om. B. [b] εἰκοστὸς τέταρτος Edd. [c] κατασπεῦσαι B.
[d] ὁ ἐν ἁγ. Βασ. καὶ om. B. [e] Sic B. om. Edd.

[a]ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ΑΠΟΚΑΛΥΨΕΩΣ.

α. Προοίμιον τῆς Ἀποκαλύψεως, καὶ ὅτι δι' Ἀγγέλου αὐτῷ δέδοται.

β. Ὀπτασία ἐν ᾗ τὸν Ἰησοῦν ἐθεάσατο ἐν μέσῳ λυχνιῶν ἑπτά[b].

γ. Τὰ γεγραμμένα πρὸς τὸν τῆς Ἐφεσίων ἐκκλησίας Ἄγγελον.

δ. Τὰ δηλωθέντα τῷ[c] ἐν τῇ Σμυρναίων ἐκκλησίᾳ Ἀγγέλῳ.

ε. Τὰ σημανθέντα τῷ[c] τῆς Περγαμηνῶν ἐκκλησίας Ἀγγέλῳ.

ϛ. Τὰ γεγραμμένα τῷ τῆς Θυατείρων[d] ἐκκλησίας Ἀγγέλῳ.

ζ. Τὰ ἀπεσταλμένα τῷ Ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας[e].

η. Τὰ γραφέντα πρὸς τὸν τῆς Φιλαδελφέων ἐκκλησίας Ἄγγελον.

θ. Τὰ δηλωθέντα πρὸς τὸν τῆς Λαοδικέων ἐκκλησίας Ἄγγελον.

ι. Περὶ τῆς ὁραθείσης αὐτῷ θύρας ἐν τῷ οὐρανῷ, καὶ τοῦ θρόνου, καὶ τῶν κδ. πρεσβυτέρων, καὶ τῶν ἑξῆς δειχθέντων.

ια. Περὶ τῆς βίβλου τῆς ἐσφραγισμένης σφραγίσιν ἑπτὰ, τῆς ἐν τῇ χειρὶ τοῦ Θεοῦ, ἣν οὐδεὶς ἀνοῖξαι δύναται τῆς κτιστῆς φύσεως.

ιβ. Περὶ τοῦ ἀρνίου τοῦ τὰ ἑπτὰ κέρατα ἔχοντος, ὅπως τὴν βίβλον ἀνέῳξεν.

ιγ. Λύσις τῆς πρώτης σφραγῖδος[f], τὴν ἀποστολικὴν διδαχὴν σημαίνουσα.

ιδ. Λύσις τῆς δευτέρας σφραγῖδος, δηλοῦσα τὸν[g] τῶν ἀπίστων κατὰ τῶν πιστῶν πόλεμον.

ιε. Λύσις τῆς τρίτης σφραγῖδος, δηλοῦσα τῶν μὴ παγίως πεπιστευκότων Χριστῷ τὴν ἔκπτωσιν.

ις. Λύσις τῆς τετάρτης σφραγῖδος, ἐμφαίνουσα τὰς ἐπαγομένας παιδευτικὰς μάστιγας τοῖς δι' ἀνυπομονησίας ἀρνησαμένοις τὸν Κύριον.

ιζ. Λύσις τῆς πέμπτης σφραγῖδος, τὴν τῶν ἁγίων ψυχῶν σημαίνουσα πρὸς Κύριον καταβόησιν ὥστε γενέσθαι συντέλειαν.

[a] Cod. Bar. Τὰ κεφάλαια τῆς ὀπτανθείσης ἐν Πάτμῳ τῷ εὐαγγελιστῇ Ἰωάννῃ Ἀποκαλύψεως. [b] ἑπτὰ λυχ. Bar. [c] τῷ om. Bar. [d] Θυατήρων Bar. [e] τ. ἐκκλησίας ἐν Σαρδ. Bar. [f] σφραγῖδος Bar. et sic deinceps. [g] τὸν om. Bar.

ιη. Λύσις τῆς ἕκτης σφραγῖδος, τὰς ἐν τῇ συντελείᾳ ἐπαγομένας πληγὰς σημαίνουσα.

ιθ. Περὶ τῶν σωζομένων ἐκ πληγῆς τῶν τεσσάρων Ἀγγέλων χιλιάδων ρμδ.

κ. Περὶ τοῦ ἀναριθμήτου ὄχλου τῶν ἐξ ἐθνῶν Χριστῷ συμβασιλευσάντων.

κα. Λύσις τῆς ἑβδόμης σφραγῖδος, δηλοῦσα ἀγγελικὰς δυνάμεις προσάγειν Θεῷ τὰς τῶν ἁγίων προσευχὰς ὡς θυμιάματα.

κβ. Περὶ τῶν ἑπτὰ Ἀγγέλων, ὧν τοῦ πρώτου σαλπίσαντος, χάλαζα καὶ πῦρ καὶ αἷμα ἐπὶ τῆς γῆς φέρεται.

κγ. Περὶ τοῦ δευτέρου Ἀγγέλου, οὗ σαλπίσαντος, τῶν ἐν θαλάσσῃ ἐμψύχων ἀπώλεια γίνεται.

κδ. Ὁ τρίτος Ἄγγελος, τὰ τῶν ποταμῶν πικραίνει ὕδατα.

κε. Ὁ τέταρτος Ἄγγελος τὸ τρίτον τοῦ ἡλιακοῦ καὶ σεληνιακοῦ φωτὸς σκοτίζει.

κϛ. Περὶ τοῦ πέμπτου Ἀγγέλου, καὶ τῶν ἐκ γῆς[h] ἀβύσσου ἀνερχομένων νοητῶν ἀκρίδων, καὶ τοῦ ποικίλου τῆς μορφῆς αὐτῶν.

κζ. Περὶ τοῦ ἕκτου Ἀγγέλου, καὶ τῶν ἐπὶ τῷ Εὐφράτῃ λυομένων[i] Ἀγγέλων ἐπίλυσις.

κη. Περὶ Ἀγγέλου περιβεβλημένου νεφέλην καὶ ἶριν, καὶ τὸ κοινὸν τέλος προμηνύοντος.

κθ. Ὅπως τὸ βιβλιδάριον ἐκ χειρὸς τοῦ Ἀγγέλου ὁ Εὐαγγελιστὴς εἴληφεν.

λ. Περὶ Ἐνὼχ καὶ Ἠλία διελέγχειν μελλόντων τὸν Ἀντίχριστον.

λα. Ὅπως ἀναιρεθέντες ὑπὸ τοῦ Ἀντιχρίστου ἀναστήσονται, καὶ τοὺς ἠπατημένους ἐκπλήξουσιν[k].

λβ. Περὶ τῆς ἑβδόμης[l] σάλπιγγος, καὶ τῶν ὑμνούντων τῷ Θεῷ[m] ἁγίων ἐπὶ τῇ μελλούσῃ κρίσει.

λγ. Περὶ τῶν διωγμῶν τῆς ἐκκλησίας τῶν προτέρων, καὶ τῶν ἐπὶ τοῦ Ἀντιχρίστου.

λδ. Περὶ τοῦ γενομένου πολέμου μεταξὺ τῶν ἁγίων Ἀγγέλων, καὶ τῶν πονηρῶν δυνάμεων, καὶ τῆς καταπτώσεως τοῦ δράκοντος.

λε. Ὅπως ὁ δράκων διώκων τὴν ἐκκλησίαν οὐ παύεται.

λϛ. Περὶ τοῦ θηρίου τοῦ ἔχοντος κέρατα δέκα[n] καὶ κεφαλὰς ἑπτά. ὧν μίαν ὡς ἐσφαγμένην ἔφη.

λζ. Περὶ ἑτέρου θηρίου[o] δύο κέρατα ἔχοντος, καὶ τῷ πρώτῳ τοὺς ἀνθρώπους[p] προσάγοντος.

[h] τῆς Bar. [i] λουομένων Bar. δεδεμένων in sacr. text. [k] ἐκπλήξειειν Bar. [l] ἑβδόμης om. Bar. [m] τὸν Θεὸν Bar. [n] δέκα om. Bar. [o] θηρ. ἑτέρ. Bar. [p] τοῦ ἀνθρώπου Bar.

λη. Περὶ τοῦ ὀνόματος τοῦ θηρίου.

λθ. Περὶ τῶν ρμδ. χιλιάδων τῶν σὺν τῷ[q] ἀρνίῳ ἑστώτων ἐν ὄρει Σιών.

μ. Περὶ Ἀγγέλου προαγορεύοντος τὴν ἐγγύτητα τῆς κρίσεως τῆς μελλούσης.

μα. Περὶ δευτέρου Ἀγγέλου, τὴν πτῶσιν Βαβυλῶνος κηρύσσοντος.

μβ. Περὶ τρίτου Ἀγγέλου ἀσφαλιζομένου τὸν τοῦ Κυρίου λαὸν, μὴ δέξασθαι τὸν Ἀντίχριστον.

μγ. Ὅτι ὁ ἐν τῇ νεφέλῃ καθήμενος, τῷ δρεπάνῳ συντελεῖ τὰ ἐκ τῆς γῆς βλαστάνοντα.

μδ. Περὶ ἑτέρου Ἀγγέλου τρυγῶντος τὴν τῆς πικρίας ἄμπελον.

με. Περὶ τῶν ἑπτὰ Ἀγγέλων τῶν ἐπαγόντων τοῖς ἀνθρώποις τὰς πληγὰς πρὸ τῆς συντελείας· καὶ περὶ τῆς ὑαλίνης θαλάσσης, ἐν ᾗ τοὺς ἁγίους ἐθεάσατο.

μϛ. Ὅπως τῆς πρώτης φιάλης ἐκχυθείσης, ἕλκος κατὰ τῶν ἀποστατῶν γίνεται.

μζ. Πληγὴ δευτέρα κατὰ τῶν ἐν θαλάσσῃ ἐπιτιμωμένων.

μη. Ὅπως διὰ τῆς τρίτης, οἱ ποταμοὶ εἰς αἷμα μετακιρνῶνται.

μθ. Ὅπως διὰ τῆς τετάρτης, καυματίζονται οἱ ἄνθρωποι.

ν. Ὅπως διὰ τῆς πέμπτης, ἡ βασιλεία τοῦ θηρίου σκοτίζεται.

να. Ὅπως διὰ τῆς ἕκτης, ἡ ὁδὸς διὰ τοῦ Εὐφράτου τοῖς ἀπὸ ἀνατολῶν ἡλίου βασιλεῦσιν ἀνοίγεται.

νβ. Ὅπως διὰ τῆς ἑβδόμης, χάλαζα καὶ σεισμὸς κατὰ τῶν ἀνθρώπων γίνεται.

νγ. Περὶ τοῦ ἑνὸς τῶν ἑπτὰ Ἀγγέλων δεικνύντος τῷ Εὐαγγελιστῇ τὴν τῆς πόρνης πόλεως καθαίρεσιν. καὶ περὶ τῶν ἑπτὰ κεφαλῶν, καὶ τῶν δέκα κεράτων.

νδ. Ὅπως ὁ Ἄγγελος τὸ ὁραθὲν αὐτῷ μυστήριον ἡρμήνευσεν.

νε. Περὶ ἑτέρου Ἀγγέλου[r] τὴν πτῶσιν Βαβυλῶνος δηλοῦντος, καὶ οὐρανίου φωνῆς τὴν ἐκ τῆς πόλεως φυγὴν ἐντελλομένης, καὶ τῆς ἀποβολῆς τῶν τερπνῶν ὧν τὸ πρὶν ἐκέκτητο[s].

νϛ. Περὶ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τοῦ τριπλοῦ ἀλληλουΐα ὅπερ ἔψαλλον ἐπὶ τῇ καθαιρέσει Βαβυλῶνος.

νζ. Περὶ τοῦ μυστικοῦ γάμου, καὶ τοῦ δείπνου τοῦ ἀρνίου.

νη. Πῶς τὸν Χριστὸν ὁ Εὐαγγελιστὴς ἔφιππον μετὰ δυνάμεων ἀγγελικῶν ἐθεάσατο σὺν φόβῳ.

νθ. Περὶ τοῦ Ἀντιχρίστου, καὶ τῶν σὺν αὐτῷ βαλλομένων εἰς γέενναν.

ξ. Ὅπως ὁ Σατανᾶς ἐδέθη ἀπὸ τῆς Χριστοῦ παρουσίας μέχρι τῆς συντελείας, καὶ περὶ τῶν χιλίων ἐτῶν.

[q] τῷ om. Edd. [r] ἀγγέλου om. Bar. [s] ἐνέκτητο Edd.

ξα. Περὶ τῶν ἡτοιμασμένων θρόνων τοῖς φυλάξασι τὴν Χριστοῦ ὁμολογίαν σῶαν[t].

ξβ. Τί ἐστιν ἡ πρώτη ἀνάστασις, καὶ τίς ὁ δεύτερος θάνατος.

ξγ. Περὶ τοῦ Γὼγ καὶ Μαγώγ.

ξδ. Περὶ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ τῆς κοινῆς ἀναστάσεως καὶ κρίσεως.

ξε. Περὶ καινῶν οὐρανοῦ τε καὶ γῆς, καὶ τῆς ἄνω Ἱερουσαλήμ.

ξς. Περὶ ὧν εἶπεν ὁ ἐν τῷ θρόνῳ καθήμενος καὶ ὁραθείς.

ξζ. Περὶ τοῦ Ἀγγέλου δεικνύντος αὐτῷ τὴν τῶν ἁγίων πόλιν, καὶ τὸ ταύτης τεῖχος σὺν τοῖς πυλῶσι διαμετροῦντος.

ξη. Περὶ τοῦ καθαροῦ ποταμοῦ τοῦ ὀπτανθέντος ἐκ τοῦ θρόνου πορεύεσθαι.

ξθ. [u]Ὅτι Θεὸς τῶν προφητῶν ὁ Χριστὸς, καὶ δεσπότης τῶν ἁπάντων.

ο. [u]Περὶ τοῦ ἀξιοπίστου τῶν τεθεαμένων τῷ Ἀποστόλῳ.

οα. Ὅπως ἐκελεύθη μὴ σφραγίσαι, ἀλλὰ κηρύξαι τὴν Ἀποκάλυψιν.

οβ Ὅπως ἡ ἐκκλησία καὶ τὸ ἐν αὐτῇ πνεῦμα προσκαλοῦνται τὴν τοῦ[x] Χριστοῦ ἔνδοξον ἐπιφάνειαν. καὶ περὶ τῆς ἀρᾶς ἣ ὑποβάλλονται οἱ τὴν βίβλον παραχαράττοντες ὡς ἄκυρον.

[t] σῶαν om. Edd. [u] Hos titulos transposui cum Cod. Bar.
[x] τοῦ om. Bar.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ΑΠΟΚΑΛΥΨΙΣ.

ΚΕΦ. Α.

Προοίμιον τῆς Ἀποκαλύψεως, καὶ ὅτι δι' ἀγγέλου αὐτῷ δέδοται.

1 ἈΠΟΚΑΛΥΨΙΣ Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ
ὁ Θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ, ἃ δεῖ γενέσθαι ἐν
τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ Ἀγγέλου αὐτοῦ,
2 τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ
Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ. ὅσα τε εἶδεν,
καὶ ὅσα ἤκουσε, καὶ ἅ τινα δεῖ γενέσθαι μετὰ ταῦτα.

Τινὲς τῶν ἀρχαιοτέρων νοθεύουσι ταύτην τῆς Ἰωάννου τοῦ ἠγαπημένου γλώττης, ἑτέρῳ ταύτην ἀνατιθέντες. οὐκ ἔστι δὲ οὕτως. ὁ γὰρ συνεπώνυμος τούτῳ Γρηγόριος ἐνέκρινε ταύτην ταῖς ἀνοθεύτοις, "ὡς ἡ Ἰωάννου," φήσας, "διδάσκει με Ἀποκάλυψις." Ἀρχόμενος δὴ γράφειν τοῦ Εὐαγγελίου, τὸν Χριστὸν θεολογῶν πρόεισιν. "ἐν ἀρχῇ," φησὶν, "ἦν ὁ Λόγος." καὶ τῆς Ἐπιστολῆς δὲ αὐτό τε προοίμιον τῆς αὐτῆς ἔχεται θεολογίας, ὃ ἦν ἀπαρχῆς προβαλλόμενος.

Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ ἣν ἔδωκεν αὐτῷ ὁ Θεός.

Ὡσεὶ ἔλεγεν. ἡ παροῦσά μου Ἀποκάλυψις, δέδοται μὲν παρὰ τοῦ Πατρὸς τῷ Υἱῷ, δέδοται δὲ παρὰ τοῦ Υἱοῦ ἡμῖν τοῖς δούλοις αὐτοῦ. ἀπὸ τῶν ταπεινοτέρων γὰρ τῆς οἰκονομίας ἀρξάμενος, ἐπὶ τὰ θεοπρεπέστερα προέβη. ὡς γὰρ καὶ Πέτρος ὁ

θεῖος Ἀπόστολος ἐν τῇ ἑαυτοῦ ὁμολογίᾳ τὸ, "Χριστὸς," εἰπὼν ὄνομα, τὸ τελεώτατον ἐπήνεγκε τὸ, "ὁ Υἱὸς τοῦ Θεοῦ," ὡς τοῦ Χριστοῦ οὐκ ἀξιολόγως τὴν οἰκονομίαν παριστᾷν ἔχοντος· οὕτως οὖν καὶ νῦν τῷ, "Χριστὸς," ὀνόματι οὗτος συνάψας τὸ, "τοῖς δού-"λοις αὐτοῦ," τὴν ἐν τῷ Χριστῷ θεότητα ὑπεσήμανε. τίνος γὰρ ἦσαν[a] οἱ ἅγιοι δοῦλοι, εἰ μὴ τοῦ Θεοῦ; πρὸς ὃν καὶ εἴρηται, "ὅτι τὰ σύμπαντα δοῦλα σά." ἐπενεγκὼν δὲ τὸ τὴν[b] μυσταγωγίαν οὐ τὸν Χριστὸν αὐτόχρημα αὐτῷ καταπρᾶξαι, εἰ μὴ διὰ τοῦ ἀγγέλου αὐτοῦ, τὸ φιλάληθες τοῦ τὴν Ἀποκάλυψιν εἰληφότος ὑπέδειξεν.

Ἀποκάλυψις δέ ἐστιν ἡ τῶν κρυπτῶν μυστηρίων δήλωσις, καταυγαζομένου τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς, εἴτε διὰ θείων ὀνειράτων, εἴτε καθ' ὕπαρ[c] ἐκ θείας ἐλλάμψεως. δοθῆναι δὲ τὴν Ἀποκάλυψιν ταύτην φησὶν, ἀνθρωπινώτερον διαχειριζόμενος τὸν λόγον ὁ θεῖος οὗτος Ἀπόστολος, ἀλλ' οὐχ ὡς ἐν τῷ Εὐαγγελίῳ καὶ τῇ Ἐπιστολῇ αὐτοῦ, ἀπὸ τῶν θειοτέρων τοῦ Χριστοῦ μᾶλλον ποιούμενος τὸν λόγον καὶ ἐνδιατρίβων αὐτοῖς, οὕτω καὶ νῦν, ἀλλ' ἀπὸ τῶν ταπεινοτέρων, ὡς ἂν ὑποφήνῃ σαφῶς, ὡς ἄμφω, τὰ θειότερα λέγω καὶ τὰ ἀνθρώπινα, τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἐνθεωρεῖται Χριστῷ, μεταπρέποντα. διὰ γὰρ τοῦ διακονοῦντος Ἀγγέλου, καὶ τοῦ ὀνόματος τῶν μανθανόντων, ὅτι δοῦλοι, τὸ τῆς θεότητος Χριστοῦ ἐμφαίνει[d] μέγεθος, καθὸ καὶ εἴρηται, "ὅτι τὰ σύμπαντα "δοῦλα σά." τὴν ἔκβασιν δὲ τῶν χρηματιζομένων ἐν τάχει ὑπισχνεῖται προβῆναι, οὐχ ὡς ἔτυχεν, ἀλλὰ παραμετρῶν τὰ ἀνθρώπινα τοῖς θείοις, οἷς καὶ τὰ πολυχρονίως καὶ χιλιοστῶς ἐκτελούμενα, "ὡς ἡ χθὲς[e] ἡμέρα, καὶ ἡ ἐν νυκτὶ φυλακὴ" κρίνεται. ἢ καὶ φιλοτιμότερον προσβαλεῖν τῷ, "ἐν τάχει[f]," τοῦ ἀνυπερθέτως παριστῶντος ἐστὶ[g] τὴν ἔκβασιν λήψεσθαι τὰ δηλούμενα, μηδὲν τῆς παρατάσεως οἵας τε οὔσης τὸ συντελεσθῆναι λυμήνασθαι, ὡς οὐδὲ τὸ σήμερον τοῦ ἐχθὲς παρατεινομένου[h], ἐὰν μὴ[i] εἰς ὅπερ ἀφῖχθαι ἀποκείμενον εὐκαίρως παρῇ, μηδεμιᾶς ὑπολιπομένης τῷ πράγματι βραδυτῆτος πρὸς[j] καταδοχὴν, ἀποδιαπομπήσασθαι εὐπρεπές.

[a] καὶ εἴησαν B. [b] ὅτι τὴν μυστ. B. [c] Sic B. et Andr. Comment. p. 3, 4. καθύπερ Edd. [d] ἐμφαίνων B. [e] ἐχθὲς B. [f] τὸ ἐν τάχει καὶ τὸ B. [g] ἐστὶ om. B. [h] τῷ ἐχθὲς παρατεινομένῳ B. [i] ἐὰν μὴ om. B. [j] τὸ πρὸς κατ. B.

Δι' Ἀγγέλου δὲ ὁ χρηματισμὸς τῷ δούλῳ αὐτοῦ, ὃς δοῦλος ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν μαρτυρίαν αὐτοῦ, φησί. τούτῳ τῷ σχήματι, τὴν διδασκαλικὴν ἑαυτοῦ[k] *ἀλήθειαν συνιστῶν, καὶ ἐν εὐαγγελίοις ἐχρήσατο εἰπὼν, "οὗτος ἐστὶν ὁ μαθητὴς ὁ "μαρτυρῶν περὶ τούτων*[l] *καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι "ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ." ὡς οὖν ἐν ἐκείνῳ, οὕτω καὶ νῦν φησιν, ὅτι μάρτυς ἐστὶ τοῦ ὀφθέντος αὐτῷ διὰ τῆς Ἀποκαλύψεως τῆς δοθείσης αὐτῷ παρὰ τοῦ Χριστοῦ μαρτυρίας· μαρτυρίας λέγων, οἱονεὶ διαμαρτυρίας τοῦ διαμαρτύρασθαι δηλονότι πρὸς οὓς ὁ λόγος αὐτῷ, εἰς ἐξαθώωσιν ἑαυτοῦ, μάρτυρα εἶναι ἑαυτὸν τοῦ ὀφθέντος αὐτῷ θείου λόγου διὰ τῆς Ἀποκαλύψεως. τίνα δὲ διαμαρτύρασθαι καὶ κηρύξαι εἰς ἐξαθώωσιν ἑαυτοῦ; τάτε ὄντα, τάτε ἐσόμενα, ἃ καὶ παραστατικὰ, ἅτε προφήτου, τοῦτε ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος.*

Ὅσα τε εἶδεν, καὶ ὅσα ἤκουσε.

Ἐν ἑτέρῳ ἀντιγράφῳ πρόσκειται, καὶ ταῦτα, "Καὶ ὅσα "ἤκουσε, καὶ ἅ τινα εἰσὶ, καὶ ἅτινα δεῖ γενέσθαι μετὰ ταῦτα." Ὁ Χριστός μοι, φησὶν, ἐφανέρωσεν ὡς δεσπότης τῷ δούλῳ αὐτοῦ, ἐφ' ᾧ διὰ τῶν ὁραθέντων διαμαρτύρασθαι καὶ κηρύξαι πρὸς ἐπιστροφὴν τῶν ἀκουόντων, τάτε ὄντα καὶ τοὺς ἀνθρώπους λανθάνοντα, τάτε μέλλοντα ἔσεσθαι. προφητικῶς γὰρ ἑώρακεν ἀμφότερα. καὶ δῆλον ἐκ τοῦ εἰρῆσθαι, "ἅτινά εἰσι, καὶ ἃ χρὴ γενέσθαι." ταῦτα γὰρ παραστατικὰ τοῦ ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος, περὶ ἃ καὶ τῶν προφητῶν τὸ εὐδόκιμον.

3 Μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα.

Μακαρίζει προμηθῶς ἄγαν οὐ τοὺς ἀναγινώσκοντας μόνους, (πολλοὶ[m] *γὰρ ἂν ἦσαν μακάριοι οὕτως οἱ ἀναγινώσκοντες,) ἀλλὰ καὶ τοὺς ἀκούοντας ἐμπράκτῳ δηλαδὴ ἀκοῇ. οἷς καὶ ὁ Κύριος τὴν*[n] *τῷ ὄντι ἐμαρτύρησεν ἀκοὴν προσεῖναι*[o]*, ἐν οἷς φησὶν, "ὁ ἔχων "ὦτα ἀκούειν, ἀκουέτω." καὶ τίς οὗτος; ὁ τὴν ἀκουστὴν ἕξιν*

[k] Sic B. αὐτοῦ Edd. [l] τούτου Edd. [m] πολὺ B. [n] τὴν B.
[o] Sic B. πρὸς τῶν Edd.

εὐτρεπὴς[m] εἰς τὸ διατηρεῖν καὶ φυλάσσειν ὡς θείους νόμους τὰ εἰρημένα. ὃς καὶ πνευματικῶς ζῆν κατηρτισμένος, οὐκ ὡς ὁ ψυχικὸς ἄνθρωπος, εἴτουν[n] ὁ κατ' αἴσθησιν ζῆν προαιρούμενος, ὥσπερ τὰ λόγου ἔρημα ζῶα, ἀλλὰ ἀτιμάσας μὲν πᾶν τὸ περὶ τὸ σύντροφον τοῦτο ζῆν καὶ χεῖρον ἡδὺ[o], μεταταξάμενος δὲ πρὸς τὸ θεῖον τὸ ἐν ἡμῖν, ὅλος γέγονε[p] τῆς κατ' ἀρχὰς[q] τοῦ πλάστου, ἐπὶ τοῦ[r] κατ' εἰκόνα ἑαυτοῦ πλάσματος, χρηστότητος καὶ κηδεμονίας.

Ὁ γὰρ καιρὸς ἐγγύς.

Ἐγγὺς ὁ καιρὸς τῆς μακαριότητος. τῷ διαπύρῳ γὰρ τοῦτο[t] τῆς ἀγάπης τῶν φυλασσόντων τὰς ἐντολὰς τοῦ Θεοῦ. διὸ καὶ τὸ ἀνένδοτον τῆς περὶ ταῦτα περιγίνεται αὐτοῖς ἐργασίας, οὐδ'[u] εἰς παράτασιν χρόνου ἢ ἀποκατάστασιν νομισθείη. καὶ μάρτυς ἡ τοῦ πατριάρχου Ἰακὼβ ἐπὶ τῇ ἀναλήψει τῶν γυναικῶν ἑπταέτης καρτερία, ὡς μία ἡμέρα λογιζομένη. ἢ ἐγγὺς ὁ τῶν ἐπάθλων καιρὸς τῷ παραμετρεῖσθαι τὴν τοῦ παρόντος βίου σμικρότητα, πρὸς τὴν τοῦ μέλλοντος ἀπειρίαν αἰῶνος.

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ.
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ, ὁ ὢν, καὶ ὃ ἦν, καὶ ὁ
ἐρχόμενος. καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον
5 τοῦ θρόνου αὐτοῦ, καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ. ὁ μάρτυς
ὁ πιστὸς, ὁ πρωτότοκος τῶν νεκρῶν. καὶ ὁ ἄρχων τῶν
βασιλέων τῆς γῆς.

Διὰ τῶν ἑπτὰ ἐκκλησιῶν, τοῦ[x] ἑβδοματικοῦ ἀριθμοῦ τὸ μυστικὸν[y] τῶν ἁπανταχῇ ἐκκλησιῶν ἐσήμανε πλῆθος τῶν τῷ παρόντι βίῳ συστοίχων, καθ'[z] ὧν ἡ ἑβδοματικὴ τῶν ἡμερῶν περίοδος κατάρξασα, τὴν ἐνοικοῦσαν[a] τῇ φθαρτῇ ταύτῃ[b] κτίσει δύναμιν ἑαυτῆς ὑπέφηνεν ὡς διὰ πάσης διήκουσαν[c]. ἣ καὶ Φίλωνι τῷ θεωρητικωτάτῳ Ἰουδαίῳ ἀνδρὶ, ἐν λόγῳ αὐτοῦ τῷ εἰς τὴν κατὰ Μωϋσέα φιλοσοφίαν, ὑποσυνᾴδειν[d] οὐ περιττὸν ἡγεῖται[e] ταύταις

[m] εὐτρεπὴς B. εὐπρεπὴς Edd. [n] ἤγουν B. [o] χειρονηδὺ Edd. [p] γεγονὼς B. [q] καταρχὰς B. [r] περὶ τὸ B. [s] πλάσμα B. [t] τοῦ τοῦτο om. B. [u] οὐκ B. [x] καὶ τοῦ Edd. [y] τὸ μυστικὸν om. Edd. [z] καθὸν B. [a] ἐνυποῦσαν potius B. [b] ταύτῃ om. Edd. [c] διήκουσα B. [d] ὑποστῆσαι B. [e] ἥγηται B.

δὲ ταῖς[f] ἐκκλησίαις καὶ ἰσαρίθμους ἐφόρους Ἀγγέλους ὁ μακάριος νῦν Ἰωάννης ἐνέφηνε[g].

Τὸ δὲ, "ἀπὸ τοῦ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος," ἰσοδυναμεῖ τῷ, ἀπὸ τοῦ πάντων Θεοῦ ἡμῶν Λόγου[h], ὄντα μὲν γὰρ αὐτὸς ἑαυτὸν ὀνομάζει ὁ πατὴρ[i] χρηματίζων τῷ Μωϋσῇ[k] ἐπὶ τοῦ ὄρους "ἐγώ εἰμι ὁ ὢν[l]." τὸ δὲ ἦν, ὁ παρὼν θεόσοφος Εὐαγγελιστὴς προήνεγκεν ἔντε τῷ Εὐαγγελίῳ αὐτοῦ[m], "ἐν ἀρχῇ ἦν ὁ Λόγος," εἰπὼν, καὶ ἐν τῇ πρώτῃ τῶν καθολικῶν αὐτοῦ Ἐπιστολῶν, "ὃ ἦν "ἀπ' ἀρχῆς," γράψας, περὶ τοῦ Λόγου τῆς ζωῆς. ἐρχόμενον δὲ τὸ θεῖον Πνεῦμα καλεῖ, ὡς οὐ μόνον κατὰ τὸν ἡμέραν τῆς Πεντηκοστῆς ἀπεσταλμένον παρὰ τοῦ Πατρὸς, ἀλλ' ἀεὶ[n] παραγινόμενον τοῖς ἀξίοις αὐτὸ δέξασθαι, καὶ διὰ τοῦ ἁγίου βαπτίσματος.

Εἰρήνη ἀπὸ τοῦ ὁ ὤν.

Ἄλλως. Ἴσως δὲ οὐκ ἀδόκιμον καὶ οὕτω ταῦτα νοεῖσθαι ἐπὶ τοῦ Πατρὸς τὸ, "ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος," ὡς αὐτοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τὴν ἀρχὴν, καὶ τὰ μέσα, καὶ τὰ τελευταῖα.

Καὶ ἀπὸ τῶν ἑπτὰ πνευματῶν.

Τινὲς τὰ ἑπτὰ πνεύματα, τὰς ἐνεργείας τοῦ ἁγίου ὑπέλαβον πνεύματος. δοκιμώτερον[o] δὲ Ἀγγέλους ταῦτα νοεῖν. οὐ διὰ τὸ συνπαρειλῆφθαι δὲ τῇ[p] παντοκρατορικῇ Τριάδι, ἤδη καὶ ὁμότιμα ταῦτα καταλογίζεσθαι αὐτῇ χρῆ[q], ἀλλὰ δοῦλα καὶ λειτουργικὰ, εἴγε πειστέον[r] τοῖς προφήταις τοῖς διαμαρτυρομένοις, ὅτι τὰ σύμπαντα δοῦλα αὐτοῦ, καὶ δὴ καὶ τῷ θεοπάτορι Δαβὶδ, "εὐλογεῖτε," φάσκοντι[s], "πάντες Ἄγγελοι Θεοῦ, δυνατοὶ "ἰσχΰϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ." καὶ τὸ μὲν λέγειν ὅτι τὸ συμπαραλαμβάνειν τὸ θεῖον[t] καὶ τὴν ἀγγελιῶτιν φύσιν, παριστῶντός ἐστι τὸ ὁμότιμον εἶναι τῆς παντοκράτορος καὶ πάσης τοῦ εἶναι κτίσεως παραιτίας, καὶ τὴν λειτουργικὴν ὑπόστασιν, οὐκ ἔστιν εἰδότος, οὐδὲ ἐγγὺς[u], ἀλλ' ἀγνοοῦντος, οἶμαι, ὡς τῷ

[f] αἷς ἐκκλησίαις B. [g] ἐνέφηνεν B. [h] Λόγου B. om. Edd. [i] ὁ πατὴρ ὀνομ. B. [k] μωϋσεῖ B. [l] Sic B. om. Edd. [m] ἑαυτοῦ B. [n] ἀλλὰ καὶ ἀεὶ B. [o] δοκιμότερον Edd. [p] παρειλῆφθαι τῇ B. [q] αὐτῇ προσλογίζεσθαι χρή. B. [r] πιστέον τοῖς λέγουσι προφήταις τὰ σύμπαντα λέγουσι δοῦλα Θεοῦ B. [s] φάσκοντι om. B. [t] ἀλλὰ τὸ συμπαραλαμβάνειν τῷ θείῳ B. [u] οὐκ ἔστιν εἰδότος οὐδὲ ἐγγὺς om. B.

δεσπόζοντι φιλεῖ συνεῖναι καὶ τὸ ὑπηρετοῦν. ᾧ δὴ καὶ Παῦλος χρώμενος διανοήματι, ἐν τῇ πρώτῃ[x] πρὸς Τιμόθεον Ἐπιστολῇ οὕτω πως[y] φησί. "μαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκ- "τῶν Ἀγγέλων." τοῦτο οὖν καὶ τῷ αὐτῷ ἔθει[z] ἐπακολουθοῦντος ἐστίν. ἀλλὰ καὶ τὸ ἐνταῦθα προσκεῖσθαι τὸ, "ἅ ἐστιν ἐνώπιον τοῦ "θρόνου τοῦ Θεοῦ[a]," τὴν οἰκετικὴν καὶ λειτουργικὴν[b] τάξιν, οὐ τὴν ἰσότιμον αὐτοῖς προσμαρτυροῦντός ἐστιν.

Ὁ *μάρτυς ὁ πιστός.*

Δεῖ προσυπακούειν τὸ, ὅς ἐστιν, ἵν' ᾖ, καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν μάρτυς ὁ πιστός[c]. ἐπισκοπητέον καὶ ὅτι πρότερον, ὡς περὶ ἀσάρκου γράψας τοῦ Λόγου[d] ἐν οἷς ἔλεγεν, ὁ ἦν, νῦν περὶ σεσαρκωμένου αὐτοῦ διαλέγεται, φήσας, "καὶ ἀπὸ "Ἰησοῦ Χριστοῦ," οὐ διαιρῶν αὐτὸν εἰς δύο, διὰ τὸ[e] ἐπαγαγεῖν τὸ, "καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ," ἀλλὰ τοῦτό τε καὶ ἐκεῖνο περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ μαρτυρῶν, ὅτι Λόγος τέ[f] ἐστι τοῦ Πατρὸς, καὶ ὅτι ἐσαρκώθη. τοῦτο γὰρ βούλεται δηλοῦν τὸ "Χριστὸς," ὄνομα. ὃς Χριστὸς, κατὰ τὸν μακάριον Παῦλον, ἐμαρτύρησεν ἅτε μάρτυς ἐπὶ Ποντίου Πιλάτου, ὁπηνίκα ἔφασκεν πρὸς αὐτόν. "ἡ βασιλεία "ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου." νοεῖν γὰρ ἀπὸ τούτων διανίστησι τῶν λόγων, ὡς καὶ Θεός ἐστιν ὁ ὡς ἄνθρωπος ὁρώμενος, καὶ ταυτὸν[g] φθεγγόμενος. μάρτυς μὲν οὖν διὰ τοῦτο. πιστὸς δὲ, ἀντὶ τοῦ ἀληθὴς, Θεὸς καὶ ἄνθρωπος. διὸ καὶ ὡς ἄνθρωπος ἀπέθανεν, ἀνέστη δὲ ὡς Θεός. ἀνέστη γὰρ, οὐχ ὡς[h] οἱ θείᾳ[i] δυνάμει ὑφ' ἑτέρων ἀναστάντες, οἳ καὶ πάλιν ἀπέθανον. οἰκείᾳ δὲ δυνάμει ἀναστὰς, ἅτε Θεὸς, πρῶτος ἀπήρξατο τῆς ἐξ αὐτοῦ καὶ δι' αὐτὸν ἐλπιζομένης ἀτελευτήτου καὶ αἰωνίου παλινζωΐας. διὸ καὶ πρωτότοκος λέγεται τῶν νεκρῶν, ὡς μόνος αὐτὸς κατάρξας τῆς τοιαύτης ἡμῖν τῶν ἀγαθῶν χάριτος[k].

Ἄρχων δὲ τῶν βασιλέων τῆς γῆς ὁ Χριστὸς, ἐπεὶ καὶ Δανιὴλ πρὸς τὸν Βαβυλώνιον ἔφη, "βασιλεύειν τὸν ὕψιστον καὶ κυριεύειν "τῆς βασιλείας τῶν ἀνθρώπων." εἰ δὲ τοῦτο ἐπὶ τῆς θεαρχικῆς

[x] διανοήματι ἐν τῇ πρώτῃ om. Edd. [y] πως om. B. [z] Sic B. ἔθει om. Edd. [a] θρόνου αὐτοῦ B. [b] καὶ λειτουργικὴν om. Edd. [c] ὁ μάρτυς Edd. [d] Θεοῦ λόγου γράψας B. [e] διὰ τοῦ B. [f] Λόγος om. Edd. [g] ταῦτα B. [h] ὥσπερ B. [i] ἐπὶ θείᾳ δυν. Edd. [k] χρηστότητος B.

νοεῖται καὶ ἐνορᾶται κυριότητος, τίς ὁ ἀντιστατῶν λόγος ὁ πάντα[k] *τὰ θεοπρεπῶς λεγόμενα ἐπὶ τῆς ὑπερουσίου* Τριάδος *μὴ καθ' ἑκάστης*[l] *λέγων*[m] *τῶν τριῶν ὑποστάσεων ἐξιδιοῦσθαι*[n] *καὶ ἐναρμόττεσθαι, πλὴν ταῦτα*[o] *ἃ τὴν προαγωγὴν τούτων, ἤγουν*[p] *τὴν ὑποστατικὴν γνώρισιν, ἐμποιοῦνται, ἀλλ' ἀποτεταγμένως κατατολμῶν εἰς ἐξιδιάζουσαν ἑαυτῇ θείαν ἐνέργειαν ἑκάστην ὑπόστασιν τῶν τριῶν μεταχωροῦσαν παραληρεῖν; καὶ ταῦτα* Γρηγορίου *μὲν τοῦ θείου τὸν λόγον*[q] *τὴν χρῆσιν, τοῦ, "ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος "καὶ ὁ παντοκράτωρ*[r]*" εἰς τὸν υἱὸν ἐξειληφότος, ὡς ἐφαρμοζόντων τῶν θεοπρεπῶν ὀνομάτων καὶ κοινῇ καὶ ἰδίᾳ ταῖς τρισὶν ὑποστάσεσι; δῆλον δὲ, καὶ ἐξ ὧν τὸν τρισάγιον τῶν* Σεραφὶμ *ὕμνον κατὰ μὲν τὸ* Εὐαγγέλιον, *εἰς τὸν* Υἱὸν *μανθάνομεν λέγεσθαι· ὃν ὁ* Παῦλος[s] *δημηγορῶν ἐν ταῖς* Πράξεσιν *εἰς τὸ* Πνεῦμα *ἀπένειμεν· ἡμεῖς δὲ πατροπαραδότως ἐν τῇ φρικτῇ καὶ ἀναιμάκτῳ θυσίᾳ εἰς* Πατέρα. *ὥσπερ ὁ μακάριος*[t] Ἐπιφάνιος *ἐν τῷ λόγῳ τῷ εἰς τὸ* Πνεῦμα *τὸ* Ἅγιον[u] *διέξεισι.*

Καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς.

Οὐ τῶν γηΐνων μόνον[x], *ἀλλὰ καὶ τῶν ἐν οὐρανοῖς βασιλεύει. ἀλλὰ νῦν μὲν περὶ τῶν ἐπιγείων*[y] *λέγει, προϊὼν δὲ*[z] *δείκνυσιν αὐτὸν καὶ τῶν*[a] *ἐν οὐρανοῖς ἁγίων*[b] *ταγμάτων βασιλεύοντα.*

Τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν
6 *ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ, καὶ ἐποίησεν ἡμᾶς*
βασιλείαν, ἱερεῖς τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ. αὐτῷ ἡ
δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων,
ἀμήν.

Δισσογραφεῖται τοῦτο πρὸς διάφορον ἔννοιαν. λούεται μὲν γὰρ ὁ τὰς κηλῖδας καὶ τοὺς σπίλους ἀποκαθαιρόμενος. λύεται δὲ ὁ τῶν ἐγκλημάτων ἑαυτοῦ ἀπαλλαττόμενος. προσυπακουστέον δὲ πρὸς τὸ, "ἐποίησεν[c]*," τὸ, ὃς, ἀναφορικὸν ἄρθρον, ἵνα ᾖ, ὃς*[d]

[k] *πάντα* om. B. [l] *μὴ καὶ καθ' ἑκάστης* B. [m] *λέγων* om. B. [n] *ἐξιδιοῦσθαι ταῦτα* B. [o] *τούτων* B. [p] *ἢ τὸν——ἐμποιοῦντα* B. [q] Sic B. *τῶν λόγων* Edd. [r] *κ. ὁ παντοκρ.* om. Edd. [s] Παῦλος δὲ B. [t] *καὶ ὁ μακάριος* B. [u] *ἅγιον πνεῦμα* B. [x] *μόνων* B. [y] *ἐπὶ γῆς* B. [z] *προϊὼν δέ γε* B. [a] *τὸν* Edd. [b] *ἁγίων αὐτῶν ταγμ.* B. [c] *προσυπ. δὲ τῷ ἐπ.* B. [d] *ἵν' ᾖ ὃς καὶ ἐπ.* B.

ἐποίησε. μὴ γὰρ οὕτως ἐξακουομένου, διὰ τὸν σολοικισμὸν[e] ἡ φρᾶσις ἀχρειωθήσεται. μὴ ἔστω οὖν[f] πρὸς τὴν προκειμένην δοτικὴν πτῶσιν ἐπιφερομένη ἔννοια[g], ἀλλ' ἐξ εὐθείας ἐπαγομένη.

Ἄλλως. Τοῦ προκειμένου ἐδαφίου τὴν σύνταξιν ὅπως ὀφείλει νοεῖσθαι ἀνελλιπῶς[h], τὸ ἐχόμενον παραστήσει. ἐν σχήματι γὰρ τῷ ῥηθησομένῳ ἐξενήνεκται, ὃ καλεῖται ἀλλοίωσις. γίνεται δὲ τοῦτο, ὅτε τῇ προκειμένῃ φράσει ἡ ἐπιφερομένη ἔννοια μὴ ὁμοιοπτώτως τοῖς φθάσασιν ἐπενεχθῇ, ἀλλὰ πρὸς τὴν ἐπαγομένην ἔννοιαν μεταληφθῇ. δοτικῆς γὰρ πτώσεως προλειφθείσης ἐν τῷ, "λούσαντι ἡμᾶς," ἐπήγαγε, τὸ, "ἐποίησεν ἡμᾶς" ἐλλειπτικῶς τοῦ ἀναφορικοῦ[i] ἄρθρου. ἦν γὰρ τὸ ἀνελλειπὲς[k] οὕτω, "τῷ λούσαντι "ἡμᾶς ἐν τῷ αἵματι αὐτοῦ, καὶ ποιήσαντι ἡμᾶς." κἂν μὲν ἡ ἐπιφερομένη ἔννοια ὁμοιοπτώτως ἐπήνεκτο οὕτω προαγομένη, ᾧ καὶ ἐποίησεν ἡμᾶς, οὐδὲν νῦν ἡμῖν περὶ τούτου προὔκειτο ζήτημα. ἐνέργειαν δὲ ὑποστήσαντος διὰ τοῦ, "ἐποίησε," ῥήματος, ἀναγκαίως ἐπ' εὐθείαν πτῶσιν ἀποκλίνομεν, τὸν ἐνεργοῦντα ἐπιποθοῦντες μαθεῖν. τούτου δὲ πῶς ἂν ἐτυγχάνομεν, μὴ τῆς ὀνομαστικῆς πτώσεως παραλαμβανομένης; δι' ὅπερ τὸ ἐλλειπὲς ἄρθρον, ἡ ὀνομαστικὴ εὐθεῖα παρέσχεν οὕτως ἐξακούεσθαι ἀνελλειπῶς, ὃς "καὶ "ἐποίησεν ἡμᾶς βασιλείαν," οἱονεὶ ἀνήγαγεν ἡμᾶς εἰς βασίλειον δόξαν. ἣν δόξαν, ἡ ἐχομένη ἔγγραφος λέξις ἱκανὴ παραστῆσαι.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος.

Ἡ σύνταξις τοῦ ῥητοῦ, ἀπὸ τῶν τελευταίων ἐπὶ τὰ πρῶτα ἐπάνεισιν οὕτως. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος τῷ ἀγαπήσαντι ἡμᾶς καὶ λούσαντι ἡμᾶς ἐν τῷ ἰδίῳ αἵματι. καὶ πῶς γὰρ οὐκ ἠγάπησεν, ἑαυτὸν δοὺς ἀντίλυτρον ἡμῶν, ὡς ἀμνὸς σφαγιασθεὶς, καὶ τῷ διὰ σταυροῦ αὐτοῦ αἵματι[l] καὶ ὕδατι λούσας ἡμᾶς, ἤγουν καθάρας τὸν τῶν ἁμαρτιῶν ῥύπον ἡμῶν; καὶ οὐ μέχρι τούτου τὴν εἰς ἡμᾶς αὐτοῦ στήσας εὐεργεσίαν, ἀλλὰ καὶ βασιλείαν ἡμῖν δωρησάμενος; καὶ τίς ἡ βασιλεία; ὅθεν ἡ δόξα ἡ δοθεῖσα[m] ἡμῖν παρὰ Χριστοῦ, τοῦ γενέσθαι ἡμᾶς ἱερεῖς τοῦ Θεοῦ καὶ προφήτας, τοὺς οὐδὲν προεισενεγκόντας τῆς τοιαύτης ἐπάξιον[n] ἀγα-

[e] τῷ σολυκισμῷ B. [f] ἔστω οὖν om. B. [g] ἐπιφερ. ἡ ἔννοια B. [h] ἀνελλειπῶς B. [i] καὶ τοῦ ἀναφορ. B. [k] ἀνελλιπὲς B. [l] αἵματι αὐτοῦ B. [m] ἡ ἐντεῦθεν δοθεῖσα δόξα B. [n] ἐπάξιον τῆς τοιαύτης B.

θοδότου καὶ θείας τῷ ὄντι δωρεᾶς. ἀφ' ὧν δωρεῶν, οὐ μόνον τῆς ἐν τῷ παρόντι βίῳ[o] δόξης ἐπήβολοι, ἀλλὰ καὶ τῆς μελλούσης τυχεῖν εὐέλπιδες καθιστάμεθα.

7 Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν
πᾶς ὀφθαλμὸς, καὶ οἵ τινες αὐτὸν ἐξεκέντησαν. καὶ
κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ναὶ, ἀμήν.
8 ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ω, λέγει Κύριος ὁ Θεὸς, ὁ ὢν,
καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

Ὁ ἐνταῦθα[p], φησὶν, ὡς ἀμνὸς σφαγιασθεὶς, καὶ ἀπὸ τοῦ αἵματος αὐτοῦ λούσας καὶ ἀπολύσας ἡμᾶς τῶν ἁμαρτιῶν, οὗτος[q] αὐτὸς ἐλεύσεται, οὐχ ὡς τὸ πρῶτον ἐν παραβύστῳ[r] καὶ συνεσκιασμένως, ὃ καὶ ὁ προφήτης Δαβὶδ διὰ τῆς τοῦ ὑετοῦ ὡς ἐπὶ πόκον ἀψοφητὶ ἠνίξατο καταβάσεως, ἀλλὰ παῤῥησίᾳ, καὶ φανερῶς ἐν τῇ πατρικῇ δόξῃ[s], ὥστε παντὶ ὀφθαλμῷ ὀφθῆναι κριτὴς ἀδέκαστος ἁπάντων. νεφελῶν δὲ κἀνταῦθα λόγος, ὡς ἐν τῇ ἀπὸ γῆς[t] αὐτοῦ πρὸς οὐρανοὺς ἀνόδῳ[u]. Λουκᾶς[x] ἐν ταῖς Πράξεσι γράφει νεφέλην τὸν Κύριον ὑπολαβεῖν. Μάρκος δὲ ἐν τῷ ὑπ' αὐτοῦ γραφέντι εὐαγγελίῳ τὸν Κύριον αὐτὸν εἰσάγει περὶ ἑαυτοῦ λέγοντα. "καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν "νεφελῶν τοῦ οὐρανοῦ," τῶν νεφελῶν ἐνταῦθα, εἴτε διὰ τὸ κοῦφον τὰς μεταρσίους καὶ ἀγγελικὰς δηλούντων δυνάμεις, ὡς καὶ Δαβὶδ ὁ θεοπάτωρ νέφη[y] τὴν ἐπίβασιν αὐτῷ τῷ θείῳ ὑποτιθείς. ἢ καὶ τοὺς θείως[z] καὶ πνευματικῶς ζῆν ἑλομένους ἀνθρώπους δηλῶν, περὶ ὧν καὶ ὁ αὐτὸς οὕτως[a] φησίν. "ἀπὸ τῆς τηλαυγήσεως αὐτοῦ "αἱ νεφέλαι διῆλθον." καὶ ὁ Ἀμῶς καὶ Ἡσαΐας περὶ τῶν αὐτῶν. "τίνες οἵδε ὡς νεφέλαι πέτανται, καὶ ὡς νεοσσοὶ ἀετῶν;" δῆλον γὰρ ὡς περὶ τῶν θεοφιλῶς βιούντων ταῦτα φησὶ τροπικῶς, ὃ καὶ μᾶλλον παραδεκτέον, εἴγε καὶ τὸ παρὸν ἱκανὸν τεκμηριῶσαι ῥητὸν, μετὰ τῶν νεφελῶν φάσκον ἔρχεσθαι τὸν κριτὴν, ἀλλ' οὐχ ὑπὸ τῶν νεφελῶν ἐποχούμενον. ᾧ καὶ Παῦλος συνᾴδει, "ἁρπαγήσεσθαι

[o] ἐν παρόντι δόξης Edd. [p] ὁ ἐνταῦθα B. ὁ om. Edd. [q] οὗτος B. οὕτως Edd. [r] ἐνπαραβύστως B. [s] ἐν πατρ. τῇ δόξῃ B. [t] ἀπὸ τῆς B. [u] οὐρανὸν ἀνόδου B. [x] Λουκᾶς γὰρ Edd. γὰρ om. B. [y] ἐν νέφει Edd. [z] θείους B. [a] οὗτος B.

"ἡμᾶς" ἐμπεδῶν, "εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα," τοὺς κατὰ Παῦλον δηλαδὴ βεβιωκότας, τοῦ πάντοτε συνεῖναι Κυρίῳ. εἰ δὲ καὶ νεφέλας τῷ ὄντι νοεῖν τισὶ βέλτιον δοκεῖ τοιαύτας[a], οἵας καὶ ἐν τῷ Θαβὼρ ὄρει καλύψαι τὸν Κύριον καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ λόγος θρυλλεῖ[b], οὐδὲν περὶ τούτων[c] διοίσεσθαι δεῖ. ἐρχόμενον δὲ τὸν Κύριον δόξῃ τοιαύτῃ, ὀφθῆναί φησιν ὑπὸ παντὸς ὀφθαλμοῦ, καὶ τῶν τὴν παρουσίαν αὐτοῦ πιστῶς ἐλπισάντων, καὶ τῶν ἀπ' ἐλπίδος αὐτὴν θεμένων· ὧν τοὺς μὲν εὐφρανθῆναι, τοὺς δὲ κόψεσθαι παγγενῆ. τοὺς δὲ[d] ἐκκεντήσαντας λέγει[e] τοὺς κατὰ τὸ σταυρικὸν αὐτοῦ πάθος, ἥλοις τε καὶ τῇ λόγχῃ τρώσαντας αὐτὸν[f], καὶ σὺν τούτοις, τοὺς ἀπ' ἐκείνων βλασφήμως αὐτῷ ἐπιτιθεμένους[g]. τούτοις δὲ τοῖς εἰρημένοις τὸ βέβαιον ἐπιμαρτυρῶν, ἐπεσφράγισε διὰ τοῦ εἰπεῖν[h], "ναὶ καὶ ἀμήν." τοῦ ναὶ μὲν, ἐξ Ἑλληνικῆς συνηθείας τὸ ἀμετάπτωτον τῶν εἰρημένων ἐξακριβοῦντος. τοῦ δὲ ἀμὴν, παρ' Ἑβραίοις, εἰς τὸ μηδὲν[i] ἂν γενέσθαι ἐμποδὼν μὴ ἐκβῆναι τὰ ἠπειλημένα, ἐπαγομένου.

Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

Ὃν εἴρηκεν ἀνωτέρω, "ὁ ὢν καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος," καὶ νῦν "ὁ παντοκράτωρ[k]," ὃν καὶ οὐκ ἄλλον ἢ τὸν Χριστὸν εἶναι ἐδείκνυμεν, καθ' ὅσον τὰ θεοπρεπῶς ἐπὶ τοῦ ὑπερουσίως ὄντος ἐν τῇ Τριάδι λεγόμενα[l], τὰ αὐτὰ πάλιν ἀδιαστάλτως καὶ καθ' ἑκάστης ἐναρμόττειν τῶν ὑποστάσεων, εὐσεβὲς, ἀλλ' οὐκ ἀσεβὲς, τοῦτον αὐτὸν αὖθις εἰσάγει μετὰ τὸ τὴν ἐσχάτην ἐπέλευσιν αὐτοῦ γνωρίσαι αὐτῷ, καὶ ὅπως αὕτη ἔσται, ἔτι καὶ ταῦτα γνωρίσαντα.

Ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ω̄.

Ἄλφα διὰ τὸ ἀρχὴν εἶναι, ὅτι καὶ τὸ ἄλφα ἀρχὴ τῶν ἐν γράμματι στοιχείων· ω̄ διὰ τὸ τέλος τῶν αὐτῶν. ἀρχὴν δὲ καὶ τέλος τίς οὐκ ἂν ἐννοήσοι τὸ πρῶτος σημαίνεσθαι καὶ τὸ ἔσχατος; διὰ τοῦ πρῶτος δὲ, τὸ ἄναρχος ἐννοεῖται, ὡς καὶ διὰ

[a] τισὶ κέκριται ταύτας B. [b] θρυλεῖ B. [c] τούτου B. [d] δὲ om. B. [e] τοὺς ἐκκεντησ. δηλονότι κατὰ τὸ στ. παθ. B. [f] τρωσ. αὐτὸν om. B. [g] ἐπιθεμένους B. [h] εἰπεῖν om. B. [i] οὐδὲν εἰς ὑπέρθεσιν τοῦ μὴ ἐκβῆναι ἐπαγ. B. [k] καὶ νῦν ὁ παντοκράτωρ om. B. [l] καὶ ἐν Τριάδι ὑποστάσεων γνωριζομένου B.

τοῦ ἐσχάτου τὸ ἀτελεύτητος. ἐπειδὴ γὰρ οὐκ ἔστι παρὰ ἀνθρώποις ἄναρχόν τι καὶ ἀτελεύτητον, τῇ παρ' ἡμῖν ἀρχῇ τε καὶ τῷ τέλει ἀντὶ τοῦ ἄναρχος καὶ ἀτελεύτητος κατεχρήσατο. τοῦτο καὶ διὰ Ἡσαΐου ἔλεγεν. "ἐγὼ Κύριος ὁ Θεὸς πρῶτος[n], ἐγὼ καὶ μετὰ "ταῦτα." καὶ ἵνα μή τις τὴν ἀρχὴν ἐξ οὐκ ὄντων εἰσαχθῆναι[o] ὑπολάβοι, ἐπιφέρει νῦν τὸ, "ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος." τί δὲ ταῦτα δύναται, εἴρηται, ὅτι ὡς διαιωνίζοντα[p] κατά τε ἀρχὴν καὶ τέλος· κατ' ἀρχὴν μὲν[q], ἀνελλειπῶς, κατὰ τέλος δὲ[r], ἀδιαδόχως. ὁ δὲ ταῦτα, καὶ παντοκράτωρ, ὡς πάσης κτίσεως αἰσθητῆς κατάρχων καὶ νοητῆς, ὁ συναΐδιος[s] τῷ Πατρὶ, καὶ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα[t]. πρὸ βραχέως δὲ τοῖς ταπεινοτέροις καὶ ἀνθρωπικοῖς ἐνδιατρίβων, νῦν καὶ τῶν θειοτέρων καὶ ἀξιοθέων ἐφάπτεται. ὃ καὶ ἀρχόμενος τῆς προκειμένης πραγματείας ποιεῖ. ἀλλ' ἐκεῖ μὲν οὐχ οὕτω τρανῶς, ἐνταῦθα δὲ πεπαῤῥησιασμένως, καὶ οἷα εἰκὸς τὸ περὶ τῶν θείων ἐρεῖν, ἐκ τῶν ἁγίων λαβόντα προφητῶν τὸ ἐνδόσιμον.

ΚΕΦ. Β.

Ὀπτασία ἐν ᾗ τὸν Ἰησοῦν ἐθεάσατο ἐν μέσῳ λυχνιῶν ἑπτά.

9 Ἐγὼ Ἰωάννης ὁ ἀδελφὸς ὑμῶν, καὶ κοινωνὸς ἐν τῇ
θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Χριστῷ Ἰησοῦ,
ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, διὰ τὸν
λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ.
10 ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ ἤκουσα
11 φωνὴν ὀπίσω μου μεγάλην ὡς σάλπιγγος, λεγούσης. ὃ
βλέπεις, γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἑπτὰ
ἐκκλησίαις, εἰς Ἔφεσον, καὶ εἰς Σμύρναν, καὶ εἰς Πέργαμον, καὶ εἰς Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδικείαν.

Ἀδελφὸν ἑαυτὸν καὶ κοινωνὸν τῶν θλίψεων καλεῖ, ἃς διὰ τὸν λόγον τοῦ Θεοῦ καὶ τὸ κήρυγμα ὑπὸ τῶν διωκτῶν ἔπασχεν[u] τῆς

[n] *ἐγὼ Θεὸς πρῶτος* B. [o] *εἰσαχθῆναι* om. B. [p] *ὡς τὸ διαιωνίζον* B. [q] *μὲν* om. B. [r] *δὲ* om. B. [s] *ὡς συναιδ.* B. [t] Hinc usque ad finem Cap. mancus est B. [u] *ἔπασχον* B.

εὐσεβείας. διὸ καὶ αὐτὸν, Πάτμον τὴν νῆσον οἰκεῖν κατακεκρίσθαι. ἀλλ' ὥσπερ τῶν θλίψεων, οὕτω καὶ τῆς βασιλείας, ἣν αἱ ἐνταῦθα θλίψει ὑπὲρ[x] Χριστοῦ προξενοῦσιν. εἰ κατὰ πάντα οὖν κοινωνὸν ἑαυτὸν δείκνυσιν, εἰκότως ἂν καὶ τὸ ἀξιόπιστον τῶν ἑωραμένων αὐτῷ καὶ ἀκουσθέντων σχοίη.

Διὰ τὸν λόγον τοῦ Θεοῦ.

Λόγον φησὶ τοῦ Θεοῦ καὶ μαρτυρίαν τὸ Εὐαγγέλιον ὃ ἔγραψεν. ἐξόριστον δὲ αὐτὸν γενέσθαι ἐν Πάτμῳ τῇ νήσῳ ὑπὸ Δομετιανοῦ, Εὐσέβιος ὁ Παμφίλου ἐν τῷ Χρονικῷ αὐτοῦ βιβλίῳ παρατίθεται.

Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα φωνήν.

Πρόσκειται τὸ "ἐν πνεύματι," τῷ μηδὲν ἐμφαίνειν ἐνεργεῖσθαι[y] τῆς ἀνθρωπίνης ἐχόμενον χρείας, ἀλλὰ τῶν θείᾳ κατοχῇ κατειλημμένων. ἐν ἡμέρᾳ δὲ κυριακῇ, τῆς ἀναστάσεως Χριστοῦ μνημόσυνον φερούσης, ἀφ' οὗ καὶ εἰκὸς οὐδὲν[z] τῶν πρὸς νεαρὰν τεινόντων ἀσχολίαν τῷ χρηματισμῷ πεπραγματεῦσθαι. "φωνὴν δὲ ὡς σάλπιγγος" ὀπισθακουσθῆναι[a], εἰς τὸ διάπυρόν τε καὶ διαπρύσιον τῆς ἀπηχήσεως χρεωστικῶς εἰς πᾶσαν ἐκκλησίαν δοθῆναι. ἑπτὰ δὲ μόναι ἐκκλησίαι αἷς προστάσσεται γράψας τὰ βλεπόμενα διαπέμψαι, οὐχ ὅτι τοσαῦται αἱ ἐν Ἀσίᾳ πόλεις, ἀλλ' ἐν ἐκείναις προστάσσεται τοῦτο ποιεῖν, ὡς κατηκόοις γενομέναις τοῦ εὐαγγελικοῦ κηρύγματος. ἢ καὶ, (ὡς πλατύτερον εἴρηται περὶ τούτων,) διὰ τὸ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ τῷ παρόντι φθαρτῷ αἰῶνι σύστοιχον, καταντῶντος δηλαδὴ εἰς τὸν σαββατισμὸν καὶ τοῦ μέλλοντος αἰῶνος. διὸ καὶ ἑπτὰ οὐρανοὺς, καὶ Ἀγγέλους ἑπτὰ τῶν ἄλλων προύχοντας, ὁ μέγας Εἰρηναῖος ὁ Λουγδόνου ἐπίσκοπος ἔγραψεν.

Ἄλλως. Τὸ βλέπειν καὶ ἀκούειν παρὰ τοῖς θείοις προφήταις, οὐκ αἰσθήσεως ἐνεργείας νοεῖν δεῖ, ἀλλὰ θειοτέρας ἐμφάσεις. περὶ ὧν καὶ ὁ Ἀμὼς, καὶ ὁ Ἡσαΐας φησίν. "ἔθηκέ με πρωῒ πρωῒ ὠτίον

[x] αἱ ὑπὲρ Χρ. B. [y] ἐνηργεῖσθαι B. [z] ὅτι οὐδὲν εἰκός B. [a] Hinc mutilus est B. usque ad v. 16.

" ἀκούειν. καὶ ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα." τοῦτο δὲ οὐ τοῦ κατὰ σάρκα ἀνθρώπου, ἀλλὰ τοῦ κατὰ πνεῦμα. ὃς καὶ μεμελημένος Θεῷ καὶ ἄρχων ἁπάσης τῆς αἰσθητικῆς κτίσεως διατελεῖν εἴωθεν. ἐδιπλασίασε δὲ ὁ προφήτης τὸ πρωῒ ἐνταῦθα, (ὥσπερ καὶ παρ' ἑτέροις προφήταις τὸ πρωῒ "εἰσάκουσον" φάσκουσι "τῆς φωνῆς " μοῦ, καὶ τὸ πρωῒ παραστήσομαί σοι," καὶ τὸ "πρὸς πρωῒ πρωῒ,") οὐ μάτην, ἀλλὰ τὴν ἄγαν σπουδὴν διὰ τοῦ καιροῦ παριστὰς, ᾧ δὴ καιρῷ, καὶ αἱ θεῖαι ἐνέργειαι εἰώθασιν ἐμφιλοχωρεῖν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλει
μετ' ἐμοῦ. καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς,
13 καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον Υἱῷ ἀνθρώπου,
ἐνδεδυμένον ποδήρη· καὶ περιεζωσμένον πρὸς τοῖς μα-
14 στοῖς ζώνην χρυσῆν. ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες
15 λευκαὶ, ὡς ἔριον λευκὸν, ὡς χιών. καὶ οἱ ὀφθαλμοὶ
αὐτοῦ, ὡς φλὸξ πυρός. καὶ οἱ πόδες αὐτοῦ, ὅμοιοι χαλ-
κολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι. καὶ ἡ φωνὴ
16 αὐτοῦ, ὡς φωνὴ ὑδάτων πολλῶν. καὶ ἔχων ἐν τῇ δεξιᾷ
χειρὶ αὐτοῦ ἀστέρας ἑπτά. καὶ ἐκ τοῦ στόματος αὐτοῦ
ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη. καὶ ἡ ὄψις αὐτοῦ
ὡς ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

Ὅτι οὐκ αἰσθητὴ ἡ φωνὴ, ἀλλ' οἷαι αἱ τῶν προφητῶν τῷ ἡγεμονικῷ πνεύματι διατυπώσεις, δηλοῖ λέγων, " ἐπέστρεψα," οὐ τοῦ ἀκοῦσαι, ἀλλὰ τοῦ βλέψαι. ταυτὸν γὰρ ἡ πνευματικὴ ἀκοὴ τῇ βλέψει, εἴτουν ὁράσει. διὸ καὶ τὴν φωνὴν λαλεῖν πρὸς αὐτὸν εἴρηκεν, ἀντὶ τοῦ διατυποῦν ὑποκείμενον. συνεξακουστέον δὲ τούτοις τὸ ἄρθρον εἰς ἐντέλειαν τοῦ νοήματος· ἵν' ᾖ, τὴν φωνὴν τοῦ ὅστις ἐλάλει μετ' ἐμοῦ. οὐ γὰρ ἡ φωνὴ ἡ ὁρατὴ, ἀλλ' ὁ λαλῶν. οἱονεὶ, οὗ ἡ φωνὴ ἐλάλει μετ' ἐμοῦ, τοῦτον ἐπέστρεψα βλέπειν. οὕτω γὰρ συνταττόμενον τὸ ῥητὸν, σαφὲς ἂν καὶ ἀνελλειπὲς εἴη.

Ἑπτὰ λυχνίας.

Αἱ ἑπτὰ λυχνίαι ὡσαύτως, ὡς προϊὼν ἐρεῖ, αἱ ἑπτὰ ἐκκλησίαι εἰσὶν, πρὸς ἃς καὶ διακελεύεται γράφειν. λυχνίας δὲ αὐτὰς ὠνόμασεν οὐ λύχνους, ὡς τῆς λυχνίας οἰκεῖον φῶς οὐκ

ἐχούσης, ἀλλ' ὄχημα μόνον οὔσης τοῦ λύχνου ὃς ἔχει τὸ φῶς. διὸ καὶ ὁ ἱερὸς Ἀπόστολος Παῦλος παραινεῖ τοῖς συμμόρφοις Χριστοῦ διδασκάλοις, "γίνεσθαι ὡς φωστῆρας ἐν κόσμῳ, λόγον ζωῆς "ἐπέχοντας," τουτέστι, δεξαμένους ὑπὸ τοῦ βρύοντος Χριστοῦ τὸ ἀκήρατον φῶς. πρὸς ὃν εἴρηται τὸ, "φωτίζεις σὺ θαυμαστῶς ἀπὸ "ὀρέων αἰωνίων," ἀγγελικῶν ἴσως δυνάμεων. καὶ "ἐξαπόστειλον τὸ "φῶς σου καὶ τὴν ἀλήθειάν σου," καὶ "ὁ φωτισμὸς τοῦ προσώπου "σου Κύριε" τοῦ φωτίζοντος τοὺς πιστοὺς νοητῶς. μετόχους οὖν γενομένους τοιούτου φωτὸς, φωτίζειν προτρέπεται αὐτοὺς τῷ τῆς θεογνωσίας φωτί.

Χρυσᾶς.

Χρυσᾶς φησὶ χρηματίσαι τὰς λυχνίας, διὰ τὸ τίμιον καὶ ὑπεραῖρον τῶν ἀξιωθέντων δέξασθαι τὸ θεῖον σέλας. οἳ καὶ φωστῆρες κατὰ τὸν Παῦλον ἐκλήθησαν λόγον ζωῆς ἔχοντες· ὥσπερ καὶ αἱ λυχνίαι ὄχημα λύχνων οὖσαι, αὐταὶ μὲν ἐξ ἑαυτῶν οὐκ ἔχουσι φῶς, κοινωνοὶ δέ πως εἰσὶ τῶν φωτίζειν ἀφ' ἑαυτῶν λαχόντων.

Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον Υἱῷ ἀνθρώπου.

Ὡς ἐπαγγειλάμενον δηλαδὴ ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἐν ἡμῖν, τὸν καὶ ἑαυτὸν δι' ἡμᾶς ταπεινώσαντα ἄχρι τῆς τοῦ δούλου μορφῆς, καὶ γενόμενον καρπὸν γαστρὸς τῆς ἀπειρογάμου μητρός. ποδήρει δὲ αὐτὸν περιεστάλθαι καὶ περιεζῶσθαι πρὸς τοῖς μαστοῖς, "ὡς ἱερέα," φησὶ, "κατὰ τὴν τάξιν Μελχισεδὲκ," οὐ κατὰ τὴν τάξιν Ἀαρών· ἐπεὶ μὴ κατὰ τὸν Μωϋσέως νόμον ἡ ἀπ' αὐτοῦ παραδεδομένη ἡμῖν λατρεία, ἀλλὰ "κατὰ τὴν Μελχισεδὲκ "τάξιν" νεαράν. περὶ οὗ καὶ Παῦλος ὁ θεῖος εἴρηκεν, ἀρχιερέα καὶ Ἀπόστολον δεδόσθαι ἡμῖν Χριστὸν ἱερουργοῦντα ἑαυτὸν, καὶ προσάγοντα τῷ Πατρὶ καὶ τῷ Πνεύματι τὴν ἡμετέραν τῆς πίστεως ὁμολογίαν.

Καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς.

Πρὸς τοῖς μαστοῖς δὲ περιεζωσμένον, ἀλλ' οὐ πρὸς τῇ ὀσφύϊ, ὅτι μηδὲ ἐπίβατος οὗτος ταῖς ὑπὸ γαστρὶ ὀρέξεσιν, ἃς περιεσφίγχθαι τοῖς ἄλλοις ἀνθρώποις σωτήριον. διὰ τοῦτο οὐδὲ πρὸς τῷ

3 μὴ ἀπροσίτῳ ταύταις μορίῳ διὰ τὸν τούτῳ συμπεφυκότα κᾂν ὑπὲρ λόγον Θεὸν, πρὸς τῷ στήθει δὲ καὶ τοῖς μαζοῖς, ὅπως καὶ τὸ ἄσχετον τῆς δικαίας καὶ θείας ὀργῆς ἡ φιλανθρωπία συνέχηται, καὶ ἡ τὰς δύο διαθήκας, ἤτοι τοὺς δεσποτικοὺς μαζοὺς ζωννῦσα, δειχθῇ ἀλήθεια, δι' ὧν καὶ οἱ πιστοὶ τρέφονται. περὶ οὗ καὶ εἴρηται. "ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφῦν αὐτοῦ, καὶ ἀλη-"θείᾳ ἠλειμμένος τὰς πλευρὰς αὐτοῦ." δικαιοσύνῃ δὲ τὴν ὀσφῦν, τῷ μὴ ὑπερβάθμιον τῆς λογικῆς φέρεσθαι φύσεως. ἀληθείᾳ δὲ ἠλεῖφθαι τὰς πλευρὰς ὡσεὶ ἐλαίῳ θείῳ, τῷ τὸ ἀληθὲς τῆς περὶ τὸ οἰκεῖον πλάσμα φιλανθρωπίας παρρησιάζειν.

Ζώνην χρυσῆν.

Χρυσῆν τὴν ζώνην ὁρᾷ, τῶν κατὰ τὸν νόμον ἱερέων φάρεσι πεποικιλμένοις χρωμένων. ἔδει γὰρ τὸ διάφορον φανῆναι δούλων καὶ σκιώδους νόμου, καὶ τῆς ἀληθείας.

Ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαί.

Τὸ γὰρ κατὰ Χριστὸν μυστήριον τιμαλφὲς, καὶ εἰ νέον τῇ ἐπιφανείᾳ καὶ δι' ἡμᾶς, ἀλλὰ προαιώνιον τῇ εὐδοκίᾳ. διὸ καὶ Παῦλός φησι περὶ αὐτοῦ. "τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ "τῶν αἰώνων, νῦν δὲ φανερωθὲν τοῖς ἁγίοις αὐτοῦ." τοῦτο ὃ ἡ πολιὰ θρὶξ καὶ ὡσεὶ χιὼν ὑποσημαίνει.

Ὡς φλὸξ δὲ πυρὸς οἱ ὀφθαλμοὶ αὐτοῦ.

Ἢ τὸ φωτοειδὲς παραδηλοῦντες ὥσπερ ἡ φλόξ. διὸ καὶ ὁ Χριστός φησιν, "ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου." ἢ τὸ καυστικόν τε καὶ τιμωρητικὸν ἀπειλοῦντες κατὰ τῶν ἐκκλησιῶν, αἷς τὰ τῆς Ἀποκαλύψεως διαπέμπεται, ὡς οὐ τέλεον τοῖς αὐτῷ νόμοις ἀκολουθούσαις.

Καὶ οἱ πόδες αὐτοῦ, ὅμοιοι χαλκολιβάνῳ.

Πόδας ἔχοντα τὸν θεάνθρωπον Ἰησοῦν ἀκουστέον ἀκολούθως τῷ θείῳ τῶν λόγων ἀνδρὶ Γρηγορίῳ, ὅτι μηδὲ γυμνῇ τῇ θεότητι ἡμῖν ἐπεδήμησεν, ἀλλὰ διὰ σαρκός. διὰ μὲν τοῦ χαλκοῦ χρυσοειδοῦς ὄντως τῆς θείας φύσεως δηλουμένης, καὶ διὰ τὸ ἠχητικὸν, τοῦ κηρύγματος ἐκλαμβανομένου. πόδας δὲ τοῦ Χριστοῦ καὶ θεμελίους τῆς ἐκκλησίας, καὶ τοὺς θείους Ἀποστόλους ἐκληπτέον,

καθαροὺς μὲν καὶ αὐτοὺς τῷ πυρὶ τῶν πειρασμῶν ἀναφανέντας, εἰ καὶ πρὸ τούτου μετρίως. ἀλλ᾽ ὥσπερ ὁ διδάσκαλος Χριστὸς τῇ τῶν Ἰουδαίων ἀπειθείᾳ, οὕτω καὶ αὐτοὶ τῇ τῶν ἐθνῶν ἀγριότητι τὸ δοκίμιον ἑαυτῶν ὡς διὰ πυρὸς ἐπιδεδειγμένοι εἰσίν. ὅτι δὲ καὶ ὁ Χριστὸς θεμέλιος, Κορινθίοις ὁ θεῖος γράφων Παῦλος, ἐχέγγυος τῷ λόγῳ πιστώσασθαι, "θεμέλιον" φάσκων "ἄλλον οὐδεὶς δύναται "θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστι Χριστός." χαλκολίβανον δὲ, εἴτε τὸν ἐν τῷ Λιβάνῳ τῷ ὄρει μεταλλευόμενον, ἐπειδὴ τούτῳ ἀφωμοίωται ὁ ἐνανθρωπήσας, φησὶν, εἴτε καὶ τὸν χαλκοειδῆ λίβανον νοητέον, ὃν ἰατρῶν παῖδες ἄρρενα καλοῦσιν, εὐώδεις καὶ αὐτὸν πυρὶ ὁμιλοῦντα ἀτμοὺς ἀποπέμποντα. καὶ ὅτι εὐώδεις καὶ Χριστὸς καὶ οἱ αὐτοῦ θεῖοι Ἀπόστολοι, ἡ ἐν ᾄσμασι νύμφη ἀξιόλογος παραστῆσαι, "ὀσμὴ" φάσκουσα "ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώ- "ματα." καὶ αὐτὸς ὁ νυμφίος Χριστὸς πρὸς τὴν νύμφην περὶ ἑαυτοῦ λέγων, "ἐγὼ ἄνθος τοῦ πεδίου καὶ κρίνον τῶν κοιλάδων." καὶ οὕτω μὲν ὁ Χριστός. εὐώδεις δὲ καὶ οἱ τούτου Ἀπόστολοι. διὸ καὶ φάσκει Παῦλος, "Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἀπολλυμέ- "νοις." ὡς ὑδάτων δὲ πολλῶν ἀπηχεῖσθαι τὴν φωνὴν εἰκότως φησί. κοινὴ γὰρ ἡ φωνὴ αὐτοῦ καὶ τοῦ Πνεύματος, ἀφ᾽ οὗ τῆς ἐνεργείας "καὶ ποταμοὶ ἐκ τῆς κοιλίας αὐτῷ ἔρρευσαν," κατὰ τὸν προφητικὸν λόγον. "καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν "χειμάρρουν τῶν σχοίνων." οἶκον δὲ Θεοῦ, τίς ἀμφιβάλοι μὴ τοὺς ἀξίως τῆς τοῦ θείου Πνεύματος ἐνεργείας ἑαυτοὺς παρεσκευακότας, ὑπὸ τοῦτον εἰρῆσθαι, οἱ καὶ εἰρήκασιν ἑαυτοὺς εἶναι ναοὺς Θεοῦ καὶ μέλη ἐκ μέρους; οὐκ ἄλλος, μὲν οὖν, ἢ ὁ ταῦτα τὰ θεῖα καὶ ἱερὰ λόγια ἀγνοήσας ἑκών. καὶ τὸ διαπρύσιον δὲ τῆς εἰς πᾶσαν τὴν γῆν ἀπηχήσεως τίς ἀθετήσει; εἰ μή που ὁ χοιρώδης καὶ ὁ τὰς πνευματικὰς καὶ θείας ἐλλάμψεις αἰσθητῶς ἀπαιτῶν ἐνεργεῖσθαι.

Καὶ ἔχων ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ ἀστέρας ἑπτά.

Τοὺς ἑπτὰ τούτους ἀστέρας Ἀγγέλους αὐτὸς οὗτος προϊὼν ἑρμηνεύσει, οὓς καὶ ἑκάστῃ ἐκκλησίᾳ ἐπιστατεῖν ἐρεῖ. καὶ Γρηγόριος ὁ θεῖος ἐν τῷ Συντακτηρίῳ αὐτοῦ λόγῳ τὸ αὐτὸ διαγορεύει, ἐκ ταύτης τῆς Ἀποκαλύψεως Ἰωάννου ἕλκων εἰς ἡμᾶς τὴν πειθώ.

ἀστέρας δὲ καλεῖ τοὺς Ἀγγέλους διὰ τὴν δαψιλῆ φωτοχυσίαν τὴν ἐν αὐτοῖς τοῦ Χριστοῦ. τοὺς αὐτοὺς καὶ τῆς δεξιᾶς χειρὸς ἀξιοῦσθαι τῆς κατοχῆς φησί, τῇ τιμιωτάτῃ στάσει οἱονεὶ ἐπαναπαυομένους. ἐκ τοῦ στόματος δὲ τὴν ῥομφαίαν τὴν δίστομον ἐκπορεύεσθαι, καίτοι τοῦ θεοπάτορος ἐπὶ τὸν μηρὸν τὸν δυνατὸν περιζώσασθαι ταύτην ἐντελλομένου, ὅτι μήπω κατ' ἐκεῖνο καιροῦ τοῖς παραβάταις τῶν εὐαγγελικῶν νόμων ἡ ἐκδίκησις ἐπεπαίδευτο. καὶ οὗτος δέ, ἵνα τὴν ἀναβολὴν παραστήσῃ τῆς τιμωρίας, ἐπὶ τοῦ μηροῦ τέως τὴν ῥομφαίαν αἰωρεῖ. νῦν δὲ ἡ ἐκ τοῦ στόματος ἐκπορευομένη ῥομφαία, τὸ ἑτοιμότατον ὑπαινίττεται τῶν ἐν τῇ νέᾳ διαθήκῃ ἀνηκόως διακειμένων εἰς ἀπαραίτητον ψυχῆς κίνδυνον ὀξέως ἐφορμώντων[b], πρὸς διχοτομίαν δηλονότι. ἣν καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις ὑπέφηνε, διχοτομηθῆναι[c] τὸν ἀμελῆ δοῦλον ἀπειλῶν. καὶ Παῦλος[d] "ζῶντα" φησι "τὸν τοῦ Θεοῦ τιμωρητικὸν λόγον καὶ ἐνεργῆ, καὶ τομώτερον "παρὰ ῥομφαίας[e], ἅτε ἐκ τοῦ στόματος ἐκπορευόμενον, καὶ δι-"ϊκνούμενον ἄχρις[f] ὀστέων καὶ μυελῶν," οὐκ αἰσθητῶς μέντοι. ὅθεν καὶ ὀξεῖα αὕτη τῷ Ἰωάννῃ ἀναγέγραπται, ὅπερ εἰς ταυτὸν φέρει τῇ τομωτάτῃ Παύλου ῥομφαίᾳ. ὡς ἥλιον δὲ φαίνειν τῇ δυνάμει αὐτὸν, ἐπεὶ καὶ "ἥλιός ἐστι δικαιοσύνης" κατὰ Μαλαχίαν τὸν προφήτην, "φωτίζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον." οὐχ ὡς σῶμα δὲ φωτίζει[g] διαφανὲς αἰσθητῶς, ἀλλὰ νοητῶς. διὸ καὶ ἐπήγαγε, "τῇ δυνάμει αὐτοῦ," ὡσεὶ ἔλεγεν, ὅτι τὸ φῶς[h] τοῦ Χριστοῦ δυνάμει ἐνεργεῖ, οὐκ ὄψιν σωματικῶς, ψυχῆς δὲ νοητῶς καταλάμπον ὀφθαλμούς.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσον πρὸς τοὺς πόδας αὐτοῦ
ὡς νεκρός. καὶ ἔθηκε τὴν δεξιὰν αὐτοῦ ἐπ' ἐμὲ, λέγων.
18 μὴ φοβοῦ, ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ὁ ζῶν,
καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ, ζῶν εἰμι εἰς τοὺς αἰῶνας
τῶν αἰώνων· ἀμήν. καὶ ἔχω τὰς κλεῖδας τοῦ θανάτου
καὶ τοῦ ᾅδου.

Ἔθος τοῖς ἁγίοις προφήταις ὁρῶσιν ὀπτασίαν, καταπλήττεσθαι

[b] ἐφορμῶντα B. [c] διχοτομῆσαι B. [d] Παῦλος δὲ B. [e] πάσης ῥομφαίας B. [f] ἄχρι B. [g] φωτίζειν B. [h] οἱονεὶ τὸ φῶς B.

εἰς παράτασιν[i] τῆς ἀνθρωπίνης εὐτελείας, καὶ τοῦ, ὅσον τὰ θεῖα τῶν ἀνθρωπίνων κατὰ τὸ κρεῖττον καθυπερτερεῖ καὶ ὑπερανέστηκεν[k]. ὅπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ πέπονθε, καὶ Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ, ὁ μὲν πρὸς τὸν ἀρχιστράτηγον τῆς τοῦ Κυρίου δυνάμεως, ὁ δὲ ἐπὶ ταῖς ὁραθείσαις αὐτῷ ὀπτασίαις. οὐκοῦν παραπλήσιόν τι τούτοις καὶ νῦν ὁ Εὐαγγελιστὴς ὑποστὰς, ἀνερρῶσθαί, φησι, τῆς σωτηρίου δεξιᾶς[m] τοῦ Υἱοῦ τοῦ Θεοῦ ἁπτομένης αὐτοῦ, μετὰ παρακλήσεως τὸν πρὸς αὐτὸν[n] θεῖον αὐτοῦ λόγον[o], οἷον πρῶτον[p] καὶ ἔσχατον ἐμφανίζοντος[q]· πρῶτον τῇ θείᾳ φύσει, ἔσχατον τῷ σωτηρίῳ ἡμῖν αὐτοῦ παρουσίᾳ· καὶ ζῶντα, εἰ καὶ δι' ἡμᾶς νεκρωθέντα, ἀλλ' οὖν ζῶντα καὶ τὰς κλεῖς ἔχοντα τοῦ θανάτου καὶ τοῦ ᾅδου. ὡς οὖν τοιοῦτον ἔχοντα βοηθὸν[r], κελεύει[s] μὴ φοβεῖσθαι, μηδ' ἐν αὐτῷ προανακείμενον[t] τῷ ζῶντι εἰς ἀτελευτήτους αἰῶνας ὑποστείλασθαι[u], ἀλλὰ γράφειν ἀνυποστόλως ἃ εἶδε, καὶ ἃ εἰσὶ, καὶ ἃ μέλλει ἔρχεσθαι, οἱονεὶ τὰ παρελθόντα καὶ ἐνεστῶτα. ταῦτα γὰρ τῶν ὄντων, ἀλλ' οὐ τῶν εἰς ἀνυπαρξίαν κεχωρηκότων. μετὰ τούτων δὲ, καὶ ἃ μέλλει γίνεσθαι πρὸς γνῶσιν τῶν μετερχομένων.

Μὴ φοβοῦ.

Καταπλαγεὶς τῇ θέᾳ ὁ Εὐαγγελιστὴς, καὶ ὡς νεκρὸς ὑποτεθεὶς τῷ ὁρωμένῳ πρὸς τοὺς πόδας, ἀκοῦσαι φησὶ, μὴ φοβοῦ, ὡς οὐκ ἂν ἰσχύσας[x] ζῆν ὁ ἱερὸς Ἰωάννης ἐκ τῆς καταπλήξεως, μὴ τῆς σωτηρίου δεξιᾶς ἀψαμένης αὐτοῦ, τῆς πλεῖστα μόνῃ τῇ ἀφῇ ἐργασαμένης θαυμάσια. ἐγὼ γάρ εἰμι, φησὶν[y], ὁ ἐπὶ σωτηρίᾳ πάντων ὑμῶν ἐπ' ἐσχάτων καιρῶν συναναστραφεὶς ὑμῖν κατὰ σαρκὸς, καὶ πρωτότοκος πάσης κτίσεως. πῶς οὖν οἷον τέ σε παθεῖν τι κακὸν ἐκ τῆς ἐπιφανείας μου; εἰ γὰρ ζῶν, καὶ πηγὴ ζωῆς ὑπάρχων, (εἰ δὲ[z] καὶ δι' ὑμᾶς ἐγενόμην νεκρὸς, ἀλλ' αὖθις ἀνεβίων πατήσας τὸν θάνατον,) πῶς οἷόν τέ σε τὸν ζῶντα, δι' ἐμὲ καὶ τὴν ἐμὴν ὀπτασίαν γενέσθαι νεκρόν; εἰ δὲ καὶ ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου, (διὸ καὶ ζωογονῶ καὶ κατάγω εἰς ᾅδου καὶ ἀνάγω, καὶ "ἐμοῦ[a] "εἰσιν," ὡς ὁ προφήτης φησὶν, "αἱ διέξοδοι τοῦ θανάτου,") οὐκ ἂν

[i] παράστασιν B. [k] ἀνέστηκεν Edd. [m] τῇ σωτηρίᾳ δεξιᾷ ἁπτομένης μου B. [n] ἐμὲ B. [o] θείων αὐτοῦ λόγων B. [p] πρῶτον αὐτὸν B. [q] ἐνεφάνιζον B. [r] ἔχοντα τὴν κυρίαν B. [s] κελεύει om. B. [t] μηδὲν ἐμοὶ προσανακείμενός φησι B. [u] ὑποστειλασθαι om. B. [x] ἴσχυσεν B. [y] φησὶν om. B. [z] δὲ om. B. [a] ἐμαὶ B.

τοὺς ἐμοὺς προσκυνητὰς πρὸ τοῦ καθήκοντος παραπέμψω τῷ θανάτῳ, ἂν μὴ γράψαι ὑποθῶμαι τὰ γνώσεως ἄξια.

19 Γράψον ἃ εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι
20 μετὰ ταῦτα. τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες
ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς.
οἱ ἑπτὰ ἀστέρες Ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσί. καὶ
αἱ λυχνίαι αἱ ἑπτά, ἑπτὰ ἐκκλησίαι εἰσί.

Τὰ ὁραθέντα[b] *τῷ ἁγίῳ, τὰ μὲν ἤδη γεγόνασιν, ἃ καὶ πέρας ἤδη ἔχοντα*[c] *ἐτύγχανον κατὰ καιρὸν, οὐ μέν τοι*[d] *καὶ εἰς ἀνυπαρξίαν οὖν συγκεχωρηκότα. διὸ καὶ περὶ αὐτῶν εἶπεν, "ἅ ἐστι*[e]*." τὰ δὲ ἕτοιμα παρελθεῖν, τὰ δὲ μέλλει γίνεσθαι, ὡς προϊὼν ὁ λόγος ἐρεῖ.*

Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων.

Ἐπεὶ διεσάφησεν αὐτῷ τινές τε[f] *οἱ ἑπτὰ ἀστέρες καὶ οἱ λύχνοι καὶ αἱ λυχνίαι, τούτου χάριν καὶ ἃ δεῖ*[g] *πρὸς ἑκάστην εἰπεῖν ἐκκλησίαν συνετίζεται. ἀστέρας δὲ τοὺς Ἀγγέλους τοὺς τῶν ἐκκλησιῶν ἐφόρους καλεῖ, ὡς ἐξ αὐτοῦ τοῦ ἡλίου τῆς δικαιοσύνης τὸ φῶς χορηγουμένους. ὅπερ καί τις τῶν θύραθεν*[h] *σοφῶν περὶ τοῦ αἰσθητοῦ ἡλίου ἐδόξασεν, ὡς ἐξ αὐτοῦ τοὺς ἀστέρας τὸ φῶς λαμβάνοντας. λύχνους δὲ τοὺς τὸν Χριστοῦ φωτισμὸν ἱεροὺς ἄνδρας καταπλουτεῖν τεταγμένους, καὶ τὸν τῆς ἀγνωσίας σκότον τοῦ παρόντος βίου διασκεδάζοντας. λυχνίας δὲ τὰς ἐκκλησίας ὡς ὀχήματα*[i] *τῶν φωστήρων. διδάσκαλοι δὲ οὗτοι κατὰ Παῦλον, λόγον ζωῆς ἐπέχοντες. χρυσαῖ δὲ πᾶσαι διὰ τὸ ἀκίβδηλόν τε καὶ τίμιον τῆς ἐν αὐταῖς πίστεως. ἑκάστῃ δὲ ὅτι Ἄγγελος ἐπιστατεῖ, καὶ ὁ θεολόγος Γρηγόριος, ὡς ἔφημεν, παραθέμενος ἐπιστώσατο. ἐπεὶ δὲ ταῦτα ἐφανέρωσε*[k]*, καὶ ἃ δεῖ*[l] *πρὸς ἑκάστην τῶν ἐκκλησιῶν τὸν ταῦτα θεοκλυτούμενον*[m] *διαμαρτύρασθαι, ἐπιφέρει λοιπὸν, καὶ ὅπως τὴν μὲν τέλεον ἔξω βαίνουσαν τοῦ θείου σκοποῦ αἰτιάσασθαι χρὴ, ἐπαινέσαι δὲ τοὺς τοῦ εὐαγγελίου δρόμου συλλόγους*[n]*, ἐπιδιορθώσασθαι δὲ τὰς ἐν μέρει πταιούσας τοῖς κατ' ἀλλήλων*[o] *νουθε-*

[b] Εἴσι τῶν ὁραθέντων B. [c] *πέρας ἔσχεν* B. [d] *οὐ μὴν οὐ μέντοι* B. [e] *ἅ εἰσι, τὰ δὲ παρῆν* B. [f] *τινές τε εἰσιν* B. [g] Edd. δὴ. [h] *θύραθε* B. [i] *ὄχημα* Edd. [k] *ἐφανέρωσε* om. B. [l] δὴ Edd. [m] *τῶν ταῦτα θεοκλυτουμένων* Edd. [n] *εὐαγγελικοῦ λόγου συνδρόμους* B. [o] *καταλλήλοις* B.

σιῶν φαρμάκοις διαπεμψάμενον. καὶ τίς ὁ ταῦτα θεσπίζων, ἀλλ' ἢ "ὁ πάντας θέλων ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας[p] "ἐλθεῖν;" καὶ τίνι ταῦτα καταμηνύσας[q]; τῷ θεσπεσίῳ Εὐαγγελιστῇ Ἰωάννῃ διὰ τῆς μετὰ χεῖρα Ἀποκαλύψεως.

Οἱ ἑπτὰ ἀστέρες, Ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσί.

Δι' Ἀγγέλου τῇ ἐκκλησίᾳ διαλέγεται, ὅπερ[r] ἄν τις διὰ παιδαγωγοῦ ἐλέγετο ἂν[s] τῷ παιδαγωγουμένῳ, εἰδὼς ὡς οἰκειοῦσθαι φιλεῖ τὰ τοῦ μαθητοῦ ὁ διδάσκαλος, εἴτε κατορθώματα, εἴτε ἡττήματα. εἰκὸς[t] δὲ καὶ διὰ τῶν ἑπτὰ ἀστέρων τῶν ἐν τῇ δεξιᾷ τοῦ χρηματίζοντος ταῦτα, τὴν τοῦ παντὸς διακόσμησιν δηλοῦν ἐν τῇ δεξιᾷ Χριστοῦ κειμένην, κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον, "ἐν τῇ χειρὶ "αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν."

ΚΕΦ. Γ.

Τὰ γεγραμμένα πρὸς τὸν τῆς Ἐφεσίων ἐκκλησίας Ἄγγελον.

1 Τῷ Ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας γράψον, τάδε
λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ
περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν.
2 οἶδα τὰ ἔργα σου καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν
σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακοὺς, καὶ ἐπείρασας
τοὺς λέγοντας ἑαυτοὺς Ἀποστόλους εἶναι, καὶ οὐκ εἰσὶ,
3 καὶ εὗρες αὐτοὺς ψευδεῖς· καὶ ὑπομονὴν ἔχεις· καὶ ἐβάστασας διὰ τὸ ὄνομά μου, καὶ οὐκ ἐκοπίασας.

Ἄγγελον τῆς Ἐφέσου, τὴν ἐν αὐτῇ ἐκκλησίαν λέγει. οὐ γὰρ ὁ προστατῶν Ἄγγελος ἡμαρτήκει, ὥστε δεῖν[u] ἀκοῦσαι, μετανόησον, ὁ δι' ἁγιότητα ἐν τῇ δεξιᾷ τοῦ Κυρίου ὑπάρχων ἀστὴρ[x] ὢν, καὶ δεῖγμα τοῦτο φέρων τῆς κατὰ τὴν αὐτοῦ φύσιν[y] ἐκ καθαρότητος φωτοειδοῦς μαρμαρυγῆς. τίς δὲ καὶ χρεία γράφειν τῷ ἐν τῇ δεξιᾷ τοῦ διαλεγομένου παρόντι; ὃς καὶ οὐδὲ αἰσθητῆς

[p] ἐπιγν. ἀληθ. σωθῆναι B. [q] καταμηνῦσαι B. [r] ὥσπερ B. [s] ἐλέγετο ἂν om. B. [t] εἰκὼς B. [u] ὡς δεῖς B. [x] καὶ ἀστὴρ B. [y] αὐτῆν φύσιν B.

ἀκοῆς οἷα νοερὸς ὢν δεόμενος ἦν; εἶτα καὶ ὅτι προϊὼν οὗτος ὁ τῆς ὀπτασίας[z] ὑφηγητὴς ἅγιος οὐ τοῖς Ἀγγέλοις φησὶν, ἀλλὰ ταῖς ἐκκλησίαις, τί λέγει τὸ Πνεῦμα τὸ Ἅγιον ἀκούειν[a], οὐκ ἄδηλόν ἐστι. καθὰ δεῖ[b] κἂν τοῖς λοιποῖς νοεῖν[c] τοῦ προκειμένου τοῦδε βιβλίου, ἔνθα ἂν εὑρίσκηται, γράψον τάδε τῷ Ἀγγέλῳ τῆσδε τῆς ἐκκλησίας, ὅτι οὐ τῷ Ἀγγέλῳ, ἀλλὰ περὶ τῆς ἐκκλησίας τοὺς λόγους διακελεύεται γράφειν, ὡσαύτως φανερόν[d].

Ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν.

Ὅμοιον τούτῳ τὸ[e] εἰπεῖν, τάδε λέγειν ὁ περιέπων καὶ διακρατῶν, καὶ συνέχων τούς τε οὐρανίους[f] Ἀγγέλους καὶ τοὺς ἐπὶ γῆς ἀνθρώπους. οὗτοι γὰρ[g] οἱ ἑπτὰ ἀστέρες, ὡς ἤδη εἴρηται, καὶ αἱ χρυσαὶ λυχνίαι καὶ λύχνοι, ὧν ἐν μέσῳ ὁ ἐνοικεῖν αὐτοῖς καὶ ἐμπεριπατεῖν ἐπαγγειλάμενος Κύριος.

Οἶδα τὰ ἔργα σου.

Οἶδα, καὶ οὐδέν με λέληθέν, φησι[h], τὸν καταμόνας πλάσαντα τὰς καρδίας ὑμῶν, τὸν συνιέντα εἰς πάντα ἔργα[i] ὑμῶν, καὶ ὅτι τῶν πονηρῶν οὐ δύνασαι[k] ἀκοῦσαι μισοπόνηρος οὖσα, καὶ ὅτι ἐπείρασας τοὺς λέγοντας ἑαυτοὺς Ἀποστόλους, καὶ εὗρες αὐτοὺς ψευδαποστόλους. θεῖον γὰρ πληροῦντες οἱ ἐν Ἐφέσῳ παράγγελμα, τὸ φάσκον, μὴ παντὶ πνεύματι πιστεύειν, ἀλλὰ δοκιμάζειν, τουτέστι, τὸ δοθὲν αὐτοῖς διδασκαλικὸν ἀξίωμα, εἰ κατὰ τὴν εὐαγγελικήν ἐστι διάταξιν, ἐν αὐτοσκευῷ τῇ χρείᾳ συστελλόμενοι[l] διετέλουν[m], ἀλλ' οὐχὶ βρώμασι καὶ πότοις καὶ γάμοις βακχευόμενοι[n], καὶ τὸν ἀπολαυστικὸν βίον τοῦ ἐγκρατοῦς ἐπίπροσθεν φέροντες[o], οἷοι οἱ[p] περὶ Κήρινθον συγχρονίσαντες τῷ Ἀποστόλῳ καὶ Εὐαγγελιστῇ, νόθων δογμάτων καταγγελεῖς.

Καὶ ὑπομονὴν ἔχεις.

Ἐκοπίασάς φησι, καὶ ὑπέμεινας, εἰς μηδὲν ἀποκαρτερήσας[q] τῶν ἐπιφυέντων διὰ τὸ ὄνομά μου, καὶ μάλα πρεπόντως. εἴρηται γὰρ, "ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν

[z] ἐκκλησίας Edd. [a] ἀκούειν om. Edd. [b] καθὰ δεῖ om. Edd. [c] νοεῖν om. Edd. [d] ὡσαύτως φαν. om. B. [e] τοῦτο τῷ B. [f] Edd. ἀνθρωπίνους. [g] οὗτοι γὰρ, ὡς ἤδη εἴρηται B. [h] οὐδέν μέ φησι λέληθε B. [i] τὰ ἔργα B. [k] ὅτι ἀδύνασαι βαστάσαι κακοὺς B. [l] συστελλόμενον B. [m] διετέλουν om. B. [n] βακχευόμενον B. [o] ἐπίπροσθε φέρον B. [p] ὁποῖοι B. [q] ἀποκαρτερήσασα B.

νόμον τοῦ Χριστοῦ." εἰκὸς γὰρ παρὰ τῶν ψευδαποστόλων ἐπηρείας αὐτοῖς ἐπενεχθῆναι, οἷς ἀνταποδοῦναι οὐδ' ὅλως ἐμελέτησεν [r], ἀλλ' ὡς μελῶν παρειμένων ἠνέσχετο.

Καὶ ἐβάστασας.

"Ἐβάστασας," ἀντὶ τοῦ ἠνέσχου. "οὐκ ἐκοπίασας" δὲ, ἀντὶ τοῦ οὐκ ἀπεκαρτέρησας, οἱονεὶ, οὐκ ἀπηγόρευσας, οὐ προδέδωκας, οὐκ ἐλιποτάκτησας διὰ τὸ ὄνομά μου. "ὄνομα" δὲ, τὴν δόξαν, τὸ κλέος φησὶν, ὡς καὶ ἐπὶ τοῦ, "θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ [s]" καὶ πῶς οὐ κλέους μεστὸν, τὸ τοὺς Χριστιανοὺς μὴ ἀντιδιδόναι σπεύδειν κακὸν ἀντὶ κακοῦ; ὡς καὶ Παῦλος [t] ὁ θεῖος παραινεῖ, "μὴ γίνεσθε," φάσκων, "ἑτεροζυγοῦντες ἀπίστους."

4 Ἀλλὰ ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώ-
5 την ἀφῆκας. μνημόνευε οὖν πόθεν πέπτωκας, καὶ με-
τανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον. εἰ δὲ μὴ,
ἔρχομαί σοι ταχύ. καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ
6 τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. ἀλλὰ τοῦτο ἔχεις,
7 ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ. ὁ
ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.
τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ
ἐστιν ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ μου.

Ἐν δυσὶ τὴν ἐκκλησίαν ἀποδεχόμενος, τῆς ὑπομονῆς τοῦ ἄχθους λέγω, καὶ τῆς τοῦ κόπου τῶν ἀντιδιατιθεμένων ἀζηλίας, ἑνὸς τούτου μέμφεται, ὃ καὶ μέσον θεὶς ἑκατέρων, τοῦ κόπου φημὶ καὶ τῆς ὑπομονῆς, τὴν πρὸς τοὺς κακοὺς ἐπήνεσεν ἀλλοτρίωσιν μετὰ τοῦ πειράσαι καὶ τοὺς ψευδαποστόλους καὶ τὴν τῶν Νικολαϊτῶν αἰσχρουργίαν. ἐμέμψατο δὲ καὶ τῆς πρὸς τοὺς πλησίον χορηγίας τὴν ὀλιγωρίαν, ἣν αὖθις ἀνακαλέσασθαι ἐπισκήπτει, τὰ πρῶτα, φάσκων, ἔργα ποίησον ἐν δικαιοσύνῃ. οὐ γάρ με λανθάνει, φησὶν, οὔτε τὰ πρῶτά σου τῶν πράξεων ἀγαθὰ, οὔτε ὅτι τὴν εἰς τοὺς δεομένους ἀγάπην [u] ἐνέκοψας. ἐπάνελθε οὖν διδαχθεῖσα παρὰ ἐμοῦ τί [x] ἐνέλειψας.

Ἔρχομαί σοι ταχύ.

Τὸ ἔρχομαι, οὐ μεταβατικὴν δηλοῖ κίνησιν τοῦ πάντα πληροῦντος Θεοῦ, ἀλλὰ τὴν ἐκ μακροθυμίας [y] πρὸς κόλασιν ἐπιστρο-

[r] οὐδόλως ἐμέλησεν B. [s] ἐν πάσῃ τῇ γῇ om. Edd. [t] ὡς Παῦλος B.
[u] ἀγάπην σου B. [x] Edd. ὅτι. [y] Sic B. ῥαθυμίας Edd.

φήν. κίνησις δὲ ἐκκλησίας ἡ τῆς θείας χάριτός ἐστι γύμνωσις, δι' ἣν ἐν σάλῳ καὶ κλύδωνι ὑπὸ τῶν πονηρῶν πνευμάτων καὶ τῶν ὑπουργούντων αὐτοῖς μιαρῶν ἀνθρώπων γίνεται ἡ Ἐκκλησία, ὥστε καὶ λέγειν τοὺς ταύτην συγκροτοῦντας ἀνθρώπους[z], " *ἐταράχθη ἐν* " *θυμῷ ὁ ὀφθαλμός μου, καὶ, ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί.*"

Ἀλλὰ τοῦτό, φησιν, ἔχεις ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν.

Μεταξὺ τῶν λυπηρῶν τίθησι[a] *καὶ τὰ πρὸς εὐθυμίαν ἄγοντα, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ*[b] *τὰ τῆς Ἐκκλησίας. φησὶν οὖν, ὅτι μετανοίᾳ*[c] *σε εὐεπιχείρητον καταλαμβάνω, ἀφ' ὧν σύνδρομον ἔχω σε τοῦ μίσους μου τοῦ περὶ τοὺς Νικολαΐτας. οὗτοι δὲ παρονομάζονται ἀπὸ Νικολάου ἑνὸς τῶν ἑπτὰ διακόνων. καὶ τίνες δὲ ἦσαν*[d] *τὴν αἰσχρουργίαν, Ἐπιφανίου τοῦ ἐκ Κύπρου θείου ἀνδρὸς ἡ τῶν Παναρίων αὐτοῦ βίβλος δηλώσει.*

ἌΛΛΩΣ. *Κίνησιν λυχνίας τινὲς, καὶ τὸν ἱερατικὸν*[e] *τῆς Ἐφέσου θρόνον ὑπέλαβον, Κωνσταντινουπόλει τὰ πρεσβεῖα ἑαυτῆς ἐπιδοῦσα.*

Τοῦτό, φησιν, ἀγαθὸν ἔχεις τὸ μισεῖν τὰ ἔργα τῶν Νικολαϊτῶν· ταῦτα μὲν ὁ χρηματισμὸς, εἶτα τὸ ἀφ' ἑαυτοῦ τίθησιν, " *ὁ ἔχων* " *οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς Ἐκκλησίαις*[f]."

Ὁ ἔχων οὖς ἀκουσάτω.

Σαρκικὸν οὖς πᾶς ἄνθρωπος ἔχει, πνευματικὸν δὲ ὁ θεοφορούμενος. ὅπερ τῷ Ἡσαΐᾳ προστέθειται καὶ τῷ θεσπάτορι Δαβὶδ εὐήκοον γενέσθαι, ἀφ' οὗ καὶ εὐχαρίστως διατιθέμενος μελῳδεῖ, " *εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου,*" *οἱονεὶ οἷς ἀκοὴ τὸ ἐπαινετὸν φέρει, τούτοις κἀμοῦ τὸν πόθον ἀφωμοιώσατο*[g]. *τὸ Πνεῦμα δὲ ταῦτα λέγειν φησὶν, ἢ ὅτι πνευματικῶς ἐνηργεῖτο παριστῶν τὰ τῆς Ἀποκαλύψεως, ἢ Πνεῦμα τὸν Χριστόν φησι, καθό ἐστι καὶ νοεῖται Θεὸς, ὥσπερ ἀμέλει καὶ Υἱὸς ἀνθρώπου χρηματίζει, καθό ἐστιν ἄνθρωπος καὶ νοεῖται. καὶ ὅτι Πνεῦμα λέγεται ὁ Θεὸς, αὐτοῦ τοῦ Χριστοῦ πρὸς τὴν Σαμαρεῖτιν παριστῶσι*[h] *λόγοι,* " *πνεῦμα*" *ἀγορεύοντος*[i] " *ὁ Θεὸς, καὶ τοὺς προσ-*

[z] ὑπὸ τῶν τῆς πονηρίας ἀνθρ. γίνεται ὥστε τοὺς τ. συγκροτ. λεγ. Edd.
[a] τίθεις Edd. [b] καταποθεῖ B. [c] μετανοίας B. [d] καί τινες τὴν αἰσχρουργίαν B. [e] ἀρχιερατικὸν B. [f] Hoc Schol. quo carent Edd. dedi e Cod. B. [g] ἀφοσιώσατο B. [h] παριστῶντες B. [i] διαγορεύοντες B.

"κυνοῦντας αὐτὸν[k] ἐν πνεύματι καὶ ἀληθείᾳ," καὶ τὰ ἑξῆς. καὶ τί τὸ Πνεῦμα λέγει;

Τῷ νικῶντι δώσω φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς.

"Νικῶντι," τὸν πρὸς τοὺς δαίμονας πόλεμον, ὃς διὰ τῶν συμφύτων ἡμῖν παθῶν ἀνερεθίζεσθαι εἴωθεν. "ξύλον δὲ ζωῆς[l]" τροπικῶς, τὸ[m] ἐν μέσῳ τοῦ Παραδείσου, καὶ Παράδεισον τὴν μακαρίαν καὶ αἰωνίζουσαν[n] ἐκληπτέον ζωὴν, ἐν ᾗ σοφίας ἄφθονος χύσις, περὶ ἧς καὶ Σολομῶν φησί[o]. "ξύλον ζωῆς ἐστι τοῖς ἀντεχομένοις "αὐτῆς." ὁ δὲ παρὼν Εὐαγγελιστὴς περὶ τοῦ Χριστοῦ[p] φησὶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς καὶ ζωὴ ἡ αἰώνιος[q], οὗ ἐν τῷ Παραδείσῳ τῇ μελλούσῃ ἀτελευτήτῳ ζωῇ ἐν ἀπολαύσει οἱ ἅγιοι γενήσονται.

Τοῦ Θεοῦ μου.

Μή τις ἀκούων ταῦτα σκανδαλιζέσθω. πρέπει γὰρ τὰ ταπεινὰ πάντα τῇ δι' ἡμᾶς σωτηρίῳ ἡμῖν τοῦ θεανθρώπου οἰκονομίᾳ. ἐπεὶ καὶ ἐν Εὐαγγελίοις φησὶν ὁ αὐτός· "ἀναβαίνω πρὸς τὸν Πατέρα "μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν," ὡς τοῦ μὲν φύσει, τῶν δὲ θέσει.

ΚΕΦ. Δ.

Τὰ δηλωθέντα τῷ ἐν τῇ Σμυρναίων ἐκκλησίᾳ Ἀγγέλῳ.

8 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Σμύρνῃ ἐκκλησίας γράψον.
τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς
9 καὶ ἔζησεν. οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν
πτωχείαν, ἀλλὰ πλούσιος εἶ. καὶ τὴν βλασφημίαν τῶν
λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς καὶ οὐκ εἰσὶν, ἀλλὰ
10 συναγωγὴ τοῦ Σατανᾶ. μηδὲν φοβοῦ ἃ μέλλεις παθεῖν.
ἰδοὺ δὴ μέλλει βαλεῖν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακὴν,
ἵνα πειρασθῆτε, καὶ ἕξετε θλίψιν ἡμέρας δέκα. γίνου
πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς
11 ζωῆς. ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς
ἐκκλησίαις. ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ
δευτέρου.

[k] αὐτῷ B. [l] ζωῆς om. Edd. [m] τὸ om. B. [n] διαιωνίζουσαν B. [o] φησὶ om. B. [p] τὸν Χριστόν φησιν B. [q] ζωὴ αἰώνιος B.

[r] Ὅτι οὐκ Ἀγγέλῳ τὰ προστάγματα ταῦτα, ἀλλὰ τῷ ἀθροίσματι τῶν πιστῶν ἐστὶν ἡ Ἐκκλησίᾳ, διεσαφεῖται ἤδη.

Σύνταξις τῶν προειρημένων κατὰ μικρὰς παραφράσεις καὶ τῶν ἐλλειπῶν ἀναπληρώσεως σαφηνείας χάριν, ταῦτα χρηματίζει ὁ προαιώνιος τῇ φύσει, καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ φιλανθρωπίαν ἄνθρωπος Ἰησοῦς Χριστός. δι' ἣν φιλανθρωπίαν πεῖραν ἠνέσχετο θανάτου τριημέρου, καὶ ἀνέστη εἰς παλινζωΐαν ἡμᾶς ἐπελπίζων ἀνελλιπῆ.

Πρῶτος καὶ ἔσχατος ὁ Χριστὸς, ὡς Θεὸς καὶ ἄνθρωπος. πρῶτος τῇ θείᾳ φύσει, ἔσχατος, ὡς δι' ἡμᾶς ἐπ' ἐσχάτων[s] ἄνθρωπος γενόμενος. καὶ νεκρὸς δὲ ὁ αὐτὸς τριήμερος, καὶ αὖθις ἀνοίξας ἡμῖν διὰ τῆς αὐτοῦ ἀναστάσεως ὁδὸν[t] τῆς ζωῆς. καὶ τί φησιν οὗτος; "οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν," ἃ δι' ἐμὲ ὑπομένεις, ὑπὸ τῶν ἀπίστων μαστιζόμενος καὶ τῶν ὑπαρχόντων στερούμενος. μὴ οὖν ἐν τῷ θλίβεσθαι καὶ πτωχεύειν εἴπῃς καὶ αὐτός. "τί ὅτι ἐνηστεύσαμεν καὶ οὐκ ἔγνως, ἐταπεινώ-"σαμεν τὰς ψυχὰς ἑαυτῶν, καὶ οὐ προσέσχες;" εἰ γὰρ καὶ ταῦτα, ἀλλὰ πλούσιος εἶ, ἐν τοῖς πνευματικοῖς τὸν θησαυρὸν ἔχων κεκρυμμένον ἐν τῷ ἀγρῷ τῆς καρδίας σου, ὅς ἐστιν ὁ Χριστός· δι' ὃν καὶ πλούσιος εἶ, ὡς τοῦτον ἔχων σκεπαστὴν, ὃς καὶ αὐτὸς πλούσιος ὢν, ἐπτώχευσε δι' ἡμᾶς.

Οἶδά σου τὰ ἔργα.

Δηλαδὴ τὰ χρηστὰ καὶ τὴν διὰ ταῦτα θλίψιν καὶ πτωχείαν, τὴν διὰ φθόνον ἀπὸ τῶν συνεργῶν τοῦ διαβόλου βλασφήμων Ἰουδαίων ἐπαγομένην ὑμῖν. οἵ τινες Ἰουδαῖοι ὀνόματι μόνον[u], τῇ δὲ ἀληθείᾳ συναγωγὴ τοῦ διαβόλου εἰσίν. ἀλλὰ κἂν ἐξ ἐπηρείας πτωχεύῃς, ἐμοὶ ἀνακείμενος τῷ πάντων[x] ἀγαθῶν πρυτάνει, πλούσιος εἶ. διόπερ μηδὲν φοβοῦ τῶν μελλόντων σοι ἐπενεχθῆναι ἀπὸ τῶν συνεργῶν τοῦ διαβόλου θλιβερῶν ἐγκλεισμῶν φυλακῆς καὶ πειρασμῶν ἄλλων[y], ὧν ἐφήμερος ἡ ἐπιφορὰ, καὶ ὅσον εἰ καὶ ἡμερῶν δέκα ἐξισουμένη; γίνου οὖν καρτερικὸς καὶ μὴ ἐκλυόμενος μέχρι θανάτου, ὑπὲρ ὧν λήψῃ τὸν στέφανον τῆς ζωῆς.

[r] Hoc et seq. Schol. carent Edd. dedi ex Cod. B. [s] ἔσχατον Edd.
[t] τὴν ὁδὸν B. [u] ὀνόματι μόνον Ἰουδαῖοι B. [x] τῶν πάντων B.
[y] ἐγκλεισμῶν φυλ. καὶ πειρ. ἄλλων add. ex B.

Καὶ τὴν βλασφημίαν.

Κατὰ κοινοῦ τὸ, "οἶδά σου," ἵνα ἐξακούηται οὕτως. οἶδά σου τὰ ἔργα, οἶδα καὶ τὴν βλασφημίαν τῶν τῷ λόγῳ μὲν Ἰουδαίων, ἔργῳ δὲ συναγωγῆς τοῦ Σατανᾶ. οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ, καὶ τῇ περιτομῇ τῆς καρδίας, ὁ διὰ τῆς [z] τοῦ φαινομένου περιβλητοῦ τῷ γεννητικῷ μορίῳ δέρματος [a] ἀφαιρέσεως τοῦ ὑλικοῦ τοῦδε παντὸς βίου ἀλλοτριούμενον [b] ἑαυτὸν αἰνιττόμενος, καὶ πρὸς τὰ θεῖα [c] τῇ ψυχῇ ἐνσκευαζόμενον [d]. εἰ γὰρ Ἰούδας μὲν ἐξομολόγησις ἑρμηνεύεται, Ἰσραὴλ δὲ νοῦς ὁρῶν Θεὸν, πάντως οἱ ἀληθεῖς Ἰουδαῖοι καὶ Ἰσραὴλ οὗτοι εἰσὶν, οἱ Χριστῷ ἐξομολογούμενοι, ἤγουν εὐχαριστοῦντες ἀνθ' ὧν μεγάλα εὐεργέθημεν τῇ διὰ σαρκὸς αὐτοῦ πρὸς ἡμᾶς [e] ἐπιδημίᾳ. τοῦτο γὰρ ἡ ἐξομολόγησις δηλοῦν βούλεται. Ἰσραὴλ δὲ, ὃς [f] νῷ Θεὸν ὁρᾷ ἠξιωμένος [g], μηδενὶ τῶν ἀσχολεῖν εἰωθότων ἐπιπροσθούμενος [h]. οὐκοῦν οὐδὲ Ἰουδαῖοι οὔτε [i] Ἰσραὴλ οἱ τῇ ἀπιστίᾳ ἐμμένοντες [k] ἀνεπιστρόφως, ἀλλὰ βλασφημοῦντες συναγωγὴν ἑαυτοὺς ἀποφαίνουσι τοῦ Σατανᾶ ἐζωγρημένους ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα, ἅτε καὶ στρατηγουμένους [l] ὑπ' αὐτοῦ.

[m] Ἀλλὰ μὴ φοβεῖσθαι, φησὶν, ἃ γὰρ μέλλεις κακοπαθεῖν, εἰς ὀλίγον χρόνον τούτων ἡ θλίψις, καὶ οὐδ' ὅσον δέκα ἡμέραις παραμετρεῖσθαι ἀξία. ὅτι δοκίμιον ὑμῖν τοῦτο δίδοται τῆς πίστεως· διὸ καὶ ὁ Θεὸς συνεργεῖ. δοκίμους μὲν ὑμᾶς ἀποφαίνων, τὸν δὲ διάβολον καταισχύνων, οὗ ἐνεργείᾳ οἱ κακοποιοὶ ἐπιτίθενται τοῖς εὐσεβέσι. δεῖ δὲ καρτερεῖν ἄχρι θανάτου εἰς ἀντάμειψιν στεφάνων ζωῆς. διὸ καὶ εἴρηται, "ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθή-"σεται," οὐχ ὁ ῥιψάσπις καὶ πρὸς τοὺς ἀγῶνας μαλακίᾳ ἐνδούς.

Ὁ ἔχων οὖς ἀκουσάτω.

Ὁ τῇ πνευματικῇ συγκροτούμενος αἰσθήσει, καὶ νικῶν τὰ πνευματικὰ τῆς πονηρίας, ἀκουσάτω τοῦ πρὸς νίκην τούτων ἐπαλείφοντος θείου Πνεύματος.

[z] τῷ διὰ τοῦ B. [a] δέρματος om. B. [b] ἀλλοτριοῦν αἰνιττομένου B. [c] τὸ πρὸς τὰ θεῖα B. [d] ἐπηλήθη ψυχῇ ἐνσκευαζόμενον περιαιρεῖν B. [e] τῇ πρὸς ἡμᾶς αὐτοῦ διὰ σαρκὸς. [f] οἳ B. [g] ἠξιώμενοι B. [h] ἐπιπροσθούμενοι B. [i] οὗτος B. [k] ἐμμεμενηκότες B. [l] στρατηγούμενοι B.
[m] Hæc et seq. Schol. quibus carent Edd. dedi e Cod. B.

Ὁ νικῶν[n] οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

Ἀκριβὲς τὸ εἰρημένον, ὅτι δύο θανάτων ἀνθρώποις ὄντων, πρώτου τοῦ φυσικοῦ, ὅς ἐστι χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, κατὰ τὴν δικαίαν καὶ ἀπαραίτητον ἀπόφανσιν[o] τοῦ παντοκράτορος Θεοῦ, τὴν, "ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ." τοῦτον τὸν θάνατον ἀνυπερθέτως, πάντες ἄνθρωποι[p] δίκαιοι καὶ ἁμαρτωλοὶ μέτιμεν. δευτέρου δὲ πάλιν θανάτου καὶ ὀλεθριωτέρου, τοῦ δι' ἁμαρτίας ὄντος, ὃν τὸ τῆς ἀκολάστου[q] καὶ σαρκικῆς καὶ ἡδυπαθοῦς ζωῆς δέλεαρ τοῖς[r] ἀνθρώποις οἶδε πορίζειν. διὸ[s] καὶ ὁ Κύριος τοὺς ταύτην μεταδιώκοντας νεκροὺς ὀνομάζει, ὅταν[t] φῇ, "ἄφετε τοὺς "νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς." τοῦτον τὸν θάνατον, (τὴν ἐμπαθῆ λέγω ζωὴν,) ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ τῆς γεέννης εἰς ἀδιάλειπτον θανάτου[u].

ΚΕΦ. Ε.

Τὰ σημανθέντα τῷ τῆς Περγαμηνῶν ἐκκλησίας ἀγγέλῳ.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον.
τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν
13 ὀξεῖαν. οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ
θρόνος τοῦ Σατανᾶ. καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ
ἠρνήσω τὴν πίστιν μου ἐν ταῖς ἡμέραις, ἐν αἷς Ἀντίπας
ὁ μάρτυς μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου
14 ὁ Σατανᾶς κατοικεῖ. ἀλλὰ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι
ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδαξε
τὸν Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν
15 Ἰσραὴλ, καὶ φαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι. οὕτως
ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν
ὁμοίως.

Δίστομον ῥομφαίαν[x] φησὶν, ἢ τὴν κατὰ τὸν εὐαγγελικὸν λόγον τὸ πᾶν περιαιροῦσαν[y] τὸ περιττὸν τοῦ παρόντος βίου καὶ εἰς προκάλυμμα τοῦ ἀπὸ γενεᾶς ἡμῖν ἐπισκοτοῦντος τῶν θείων τῆς

[n] ὁ νικῶν οὐ μὴ ἀποθάνῃ B. [o] ἀπόφασιν B. [p] ἄνθρωποι om. B.
[q] τὸ ἀκόλαστον τῆς σαρκ. B. [r] δέλεαρ τοῖς om. B. [s] δι' ὃν B.
[t] ὅποταν B. [u] θάνατον Edd. [x] τὴν ῥομφ. B. [y] περιαιροῦντα B.

ἐποψίας κακῶν[z], ἢ τὴν κατὰ τῶν ἀσεβῶν ἀπότομον ἀπόφανσιν[a]. πρὸς τῷ διστόμῳ δὲ καὶ ὀξεία αὕτη, ἔτι καὶ ταχινὴ[b], εἰς ἐκδίκησιν τῶν ἀπειθούντων τοῖς θείοις κελεύσμασι. θρόνον δὲ τοῦ Σατανᾶ, τὴν Πέργαμον καλεῖ, ὡς κατείδωλον οὖσαν ὑπὲρ τὴν Ἀσίαν πᾶσαν. ἀλλ᾽ οὖν καὶ τοιοῦτον[c] οἰκοῦσα τόπον, φησὶν, ἀνόθευτόν μου τὴν πίστιν ἐτήρησας, μηδὲν ἐκτραπεῖσα ἀπὸ τῆς τῶν κακῶν γειτνίας πρὸς μίμησιν[d], οὐδὲ ζηλώσασα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν καὶ εὐθηνίαν[e] θεωροῦσα.

Ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου.

Ἀντίπας ὁ μάρτυς ἐν Περγάμῳ ἐμαρτύρησεν, οὗ καὶ τὸ μαρτύριον εἰς ἔτι σώζεται, πολλὰ παῤῥησιασάμενος τοῖς ἐκβουλεύουσι. καὶ[f] ὅσον εἰς αὐτὸν ἧκεν, ἄχρι θανάτου προὔβη. οὗπερ τῆς ἀνδρείας νῦν ὁ Εὐαγγελιστὴς ἐκ τῆς θεοκλυτίας[g] μέμνηται[h], πρὸς ἔνδειξιν ἐπεισαχθείσης τῆς ἐκείνου[i] ἀρετῆς καὶ[k] ὑπομονῆς τοῖς πιστοῖς, τῆστε τῶν πεπλανημένων ὠμότητος ὡς ὁμοσκήνων τῷ Σατανᾷ. ἐπειδὴ δὲ ἅπτεται καὶ τῶν ἁγιωτάτων ὁ μῶμος, καθ᾽ ὃν[l] πολλὰ πταίομεν ἅπαντες κατὰ τὸ γεγραμμένον, "τίς καθαρὸς ἀπὸ ῥύπου[m];" ὑμῖν πάλιν, φησὶ, καί τοι τοιούτοις οὖσι τὰ πρὸς θεραπείαν ἐμὴν, ἔχω τι ἐγκαλεῖν πάλιν κατὰ σοῦ[n], κἂν ἐπ᾽ ὀλίγον[o]· δύο γὰρ[p] χαλεπὰ, ὡς ἔοικεν, αὕτη ἡ πόλις τῶν Περγαμηνῶν ἐκέκτητο, τοὺς μὲν πλείονας Ἕλληνας, ἐξ αὐτῶν δὲ[q] τῶν ὀνομαζομένων πιστῶν, τοὺς αἰσχρουργοὺς Νικολαΐτας ἐπισπαρέντας "τῷ χρηστῷ σίτῳ ζιζάνια πονηρά." καὶ ὅπως δὲ τούτους, καὶ τίσιν[r] ὡμοιωμένους, διὰ τῆς πάλαι ἱστορίας παρέθετο.

Τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδαξε τὸν Βαλάκ.

Τὸν Βαλαάμ φησι διδάξαι τὸν Βαλὰκ[s], οἱονεὶ διδάσκαλον γενόμενον τοῦ Βαλάκ[t]. ἡ δὲ ἱστορία, ἐν τῇ βίβλῳ τοῦ θεσπεσίου Μωϋσέως ᾗ ὄνομα Ἀριθμοί. Ἰώσηπος δὲ ὁ Ἰουδαῖος[u], συμβουλῇ γράφει τοῦ Βαλαὰμ, τὸν βασιλέα Βαλὰκ τὰ γύναια παραστῆσαι[x] τῷ

[z] Sic B. καὶ τὸ ἀπὸ γενέσεως ἡμῖν ἐπισκοτοῦν τῶν θείων τῆς ἐποψίας Edd.
[a] ἀπόφασιν B. [b] ὅτι καὶ ταχεινὴ B. [c] ἀλλὰ καὶ τοιοῦτον B.
[d] πρὸς μίμησιν quod hab. B. om. Edd. [e] εὐθηνείαν B. [f] καὶ om. B.
[g] ἐκ τῆς θεοκλ. om. Edd. [h] μνημονεύει B. [i] τῆς τε ἐκ. B. [k] ἀρετῆς καὶ om. B. [l] καθὸ B. [m] ἁμαρτίας B. [n] πάλιν κατὰ σοῦ om. Edd.
[o] ἀπ᾽ ὀλίγων Edd. [p] γὰρ om. B. [q] δὲ om. B. [r] ὅπως καὶ τίσιν B. [s] βαλαὰκ B. [t] βαλαὰκ B. [u] Ἰώσηπος δὲ ὁ σπουδαῖος συμβουλῇ B. [x] παραστῆσαι αὐτὸν B.

λαῷ τοῦ[y] Ἰσραὴλ ἐκκαλούμενα[z] εἰς πορνείαν, (ὅτε καὶ Φινεὲς τὸ ἀοίδιμον ἔργον εἰργάσατο[a] τὸ ἐπὶ Ζαμβρὴ,) καὶ πρὸς τῇ ἀσελγείᾳ ταύτῃ, καὶ τὸν αὐτὸν Ἰσραηλίτην λαὸν πρὸς[b] μιαροφαγίαν ἑλκυσθῆναι[c], τὰ τῷ Βεελφεγὼρ ἀνατεθέντα κρέα εἰς βρῶσιν χρησάμενον[d]. [e]περὶ οὗ καὶ Δαβὶδ ὁ θεοπάτωρ φησὶν, "καὶ "ἐτελέσθησαν τῷ Βεελφεγὼρ, καὶ ἔφαγον θυσίας νεκρῶν·" θυσίαν λέγων νεκρῶν τὰ τοῖς εἰδώλοις τελεσθέντα κρέα· διὸ καὶ ἀπώλοντο. ἐξομοιοῦσθαι δὲ τούτοις φησὶ καὶ[f] τοὺς Νικολαΐτας κατά τε πορνείαν καὶ μιαροφαγίαν. ἃ[g] εἴ τις ἐπιζητεῖ ποῖα τινὰ ἦν[h], ὡς ἤδη παρεθέμην[i], ἐξ Ἐπιφανίου τοῦ Κυπρίου ἀρχιερέως Θεοῦ μάθοι, ὃς εἰς ὠφέλειαν πολλῶν, οὐκ ἀπηξίωσε τὸ βορβορῶδες τῶν Νικολαϊτῶν, κατά τε τὴν πορνικὴν ἀκολασίαν, κατά τε τὴν ἐπ' αὐτῇ βδελυκτοτάτην ἀκαθαρτοφαγίαν, πρόδηλον ἀνυποστόλως καταστῆσαι.

16 Μετανόησον οὖν. εἰ δὲ μὴ, ἔρχομαί σοι ταχὺ, καὶ
πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός
17 μου. ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς
ἐκκλησίαις. τῷ νικῶντι δώσω αὐτῷ ἀπὸ τοῦ μάννα τοῦ
κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ
τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν
εἰ μὴ ὁ λαμβάνων.

Ὦ βάθος πλούτου καὶ ἀγαθότητος Θεοῦ, ὅτι καὶ ἐν τῇ ἀπειλῇ ἡ φιλανθρωπία. πολεμήσω γάρ, φησιν, οὐ μετὰ σοῦ, ἀλλὰ μετὰ τῶν Νικολαϊτῶν τῶν νοσούντων τὰ ἀνίατα καὶ ἄχρηστα. τῶν γὰρ ἐν Περγάμῳ ἐφείσατο ὡς πιστῶν, ἑνὸς μόνου ἐπιμεμψάμενος αὐτοῖς τῆς μετὰ τῶν Νικολαϊτῶν ἀναστροφῆς[k]. ἀλλὰ καὶ τὸ ταχὺ τῆς κατ' αὐτῶν ἐπελεύσεως, πῶς οὐ κηδεμόνος καὶ μὴ ἀνεχομένου ἐπὶ πολὺ τὸν κλῆρον ἑαυτοῦ νοθεύεσθαι, ἀλλὰ ταχινὴν βραβεύοντα τὴν ἀντίληψιν;

Ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.

Ῥομφαίαν στόματος τίνα, καὶ διὰ τί εἴρηται δίστομος, ἔφθημεν πρὸ μικροῦ παραθέμενοι.

[y] τῷ Edd. [z] ἐκκαλούμενα om. Edd. [a] ἐκτελεῖ B. [b] καὶ πρὸς B. [c] ἐκκυλισθῆναι B. [d] χρησ. ἑαυτοῦ B. [e] Hæc usque ad κρέα λέγων om. Edd. [f] φησὶ καὶ om. B. [g] ἃ om. B. [h] ποῖα τινὰ ἦν om. B. [i] παρεθέμεθα B. [k] συναναστροφῆς B.

Τῷ νικῶντι δώσω αὐτῷ ἀπὸ τοῦ μάννα.

Ἐπειδὴ ὡς φθάνομεν παραθέμενοι, ἐξ Ἐπιφανίου τοῦ ἱεροῦ λαβόντες, ἐτολμᾶτο παρὰ τῶν μιαρῶν[l] Νικολαϊτῶν ἀξία τῆς τούτων ἀθεΐας ἐν τῇ ἀκαθάρτῳ μίξει[m] ἑαυτῶν ἡ[n] βλασφημοτάτη βρῶσις, τούτου χάριν τῷ νικῶντι δοθῆναι φαγεῖν τοῦ μάννα[o] ἀντὶ τῆς ἀκαθάρτου βρώσεώς τε καὶ βδελυρᾶς[p] ὑπέσχετο. Μάννα δὲ τροπικῶς ὁ ἄρτός ἐστι τῆς ζωῆς, ὁ οὐρανόθεν δι' ἡμᾶς κατελθὼν, ἢ[q] καὶ πάντα τὰ μέλλοντα ἀγαθὰ, ὡς οὐρανόθεν καὶ αὐτὰ καταπτάμενα, ὅπου καὶ ἡ ἄνω Ἱερουσαλήμ. νικῶντι δὲ τὸν διάβολον, δοθῆναι καὶ ψῆφον λευκὴν, τουτέστι, δόξῃ λελαμπρυσμένην. τοῦτο δὲ, τὴν λευκὴν ψῆφον, τὴν ἀπὸ τῶν ἐν τοῖς θεάτροις καὶ τοῖς σταδίοις ἀγωνιζομένων γνώριμον οὖσαν, τοῖς νικῶσι παρεχομένην, ἐνταῦθα τέθεικεν. ὄνομα δὲ καινὸν, τῇ παρούσῃ ζωῇ ἀγνοούμενον. "τὰ γὰρ ἀγαθὰ ἃ τοῖς ἀγαπῶσιν αὐτὸν ἡτοίμασεν ὁ Θεὸς, ὀφθαλ-"μὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου "οὐκ ἀνέβη." οὔτε[r] τὸ ὄνομα ὃ οἱ[s] ἅγιοι κληρονομήσουσι[t]. πῶς γὰρ οἷόν τε φθαρτῇ[u] γνώσει τὰ ἄφθαρτα παραδηλοῦσθαι.

[v]Τῷ νικῶντι. Ζήτει ὀπίσω.

Καὶ οὐδεὶς οἶδεν εἰ μὴ ὁ λαμβάνων.

Εἰκότως· ᾧ γὰρ ἡ δόσις, τούτῳ καὶ ἡ γνῶσις παρομαρτεῖ μετ' αἰσθήσεως.

ΚΕΦ. ϛ.

Τὰ γεγραμμένα τῷ τῆς Θυατείρων ἐκκλησίας Ἀγγέλῳ.

18 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον.
τάδε λέγει ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς
αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλ-
19 κολιβάνῳ. οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην καὶ τὴν
πίστιν, καὶ τὴν διακονίαν, καὶ τὴν ὑπομονήν σου, καὶ
τὰ ἔργα σου, τὰ ἔσχατα πλείονα τῶν πρώτων.

Σαφέστερον ἑαυτοῦ παρέχεται γνώρισμα ὁ χρηματίζων τῷ Εὐαγγελιστῇ, Υἱὸν ἑαυτὸν καταγγέλλων Θεοῦ, ἔχοντα τοὺς ὀφθαλ-

[l] τῶν μιαρῶν om. B. [m] ἀκαθαρτομιξίᾳ B. [n] ἡ om. B. [o] τοῦ μάννα φαγεῖν B. [p] ἀντὶ βρώσεως ἀκαθ. καὶ βδελ. B. [q] εἰ Edd. [r] τοῦτο δὲ Edd. [s] οἱ Edd. om. ὃ. [t] κληρονομοῦσι B. [u] φθαρτῶν B. [v] Quæ seqq. des. Edd.

μοὺς μὲν ἀφωμοιωμένους πυρὶ[x], ἅτε οἵους τε δικαίους μὲν φωτίζειν, πρὸς καῦσιν δὲ ἁμαρτανόντων ἑτοίμους. τοὺς πόδας δὲ χαλκολιβάνῳ ἀπεικασμένους. χαλκολιβάνῳ δὲ, ἢ τῷ ὑπὸ τῶν ἰατρῶν ἄρρενι καλουμένῳ λιβάνῳ, ὃς ἐκθυμιώμενος, μυρώδεις ἀτμοὺς ἀποπέμπει, ἐπεὶ καὶ οἱ Χριστῷ προσκεχωρηκότες, τοῖς πειρασμοῖς οἷα πυρὶ προσομιλοῦντες, τῷ δοκιμίῳ ἑαυτῶν εὐωδιάζειν τοὺς περιεστῶτας οὐχ ὑστεροῦσιν. ἐκ τούτου καὶ Παῦλος μεγαλαυχῶν[y], "Χριστοῦ φησὶν εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ[z] τοῖς "ἀπολλυμένοις." σωζομένοις μὲν, τοῖς ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου στοιχειωδεστέρᾳ τῇ πρὸς θεοσέβειαν ζωῇ προσλιπαροῦσιν ἐπὶ τελεωτέραν τῆς κατὰ Χριστὸν πίστεως ζωὴν, τῇ καρτερικῇ ἑαυτῶν ἐν στάσει οἷά τινι[a] εὐωδίᾳ ἐπαλείφοντες τούτους. ὥσπερ ἀμέλει καὶ τοῖς ἀπολλυμένοις ἐκτεθνηκυίας ζωῆς, κατὰ[b] τὸν τῆς εἰδωλομανίας φημὶ θάνατον[c] μεταστοιχειωθείσης τῆς ἐμπαθοῦς τῷ ὄντι ζωῆς, οὓς ἡ[d] κατὰ Χριστὸν ἀμώμητος εὐωδιάζειν οἶδε βιοτή[e]. ὥστε καὶ τούτους μετὰ τοῦ αὐτοῦ Παύλου ἐνωραΐζεσθαι φάσκοντας, "ζῶ ἐγὼ[f], οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός." οὕτω μὲν οὖν ἡ κατὰ τὸν[g] ἄρρενα λίβανον θεωρία. ἔστι καὶ χαλκολίβανον, ὡς ἤδη τεθεώρηται, τὴν ἐνανθρώπησιν τοῦ Κυρίου νοεῖν, ἤγουν τοῦ προαιωνίου Λόγου[h] Θεοῦ ἐπ' ἐσχάτων τῶν χρόνων, οἷά τισι ποσὶ, τῷ τεθεωμένῳ χρωμένην ἀνθρώπῳ. ὧν δύο φύσεων, θεότητός τε καὶ ἀνθρωπότητος τὴν ἀσύγχυτον ἕνωσιν, νοῦς ἀνθρώπινος εὐσεβεῖν ἐγνωκὼς, ἀνέπαφον οἶδε διατηρεῖν, ὡς ὑπερανεστηκυῖαν[i] θνητῆς καταλήψεως ἔρευναν.

Οἶδά σου τὰ ἔργα.

Ἔργα, μόνα τὰ[k] τῷ Θεῷ ἀνακείμενα λάμβανε[l]. τὸ εἰδέναι δὲ ἐνταῦθα[m], τὴν οἰκείωσιν σημαίνει, ὥσπερεὶ ἔλεγεν, οἰκείως κατὰ πάντα διαγίνῃ. οὕτω καὶ πρὸς Μωϋσῆ ἡνίκα λέγει, "οἶδά σε "παρὰ πάντας," καὶ τὸ, "οἶδε Κύριος τοὺς ὄντας αὐτοῦ," οὐκ ἄλλο οὐδὲν, ἢ τὴν οἰκείωσιν[n] παριστᾷν βούλεται. οἱονεὶ, "οἰκείως "διάκειμαι πρὸς τοὺς ἐμοὶ τὰς ἑαυτῶν ἀνατιθέντας σπουδάς."

[x] φλογὶ ἀφομοιωμ. B. [y] μεταλαχὼν Edd. [z] καὶ om. B. [a] ὡς οἷά τινι B. [b] κατὰ om. B. [c] εἰς θάνατον B. [d] ὃν ἡ B. [e] βιωτὴ B. [f] ζῶ ἐγὼ om. B. [g] τὸν om. Edd. [h] νοεῖν τὸν προαιώνιον λόγον B. [i] ὑπερανεστηκυίας Edd. [k] τὰ πρὸς μόνα B. [l] σχολάζειν B. [m] ἐνταῦθα νῦν B. [n] οἰκείωσίν μοι B.

ἀγάπην δὲ τὴν πρὸς τὰ θεῖα πεποίθησιν, ὡσαύτως καὶ τὴν πίστιν. ἡ γὰρ εἰλικρινὴς ἀγάπη τῷ διαλλήλῳ[o] *κρατύνεται κατορθώματι. διακονίαν δὲ, τὴν πρὸς τοὺς δεομένους ἐπικουρίαν φησὶ, καὶ ὑπομονὴν τὴν καρτερίαν τὴν πρὸς τοὺς πειρασμούς.*

Τὰ ἔσχατα πλείονα τῶν πρώτων.

"Τὰ ἔσχατα πλείονα τῶν πρώτων" εἰπὼν, ἐνέφηνεν ὅτι προϊόντες τὴν ἐπὶ τὸ βέλτιον ἐπίδοσιν, διὰ τῆς ἐργασίας τῶν θείων ἐντολῶν ἀτρύτῳ πόνῳ κοπιῶσιν[p].

20 Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἀφίῃς τὴν γυναῖκά
σου Ἰεζαβὲλ, ἡ λέγουσα ἑαυτὴν προφῆτιν, διδάσκειν
καὶ πλανᾷν τοὺς ἐμοὺς δούλους, πορνεῦσαι καὶ φαγεῖν
21 εἰδωλόθυτα. καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ.
22 καὶ οὐ θέλει μετανοῆσαι ἐκ τῆς πορνείας αὐτῆς. ἰδοὺ
βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ'
αὐτῆς εἰς θλίψιν μεγάλην. ἐὰν μὴ μετανοήσωσιν ἐκ
23 τῶν ἔργων αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν
θανάτῳ. καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ
εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας. καὶ δώσω ὑμῖν
ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

Εἰ διὰ τὴν πίστιν, φησὶ, καὶ τὴν περὶ τοὺς δεομένους χορηγίαν, τὸ εὐλαβὲς ὑμῶν καὶ ὑπομονητικὸν ἀποδέχομαι, ἀλλ' οὖν δικαίως ὑμῖν ἐπιμέμφομαι, ὅτι τὴν τῶν Νικολαϊτῶν αἵρεσιν ἐᾶτε ἀκμάζειν ἐν μέσῳ ὑμῶν[q]. *λέγει δὲ τροπικῶς ταύτην διὰ τοῦ τῆς Ἰεζαβὲλ ὀνόματος*[r] *τῆς τῷ Ἀχαὰβ συνοικησάσης, ταύτῃ παραβάλλων καὶ τοὺς ἀπὸ Νικολάου διὰ τὴν ἀσέλγειαν καὶ ἀσέβειαν. ἐπιμέμφεται οὖν ὅτι οὐ διώκουσιν*[s] *αὐτὴν, τουτέστιν, οὐκ ἀπωθοῦνται*[t] *αὐτὴν, ἀναιδῶς βλασφημοῦσαν καταισχύνοντες*[u], *ἀλλ' ἀνέχονται κοινωνεῖν αὐτοῖς τοῦ ὀνόματος τῶν*[x] *Χριστιανῶν, ὑφ' οὗ*[y] *λανθανόντως τοῖς ἁπλουστέροις τῶν δούλων μου, φησὶ, παρέχει σκάνδαλον. οὐχ ὅπως πορνείας, ἀλλ' ἤδη καὶ μιαροφαγίας, πορνείαν ἢ τὴν αἰσθητὴν λέγων, ἢ τὴν ἀπὸ Θεοῦ ἔκκλισιν, καθὸ καὶ*

[o] *διαλλη* cum parva lacuna B. [p] *ποιοῦνται* B. [q] *ἐᾶτε ἀκ. ἐν μέσῳ ὑμ.* om. B. [r] *ὀνομαστῆς* B. [s] *διώκει* B. [t] *ἀπωθῆται* B. [u] *καταισχύνων* B. [x] *τοῦ* B. [y] *ᾧ* B.

εἴρηται, τὸ, "ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν," καὶ τὸ, "ἐμοιχῶντο ἐν τῷ ξύλῳ." διὰ δὲ τῆς[z] τῶν εἰδωλοθύτων ἐδωδῆς ἔοικε καὶ τὰς ἄλλας διαιρέσεις[a] συντάττειν, αἳ καὶ αὐταὶ τοῖς εὐσεβοῦσιν ἐπιφύονται[b], ὃν δή τινα τρόπον ἐνῆν. οἱ γὰρ Νικολαΐται, εἰδωλόθυτα μὲν ἐσθίειν οὐ προυβάλλοντο, ἕτερα δὲ ὅμως[c], ἃ καὶ διανοηθῆναι τῆς τελεωτάτης ἀκαθαρσίας καὶ μιαρίας ἐστί[d]. τίνα δὲ ταῦτα πολλάκις ἡμῖν εἴρηται τὴν τῶν Παναρίων βίβλον παριστᾷν. καὶ οὐ τοῦτο μόνον τὸ βδελυρὸν[e] τῇ τῶν Νικολαϊτῶν αἱρέσει παρομαρτεῖ[f], ἀλλὰ καὶ προφῆτις εἶναι ὑποκρίνεται, πονηρῷ πνεύματι ἐνεργουμένη, καὶ τὸ θεῖον δῶρον εἰς ματαιότητα παραβάλλουσα, ἵνα καὶ Μωϋσέως ἀφειδοῦσα ἁλῷ, "οὐ λήψῃ," διαρρήδην βοῶντος[g], "τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σοῦ ἐπὶ ματαίῳ," καὶ τοῦ μακαρισμοῦ τοῦ θεοπάτορος ἀλλοτριουμένη[h] εὑρεθῇ, τῆς μὲν ἐλπίδος τοῦ Θεοῦ ἀστοχοῦσα, ἐπὶ ματαιότητας δὲ καὶ μανίας ψευδεῖς ἐμφιλοχωροῦσα.

Καὶ πλανᾷν τοὺς ἐμοὺς δούλους.

Τοὺς ἁπλότητι τρόπου βεβιωκότας, πλάνῃ ἕλκουσαν[i] εἰς πορνείαν καὶ βρῶσιν ἀπηγορευμένων.

Καὶ ἔδωκα αὐτῇ.

Ἐγώ φησιν ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν ἐπιστροφὴν ζητῶν[k], δέδωκα αὐτῇ μετανοίας καιρὸν, τὴν τιμωρίαν τέως ὑπερτιθέμενος. ἡ δὲ τῇ ἀνοχῇ κατεχρήσατο εἰς ἀμέλειαν[l] ἐνευκαιροῦσα τῷ ὀλεθρίῳ αὐτῆς[m], ἀλλ' οὐ τῆς σωτηρίας ἐπιστροφῆς ἀπρὶξ ἐχομένη.

Καὶ οὐ θέλει[n] μετανοῆσαι.

(Τοῦτο γὰρ ἅτε Θεὸς ἐπίσταμαι, διὸ καὶ εἴρηται, "ἐτάζων "καρδίας καὶ νέφρους ὁ Θεὸς,") ἐπεὶ[o] οὖν τῇ δεδομένῃ αὐτῇ πρὸς μετάνοιαν ἀνέσει οὐκ ἐχρήσατο, "ἰδοὺ βάλλω αὐτὴν εἰς κλίνην·" ἀντὶ τοῦ, εἰς ἀρρωστίαν. οἶδε γὰρ τὴν κλίνην ἡ γραφὴ ἀπὸ τῆς ἀρρωστίας λαμβάνειν, ὡς ὅταν λέγῃ, "ὅλην τὴν κλίνην αὐτοῦ

[z] τῶν B. [a] αἱρέσεις B. [b] ἐπεφύοντο B. [c] ὅμως om. B. [d] ἐστί om. B. [e] τῶν βδελυρῶν B. [f] τοῖς Νικολαΐταις παρομαρτεῖ B. [g] βοῶν τὸ B. [h] ἀλλοτριῶται B. [i] πλανᾷ ἕλκουσα B. [k] ζητῶν om. B. [l] ἐκτελέσαι B. [m] τῶν ὀλεθρίων αὐτῇ B. [n] ἐπειδὴ, φησὶν, οὐ θέλει B. [o] ἐπὶ B.

"ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ," κλίνην τὴν νόσον φάσκων, μεταβεβλῆσθαι ἐπὶ τὸ βέλτιον, ἤγουν εἰς ὑγίειαν. αὐτὴν μὲν οὖν οὕτω κακώσω. τοὺς δὲ μοιχεύοντας μετ' αὐτῆς, τοὺς συνεργοὺς καὶ συγκροτοῦντας αὐτῇ τὰ βδελυρὰ καὶ βορβορώδη δόγματα, διὰ συμφορῶν θλίψω. τὰ τέκνα δὲ, (τέκνα τοὺς διαδόχους τῆς τοιαύτης ὀνομάζων βδελυρίας,) θανάτῳ φησὶ μετελεύσομαι. κἀκείνους μὲν οὕτως. ὑμῖν δὲ οἷς οὐδὲν κοινὸν πρὸς τὴν μοιχαλίδα, ἁπλουστέροις τε[p] οὖσιν, [q]καὶ διὰ τρόπων ἁπλότητα ἐν ἀκακίᾳ πορεύεσθαι καρδίας ἐν μέσῳ τοῦ οἴκου ὑμῶν προῃρημένοις, ἐπείπερ οὐκ ἔστιν ἰσχὺς πρὸς τοὺς οὕτω πονηροὺς καὶ εὑρεσιλόγους τῇ πανουργίᾳ τῶν λόγων ἀντικαθίστασθαι, ἅτε καὶ τὰ βάθη τοῦ πονηροῦ καὶ τὰς μεθοδείας αὐτοῦ, ὡς φατὲ, μὴ ἐγνωκόσιν, οὐδὲν ἐπιθήσω βάρος, φησί. (βάρος δὲ τὴν διὰ τῶν λόγων μάχην[r] φησίν.) ἀρκεῖ φησὶν, ἐμοὶ τὸ διὰ τῶν ἔργων[s] δοκίμιον ἐκ φυλακῆς τῶν ἐξ ἀρχῆς παραδεδομένων ὑμῖν ἀκριβῶς[t] κατορθούμενον.

"Κλίνην," τὴν ἐπίνοσον εἰς ἄνεσίν τινα συντελοῦσαν[u].

Ἐὰν μὴ μετανοήσωσιν.

Καὶ ἐν τῇ ἀπειλῇ, χρηστότης ἐνθεωρεῖται. οὐ γὰρ ἐπάγει ἀμελλητεὶ[x] τὴν ἀξίαν τιμωρίαν, ἀλλὰ μετεωρίζει τὴν ἐπαγωγὴν μορμολυκίῳ[y], ὥσπερ ἐπισπάσασθαι τὴν μετάνοιαν κατεπείγων. [z]Μὴ μέμψῃ ὃς ταῦτα μετέρχῃ, εἰ τὰ προληπτικῷ[a] παρατεθειμένα, αὖθις ἀνασοβοῦμεν ταύτῃ παρατιθεμένοι· ἐκεῖ μὲν γὰρ τὸν ὅλον σκοπὸν τοῦ ῥητοῦ ἀνελλειπῆ διατηροῦντες, οὕτω προΐημεν· ἐνταῦθα δὲ τὸν οἰκεῖον τόπον τοῖς ἐφοδουμένοις παραδηλοῦντες, ὄκνου παντὸς τὴν σαφήνειαν προυτιμήσαμεν.

Καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι.

Ἐκ τοῦ τὰ λανθάνοντα τοὺς πολλοὺς[b] διὰ τὸ κρυφίως τοὺς αἱρεσιώτας τὰ βδελυρὰ πράττειν τὰ δηλονότι λανθάνοντα τοὺς πολλοὺς, (λανθάνει δὲ τοὺς πιστοὺς ὑπὸ τῇ Χριστιανῶν κλήσει

[p] δὲ B. [q] Quæ sequuntur sic transponit Cod. B. ἐπείπερ πρὸς τοὺς οὕτω πονηροὺς καὶ εὑρεσιλόγους οὐκ ἔστιν ἰσχὺς διὰ τρόπων ἁπλότητα ἐν ἀκακίᾳ πορεύεσθαι καρδίας ἐν μέσῳ τοῦ οἴκου ὑμῶν προῃρημένους, λόγων πανουργίᾳ ἀντικαθίστασθαι. [r] μάχην ἀφοριζόμενος B. [s] ἀρκεῖ τὸ διὰ τῶν ἔργ. B. [t] ἀκριβοῦς B. [u] Hoc Sch. om. Edd. [x] ἀμελλητὴ Edd. [y] μορμωλυκίῳ B. [z] Hoc Sch. carent Edd. [a] An προληπτικῶς? [b] Om. Edd.

ἐναφανιζομένων[c] ἐκείνων,) τούτους[d] ἐγὼ φωράσας, γνῶσιν ταῖς ἐκκλησίαις παρασχῶ πάσαις, ὅτι ἐκεῖνος οὗτος εἰμὶ, ὁ νεφροὺς ἐρευνῶν καὶ καρδίας. περὶ οὗ καὶ Ἡσαΐας φησὶ, "κρυβήσεταί "τε ἐν κρυφῇ, καὶ αὐτὸς οὐκ ὄψεται; ἢ οὐχὶ τὸν οὐρανὸν καὶ τὴν "γῆν ἐγὼ πληρῶ λέγει Κύριος;" ἐπεὶ τοίνυν ταῦτα οὕτως ἔχει[e], κατάλληλον ἑκάστῳ τῆς οἰκείας φιλοπονηρίας καὶ τὸν μισθὸν ἐπιβραβεύσω.

24 Ὑμῖν δὲ λέγω, καὶ τοῖς λοιποῖς τοῖς ἐν Θυατείροις,
ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην. οἵ τινες οὐκ
ἔγνωσαν τὰ βαθέα τοῦ Σατανᾶ, ὡς λέγουσιν, οὐ βάλλω
25 ἐφ' ὑμᾶς, ἄλλο βάρος. πλὴν ὃ ἔχετε κρατήσατε, ἄχρις
26 οὗ ἂν ἥξω. καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ
27 ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, καὶ
ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ
κεραμικὰ συντριβήσεται, ὡς κἀγὼ εἴληφα παρὰ τοῦ
28 πατρός μου. καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.
29 ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλη-
σίαις.

Ἐπαγγειλάμενος ἕκαστον τοῦ οἰκείου κόπου ἀξίας τυγχάνειν τῆς ἀντιδόσεως, ἐπιφέρει λοιπὸν καὶ τὰ[f] πρὸς ἃ τὴν ἐργασίαν ἀπασχολῶν[g] τοῦ κατ' ἀξίαν τεύξεται[h]. τοῖς οὖν οὐκ ἔχουσι τὴν πλάνην[i] διδαχὴν τῶν αἱρετιζόντων, τούτους ἀποδεχόμενος, φησὶν[k], ἀρκεσθήσομαι τῇ ἀλυμάντῳ[l] διατηρήσει τοῦ οὗ ἔλαβον καταρχὰς θείου δωρήματος· βάρος δὲ ἄλλο οὐδὲν ἐπιθήσειν αὐτοῖς διὰ τὸ τοῦ ἔθους ἁπλοϊκὸν, ἀφ' οὗ καὶ τὰ βάθη ἀγνοεῖν τὰ[m] τοῦ Σατανᾶ περίεστιν αὐτοῖς ὡς λέγουσι. βάρος δὲ, τὸ ἀπὸ τῆς λογομαχίας ἐπεισαγόμενον[n] τοῖς λογομαχοῦσιν ὀχληρόν. δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι.

Ὑμῖν λέγω.

Ἀπολύτως πρόεισι τῇ φράσει τῷ μεταβατικῷ συνδέσμῳ μὴ

[c] λανθάνειν δὲ ὑπὸ τῇ Χρ. κλ. ἐναφανιζομένους B. [d] τούτους om. Edd. Jerem. xxiii. 24. εἰ κρυβ. τις ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; [e] οὕτως ἐχ. om. B. [f] τὰ om. Edd. [g] ἀπασχολοῦντας B. [h] τιμήσεται B. [i] πλάνον B. [k] τούτου μόνον ἀποδεχόμενός φησιν αὐτοὺς B. [l] ἀλυμάστῳ B. [m] ἔλαβον ἁπλοϊκοῦ ἀφ' οὗ Edd. [n] ἐπεισαττόμενον B.

χρησάμενος· τὸ δὲ ἵνα οὕτως ἐξηκούετο· ὑμῖν δὲ τοῖς ἐν Θυατείροις τοῦτο ποιῶν εἰς παράστασιν τοῦ οὐχ ὡς ἄνθρωποι οὕτως καὶ Θεὸς τὴν ἐντυχίαν τοῖς πρὸς οὓς ποιεῖται κατακερματίζων τὸν καιρὸν ἰδιαζόντως πρὸς ἕκαστον τῶν χρηματιζομένων. ἀνθρωπίνης γὰρ ἔργον ἀσθενείας τὸ μὴ κατὰ ταυτὸν πολλοῖς κοινωνεῖν δύνασθαι λόγου. Θεῷ δὲ τοῦτο κατὰ τὸ ῥᾷστον· φημὶ δὴ τὸ ἅμα πρὸς διαφόρους ὁμιλίας τοῖς πολλοῖς τὸν ἕνα ποικίλλεσθαι[o].

Τοῖς[p] αἰσχροποιοῖς ἐπαπειλήσας τὰ ἄξια, πρὸς τοὺς ἁπλούστερον ἐπανηρημένους βιοῦν μεταφέρει τὸν λόγον, οὐδὲν ἄλλο ἀπαιτῶν ἀπ' αὐτῶν, ἢ τὴν εὐσεβῆ τῆς πίστεως παρακαταθήκην ἀλύμαντον διαφυλάττειν ἄχρι τῆς αὐτοῦ παρουσίας. παρουσίαν δὲ λέγει[q], ἢ τὴν τελευταίαν ὅτε τὴν πάντων κρίσιν κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ποιήσει, ἢ τὴν ἑκάστου ἀποβίωσιν, ὅτε πρὸς αὐτὸν ἀπιοῦσιν ἡμῖν, ἅτε τὴν πολυάσχολον ταύτην ἀπολείπουσι ζωὴν ἐν ἀσφαλεῖ ἐσόμεθα καταστάσει, τὴν ἐλπίδα τῶν βεβιωμένων ἀπαραλόγιστον ἔχοντες. ὃ καὶ μᾶλλον στοιχεῖν οὐκ ἀδόκιμον.

Οὐ βάλλω ἐφ' ὑμᾶς ἄλλο βάρος.

Τὸ φλυαρίαις διαπληκτίζεσθαι πρὸς τοὺς αἱρετικοὺς μάχας ἐγειρούσας· δοῦλον δὲ Κυρίου, καὶ Παῦλός φησιν, οὐ δεῖ μάχεσθαι[r].

Καὶ ὁ νικῶν καὶ ὁ τηρῶν.

Τῶν μὲν[s] δι' ἁπλότητα ἀπομάχων ἡ τήρησις τῶν ἐντολῶν ἀρκέσει πρὸς εὐαρέστησιν ἐμοί. τῷ[t] δὲ ἐκ μάχης καὶ πάλης τὸ ἀριστεῖον ἐπιφερομένῳ, πρὸς θρίαμβον τῆς νίκης, δώσω, φησὶν, ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, ἤτοι καθὼς ἐν Εὐαγγελίοις ὁ Κύριος τῷ καλῶς οἰκονομήσαντι τὰς μνᾶς καὶ τὰ τάλαντα, "ἔσο," φησὶν, "ἐπὶ δέκα πόλεις," καὶ ἑτέρῳ, "ἐπὶ πέντε πόλεις[u]." καὶ ἐν τῷ Δανιὴλ, δοθῆναι λόγος τὴν βασιλείαν ἁγίοις Θεοῦ[x]. ἀρχὴν γάρ τινα καὶ ἐξουσίαν ταῦτα δηλοῖ δοθησομένην τοῖς ἁγίοις κατὰ τῶν[y] ὑποδεεστέρων καὶ τοῦ διευθύνεσθαι[z] χρῃζόντων. διὸ καὶ τὸ,

[o] Hoc Sch. carent Edd. [p] εἶτα τοῖς Edd. [q] δὲ λέγει om. B.
[r] Hoc Sch. add. e Cod. B. [s] μόνον B. [t] Sic B. τὸ Edd.
[u] πόλεων B. [x] Hac cit. carent Edd. [y] τῶν om. Edd. [z] διευθύνασθαι Edd.

"ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου." ἁρμόσει ἐπὶ ταύτῃ τῇ πράξει[a]. αἰνίττεσθαι γὰρ ἔοικε διὰ τῆς ῥάβδου τῆς εὐθύτητος, τὸ ῥητὸν, ὡς οὐ κολαστικὴν εἰσηγεῖται παιδείαν, ἀλλ' ἐπανορθωτικήν. τὴν δὲ σιδηρὰν ῥάβδον οὐδεὶς δι' ἄλλό τι δίδοσθαι φήσει[b], εἰ μὴ τῆς κατὰ συντριβὴν τιμωρίας τῶν τῇ ἀπειθείᾳ ἐνεσκευασμένων, καὶ πρὸς κεραμικὰ σκεύη ἀφωμοιωμένων, ὥσπερ καὶ ἡ τῆς δυνάμεως ῥάβδος οὐκ ἄλλου τινὸς ἐξαποστελλομένη ἐκ Σιὼν, εἰ μὴ τῆς τῶν ἐχθρῶν κατακυριεύσεως. καὶ ἐπειδὴ παντὶ τῷ νικῶντι ἡ σιδηρὰ ῥάβδος ἐπαγγέλλεται δοθῆναι, εἴησαν[c] δὲ οὗτοι οἱ ἀπὸ τῶν ἐθνῶν προσπορίσαντες ἑαυτοὺς δι' εὐπειθείας Χριστῷ, οὗτοι καὶ κριταὶ ἔσονται τῶν ἀπίστων. ἐπεὶ καὶ τοὺς Νινευΐτας εἰς κρίσιν, ἤγουν κατάκρισιν τῆς πονηρᾶς, φησὶν ὁ Κύριος, ἀναστήσεσθαι[d] γενεᾶς. τὸ δὲ εἰληφέναι καὶ αὐτὸν παρὰ τοῦ πατρὸς τὴν ῥάβδον, ἡ δόσις καὶ λῆψις διὰ τὴν τῆς σαρκὸς πρόσληψιν παρεισέδυ[e], ἀλλὰ καὶ διὰ ταπεινώσεως ἔμφασιν. εἰ δὲ καὶ ἐπὶ τῆς θείας φύσεως τοῦτό τις θέλει[f] λογίσασθαι, οὐδὲν πρᾶγμα, τῇ δόσει καὶ λήψει, τὸ τῶν ὑποστάσεων ἰδικὸν, Πατρὸς φημὶ[g] καὶ Υἱοῦ, ἐμφανίζεσθαι.

Ἄχρι τέλους.

Ἄχρι τέλους τῆς ἑαυτοῦ ζωῆς. ἐξ οὗ καὶ δῆλον ὡς ἡ παρουσία αὐτοῦ οὐχ ἡ ἐσχάτη[h], ἀλλ' ἡ ἑκάστου ἡμῶν πρὸς αὐτὸν τέως ἐστὶν, [i]τὸ πρὸς μίαν ὑπόστασιν τὸ θεῖον ὥσπερ καὶ φύσιν μίαν πρεσβεύειν ἀποικονομίαν βουλόμενος.

Ἄλλως. Τὸ ὁ νικῶν καὶ ὁ τηρῶν. αἱ πτώσεις αὗται κατὰ σύνταξιν τοῦ λόγου δοτικὴν ἀπαιτοῦσιν. ἧς οὐ πολὺ φροντίζει, τῆς συντάξεως λέγω, ὁ μόνης τῆς σωτηρίας ἡμῶν φροντίζων Θεός[k].

Ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται.

Οὐ παραβολῆς ἐνταῦθα ἢ ὁμοιώσεως χάριν ἀφίξεως[l] εἴωθε τὸ ὡς[m], παρειλῆφθαι[n], ἀλλ' αἰτιατικῶς, ἀντὶ τοῦ ἵνα. τοῦ ἐξακούεσθαι χάριν οὕτως[o]. διὰ τοῦτό, φησι, ῥάβδος δίδοται σιδηρὰ, ἵνα τὰ

[a] ἁρμ. ἐπὶ τ. τῇ πρ. om. Edd. [b] φησὶν Edd. [c] ἦσαν Edd. [d] ἀνίστασθαι Edd. [e] περιεισέδυ Edd. [f] ἐνσταίει, i. e. ἐνσταίῃ B. [g] φημὶ add. B. [h] ἐσχάτη καὶ τοῦτο μὲν γάρ· B. [i] Quæ seqq. usque ad βουλόμενος suppl. e Cod. B. [k] Et hoc Sch. suppl. e Cod. B. [l] ἀφίξεως carent Edd. [m] ὡς om. Edd. [n] παρείληπται B. [o] τοῦ ἐξ. χαρ. οὔτ. om. Edd.

κεραμικὰ συντριβήσεται σκεύη. εἰ δὲ καὶ ἀνελλήνιστος ἡ σύνταξις, (οὐδέποτε γὰρ ὁριστικὸν ῥῆμα ὑποτακτικῇ λέξει[p] συντέτακται,) οὐδὲν μελήσει τοῖς διανοίᾳ μόνῃ, ἀλλ' οὐχὶ λέξεως ἀκριβείᾳ τὴν σωτηρίαν πορίζουσιν. Ἔστιν οὕτως καθ' ὑπέρβατον συντάσσειν, ἐν τῇ σιδηρᾷ, ἀντὶ τοῦ διὰ τῆς σιδηρᾶς συντριβήσεται ῥάβδου, ὡς τὰ σκεύη τὰ κεραμικά[q].

Ὡς κἀγὼ εἴληφα παρὰ τοῦ Πατρός μου.

Τὸ λαβεῖν οὐ καθυπεροχὴν τοῦ διδόντος παρείληπται, ἀλλ' εἰς παράστασιν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὑποστάσεως. ὡς ἂν καὶ τοῦτο ὁ Λίβυς τῆς ἀληθείας ἐχθρὸς καταισχύνοιτο[r].

Τὸν πρωϊνόν.

Ἀστέρα πρωϊνόν φησιν ὁ προφήτης Ἡσαΐας περὶ τοῦ Ἀσσυρίου, ἤτοι τοῦ Σατανᾶ, ὃν καὶ ὁ Χριστὸς ἐκ τοῦ οὐρανοῦ τεθεάσθαι ὡς ἀστραπὴν πεσόντα, καὶ δεδόσθαι εἰς καταπάτημα τοῖς ἁγίοις ἀπήγγελται[s]. ὃν καὶ Παῦλος συντρίψειν Θεὸν[t] ὁ Θεὸς ὑπὸ τοὺς πόδας τῶν μαθητῶν αὐτοῦ εὔχεται[u]· καὶ Δαβὶδ ἐπιρρωννύων τὸν κατὰ Θεὸν τὸν ὕψιστον προσίοντα[x], "ἐπὶ ἀσπίδα," φησὶ, "καὶ "βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα." ἢ οὖν ἀστέρα τοῦτον διδόναι ἡ θεοκλυτία[y] ἐπαγγέλλεται, ἢ τὸν ὑπὸ τοῦ Πέτρου λεχθέντα φωσφόρον ἐν ταῖς καρδίαις τῶν πιστῶν ἀνατέλλοντα, τὸ τοῦ[z] Χριστοῦ δηλαδὴ φῶς. ἀστὴρ δὲ τοῦ ἡλίου Χριστοῦ τῆς παρουσίας προανατείλας καὶ ὁ βαπτιστὴς Ἰωάννης[a], καὶ ὁ Θεσβίτης Ἡλίας τῆς δευτέρας παρουσίας Χριστοῦ[b] προάγγελος, μεθ' ὧν ἕξειν τὸ μέρος τοὺς νικητὰς τοῦ διαβόλου πιστεύομεν. οὐ θαυμαστὸν δὲ εἰ ἐπὶ τῶν ἄγαν ἀντικειμένων τὸ αὐτὸ ἐξειλήφαμεν, ἐπεὶ καὶ λέων ὁ Χριστὸς[c] ἐκ βλαστοῦ τοῦ Ἰούδα ἀναθορῶν, καὶ ἐκ Βασὰν δὲ λέων ὁ Ἀντίχριστος κατὰ τὴν θείαν γραφὴν ἀφορμώμενος, ἑκατέρου πρὸς τὸ ὑποκείμενον ἁρμοζομένου. νοεῖται δὲ καὶ ἡ τοῦ μέλλοντος αἰῶνος ἀνατολὴ, ἥτις τῷ σκότῳ τοῦ παρόντος βίου, κἂν εἰ φῶς νομίζεται, καλυφθήσεται·

p χρήσει B. q His carent Edd. r Et hæc add. e Cod. B. s ἐπήγγελται B. t φησὶν ὅτι συντρίβειν ὁ Θ. Edd. u ἔρχεται Edd. x παρίοντα Edd. y θεοκλητία Edd. z τοῦ om. B. a ἀστὴρ δὲ καὶ ὁ βαπτ. Ἰω. τοῦ ἡλ. Χρ. τῆς παρ. προαν. B. b δευτ. Χρ. παρ. B. c ὁ Χριστὸς om. Edd.

καὶ ὁ ταύτην εὐαγγελιζόμενος Ἄγγελος, προπορεύεται γὰρ αὐτῆς, τοῦ τῆς δικαιοσύνης ἡλίου ἐπιφανησομένου τοῖς ἁγίοις τὴν ἀχλὺν ταύτης διασκεδάζοντος[d].

ΚΕΦ. Ζ.

Τὰ ἀπεσταλμένα τῷ Ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας.

1 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον.
τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ καὶ τοὺς
ἑπτὰ ἀστέρας. οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις καὶ
2 ζῇς καὶ νεκρὸς εἶ. γίνου γρηγορῶν καὶ στήριξον τὰ
λοιπὰ ἃ ἔμελλεν ἀποθανεῖν. οὐ γὰρ εὕρηκά σου τὰ
3 ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ μου. μνημόνευε
πῶς εἴληφας, καὶ μετανόησον. ἐὰν οὖν μὴ γρηγορήσῃς,
ἥξω ἐπί σε ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν
ἥξω ἐπί σε.

Ἑπτὰ ἀστέρας, θείους Ἀγγέλους, ὡς προέφημεν, καὶ[e] *ἑπτὰ δὲ πνεύματα τοὺς αὐτοὺς νοοῦμεν*[f], *κατὰ τὸ εἰρημένον, "ὁ ποιῶν "τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα," ἢ τὰς ἐνεργείας τοῦ ζωοποιοῦ* Πνεύματος. *ἅπερ ἀμφότερα ἐν τῇ χειρὶ, ἤτοι ἐν τῇ ἐξουσίᾳ τοῦ* Χριστοῦ *ἐστι*[g]. *τοῦ*[h] *μὲν γὰρ δεσποτικῶς κρατεῖ, τοῦ δέ ἐστι χορηγὸς ὡς ὁμοούσιος, καθὸ καὶ εἴρηκε, "ἄλλον*[i] *παράκλητον πέμψω ὑμῖν παρὰ τοῦ* Πατρός." *οὐδὲν γὰρ ἐπὶ τῆς μακαρίας καὶ ὑπερουσίου* Τριάδος *ἐξιδιαζόμενον ὁρᾶται, πλὴν τῆς ἰδιοποιούσης ἐν αὐτῇ*[k] *πρόσωπον ὑπάρξεως.*

Οἶδά σου τὰ ἔργα.

Ἐνταῦθα τὸ, "οἶδα," τὴν ἁπλῶς γνῶσιν, οὐ τὴν κατοικείωσιν σημαίνειν βούλεται. διὸ καὶ ἐπιπλήττει τῇ ἐκκλησίᾳ, ὡς ψιλὸν ὄνομα ζωῆς ἐχούσῃ[l] *τῆς πίστεως, νενεκρωμένῃ*[m] *δὲ ἐξ ἀγαθῶν πράξεων. ὡς γὰρ ζωὴν οἶδε καλεῖν ἡ γραφὴ τὸν ἐνάρετον βίον*[n],

[d] Edd. (*τὸ γὰρ σκότος τοῦ παρόντος βίου καὶ φῶς γνωρίζεται, καλυφθήσεται, τοῦ τῆς δικαιοσύνης ἡλίου ἐπιφαινομένου τοῖς ἁγίοις, καὶ τὴν ἀχλὴν ταύτης διασκεδάζοντος,) καὶ ὁ ταύτην εὐαγγελιζόμενος ἄγγελος. προπορεύεται γὰρ αὐτῆς.*
[e] *καὶ* om. B. [f] *νοοῦμεν* om. B. [g] *εἰσι* B. [h] *τῶν* B. [i] *καὶ ἄλλον* B. [k] *αὐτὰ* B. [l] *ἐχούσης* B. [m] *νενεκρωμένης* B. [n] *τὰ ἐνάρετον* Edd.

τὴν κατὰ Θεὸν λέγω ζωὴν, καθ' ὃ καὶ εἴρηται, "ὅτι τὸ λόγιόν "σου ἔζησέ με," τουτέστιν, ἐπέστησέ με τρίβοις τῆς[o] τῷ ὄντι ζωῆς, οὕτω καὶ θάνατον τὸν πλημμελῆ βίον, ὡς δηλοῖ Παῦλος[p] ὁ θεῖος περὶ τῶν ἐξ ἀπιστίας εἰς τὴν Χριστοῦ πίστιν μεταβεβηκότων, οὕτω γράφων αὐτοῖς. "καὶ νεκροὺς ὄντας ὑμᾶς τοῖς "παραπτώμασι τῷ Χριστῷ." καὶ ἐν τῷ τοῦ ποιμένος βιβλίῳ οὕτως διαγορεύεται, καταβεβηκέναι τινὰς εἰς τὸ ὕδωρ τῆς κολυμβήθρας, δηλονότι[q] νεκροὺς, καὶ ἀναβεβηκέναι ζῶντας.

[r] Ζῇς καὶ νεκρὸς εἶ.

Ὄνομά σε ζωῆς, φησι, περιθεῖ, τῷ ὄντι δὲ νεκρὸς εἶ.

Γίνου γρηγορῶν καὶ στήριξον τὰ λοιπά.

Τὸν ὕπνον[s] τῆς ῥᾳθυμίας ἀποτιναξάμενος[t], καὶ τὰ μέλη σου, τὰ ἀποθνήσκειν τελέως μέλλοντα δι' ἀπιστίαν, στήριξον[u]. οὐ γὰρ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἔργων τὸν ἐργάτην στεφανοῖ τὸν δόκιμον[x], ἀλλ' ἡ ἐπιμονὴ ἄχρι τέλους[y]. τὸ "στήριξον[z]" δὲ, οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ τὸ οἱονεὶ στερροποίησον καὶ ἐνδυνάμωσον χαλαρά τε ὄντα καὶ πρὸς πτῶσιν ἑτοιμότατα[a]. ἐφ' ὅσον οὖν περιλείπεταί σοι, βραχέα ἐπιτηδεύματά, φησι, πρόσθες, ἵνα μὴ τέλεον ἀποσπάσῃς θάνατον[b]. ταῦτα γοῦν φύλαξον τὰ ἤδη[c] ζῶντα, ἐκεῖνα δὲ στήριξον[d] τὰ πρὸς θάνατον ἤδη ῥέποντα. οὐδὲν γάρ σου τῶν σπουδασμάτων πλῆρες ἐστίν. ἀλλὰ τὰ μὲν τέθνηκεν ἤδη, τὰ δὲ μέλλει. τὸ δὲ, ἐνώπιον τοῦ Θεοῦ μου, ὡς πολλάκις εἴρηται, ὡς ἀπὸ τῆς ἀνθρωπίνης προσλήψεως τῷ Υἱῷ τοῦ Θεοῦ συγκαταβατικώτερον προήνεκται[e].

Μνημόνευε πῶς εἴληφας.

Τὴν παράδοσίν φησιν ἣν ἐκ τῶν Ἀποστόλων εἴληφας τήρησον, καὶ ἐπὶ τῇ ῥαθυμίᾳ μετανόησον. καὶ τὰ μὲν ἔτι σου ζῶντα ἔργα, τήρησον[f] ἐν τῇ ζωῇ· ἐπὶ δὲ τοῖς τεθνεῶσι, διὰ μετανοίας τὴν παλινζωΐαν αὐτοῖς περιποίησον. μετάνοιαν, τὴν μετάθεσίν φησιν[g]

[o] τῆς om. Edd. [p] καὶ Παῦλος B. [q] δῆλόν ἐστιν B. [r] Hoc Sch. carent Edd. [s] τὸν ὕπ. φησι B. [t] ἀποτινάξας B. [u] στηρίσον B. [x] τὸν δόκιμον om. B. [y] ἀλλ' ἡ ἐπιμ. ἄχρι τελ. om. B. [z] στηρίσον B. [a] ἕτοιμα B. [b] φησὶ οὐ τέλεον ἀποθανόντα B. [c] τὰ ἤδη om. B. [d] ἐκ. δὲ στηρ. om. B. [e] προσήνεκται B. [f] τήρει B. [g] φησὶ καὶ μεταβολὴν B.

ἀπὸ τῶν χειρόνων, καὶ μεταβολὴν ἐπὶ τὸ βέλτιον[h]. [i]ἄδηλος δὲ ἡ ἐπέλευσις. διὰ τοῦτο γρηγορέναι ἀεὶ, καὶ μὴ λήγειν τῆς τοιαύτης πρὸς ἑτέραις ματαίαις ἐλπίσι τὴν σχολὴν ἀναλίσκοντα.

[k]"Ἐὰν οὖν μὴ γρηγορήσῃς," φησὶ, καὶ ὡς ἐξ ὕπνου τῆς ῥαθυμίας διαναστῆς "ἥξω σοι ὡς κλέπτης," τοῖς μὲν παρασκευασμένοις, πόνων μὲν ἀνάπαυσις, τοῖς δὲ ἀπαρασκευάστοις κλέπτης, ψυχικὸν ἐπάγων θάνατον. διὸ καὶ εἴρηται, "ἥξει ὁ Κύριος αὐτοῦ "ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει." καὶ τίς ἡ τοῦ Κυρίου παρουσία καὶ πηνίκα; ἡ μὲν παρουσία οἱονεὶ ὁ αὐτοπρόσωπος χρηματισμὸς, τηνικαῦτα δὲ, ὅτε καὶ τὸ τέλος ἡμῖν ἐπιστῇ τῆς φθαρτῆς ταύτης ζωῆς, οὐκέτι ἐπαγγελίαις ἀποθησαυριζομένων ἡμῖν τῶν ἑκάστῳ ἀξίων τῶν ἐνταῦθα πόνων γερῶν· ἀλλ' ἐφεστώτων ἤδη καὶ ὁρωμένων· οὐκ ἄλλου ἐνδέοντος ἢ μόνης τῆς δόσεως, ἣ τὸν πρὸς ἀπαραλόγιστον λῆψιν ἐκδέξεται καιρόν.

Καὶ οὐ μὴ γνῶς ποίαν ὥραν.

Ἄγνωστος γὰρ ὁ καιρός. καὶ[l] ὥσπερ ἡμῶν[m] ἑκάστῳ ὁ τοῦ θανάτου ἑκάστου[n] ἡμῶν, οὕτω πολλῷ μᾶλλον ὁ τῆς δευτέρας παρουσίας τοῦ Κυρίου[o].

4 Ἀλλ' ὀλίγα ἔχεις ὀνόματα ἐν Σάρδεσιν, οἳ οὐκ ἐμό-
λυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ
5 ἐν λευκοῖς, ὅτι ἄξιοι εἰσίν. ὁ νικῶν, οὗτος περιβαλεῖται
ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ
ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα
αὐτοῦ ἐνώπιον τοῦ Πατρός μου, καὶ ἐνώπιον τῶν Ἀγγέ-
6 λων αὐτοῦ. ὁ ἔχων οὖς ἀκουσάτω, τί τὸ Πνεῦμα λέγει
ταῖς ἐκκλησίαις.

Διὰ τοὺς ὀλίγους τούτους δυσωπούμενος, ἀναβάλλομαί φησι καὶ μακροθυμῶ εἰς ὑμᾶς[p]. ἐπισημαντέον τὴν χρῆσιν τοῦ "ὀνόματα" ὡς ἀνελλήνιστον καὶ τῆς ἀδοκίμου χρήσεως καὶ κιβδήλης. ἤρκει γὰρ εἰπεῖν, ὀλίγους ἔχεις, ἀλλ' οὐκ "ὀλίγα ὀνόματα[q]." κἂν γὰρ ἡ ἰδιότης τῆς ὑποστάσεως [r]ἑκάστου ἀφωρίζηται[s] διὰ τοῦ κυρίου

h τὰ κρείττω B. i Quæ seq. non hab. Edd. k His carent Edd.
l καὶ om. B. m ἡμῖν B. n ἑκάστου om. B. o τοῦ κυρίου παρ. B.
p His carent Edd. q ὀνόματος Edd. r ἑκάστου διὰ τοῦ κυρίου ὀνομ. B. s ἀφορίζεται B.

ὀνόματος, ἀλλ' οὖν ἡ ἔγκριτος γλῶσσα τῆς Ἑλλάδος φωνῆς, εἰς ἀριθμὸν οὐκ οἶδε παραλαμβάνειν τὰ καθ' ἕκαστον εἰς γνῶσιν ἀριθμοῦ, ἀλλὰ τὰ ἰδικώτατα. πολλοὺς γὰρ ἢ ὀλίγους, ἢ δύο ἢ τρεῖς φησὶν ἀνθρώπους[s], ἀλλ' οὐ δύο ἢ τρία ὀνόματα, ὡς τοῦ μὲν, τοῦ ἰδιωτάτου[t] τῆς φύσεως ὄντος σημαντικοῦ, ἥτις διαμένειν[u] πέφυκε, τοῦ καθ' ἕκαστα δὲ, τῆς διαδοχῆς, ἥτις φθάνει σχεδὸν[x] τῆς ὑπάρξεως ἀφανιζομένης.

Οἳ οὐκ ἐμόλυναν.

Τοῦτο καλὸν κέκτησαι, φησὶν, ἔχουσά τινας τοὺς τὸ[y] ἱμάτιον τῆς σαρκὸς ῥυπαραῖς πράξεσι μὴ μολύναντας, οἳ[z] μετ' ἐμοῦ ἐν τῇ παλιγγενεσίᾳ λαμπροφορήσουσι[a]. τούτοις δὲ καὶ τέως δυσωπούμενος, ἀναβάλλομαι καὶ μακροθυμῶ εἰς ὑμᾶς[b]. ἱμάτια δὲ μὴ μολυνθέντα, τὰ σώματα λέγει τῶν ἁγίων, ὡς καὶ Ἰακὼβ ὁ πατριάρχης περὶ τοῦ ἐξ Ἰούδα βλαστήσαντος[c], ὅς ἐστιν Ἰησοῦς Χριστὸς[d], θεσπίζει, ὅτι πλυνεῖ ἐν οἴνῳ[e] τὴν στολὴν αὐτοῦ, τὸ σῶμα τοῦ αὐτοῦ Κυρίου λέγων, ὃ ἐν τῷ ἀχράντῳ αὐτοῦ πάθει εἰς ὑποτύπωσιν ἡμῶν ἐκαθάρθη. αὐτὸς γὰρ ἁμαρτίαν οὐκ ἐποίησε, φησὶν ὁ Ἡσαΐας[f], "ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς "θάνατον. αὐτὸς γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος "ἐν τῷ στόματι αὐτοῦ." τούτῳ τῷ Κυρίῳ[g] ὡσπερεί τι[h] δραματουργῶν ὁ αὐτὸς Ἡσαΐας φησὶ, "διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, ὡς "ἀπὸ πατητοῦ ληνοῦ πλήρους[i];" καὶ περὶ μὲν τῶν ἱματίων οὕτω θεωρεῖσθαι[k] ἄξιον, ὥστε τὸ[l] ἀμόλυντον αὐτῶν τὴν καθαρότητα τοῦ σώματος αἰνίττεσθαι[m]. ὁ νικῶν δέ φησιν. τίνα νικῶν; τὰ πάθη τῆς σαρκός[n]. οὗτος οὖν περιβαλεῖται[o] τὰ τῶν οἰκείων ἀρετῶν ἱμάτια, ἃ ἐκάθαρεν ἐκ κόπων θεοφιλῶν, καὶ λάμψει ὡς ἥλιος ἐν τῷ μέλλοντι αἰῶνι, καὶ τὸ ὄνομα αὐτοῦ, ὃ ἐγράφη[p] ἐν τῇ βίβλῳ τῶν τὴν μὴ ἐκλίπουσαν ζώντων ζωὴν, ἀνεξάλειπτον ἔσται, ὡς ὁμολογουμένου[q] αὐτοῦ[r] ἐνώπιον τοῦ Πατρός μου ὑπ' ἐμοῦ. ταύτης δὲ

[s] ἀνθρώπους φησιν B. [t] τοῦ μὲν ἰδικωτάτου B. [u] καὶ διαμ. B. [x] λοιπὸν B. [y] τοῦτο Edd. [z] οἷον B. [a] λαμπροφοροῦσι Edd. [b] ἡμᾶς Edd. [c] βλαστάνοντος B. [d] ὁ Χριστὸς B. [e] ἐν οἴνω, θεσπίζει B. [f] ὡς καὶ Ἡσ. φησὶν B. [g] κυρίῳ Ἰησοῦ B. [h] ὡς περί τι Edd. [i] πλήρη Edd. [k] τεθεωρείσθω B. [l] ὡς τὸ B. [m] αἰνίττεται B. [n] τὰ τῆς σ. B. [o] περιβολεῖται B. [p] αὐτοῦ ἔγραφεν B. [q] ὡς καὶ ὁμολογημένου B. [r] αὐτοῦ ὑπ. ἐμοῦ B.

τῆς ἐν τῇ βίβλῳ γραφῆς, καὶ τῆς ἔμπροσθεν τοῦ πατρὸς ὁμολογίας, [k]καὶ αὐτὴ ἐν τοῖς θείοις Εὐαγγελίοις ἐμνημόνευσε, λέγων τοῖς αὐτοῦ μαθηταῖς οὕτως, "χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν "τοῖς οὐρανοῖς." ἡ δὲ τῆς τοῦ ὀνόματος ὁμολογίας ἐπαγγελία καὶ[l] αὐτὴ ἐν τοῖς θείοις Εὐαγγελίοις ἀνάγραφος[m] τηνικαῦτα, ὁπότ' ἂν τὸν ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογοῦντα ἀνομολογήσασθαι[n] ἔμπροσθεν τοῦ Πατρὸς ἐμπεδοῖ, κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν. ὃ καὶ πᾶσι μὲν ἀπόκειται τοῖς ἁγίοις, διαφερόντως δὲ τοῖς μάρτυσιν[o].

Ἐνώπιον τοῦ Πατρός μου, καὶ ἐνώπιον τῶν Ἀγγέλων αὐτοῦ.

Τὸ ἐνώπιον[p] τοῦ Πατρὸς καὶ τῶν Ἀγγέλων αὐτοῦ εἴρηται, ὡς ὄντων[q] τῶν Ἀγγέλων πιστῶν[r] θεραπόντων καὶ εὐνοϊκῶν οἰκετῶν[s]. καὶ ποτὲ μὲν τοῦ Πατρὸς, ποτὲ δὲ ἑαυτοῦ τοὺς Ἀγγέλους καλεῖ, ὡς ὅταν λέγῃ, "ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ ὁ υἱὸς τοῦ ἀν-"θρώπου μετὰ σάλπιγγος μεγάλης." νῦν οὖν τοὺς Ἀγγέλους[t] τοῦ Πατρὸς, οὐκ ἀφαιρεῖται, τὸ καὶ αὐτοῦ εἶναι τοὺς ἁγίους Ἀγγέλους. οὐδὲν γὰρ τῇ[u] ἁγίᾳ φύσει ἐνθεωρουμένων, τινὶ τῶν τριῶν αὐτῆς ὑποστάσεων εὕροι τις ἂν ἐξιδιαζόμενον, πλὴν ἑνὸς τοῦ ὑποστατικῶς αὐτῷ προσόντος.

ΚΕΦ. Η.

Τὰ γραφέντα πρὸς τὸν τῆς Φιλαδελφέων ἐκκλησίας Ἄγγελον.

7 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Φιλαδελφίᾳ ἐκκλησίας
γράψον· τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ ἔχων τὴν
κλεῖδα τοῦ Δαβίδ, οὐδεὶς κλείσει, εἰ μὴ ὁ ἀνοίγων, καὶ
8 οὐδεὶς ἀνοίξει, εἰ μὴ ὁ κλείων. οἶδά σου τὰ ἔργα· ἰδοὺ,
δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς
δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ

[k] Quæ seq. usque ad τοῦ ὀνόματος om. Edd. [l] ἡ Edd. [m] ἀνάγραπτος B. [n] ἀνομολογηθήσεσθαι B. [o] ἁγίοις μαρτ. B. [p] τὸ εἰπεῖν B. [q] εἴρηται ὡς ὄντων om. B. [r] ὡς πιστ. B. [s] οἰκετῶν om. Edd. [t] εἴποτε δὲ τοὺς ἀγγέλους ἑαυτοῦ καλεῖ ὡς ὅταν ὁ Ματθαῖος φησι B. [u] τῶν τῇ B.

ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου.

Ἅγιος μὲν ἔστιν ὁ ἀληθινὸς ἅγιος, ὃς καὶ Υἱός ἐστι τοῦ Θεοῦ. καὶ τῷ τρισσῷ τῶν Σεραφὶμ ἁγιαστικῷ ὕμνῳ τὸ ἀληθὲς ἀποφέρεται, ὡς καὶ ἐν τῷ[y] θεαστικῷ Ἡσαΐᾳ κεχρημάτισται, τοῦ τριττοῦ ἁγιασμοῦ εἰς μίαν συγκλειομένου κυριότητα, ἵνα καὶ τὸ τριττὸν δειχθῇ[z] τῶν ὑποστάσεων τῆς ὑπερουσίου Τριάδος[a], καὶ τὸ ἀδιάσπαστον τούτων τῷ ἑνιαίῳ τῆς κυριότητος. τοῦτο δὲ τῶν πεζῇ[b] καὶ θνητῶν φύσεως[c] τὸ ὑπερανεστηκὸς ὅσον, τίς ἂν διὰ λόγων παρεμφαίνοιτο[d]; κλεῖδα[e] δὲ τοῦ Δαβὶδ, τὴν παντοκρατορικὴν ἐξουσίαν φησὶ παριστῶν[f], δι' οὗ οἱ θησαυροὶ μόνου[g] τῆς θεοσοφίας ἀνοίγονται. τὴν μὲν οὖν πρώτην ἐξουσίαν κατὰ ἀνθρωπίνην[h] δέχεται φύσιν, ὡς καὶ αὐτοῦ τοῦτο[i] ἔσται ἀκοῦσαι, "ἐδόθη μοι[j] πᾶσα "ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς," φάσκοντος. τὴν δὲ δευτέραν ἔχει κατὰ τὸ ἄναρχον τῆς θεότητος. ἔστι γὰρ Ἐμμανουὴλ Θεὸς ἀληθὴς, κἂν οὐ βούλεται τοῦτο Νεστόριος, εἰ καὶ γέγονεν ἄνθρωπος. καὶ δή γε καὶ ἄνθρωπος ἀληθῶς οὐ φαντάζων τὸν ἄνθρωπον, εἰ καὶ δυσχεραίνει ὁ θεοστυγὴς Εὐτυχής. ἀλλ' ὅπέρ ἐστιν, ἀληθῶς Θεός ἐστιν[k], οὐ κατὰ ἀναφορὰν, ὡς Νεστοριανοὶ ληροῦσιν, καὶ ἄνθρωπος ἀληθὴς, οὐ κατὰ δόκησιν καὶ[l] φαντασίαν, ὡς οἱ ἐμβρόντητοι Εὐτυχιανισταὶ, καὶ τὸ βδελυρώτατον[m] τῶν[n] Μανιχαίων βούλεται φῦλον. ἐπειδὴ δέ τινα τῶν ἀντιγράφων οὐ τὴν Δαβὶδ[o] ἔχει κλεῖδα[p], ἀλλὰ τοῦ ᾅδου, οὐδὲν διάφορον[q] οὐδὲ ἐν τούτῳ. δείκνυται[r] γὰρ ἐκ τούτου, ὡς ζωῆς καὶ θανάτου τὴν κυρίαν[s], ἅτε Θεὸς ὁ Χριστὸς, ἀναμφιβόλως ἔχει.

Ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβίδ.

Κλεῖδα τὴν ἐξουσίαν καλεῖ. ὁ γὰρ ἔχων ἐξουσίαν τῆς κλεῖσαι καὶ ἀνοῖξαι τὸν οἶκον, οὗτος καὶ τὸν οἶκον πεπίστευται. καὶ τοῦτο σαφέστερον ἐν Εὐαγγελίοις ἔστι μαθεῖν, ἀφ' ὧν πρὸς τὸν Πέτρον

[y] καὶ τῷ B. [z] παραδειχθῇ B. [a] θεότητος B. [b] τῆς τῶν περιπεζίων B. [c] φύσεων Edd. [d] οὐ μενοῦν εἰπεῖν παρεμφαίνοιτο B. [e] κλεῖν B. [f] παριστ. φησι B. [g] μόνοι Edd. [h] κατὰ τὸ ἀνθρώπινον δεχ. B. [i] τοῦτο om. B. [j] μοι, λέγοντος B. [k] ἀλ.. ἐστὶ Θεός B. [l] καὶ om. B. [m] Edd. male ἐμβρόντητον. [n] τῶν om. B. [o] τοῦ Δ. B. [p] τὴν κλεῖν B. [q] οὐδὲ διάφωνον B. [r] δείκνυσι B. [s] κυρείαν.

φησὶν ὁ Χριστὸς, "καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν "οὐρανῶν." τοῦ κλείειν καὶ ἀνοίγειν καὶ δεσμεῖν τε καὶ λύειν σε ἀνεγχείρητον τῶν τούτους ὑπεναντίων[u].

Καὶ οὐδεὶς ἀνοίξει.

Ἐπειδὴ ἡ κλεῖς τὴν ἐξουσίαν αἰνίττεται, ὁ λέγων ἑαυτὸν ἔχειν τὴν κλεῖν τοῦ Δαβὶδ τί ἄλλο λέγει, εἰ μὴ ὅτι ὥσπερ ὁ Δαβὶδ τοῦ αἰσθητοῦ Ἰσραὴλ ἐβασίλευσεν, οὕτω καὶ ἐγὼ πρὸς τῷ αἰσθητῷ, καὶ τοῦ νοητοῦ; εἰ καὶ ἐξουσία[x] ἀσύγκριτος ἀνθρώπου πρὸς Θεόν. διὸ καὶ Γαβριὴλ πρὸς τὴν παρθένον εἶπε[y] τὸν θρόνον Δαβὶδ δοθῆναι[z] παρὰ Πατρὸς τῷ Υἱῷ ὡς προσκαίρου, καίπερ αἰωνίῳ αὐτῷ καὶ ἀτελευτήτῳ δοθῆναι, ὡσαύτως δὲ καὶ βασιλείαν καὶ ἐξουσίαν[a]. ἐπεὶ οὖν ὁμοίωμα τῆς βασιλείας Δαβὶδ ἔφερεν ὁ Χριστὸς, εἰκότως λέγει, "ὁ ἔχων τὴν κλεῖν τοῦ Δαβὶδ," πρὸς τὸ ἀνοῖξαι καὶ κλεῖσαι· ἀνοῖξαι μὲν τὸ δικαιῶσαι λέγων, καὶ κλεῖσαι τὸ κατακρῖναι. τῇ[b] γὰρ θείᾳ αὐτοῦ καὶ ἀϊδίῳ χρώμενος ἐξουσίᾳ, καὶ δικαιοῖ καὶ κατακρίνει. "εἰ δὲ Θεὸς, ὁ δικαιῶν, τίς ὁ κατακρινῶν[c];

Οἶδά σου τὰ ἔργα.

Τὸ "οἶδα" ὅτι τὴν μετοικειώσεως γνῶσιν βούλεται σημαίνειν, εἴρηται.

Ἰδοὺ δέδωκα ἐνώπιόν σου.

Τῶν ἀγαθῶν ἡ θύρα ἀνεῳγμένη δίδοται, ὡς ἑτοιμοτάτη καὶ ἀπ' αὐτῆς τῆς πρὸς τὰ κρείττω ῥοπῆς, παρέχειν τὴν εἴσοδον πρὸς ἀπόλαυσιν. διὸ καὶ ὁ Κύριος φάσκων[d], ὅτι[e] "ἡ βασιλεία τῶν "οὐρανῶν ἐντὸς ὑμῶν ἐστὶν," οἱονεὶ τῇ προθέσει παρεχομένη τοῦ βουλομένου, ὑπ' οὐδενὸς ἐμποδοστατεῖν οἴεται[f] τὴν εἴσοδον. καὶ τούτου[g] νῦν ἡ ἐπαγγελία λιχνεύοντος τοὺς εἰσαγομένους, πρὸς τὸ μὴ ἀπαγορεύειν[h] τὴν ἐγχείρησιν, τῶν πόνων ὑπολογιζομένη[i] τὸ δυσχερὲς, ἀρξαμένους δὲ[k] καὶ τὴν εἴσοδον συμμετρουμένην τῇ[l] μικρᾷ δυνάμει τοῦ[m] εἰσιέναι προαιρουμένου[n], ἐπειδὰν τὸν ἀποσωρευθέντα τοῖς εἰσιοῦσι τῶν ἀγαθῶν ἐσμὸν τῇ ἀνεῳγμένῃ θύρᾳ ἐμφανίσῃ[o], μηκέτι τῇ φροντίδι λυπεῖσθαι[p] ἐᾷ τοῦ ὑπὸ τῶν ἀπόλαυ-

[u] Hæc suppl. e Cod. B. [x] ἡ ἐξουσ. B. [y] εἶπε om. B. [z] δοθῆναι om. Edd. [a] δοθ. πατρὸς υἱῷ πρὸς καίρῳ αἰωνίῳ καὶ ἀτελευτήτῳ ὡς ὄντως καὶ βασιλείας καὶ ἐξουσίας B. [b] τῇ αὐτῇ θείᾳ B. [c] Ult. his carent Edd. [d] διό φησιν ὁ Κύριος B. [e] ὅτι om. B. [f] οἴουτε B. [g] τοῦτο B. [h] πρὸς τὸ μὴ ἀπαγ. om. Edd. [i] ὑπολογιζομένου B. [k] ἀρξαμένους om. Edd. mox καὶ τὴν εἰσ. [l] συμμετρουμένη τοῖς Edd. [m] τὸ Edd. [n] προαιρουμένοις Edd. [o] ἐσμὸν ἡ θύρα τούτῳ ἐμφανίσει B. [p] τῇ om. B.

σιν καταβαλλομένων ἐκλύεσθαι[q] πόνων· ἀμεταστρεπτὶ[r] δὲ τῶν πόνων ἀντέχεσθαι παραινεῖ[s] πάσης ἀνέσεως[t] ἡδίω[u] τῶν διὰ ταῦτα καμάτων λογιζομένῳ[v]. καὶ ὅτι ἔγκοπος ἡ τῶν αἰωνίων ἀγαθῶν κληρονομία, τὸ ἐν Εὐαγγελίοις ἱκανὸν θεῖον λόγιον παραστῆσαι, "βιαστὴ," φάσκον, "ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν." ὅτι δὲ καὶ ὁ διὰ τοῦ[x] κατάρξασθαι ἐγγλυκαίνον[y] τὴν αἴσθησιν ἀφειδεῖν οἶδε τῶν πόνων, τὸ Δαβὶδ θεῖον πνεῦμα διδάσκει "γεύσασθε" λέγον[z], "καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος." Ἠνεῳγμένη ἡ θύρα δίδοται τῷ συμμετρεῖσθαι τῇ δύναμει τοῦ λαμβάνοντος. ἢ καὶ θύρα ἀνεῳγμένη νοεῖται, ἡ τοῦ διδασκαλικοῦ κηρύγματος εἴσοδος, ἥτις ἀνοιχθεῖσα, οὐ δύναται διὰ πειρασμῶν κλεισθῆναι, νικώσης τῆς προθυμίας τῶν εἰσιέναι ἑλομένων τῷ κάλλει[a] τῶν ἐναποκειμένων θελχθέντων[b] τὸ τῶν πειρασμῶν ἐπίπονον. ἐν οἷς[c] εἰ καὶ τῇ δυνάμει σου σύμμετρος, ἀλλ' οὖν παρ' ἐμοῦ, φησὶν, ἡ ἀνεῳγμένη δίδοταί[d] σοι θύρα. αὐτὸς δὲ καὶ ὑπὲρ δύναμιν τὴν ὑποῦσάν σοι ἐκαρτέρησας, μὴ ἀρνησάμενος[e] τὸ ὄνομά μου. οὔκουν τῇ μικρᾷ δυνάμει σου παραμετρήσω τὴν ἀμοιβὴν, ἀλλὰ μεγαλοδωρίᾳ[f], ὡς ἔθος ἐμοὶ, μετελεύσομαι τὴν ἀντίδοσιν[g].

9 Ἰδοὺ, δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ Σατανᾶ, τῶν
λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσὶν, ἀλλὰ
ψεύδονται· ἰδοὺ, ποιήσω αὐτοὺς ἵνα ἥξωσι καὶ προσκυ-
νήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἠγά-
10 πησά σε. ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου,
κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελ-
λούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειρᾶσαι τοὺς
11 κατοικοῦντας ἐπὶ τῆς γῆς. ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις,
12 ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. ὁ νικῶν, ποιήσω
αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ
ἐξέλθῃ ἔτι, καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ Θεοῦ

[q] φροντίδι τῶν πρὸς ἀπόλαυσιν καταβαλλομένων ἐκλύεσθαι B. [r] ἀμεταστρεπτεὶ B. [s] παραινεῖ om. B. [t] αἱρέσεως Edd. [u] ἡδείω B. [v] τὸν δ. τ. κάματον λογιζομένοις Edd. [x] διὰ τοῦτο om. B. [y] ἐγγλυκαίνων Edd. [z] λέγων Edd. [a] διὰ τὸ κάλλιστον Edd. [b] ἐλεχθέντων Edd. [c] ἐν οἷς οὖν B. [d] δέδοται B. [e] ἐκαρτ. διὰ τὸ ὄνομ. Edd. [f] μεγαλοδωρίας B. [g] τὴν ἀντιδ. μετελ. B.

μου, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου, τῆς καινῆς
Ἱερουσαλὴμ, ἣ καταβαίνει ἀπὸ τοῦ οὐρανοῦ ἀπὸ τοῦ
13 Θεοῦ μου, καὶ τὸ ὄνομα τὸ καινόν. ὁ ἔχων οὖς ἀκου-
σάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Τῆς ὁμολογίας, φησὶ, τῆς περὶ τοῦ ἐμοῦ ὀνόματος ἀντέκτισις ἔσται ἡ τῶν Ἰουδαίων ἐπιστροφὴ καὶ μετάνοια. οἳ τῆς πρὸς ἐμὲ αὐτῶν προσαγωγῆς τὸν ἐξ ἐμοῦ φωτισμὸν ἀνταλλάξονται τῶν ἐν τῷ κρυπτῷ τῆς καρδίας Ἰουδαίων, ἀλλ' οὐ τῶν ἐν τῷ φανερῷ[h], ὡς καὶ Παύλῳ δοκεῖ, ἑαυτοὺς ἐπιδεικνύντων[i]. θρόνον δὲ τοῦ Σατανᾶ τὴν τῶν Ἰουδαίων λέγει συναγωγὴν, ὡς τῷ ψεύδει συγκροτουμένην, ἐπεὶ καὶ "τοῦ ψεύδους πατὴρ ἀπὸ καταβολῆς κόσμου" ἐδείχθη. εἴγε ἱκανὴ αὐτοῦ ἡ διὰ τοῦ ὄφεως ἀπατητοῖς ἀρχηγέταις τοῦ γένους ἡμῶν τὸν λόγον πιστώσασθαι[k]. τούτους οὖν προσδραμεῖσθαι οὐ κατὰ τὸ τυχὸν, ἀλλὰ μετὰ πολλῆς τῆς θερμότητος καὶ συντριβῆς φησί[l]. τοῦτο γὰρ αἰνίττεται τὸ πρὸς τοὺς πόδας προσκυνῆσαι, καὶ ἐν ἐσχάτοις ἑλέσθαι τετάχθαι τῆς ἐκκλησίας, [m]μόνον τοῦ μέρους εἶναι τῆς ἐκκλησίας ἀξιωθῆναι, ὡς καὶ Δαβὶδ ἀσπαστῶς φησιν, ὁ προφήτης, "ἐξελεξάμην παραριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ "Θεοῦ μου, μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασι τῶν ἁμαρτωλῶν." τὸ παραλελογισμένον τῆς συναυλείας ἐπίπροσθεν ἄγων τῆς τῶν ἁμαρτωλῶν ἀστενοχωρήτου καὶ ἐλευθέρας διαίτης.

Τὸν λόγον τῆς ὑπομονῆς μου.

Οὐχ ὅτι αὐτὸς ὁ χρηματίζων ὑπέμεινέ τι, ἀλλὰ ὑπομονὴν ἑαυτοῦ τὴν δι' αὐτὸν[n] καὶ τὴν πρὸς αὐτὸν καρτερίαν τῆς πίστεως φησίν. ὥσπερ καὶ ὅτ' ἂν Δαβὶδ αἰτεῖ[o] τὸν Θεὸν, "ἐκ προσώπου "σου τὸ κρίμα μου ἐξέλθοι," ἀντὶ τοῦ, ἡ δι' ἐμὲ σου δικαιοσύνη.

Κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ.

Ὥραν πειρασμοῦ, ἢ τὸν ἐπὶ Δομετιανοῦ διωγμὸν λέγει, δεύτερον ὄντα μετὰ Νέρωνα, ὡς Εὐσέβιος ἱστορεῖ ὁ Παμφίλου, ὅτε καὶ αὐτὸς ὁ Εὐαγγελιστὴς εἰς τὴν Πάτμον ὑπ' αὐτοῦ τοῦ Δομε-

[h] τὸν ἐν τῷ κρ. Ἰουδαῖον—τὸν ἐν τῷ φαν. B. [i] δοκεῖ ἐπιδεικνύντες B. [k] Hæc om. Edd. [l] φησι om. B. [m] Quæ seq. usq. ad διαίτης ded. e Cod. B. [n] δι' αὐτὸν τῆς πιστ. καρτ. B. [o] αὐτῇ B.

τιανοῦ κατεκρίθη. ἢ τὴν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ὑπὸ τοῦ Ἀντιχρίστου κατὰ Χριστιανῶν ἐσομένην παγκόσμιον, ἀναιροῦντος τοὺς Χριστιανούς. τούτων οὖν ἀμφοτέρων ἐλευθεροῦν τοὺς ζηλωτὰς αὐτοῦ ὑπισχνεῖται προαναρπαζομένους διὰ τῆς ἐκ τῶν ἐντεῦθεν ἀναλύσεως, ἵνα μὴ ὑπὲρ τὴν δύναμιν πειρασθῶσι. διὸ φησὶ καὶ ὁ Κύριος, "ἔρχομαι ταχύ." μετὰ γὰρ τὴν θλίψιν ἐκείνην, "ἔρχομαι[p] ταχὺ," ἀντὶ τοῦ ἀνυπερθέτως. τοῦτο γὰρ τὸ ταχὺ σημαίνει, οἱονεὶ καταπόδας τῶν πειρασμῶν ἐνεργουμένων[q] ἐλεύσομαι. διὸ καὶ παρεγγυᾷ[r] κρατῆσαι τὸν θησαυρὸν τῆς πίστεως ἄσυλον, ἵνα μὴ ὁ τῆς ὑπομονῆς ἡμῶν[s] ἀπόληται στέφανος. "[t]οὐ γὰρ ἡ ὑπομονὴ "τῶν πενήτων ἀπολεῖται."

Κράτει ὃ ἔχεις.

Κρατεῖν ἡ ἐντολὴ τὴν ἐκτὸν κατὰ ἀγαπὴν γνησίαν ἐν ᾗ ἄχρι τέλους ἐναθλήσας, ἕξεις τὸν στέφανον τῆς δόξης. τῶν γὰρ ὑπομενόντων τὰ νικητήρια[u].

Ὁ νικῶν.

Τοῦτο κατὰ τὸ τῆς Ἑλλάδος γλώσσης συνηθὲς τῆς συντάξεως σεσολοίκισται· ἔδει γὰρ ἢ ἀντὶ τῆς εὐθείας πτώσεως αἰτιατικὴν ληφθῆναι, οὕτως ἐκφερομένου τοῦ ῥητοῦ, τὸν νικῶντα ποιήσω αὐτόν· ἢ εἴπερ τηρηθείη ἡ εὐθεῖα πτῶσις, ἐχρῆν τῷ ὑπαρκτικῷ ῥήματι προστεθέντι, οἷον τὸ ἔσται, τὴν αἰτιατικὴν ἀμειφθῆναι. οὕτως τοῦ λόγου προϊόντος, ὁ νικῶν ἔσται ὑφ' ἐμοῦ στύλος ἐν τῷ ναῷ τοῦ Θεοῦ μου κατατεταγμένος. ἀλλ' ἐπειδὴ, ὡς ἤδη εἴρηται, ἐπ' ἐλάχιστον μέλον τοῖς τῶν ψυχῶν ἡμῶν σωτῆρσιν ἡ τῆς Ἑλληνικῆς ἀδολεσχίας ἀκρίβεια, εἰκότως ἑτέροις ταῦτα καταλιπόντες, αὐτοὶ τῶν σπουδαιοτέρων ἀντέσχοντο[v].

Ἐν τῷ ναῷ τοῦ Θεοῦ μου.

Προείρηται[x] ὅτι τὸ, "Θεοῦ μου," οὐχ οὕτω τῆς ἐν τῷ Χριστῷ θείας φύσεως ἐνθεωρουμένης ἀναιρετικὸν, ὅσον τῆς συνουσιώσεως παραστατικόν. τὸ γὰρ ἀδιάσπαστον εἶναι τὴν τῶν δύο φύσεων ἕνωσιν, θεότητος φημὶ καὶ ἀνθρωπότητος, ἐν τῇ κατὰ τὸν Κύριον Ἰησοῦν ὑποστάσει, κἂν[y] μέχρις ἐννοίας ψιλῆς εἰ καὶ ἀσυγχύτως

[p] ἐρχ. ἀνυπερθέτως τοῦτο γὰρ ταχὺ δηλοῖ B. [q] ἔτι ἐνεργ. B. [r] παρεγγυῶ Edd. [s] ὑμῶν B. [t] His carent Edd. [u] Hoc sch. carent Edd. [v] His etiam carent Edd. [x] ὡς καὶ περὶ τούτου εἴρηται B. [y] καὶ B.

παριστᾷ[z]. ἀντιδιδόασι γὰρ[a] ἀλλήλοις ὑπὲρ κατάληψιν ἀνθρωπίνην οἰκειωτικῶς τὰ θεῖα τοῖς ἀνθρωπίνοις, καὶ τὰ ἀνθρώπινα τοῖς θείοις ἰδιώμασι[b]. στύλος δὲ ἐν τῷ ναῷ τοῦ Θεοῦ οὗτος καθίσταται, ὑπερείδων τῇ περὶ αὐτὸν τοῦ Θεοῦ ἀγαθοδωρίᾳ, καὶ τοὺς πρὸς συντέλειαν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ πίστεως ἀσθενέστερον[c] διακειμένους, ἐφ' ὁμοίῳ προκόψαι καὶ αὐτοὺς διδασκαλικῷ χαρίσματι προτρεπόμενος. "ἐν τῷ ναῷ δὲ τοῦ Θεοῦ," τοῦ διὰ παντὸς εὐφραίνεσθαι χάριν[d]. τοῦτο γὰρ τὸ στύλον γενέσθαι τῷ ναῷ[e] τοῦ Θεοῦ. ὁ γὰρ νικητὴς[f] τῶν ἐναντίων δυνάμεων, στύλος καὶ ἑδραίωμα καθίσταται τῆς ἀληθείας, αὐτός τε εὐφραινόμενος[g] ἀμεταtρέπτως, καὶ τοὺς ἄλλους ἐρείδων τοῦ μὴ ἐπ' ἀγαθῷ τῆς οἰκείας ἐκστῆναι ἕδρας.

Καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ Θεοῦ μου.

Ἐπὶ τὸν νοητὸν στύλον, ὅς ἐστιν ὁ τοῖς θείοις προστάγμασιν εἰς ἔρεισμα τῶν ἀσθενεστέρων κατηρτισμένος, γραφῆναί φησι τὸ ὄνομα τοῦ Θεοῦ, καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ τῆς[h] Ἱερουσαλὴμ τῆς καινῆς. καινὴν Ἱερουσαλὴμ, καὶ τὸ ὄνομα αὐτῆς, καὶ τοῦ Θεοῦ τὸ ὄνομα, οὐκ ἄλλό τι λέγων, ἢ τὴν δόξαν, ἤτοι τὴν γνῶσιν[i], καθὼς καὶ ὁ Δαβίδ. "ὡς θαυμαστὸν[k] τὸ ὄνομά σου ἐν "πάσῃ τῇ γῇ," ἀντὶ τοῦ, ἡ τιμὴ, ἡ περὶ σοῦ γνῶσις. ἐν ταῖς πλαξὶ τοιγαροῦν τῆς καρδίας τοῦ νοητοῦ στύλου γραφέντος τοῦ ὀνόματος τοῦ Θεοῦ, ἤγουν τῆς γνώσεως, τῆς δόξης, ὡσαύτως καὶ τῆς Ἱερουσαλὴμ, τοῦ μὲν τοῦ Θεοῦ, ὡς ἅγιος, ὡς δίκαιος, καὶ[l] ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα, ὡς πάσης ἀγαθότητος[m] πλήρης, καὶ τοιούτοις χαίρων θεράπουσι· τῆς Ἱερουσαλὴμ δὲ, ὡς Θεοῦ σκήνωμα ἀγαπητόν ἐστι[n], καὶ τοὺς αὐτῆς πολίτας πρὸς τὴν ἄνω παραπέμπουσα[o] μητρόπολιν, ἥ τις κάτω Ἱερουσαλὴμ, ὥσπερ μετοίκιον τῆς ἄνω καθίσταται, τοὺς τέως[p] ἐνδιαιτωμένους ἐν αὐτῇ, οἱονεὶ γράμμασι[q] χρωμένους, τῇ ἄνω ἐμβιώσει τὴν κάτω ῥυθμίζοντας κατέχουσα· τῇ καταλλήλῳ γὰρ οὖν[r] ταύτῃ

[z] παριστᾷ om. B. [a] γοῦν B. [b] τοῖς ἰδιωμ. τοῖς θείοις B. [c] οἴκου ἀσθενέστερον B. [d] τῇ τοῦ Θεοῦ θεωρίᾳ B. [e] τοῦ ναοῦ B. [f] κινητὴς Edd. [g] ἐνευφραινόμενος B. [h] τοῦ Θεοῦ τῆς om. Edd. [i] γνῶσιν φάσκων B. [k] θαυμ. φησι B. [l] ὡς ἀποδ. B. [m] ἁγιότητος B. [n] ἐστὶ om. B. [o] πέμπουσα B. [p] τέως ἔτι B. [q] γράμματι B. [r] τοιγαροῦν B.

γραφῇ, τουτέστι, τῇ ἀνεπιλήστῳ μνήμῃ, (τοιοῦτον[t] γὰρ ἡ γραφὴ ὡς μονιμώτερον τῶν γενομένων ἐκτελουμένη,) τῆς τε τοῦ Θεοῦ καὶ τῆς ἄνω Ἱερουσαλὴμ τῆς δόξης τὸ παράσημον κομιζόμενοι, πῶς οὐ θεῖοί τινες χρηματίζοιεν; τὸ δὲ καινὸν ὄνομα νοοῦμεν[u], τὸ ἐπιτιθέμενον τοῖς ἁγίοις, ὃ[x] καὶ πρὸς τῇ εὐφροσύνῃ τῆς θείας δωρεᾶς[y], καὶ ἀπολαύσει τοῦ κάλλους τῶν ἀκηράτων ἀγαθῶν ἐν τῷ μέλλοντι αἰῶνι, αὐτοῖς ἂν γνώριμον καὶ τοῖς ληψομένοις τοῖς νῦν ἀδελφοῖς[z] Χριστοῦ καὶ φίλοις καὶ θεράπουσι, πρόσεστι.

[a]Περὶ δὲ "τοῦ Θεοῦ μου" εἴρηται ἤδη ὡς συγκαταβατικώτερον εἴρηται καὶ εἰς παράστασιν τοῦ ἀδιαιρέτου τῶν ἐν τῇ οἰκονομίᾳ τοῦ Κυρίου δύο φύσεων ἐνθεωρουμένων· ἄνωθεν δὲ καταβαίνειν φησὶ τὸ ὄνομα τοῦ Θεοῦ καὶ τῆς καινῆς Ἱερουσαλὴμ, ἅπερ τίνα ἐστὶν εἴρηται. ἀπὸ τῶν Ἀγγέλων ἀρξαμένης τῆς σηκώσεως τῆς θείας, μέχρις ἡμῶν δὲ καταντησάσης, συναφθέντων ἀλλήλους διὰ Ἰησοῦ Χριστοῦ τῆς κεφαλῆς ἡμῶν Ἀγγέλων δηλονότι καὶ α * *

ΚΕΦ. Θ.

Τὰ δηλωθέντα πρὸς τὸν τῆς Λαοδικέων ἐκκλησίας Ἄγγελον.

14 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας γράψον·
τάδε λέγει ὁ ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ
15 ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ. οἶδά σου τὰ ἔργα, ὅτι
οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός. ὄφελον ψυχρὸς ἦς, ἢ
16 ζεστός. οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὐ ζεστὸς οὔτε ψυ-
17 χρὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου. ὅτι
λέγεις· ὅτι πλούσιός εἰμι καὶ πεπλούτηκα, καὶ οὐδενὸς
χρείαν ἔχω. καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος καὶ
ὁ ἐλεεινὸς, καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός.

Ἰσοδυναμεῖ τοῦτο· τάδε λέγει ὁ ἀληθινὸς, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἡρμήνευτο[b]. ἀμὴν γάρ ἐστι τὸ ναί. ναὶ οὖν ἐστὶν ἐν πᾶσι

[t] τοιοῦτο B. [u] νοοῦμεν om. B. [x] καὶ B. [y] τῆς θέας καὶ B. [z] τοῖς καὶ ληψομένοις· οἷς ἀδελφοῖς B. [a] Quæ seq. om. Edd. suppl. e Cod. B. [b] Hæc om. Edd. quibus sch. inc. Ἀμήν ἐστι τὸ ναί.

τοῖς περὶ αὐτοῦ λεγομένοις, ἤτοι ἀλήθεια καὶ οὐδὲν ψεῦδος[c] ἐν αὐτοῖς. καὶ τὸ "ὁ μάρτυς ὁ πιστὸς" εἴρηται· καὶ περιττὸν πάλιν περὶ τῶν αὐτῶν διεξιέναι[d]. "ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ," ἀντὶ τοῦ ἡ βασιλεία καὶ ἡ ἀρχὴ[e] πάντων ὡς κτισμάτων δεσπόζουσα. ἀρχὴ γὰρ τῆς κτίσεως, ἡ προκαταρκτικὴ αἰτία τῆς κτίσεως[f]. ἐπηρέασε δ' ἂν ἴσως τῷ ῥητῷ τὸ θεομάχον τῶν Ἀρειανῶν ἐργαστήριον, ὡς τοῦ Κυρίου Ἰησοῦ κτίσματος διὰ τούτων γνωριζομένου. οὐ χρὴ δὲ ταῖς τούτων παράγεσθαι κακουργίαις, σκοποῦντας εἴτι τοιοῦτο καὶ ἐν ἑτέρᾳ κεῖται γραφῇ περὶ τούτου, ἵν' ἔχῃ[g] τις ἐκ τῶν ὁμοίων κανονίζειν τὰ ὅμοια. φησὶν οὖν Παῦλος Κολοσσαεῦσι γράφων περὶ τοῦ Χριστοῦ, "ὅς ἐστιν ἀπαρχὴ πρωτότοκος πάσης "κτίσεως." "κτίσεως πρωτότοκος," οὐ μὴν πρωτόκτιστος. καὶ Δαβίδ. "ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε," ἀλλ' οὐκ ἔκτισά σε. καὶ Σολομών. "πρὸ δὲ πάντων βουνῶν γεννᾷ με." τὸ δὲ, "Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ." τὸ ἔκτισεν, ἀντὶ τοῦ κατέταξεν εἴληπται, ὡς καὶ ἐπὶ τοῦ, "ἵνα κτίσῃ τοὺς δύο εἰς "ἕνα καινὸν ἄνθρωπον." καὶ τοῦ, "καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ "ὁ Θεός." ὁ δέ γε θεῖος τὸν λόγον[h] Γρηγόριος ἐν τῷ περὶ τοῦ[i] Υἱοῦ λόγῳ, τὸ μὲν "ἔκτισεν," ἐπὶ τοῦ νοερῶς ἐμψυχωμένου τοῦ κυριακοῦ[k] σώματος ἀκούει. τὸ δὲ "γεννᾷ," ἐπὶ τῆς θεότητος. τοσούτοις οὖν μαρτυρίοις τῆς κτίσεως συγκροτουμένης, ἡ ἀρχὴ[l] τῆς κτίσεως, (ὡς ἔφθημεν εἰρηκότες,) οὐκ ἄλλο, ἢ τὸ ἄρχον[m] τῆς κτίσεως τοῦ Θεοῦ δηλοῦν βούλεται, καθ' ὅτι καὶ πάντα δι' αὐτοῦ ἐγένετο. τούτῳ[n] καὶ ἄρχειν τῶν ὑπ' αὐτοῦ δίδοται[o] κτισμάτων, ἤγουν κατέστη· τοῦ εἰληφέναι καὶ τοῦ καταστῆναι οὐκ ἐλάττωσιν εἰσηγουμένων οὐσίας καὶ δόξης. εἴρηται γὰρ περὶ τούτων[p].

Ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός.

"Ψυχρὸς" ὁ ἐστερημένος τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας καὶ ἐπιφοιτήσεως. "ζεστὸς" δὲ ὁ ζέων τῷ πνεύματι, ὡς καὶ Παῦλος φησί. χλιαρὸς δὲ, ὁ ἐν ἀμφοῖν ἀβέβαιος καὶ ἐπαμφοτερίζων, ὃς

[c] οὐδὲν οὐ ἐν αὐτ. B. [d] Hæc om. Edd. [e] περὶ δὲ τοῦ ἡ ἀρχὴ B.
[f] αἰτία καὶ ἄκτιστος B. [g] ἔχοι B. [h] Sic B. Edd. τῶν λόγων.
[i] τοῦ om. B. [k] κυρίου B. [l] ὡς ἡ ἀρχὴ B. [m] ὁ ἄρχων B. [n] οὗτος B.
[o] δέδοται B. [p] εἴρηται γ. π. τ. om. Edd.

μετουσίαν[q] *μὲν ἔλαβε πνεύματος ἁγίου διὰ τοῦ βαπτίσματος, ἔσβεσε δὲ τὸ χάρισμα*[r] *τῶν ζωοποιούντων τὴν ψυχὴν, τῇ τῶν παρόντων φροντίδι καταραθυμήσας*[s]. [t]*Τούτων οὕτως ἐχόντων αἰσχύνην καταχεάμενοι οἱ μὴ τούτων οὕτως ἐκλήπτορες τῷ φωτὶ τοῦ πυρὸς καὶ τῇ φλογὶ ἣ ἐξέκαυσαν πορευόμενοι οἰμωζέτωσαν*[u]. *διὸ καὶ περὶ τοῦ θείου* Πνεύματος[x] Παῦλος *φησὶ*, "*τὸ* Πνεῦμα *μὴ* "*σβέννυτε*[y]." *ἐπεὶ οὖν σὺ τοιοῦτος*[z], *καὶ ζέσας τῷ πνεύματι διὰ βαπτίσματος, ἀπεψύχθης διὰ ῥαθυμίας, τὰς εἰς ὕστερον τῆς*[a] *σωτηρίας ἐλπίδας σεαυτοῦ ἐξέκοψας, καταγνοὺς τῆς αἱρεθείσης σοι πίστεως. ἐν ἔργοις μὲν γὰρ*[b] *οὐκ ἀπογνωστέα ἡ μεσότης, ὡς*[c] *ὁ νόμιμος*[d] *γάμος, μέσος ὢν παρθενίας καὶ πορνείας οὐκ*[e] *ἀπόβλητος, ἐν δὲ τῇ πίστει, τὸ μέσον καὶ χλιαρὸν ἀδόκιμον καὶ ἀσύστατον. δι' ὅπερ* "*ὄφελον ψυχρὸς ἦς*," *τουτέστιν*[f] *ἀμέτοχος καθάπαξ θείου*[g] *βαπτίσματος χάριτος καὶ ἀβάπτιστος καὶ μὴ χλιαρός· ὁ μὲν γὰρ μήπω δεξάμενος τὴν τοῦ πνεύματος διὰ βαπτίσματος χάριν, ἐν ἐλπίσιν ἐνστρέφεται τοῦ ποτὲ δέξασθαι τὰ σωτήρια ἑαυτῷ. ὁ δὲ χλιαρὸς, ὡς ἤδη παρεθέμεθα, μικρὸν πρὸς τῇ ζωῇ*[h] *καὶ τὸ ποτὲ βαπτισθῆναι καὶ ζέσαι*[i] *ἀφῄρηται.*

Μέλλω σε ἐμέσαι.

Τῇ μεταφορᾷ τοῦ χλιαροῦ δεόντως ἐχρήσατο, ὃ καὶ ἰατρῶν παῖδες πλάδον ἐργαζόμενον[k] *εἰς ἔμετον ἐρεθίζειν παραλαμβάνουσιν. ὅθεν καὶ τοῖς δυσεμετοῦσιν, ὕδατος χλιαροῦ ἀπορροφήσει*[l], *τὸν ἔμετον ἀνασοβοῦσι. τοῦτο καὶ νῦν*[m] *φησὶν, ὅτι μέλλω σε ὡς βδελυκτὸν βρῶμα ἐμέσαι, τουτέστι, διὰ λόγου στόματός μου ἀπόβλητον τῆς ἐμῆς οἰκειότητος καταστῆσαι*[n]. *καὶ τίς ἡ τούτου αἰτία; ὅτι*[o] *ἐπὶ πλούτου ἀδηλίᾳ ἐλπίσας, καὶ*[p] *τὸν σπόρον τοῦ θείου λόγου ἀποπνίξας*[q] *ταῖς ἀκάνθαις, οἱονεὶ τοῖς πειρασμοῖς*[r] *τοῦ προσκαίρου τούτου πλούτου καὶ*[s] *βίου, τὴν πνευματικὴν*[t]

[q] *μετουσίας* Edd. [r] *τὸ χαρ. τῇ τῶν παρ. φροντίδι τῶν ζωοπ.* B. [s] *καταρυθμίσας* Edd. [t] Quæ seq. non hab. Edd. [u] *οἰμοζέτωσαν* Cod. B. [x] *τὸ θεῖον Πνεῦμα Παῦλος φ.* B. [y] *σβέννυται* B. [z] *τοῦτο καὶ ζέσας* B. [a] *τῆς* om. B. [b] *ἔργα μὲν γὰρ* B. [c] *ὡς φέρε* B. [d] *ἔννομος* B. [e] *διὸ οὐκ* B. [f] *τουτέστιν* om. B. [g] *θείας* B. [h] *ζέσει* Edd. [i] *ζέσαι* om. Edd. [k] *πλ. ἐργαζ.* om. Edd. [l] *ἀποφορήσει* Edd. [m] *καίτοι* B. [n] *καταστήσω* B. [o] *ὡς* B. [p] *καὶ* om. B. [q] *ἀπέπνιξας.* [r] *περισπασμοῖς* B. [s] *καὶ* om. B. [t] *πνεῦμα* Cod. B. *πατρικὴν* Edd.

ἑαυτοῦ καὶ διαιωνίζουσαν ἠγνόησας[d] πτωχείαν[e] καὶ ἐλεεινότητα καὶ ταλαιπωρίαν καὶ γύμνωσιν καὶ τυφλότητα.

Ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα.

Πλοῦτόν φησι τὸν γήϊνον πλοῦτον[f]. ἀγνοεῖς ὅτι σὺ εἶ ὁ ταλαιπωρῶν ἐν τοῖς ἀπολλυμένοις. διὸ καὶ ἐλέους ἄξιος εἶ, ὡς ἐξ ὕψους τῶν ἀρετῶν ἐκπεσὼν, σκοτοδινίᾳ περὶ τὴν ἐκλογὴν τῶν κρειττόνων ἁλοὺς, καὶ γυμνωθεὶς τῆς τέως περιστελλούσης σε[g] θείας δόξης.

18 Συμβουλεύσω σοι ἀγοράσαι χρυσίον παρ' ἐμοῦ πε-
πυρωμένον ἐκ πυρὸς, ἵνα πλουτίσῃς, καὶ ἱμάτια λευκὰ
ἵνα περιβάλλῃ, καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνό-
τητός σου, καὶ κολλύριον ἵνα ἐγχρίσῃ τοὺς ὀφθαλμούς
19 σου ἵνα βλέπῃς. ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παι-
20 δεύω. ζήλευε οὖν καὶ μετανόησον. ἰδοὺ ἕστηκα ἐπὶ τὴν
θύραν καὶ κρούω. ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ
ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δει-
21 πνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ. ὁ νικῶν, δώσω
αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κᾀγὼ
ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ Πατρός μου ἐν τῷ θρόνῳ
22 αὐτοῦ. ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς
ἐκκλησίαις.

Εἰ πλουτῆσαι[h] φησὶ βούλει, τὸν ὄντως[i] πλοῦτον κτῆσαι παρ' ἐμοῦ τοῦ[k] πλουτίζειν εἰδότος τὰ μένοντα. κτήσῃ δὲ διαπύρῳ προθέσει τὰ λόγια Κυρίου τὰ ἁγνὰ, τὰ πεπυρωμένα ἑπταπλασίως[l]. τίνα δὲ ταῦτα; ὁ διδασκαλικὸς καὶ θεῖος λόγος, ὃς οὐ μάτην οὐδὲ διακένως πρόεισιν εἰς τοὺς διδασκομένους, ἀλλ' ἐκ τοῦ πρότερον διαπύρῳ σπουδῇ τὸν διδάσκοντα εὐπορῆσαι· ἐπιδεικνυμένην γὰρ πίστιν ἀπαγγελεῖ δίκαιος. καὶ ὁ ἀγαθὸς ἔμπορος "ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας[m] ἐκφέρει παλαιὰ καὶ νέα," ἐκ μὲν τῶν παλαιῶν ἀνδρῶν τῶν κατορθωμάτων κομίζων τὰ μείζονα[n]

[d] ἀγνοήσας; B. [e] Quæ seq. usque ad τυφλοτ. om. Edd. [f] πλουτῶν τὸν γήϊνόν B. [g] σε om. Edd. [h] πλου. βούλει φ. B. [i] τῷ ὄντι B. [k] τοῦ om. B. [l] καὶ ἑπτ. B. [m] τῆς καρδ. om. B. [n] μείζονα om. B.

ὑποδείγματα, ἐκ δὲ τῶν νέων καὶ τῶν[o] αὐτῷ πεπονημένων διαπύρῳ ζέσει, τὰ κατορθώματα. ἀλλ' ἐπειδὴ τὰ[p] τοιαῦτα πλουτεῖν οὐκ ἄνευ τῆς ἄνωθέν τινι περιγίνεται ῥοπῆς, διὰ τοῦτό, φησιν, ὁ χρηματίζων, "παρ' ἐμοῦ." ὁ πλοῦτος δὲ, ἱματίων περιβολῇ[q] περιστέλλειν ἔχουσα τὴν ἀσχήμονα τῶν ἀρετῶν γύμνωσιν, καὶ οὐχ ἁπλῶς περιστέλλουσα, ἀλλὰ μετὰ δόξης πομπικῆς, τὸν[r] ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῶν ἀντιπάλων δαιμόνων θρίαμβον ἐξανύουσα.

Καὶ κολλύριον.

Πρὸς τὸν[s] ἀμβλυώττοντα περὶ τὸ τοῦ Κυρίου νοητὸν φῶς τοὺς καταλλήλους ὀφθαλμοὺς περιχρίσαι τὸ πρόσταγμα. [t] ὡς καὶ Ἰερεμίας ὁ προφήτης φησὶ, "ἰδοῦ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου " οὐδὲ ἡ καρδία σου καλή." διὰ τοῦτο τὴν σμηκτικὴν[u] δύναμιν τῆς τοιαύτης τυφλώσεως. ἔστι δὲ τοῦτο[x] ἡ διὰ μετανοίας πρόοδος συμβουλευομένη. [y] ὥσπερ καὶ τῇ ἀκάρπῳ συκῇ ἡ τῶν κοπρίων περίθεσις τὴν δι' ἐξαγορεύσεως καὶ ἀτιμοτέρας διαγωγῆς ταπείνωσιν ὑπαινίττεται. ἢ τὸ κολλύριον τὴν ἀκτημοσύνην παρίστησιν. εἰ γὰρ τὰ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, τούτους πάντως ἀνοίξει τὸ ἀδωροδόκητον.

Καὶ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω.

Βάβαι τῆς φιλανθρωπίας· ὅσῃ ἀγαθότητι καταχρᾶται πρὸς τοὺς ἁμαρτάνοντας· καὶ τοιαῦτα οἷα ὁ λόγος ὑπέγραψεν[z]· καὶ[a] εἰκότως. ὁ γὰρ ἀγαπῶν, ἐπιμελῶς παιδεύει, ὃ καὶ τῆς ὑπερβαλλούσης[b] χρηστότητος τοῦ Κυρίου περὶ τοὺς ἀπειθεῖς[c] τεκμήριον[d]. πλούτου δὲ ταύτης ἐνέχυρον ἡ ἀγάπη τοῦ μετιόντος[e] τοὺς τιμωρίας ἀξίους. καὶ[f] τίς ἡ παιδεία; ζηλοῦν τὰ κρείττονα τῶν ἐπιτηδευμάτων, καὶ μετανοίᾳ καὶ μεταγνώσει[g] τῶν ἔμπροσθεν οἱονεὶ μεταθέσει[h] ἁμαρτημάτων τὸν ζῆλον ἤτοι τὴν μίμησιν ἐπαναλαμβάνεσθαι τοὺς πρὸς παιδείαν ἐξ ἀμαθίας ἀποκλίναντας. καὶ τίς ἡ ἐκ φιλανθρωπίας ἀντίδοσις; ἡ ἐπὶ τὴν θύραν ἀπραγμά-

[o] ἐκ τῶν B. [p] τὰ om. B. [q] περιβολὴ Edd. [r] τῶν Edd. [s] τὰ Edd. [t] Quæ seq. om. Edd. usq. ad τυφλωσ. [u] σμικτικὴν Cod. B. [x] τοῦτο om. B. [y] His carent Edd. usque ad ὑπαιν. [z] Hæc om. Edd. [a] καὶ om. B. [b] τοῦ ὑπερβάλλοντος B. [c] περὶ τ. ἀπ. τοῦ κυρ. B. [d] τεκμήριον om. B. [e] ἀγάπη μετιόντος B. [f] καὶ om. B. [g] καὶ μεταγν. om. B. [h] μεταγνώμῃ καὶ μεταθ. B.

τευτος[i] προσεδρεία. θύραν δὲ ἐφεξῆς τὴν καρδίαν[k] λέγει, τῶν πρὸς μετάνοιαν προσκαλουμένων. οἷς ἀνοίξασι τῷ σωτηρίως[l] αὐτὴν κρούοντι, καὶ τὰ ἑπόμενα, τοῦ πρᾴου καὶ ἀγαθοῦ δαιτυμόνος εἰσόδῳ, ἐπιδαψιλευθήσεται.

Ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω.

Ἀβίαστος, φησὶν, ἡ ἐμὴ παρουσία. τὴν θύραν τῆς καρδίας κρούω, καὶ τοῖς ἀνοίγουσιν ἐπὶ τῇ ἑαυτῶν σωτηρίᾳ συνευφραίνομαι. τρυφὴν γὰρ καὶ δεῖπνον, τὴν σωτηρίαν τῶν ἀνθρώπων ἥγημαι ἐφ' οἷς αὐτοὶ τρέφονται, καὶ τὸν λιμὸν[m] τοῦ ἀκοῦσαι λόγον Κυρίου, καὶ τὸν σκότον τῆς πλάνης ἀποφεύγουσιν. [n]Ὁ ἀγαθὸς καὶ πρᾶος κρούσας τὴν θυρὰν καὶ μὴ τυχὼν ἀνοίξεως ἄπεισιν ἀψοφητί. τοῦτο καὶ ἐν τοῖς ᾄσμασι· "τῇ νύμφῃ ἄνοιξόν "μοι, ἀδελφή μου νύμφη." καὶ εἰ μὲν ἀνοίξει τις αὐτῷ, εἰσέρχεται, εἰ δὲ μὴ παρέρχεται· οὐχ οὕτω δὲ καὶ ὁ διάβολος· ἀλλὰ τῷ μὴ ἀνοίγοντι, ἐν πελέκει καὶ λαξευτηρίῳ χρῆται καταράσσειν τὴν θύραν αὐτοῦ.

Καὶ δειπνήσω μετ' αὐτοῦ.

Τὸ δεῖπνον τινὲς τὴν τῶν ἁγίων μυστηρίων μετάληψιν παρέθεντο. δεῖπνον τὴν σωτηρίαν φάσκει τοῦ ἑτοίμως ἀκούσαντος, τοῦ κόψαντος τὴν τῆς καρδίας θύραν· οὗ τῇ ἐπεισόδῳ καὶ δεῖπνον συστήσεται, κοινωνὸν λαβόντος τοῦ εἰσιόντος τὸν ἠνοιγότα τὴν θύραν· ἡ σωτηρία γὰρ τοῦ σωζομένου βρῶμα ἐστὶ τοῦ ἐπὶ σωτηρίᾳ ἡμῶν ἐνηνθρωπηκότος. διὸ καὶ εἴρηκεν, ἐμὸν βρῶμα καὶ πόμα ἐστὶν ἡ τοῦ πατρικοῦ θελήματος ἐκπλήρωσις· ὃς Πατὴρ πάντας ἀνθρώπους σωθῆναι θέλει, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διάλληλος δὲ ἡ ἐπὶ τῷ δείπνῳ εὐφροσύνη. οὐ γὰρ τοσοῦτον ἡ σωτηρία τὸν σωζόμενον εὐφραίνει, ὅσον ὁ διὰ ἄφατον φιλανθρωπίαν σώζων· ὃς καὶ συντη*ικὸν[o] ἑαυτοῦ τοῦ εἶναι τὴν σωτηρίαν ἡμῶν ἀπεφήνατο, βρῶμα ἑαυτοῦ τὴν ἐκπλήρωσιν τοῦ πατρικοῦ ἐμπεδώσας θελήματος. τί δὲ τοῦτο εἴρηται ἡμῖν; ὡς

[i] ἀπραγμ. ἐπὶ τὴν θυρ. B. [k] θυρ. τὴν καρδίαν λέγων B. [l] τῷ σωτηρίῳ καὶ αὐτοῖς κρ. B. [m] τὸν λιμ. ἤγουν τὴν ἔνδειαν τοῦ ἀκ. B. [n] Omnibus quæ seq. usque ad finem cap. except. ult. Sch. carent Edd. dedi e Cod. B. [o] συντηκτικὸν vid. esse.

γὰρ ἡ τροφὴ συνίστησιν ἡμῶν τὴν ζωὴν, οὕτως ἀπόλλυσιν ὁ λιμὸς, ὃς καὶ ἐν ἀπειλῆς μοίρᾳ τῷ προφήτῃ κατήγγελται, ἐπάξειν λέγοντος τὸν Κύριον λιμὸν ἐπὶ τὴν γῆν, οὐκ ἄρτου καὶ ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου· ὃς τῷ ὄντι λιμὸς, τὸν κατὰ Θεὸν ἐκτήκων ἡμῶν ἄνθρωπον.

Ὁ νικῶν, δώσω αὐτῷ.

Εἴρηται ἤδη ὅτι ἡ Ἑλληνικὴ παιδεία, τὴν τοιαύτην σύνταξιν τοῦ λόγου καὶ τὸν τοιοῦτον [o] εἱρμὸν τῆς φράσεως σολοικισμὸν καλεῖ, οὗ ἐπ' ἔλαττον τῇ Ἐκκλησίᾳ φροντὶς, [p] τοῦ ἀπὸ τῶν νοημάτων σωτηριώδους ἀντεχομένῃ μόνου. τοῦ ὀχοῦντος δὲ τὸν νοῦν τῶν σωτηρίων κατὰ τοσοῦτον, καθ' ὅσον καὶ σοφὸς ἔμπορος τὸν τιμαλφῆ πλοῦτον διειλκωμένου ὑποζυγίου ἀπολαμβάνων. ἀλλὰ πῶς τὸ ἄπταιστον τῆς συμφράσεως; τῷ νικῶντι δώσω αὐτῷ· αἱ παροχαὶ γὰρ δοτικῇ πτώσει δηλοῦνται. διὰ τοῦ θρόνου δὲ τὴν ἐν τῇ βασιλείᾳ τοῦ μέλλοντος αἰῶνος ἀνάπαυσιν δηλοῖ. φησὶν οὖν ὅτι οἱ τὸν ἐχθρὸν νικήσαντες ὥσπερ καὶ ἐγὼ, διὸ καὶ ἔφην ὅτι "ἐγὼ "νενίκηκα τὸν κόσμον," σὺν ἐμοὶ βασιλεύσουσιν, ὃ καὶ ἐπηγγειλάμην, "καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς "δώδεκα φυλὰς τοῦ Ἰσραὴλ," τουτέστι κατακρίνοντες, οἱονεὶ εἰς κατάκρισιν αὐτῶν, ὡς ἐξὸν καὶ αὐτοὺς τῶν ἴσων ἀξιωθῆναι τῶν ὁμοφύλων γερῶν, οὐκ ἔτυχον δι' ἀπιστίαν. τῆς δὲ τοῦ μέλλοντος δόξης αἰῶνος, τῆς τοῦ συμβασιλεύσειν λέγω Χριστῷ, καὶ Παῦλος ὁ θεῖος μνημονεύει, δι' ὧν φησὶν, "εἴπερ συμπάσχομεν, ἵνα καὶ "συνδοξασθῶμεν·" τὸ δὲ, "ὡς κἀγὼ νενίκηκα τὸν κόσμον" ἀνθρωπίνως εἴρηται διὰ τὴν πρόσληψιν, ὥσπερ καὶ τὸ λαβεῖν· οὐ γὰρ ἆθλον τῆς ἀρετῆς ἡ δόσις τῆς βασιλείας τοῦ θρόνου τῷ ἀϊδίως ὡς Θεῷ συνυπαρχούσης, ἀλλ' ἀνθρωπίνως εἴρηται· ἢ μᾶλλον εἰς παράστασιν τοῦ μετὰ τὴν ἕνωσιν τοῦ Θεοῦ Λόγου τῇ ἀνθρωπίνῃ φύσει τῇ διαλλήλῳ τῶν ἡνωμένων οἰκειώσει. Νεστόριος αἰσχύνοιτο, καὶ πᾶς ἄλλος ὁ τῶν ὁμοίων χόρος.

[o] ἡ σύνταξις τοῦ λόγου τὸν τοιουτ. B. [p] His carent Edd.

ΚΕΦ. Ι.

Περὶ τῆς ὁραθείσης αὐτῷ θύρας ἐν τῷ οὐρανῷ, καὶ τοῦ θρόνου, καὶ τῶν κδʹ πρεσβυτέρων, καὶ τῶν ἑξῆς δειχθέντων.

1 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἀνεῳγμένη ἐν τῷ
οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα, ὡς σάλπιγγος
λαλούσης μετ' ἐμοῦ, λέγουσα, ἀνάβα ὧδε, καὶ δείξω
2 σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ εὐθέως ἐγενόμην ἐν
πνεύματι.

Οὐκ ἐπειδὴ αἰσθητὴν θύραν [q] ἑώρακεν ἐν οὐρανῷ ἀνεῳγμένην κατὰ καιρὸν καὶ κλειομένην ταῦτα διέξεισιν. ἀλλ' οὕτως ὤφθη τῷ Εὐαγγελιστῇ, ὡς ἂν διὰ θύρας [r] ἀνεῳγμένης [s] τὰ ἔνδον ἐπάναγκες καθορᾶσθαι. καὶ φωνήν φησιν, ἤκουσα, ἥτις ὡς σάλπιγξ ἠχήσασα, ἀνάβα, φησὶν, ὧδε· οὐ τόπῳ τοῦτο [t] φάσκουσα τὸ ἀνελθεῖν, ἀλλὰ διάνοιαν [u] μετεωρίσαι [x] ἀπὸ τῶν περιπεζίων καὶ ἀνθρωπίνων. ἀλλ' [y] οἱ μάλιστα τὸ ἡγεμονικὸν τυπούμενοι διὰ καθαρότητα τῶν ἀπὸ τοῦ ἐνύλου βίου κηλίδων, τῶν ἀξιοθέων τούτων καὶ τῶν τοιούτων τυγχάνουσι θεαμάτων.

Καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα.

Καὶ τοῦτο παρὰ τὴν τοῦ λόγου σύνταξιν, καὶ διατί, εἴρηται ἤδη. ἐχρῆν γὰρ οὕτω λέγειν [z]· καὶ ἡ φωνὴ τοῦ [a] λαλοῦντος μετ' ἐμοῦ, ἀνάβα [b] ὧδε, ἔλεγεν. οὕτω [c] γὰρ προήχθη ἁρμοζόντως.

Καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ. καὶ ἐπὶ τὸν
3 θρόνον καθήμενος ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ
σαρδίῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου, ὁμοίως ὁράσει
4 σμαραγδίνῳ· καὶ κυκλόθεν τοῦ θρόνου, θρόνοι εἰκοσι-
τέσσαρες. καὶ ἐπὶ τοὺς θρόνους τοὺς εἰκοσιτέσσαρας
πρεσβυτέρους καθημένους περιβεβλημένους ἐν ἱματίοις

[q] αἰσθητὴ θύρα ἐν οὐρ. ἀνοιγομένη. κατὰ κ. καὶ ἀνοιγομένη τ. διέξεισιν B. ἔξεισιν Edd. [r] ὡς δ. θύρας B. [s] ἠνεῳγμένης B. [t] τούτῳ Edd. [u] τὸ τὴν διαν. B. [x] μετεωρῆσαι B. [y] ἀλλὰ τῶν ἀξιοθέων καὶ ὧν οἱ τὸν ἡγεμονικὸν τυπούμενοιδιὰ καθαρότητα τῶν ἀπὸ τοῦ ἐνύλου βίου κηλίδων τοιούτων τυγχάνουσι θεαμάτων B. [z] οὕτω λεγ. om. B. [a] ἡ τοῦ λαλ. B. [b] ἔλεγεν ἀνάβα ὧδε B. [c] οὗτως προῆχθαι B.

λευκοῖς, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν, στεφάνους χρυ-
5 *σοῦς. καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ, καὶ*
φωναὶ, καὶ βρονταί· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιό-
μεναι ἐνώπιον τοῦ θρόνου αὐτοῦ, αἵ εἰσιν ἑπτὰ πνεύ-
ματα τοῦ Θεοῦ.

[d] Διὰ τοῦ εἰπεῖν ἐν Πνεύματι, ἐσήμανεν ὡς οὐδὲν αἰσθητὸν χρὴ νοεῖν ἐνταῦθα συντελούμενον.

Τῷ Πνεύματι, φησὶ, τυπωθεὶς, θρόνον ἐθεασάμην, δι' οὗ δηλοῦται ἡ ἐν τοῖς ἁγίοις ἀνάπαυσις τοῦ Θεοῦ. αὐτοῖς γὰρ ἐνθρονίζεται ὡς χωρητικοῖς οὖσι τῶν θείων ἐμφάσεων.

[e] Ἄλλως. "Θρόνον" τεθέαται, οὗ τὸ εἶδος οὐ διέξεισιν, ὅτι μηδὲ Ἡσαΐας μηδὲ Ἰεζεκιήλ. οὐδὲ γὰρ θνητῇ φύσει ἔνεστιν εἰπεῖν τοῦ κράτους Θεοῦ τὸ ὑπερβάλλον, μηδὲ εἰκόνα παραστῆσαι τῆς ἐξουσίας αὐτοῦ ἐξ ἀνθρωπίνης δυναστείας, ὅπερ ὁ θρόνος ἐμφανίζειν βούλεται. ἐπισημαντέον ὡς ἡ τῶν λίθων ἐνταῦθα παράληψις, οὐ τὸ τίμιον παριστῶσα παρείληπται τῶν ἃ βούλεται παριστᾷν. εἰ τοῦτο γὰρ σμαράγδῳ μὲν τῶν νοερῶν πνευμάτων ἀπεικασθέντων λίθῳ τιμίῳ, ἴασπις δὲ τῷ τούτων ἐπόχου ἧττον τιμίου, ὅπερ ἀσεβὲς καὶ ἐν νῷ, οὐ τοῦ τιμίου αὐτὸν χάριν, ἀλλὰ τῶν ἐκ τῆς χρόας σημαινομένων ἡ παράληψις χάριν.

Ὁμοίος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ.

Ἐπειδὴ τὸν Πατέρα τὸν ὁραθέντα ἐνταῦθα παρίστησι, σωματικὸν αὐτῷ χαρακτῆρα οὐ περιτίθησιν, ὥσπερ τῷ Υἱῷ ἐν τῇ προτέρᾳ αὐτοῦ ὀπτασίᾳ, ἀλλὰ τιμίοις αὐτὸν λίθοις ἀπεικάζει· τῆς μὲν ἰάσπιδος ὡς χλοερᾶς σημαινούσης τὸ ἀειθαλὲς ὁμοῦ καὶ φερέσβιον, καθὸ εἴρηται [f], "ἐξανατέλλων χόρτον κτήνεσι [g] καὶ "χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων." πᾶν γὰρ σπέρμα χλοηφορεῖ πρὸς τροφὴν τοῖς ζῶσιν [h] ὑπὸ Θεοῦ τεταγμένον. ἴασπις δὲ καλεῖται ὅτι ὁμοία καὶ ἰῷ [i] ἀσπίδος ἐοικυία. σαρδίῳ δὲ, διὰ τὸ φοβερὸν τοῦ Θεοῦ. πυροειδὲς γὰρ τὸ σάρδιον. [k] διὸ καὶ Μωϋσῆς φησι, "πῦρ γὰρ ὁ Θεὸς καὶ πῦρ καταναλίσκον." ἐπειδὴ γὰρ

[d] Hoc Sch. non hab. Edd. [e] Hæc non insunt Edd. [f] καὶ εἴρηται B. [g] ἐξαν. χορτ. τ. κτην. om. Edd. [h] ζώοις B. [i] ὡς ἰῷ ἀσπ. ἐοικ. B. [k] Quæ seqq. usque ad ἐπειδὴ γὰρ omm. Edd.

ἀσύμφορος τοῖς φιλαμαρτήμοσι καὶ καταφρονηταῖς, διὰ τοῦτο τὸ φοβερὸν τοῦ Θεοῦ· ἡ γὰρ χρηστότης οὐκ ἐπὶ μετάνοιαν ἀλλὰ πρὸς ἄδειαν πλημμελιῶν ἄγει. ἐπειδὴ γὰρ[l] τὸ κατ' ἄκρας χρῆσθαι τῇ δικαιοκρισίᾳ Θεὸν οὐ φορητὸν, διὸ καὶ Δαβὶδ φησι, "ἐὰν "ἀνομίας παρατηρήσῃς, τίς ὑποστήσεται; εἰκότως τοῦ ἀνεξικάκου καὶ ἀγαθοῦ τὸ σάρδιον δεῖγμα παρέχει, ὡς τοῦ φοβεροῦ διὰ[m] τοῦ πυροειδοῦς· [n]εἰ μή που καὶ τῆς πατρικῆς φῶμεν προμηθείας ἐκ τῆς ἄγαν πρὸς τοὺς υἱοὺς φιλίας ἐμφανιζόμενον. ὡς οὖν τὸ πυρῶδες τοῦ φοβεροῦ, διὸ καὶ πρῶτον ἡ ἀπὸ τοῦ χρώματος ἡμῖν παρελήφθη δήλωσις, οὕτως ἀπὸ τῆς δυνάμεως τῆς αὐτῆς λίθου, ἑτέρα χρηστότητος τούτου ἐμφανίζεται οἰκονομία· φασὶ γὰρ ἴασπιδα λίθον[o], οὐ μόνον[p] φοβερὸν εἶναι[q] θηρίοις φάσμασιν, ἀλλὰ καὶ θεραπευτικὴν τῶν ἐπιφυομένων τῷ σώματι ἡμῶν ἀλγεινῶν ἔχειν δύναμιν[r]. λέγει γὰρ ὁ μέγας Ἐπιφάνιος ἰατρεύειν αὐτὴν οἰδήματά τε καὶ ἀπὸ σιδήρου πληγὰς ἐπιχριομένην. ἐπισημαντέον[s] δὲ ὡς ἡ τῶν λίθων ἐνταῦθα παράληψις, οὐ τοῦ τιμίου χάριν, ἀλλὰ τὸ ἐκ τῆς χρόας σημαινόμενον ἔσχεν.

[t]Ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι.

Διατὶ οὐκ ἐν σχήματι ὁ Πατὴρ δείκνυται ὥσπερ ὁ Υἱὸς, εἴρηται· ὁράσει δὲ λίθων παραβάλλεται· πρωτῇ τῇ ἰάσπιδι, διὰ τὸ τοῦ χρώματος χλοερὸν, αἰνιττομένου τὸ εὐεργετικὸν τοῦ θείου καὶ πάντροφον καὶ φιλάνθρωπον· τὸ σάρδιον δὲ μετ' αὐτὸ τὸ φοβερὸν αἰνιττομένου διὰ τοῦ πυρώδους. εἰ γὰρ καὶ φύσει φιλάνθρωπον ὁ Θεὸς καὶ ἀγαθὸν, ἀλλ' ὅμως τὸ ἡμέτερον σκαιὸν καὶ διάστροφον εἰκάζεται αὐτὸ, εἰ θέμις τοῦτο εἰπεῖν, ἀφιέναι μὲν τὸ ἥμερον, ἐπὶ δὲ τὴν αὐστηρίαν χωρεῖν. ἐπεὶ γὰρ "τὰ φρικτὰ, οὐ πτοεῖ" κατὰ τὸν εἰπόντα ἅγιον, "τὰ φαιδρὰ οὐ προτρέπεται." τί ἔτι λοιπὸν ἢ τῇ αὐστηρίᾳ κεχρῆσθαι; εἰ μή πω καὶ τοῦτο τιμωρητικοῦ φῶμεν ἔργον, ἀλλὰ πατρικῆς γνώμης τοῦ πάντας ἡμᾶς σωθῆναι θέλοντος, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ἐπιγνῶναι δὲ διὰ

[l] καὶ ἐπειδὴ τὸ B. [m] καὶ Edd. [n] His usque ad οἰκονομία carent Edd. [o] ὡς φασὶ λίθον Edd. [p] ὃν οὐ μόνον Edd. [q] φασὶν εἶναι Edd. [r] ἔχειν δύναμιν om. B. [s] Hæc alibi inserit Cod. B.
[t] His carent Edd.

παιδείας. "τίς γὰρ υἱὸς ὃν οὐ παιδεύει πατὴρ," εἰ γὰρ μὴ παιδεύει, εἰς νόθους δηλονότι ἀποπεμπόμενος υἱούς.

Καὶ ἶρις κυκλόθεν τοῦ θρόνου.

Ἡ μὲν αἰσθητὴ ἶρις, ἣν ἡ θεία γραφὴ τόξον καλεῖ Θεοῦ [u], ἡνίκα φάσκει, "τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ," ἐκ τῆς ἀντανακλάσεως τοῦ ἡλιακοῦ φωτὸς [x] συνίσταται, ὅταν ἐν παχύτητι νέφους ὑδατώδους ἀποληφθέντος, ἀντιφράσσηται μὲν αὐτὸ τὸ φῶς τὴν ἑαυτοῦ ἐκπομπὴν διὰ τοῦ νέφους, ποικίλην δὲ καὶ παντοειδῆ φαντασίαν χροιῶν ὑποβάλλεται. κἀκείνη μὲν τοιαύτη ἡ ἶρις. ἡ δέ γε τὸν θρόνον περικυκλοῦσα, μονοειδὴς σμαραγδίζουσα. ἶριν δὲ κέκληκεν αὐτὴν, ἀπὸ τῆς παρ' ἡμῖν ἴριδος ποικιλοχρωμάτου [y], ὡς ἂν τὸ διάφορον τῶν θείων Ἀγγέλων τῆς ἀγαθοεργοῦς ἐννοήσωμεν λειτουργίας, ὧν τὸ διαφορον εἰς μίαν ἐνεργητικὴν [z] ἀποτελευτᾷ χρείαν, κατὰ μίμησιν τοῦ οἰκείου [a] δεσπότου. ἐπεὶ καὶ τούτου τὸ πάντροφον καὶ εὐεργετικὸν, ἡ χλοάζουσα τῆς ἰάσπιδος λίθου χροιὰ παραδηλοῦν ἐβούλετο, τῷ πρασίῳ εἴδει τῆς σμαράγδου λίθου ὁμοιουμένης [b].

Θρόνοι εἰκοσιτέσσαρες.

Θρόνον, οὐκ ἄλλό τι ἐνταῦθα χρὴ νοεῖν, εἰ μὴ τὸ πρὸς τὰ θεῖα προστάγματα φιλότιμον πρὸς ἐργασίαν. μόνως γὰρ ἂν οὕτως παρασκευασθεῖσα ψυχὴ, ὄχημα θεῖον ἐνάμιλλόν [c] ἐστι τῶν Χερουβίμ. [d] ἔποχον ὡς ἐκεῖνα τὸν δι' αὐτῶν ὡς Δαβὶδ φησι, φερόμενον ἔχουσα ἔφορον παντὸς τοῦδε τὸν ποιητήν.

Πρεσβυτέρους καθημένους.

Περὶ τοῦ ἀριθμοῦ δὲ τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων [e] κατὰ τίνα λόγον οὗτος παρείληπται· δοκεῖ δή μοι εἰ καὶ ἀναξίως, πλὴν τὸ τοῦ μακαρίου Παύλου ἐρεῖν, ὡσπερεὶ τῷ ἐκτρώματι τὸ ἐπελθὸν φθέγξασθαι, εἰς παράστασιν τοῦ ὅτι ἡ ὑπεράρχιος, ᾧδ' ἂν θεωροῖτο. ἡ ὑπεράρχιος καὶ ἡ ὑπέρθεος παναγία Τριὰς, τὸν ἑβδοματικὸν ἀριθμὸν, ὃν καὶ σύστοιχον τῷ ὁρατῷ αὐτῆς συστήματι

[u] Θεοῦ om. Edd. [x] ἡλίου Edd. [y] τῆς ποικιλ. B. [z] εὐεργετικὴν B. [a] οἰκείου om. Edd. [b] ὁμοιουμένη Edd. [c] ἅμιλλόν Edd. [d] Hæc om. Edd. [e] His carent Edd. qui sic const. πρεσβυτ. ᾧδ' ἂν θεωροῖτο. ἡ ὑπεράρχιος, κ. τ. λ.

τούτῳ[f] ἔθετο, καταρχὰς κατὰ τὸ ἀνεξερεύνητον[g] τῆς ἑαυτῆς σοφίας βάθος ἰσαρίθμως ἑαυτῇ τὸν ἑβδοματικὸν[h] ἀνελίξασα ἀριθμὸν[i], τὸν εἰκοσιτέσσαρα ἀριθμὸν ὑπέφηνε. τριάκις γὰρ ἑπτὰ, εἴκοσι καὶ ἓν ἀποσωρεύει τοῦ ἀπολειπομένου ποσοῦ τοῦ εἴκοσι καὶ τέσσαρα ἀριθμοῦ, ὅς ἐστιν ὁ τρία, τῇ παντουργῷ θείᾳ Τριάδι ἀνατεθέντος[k]. διὸ καὶ ὁ ἕβδομος ἀριθμὸς τριαδικῶς ἀνελιχθεὶς, μετὰ τοῦ ἀνελιχθῆναι παρεσχηκότος[l] τὸν εἰκοσιτέσσαρα ἀπετέλεσε. τῷ ἑβδόμῳ δὲ, οὐ καὶ[m] διὰ παντὸς τοῦ αἰσθητοῦ κόσμου τούτου χωρεῖ; καὶ κατά τινα ἑαυτοῦ δύναμιν θνητῇ φύσει ἀδύνατον εἰς τόδε εἰδέναι; [n]ὅτι δὲ ὁ ἑπτὰ ἀριθμὸς διὰ παντὸς ἐνορᾶται τοῦ αἰσθητοῦ κόσμου χωρῶν, Φίλων ὁ ἐξ Ἰουδαίων θεωρητικώτατος καὶ πολυμαθέστατος ἀνὴρ ἱκανὸς παραστῆσαι· ὃς πολύς ἐστιν ἐν τῷ λόγῳ τῷ περὶ τῆς κατὰ Μωϋσέα φιλοσοφίας, ἐπιστημονικαῖς ἐφόδοις τὸν ἀριθμὸν τοῦτον κρατύνων, καὶ διὰ πάσης διήκειν ἀποδεικνὺς τῆς αἰσθητῆς κτίσεως, ὅσα κινήσει τῆς οὐρανίου ἐνθεωρεῖται φορᾶς, ὅσα τοῖς κινουμένοις ἐμπρέπειν ἁρμόδιον. καὶ τούτου οἶμαι παράδειγμα καὶ τοὺς κδ' νῦν πρεσβυτέρους, τοὺς ἐπόχους τῶν θρόνων τοῦ ἀπ' αἰῶνος πρεσβείου σύμβολον φέροντας, ἣ ἀποκάλυψις προυβάλετο τῷ πάντων γενάρχῃ Θεῷ, διὰ τῆς προσκυνήσεως τὴν δουλικὴν πρὸς αὐτὸν σχέσιν σημαίνοντας. ἰσάριθμοι δὲ τοῖς θρόνοις οἱ καθήμενοι, καὶ πρεσβύτεροι, οὐ νεώτεροι, ἐπεὶ καὶ ἡ ἐπαγγελία τῆς κληρονομίας τῆς βασιλείας[o] πρεσβυτάτη, ὡς πρὸ καταβολῆς κόσμου. [p]διό φησιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν. "δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν πρὸ καταβολῆς κόσμου ἡτοιμασμένην ὑμῖν βασιλείαν." προητοιμασμένης ἡμῖν βασιλείας. πάντως δὲ τοῖς πρὸ καταβολῆς κόσμου τὸ ἔπαθλον ἔχουσιν ἑτοιμασθὲν, οὐχ ὡς νεωτέροις, ἀλλ' ὡς ἐγγηράσασι[q] τοῖς θείοις προστάγμασι δίδοται ἡ αἰώνιος[r] βασιλεία. [s]διὸ καὶ ἰδικὴ αὐτῶν ἡ περιβολὴ ὡς πλειστάκις καὶ ἀνενδότως τοῖς τῆς ἀρετῆς καθαρτηρίοις λελευ-

[f] τούτῳ συστ. B. [g] ἀνεξεύρητον B. [h] τὸν ἑβδοματικὸν om. Edd. [i] ἀριθμὸν om. Edd. [k] ἀνατεθεὶς Edd. [l] παρεσχ. om. Edd. [m] ὅτι B. [n] Hæc om. Edd. [o] τῆς βασ. om. Edd. [p] His carent Edd. [q] γηράσασιν B. [r] προαιώνιος B. [s] Desunt hæc Edd.

κασμένη· ὅπως δὲ κδ' καὶ οὗτοι καὶ τοῖς θρόνοις ἰσαρίθμοι ἡ περὶ τοῦ ἀριθμοῦ τῶν θρόνων φθάσασα θεωρία ἐδήλωσεν· ἥτις τὸν ἑπτὰ ἀριθμὸν ὡς σύστοιχον τῷ ὁρατῷ τούτῳ κόσμῳ τριπλασιασθέντα ἐπισωρευθῆναι τὸν κδ' ἀπέφηνεν· ἐξ οὗ καὶ πάντας τοὺς ἐν τῷ ἑβδοματικῷ κόσμῳ κατορθωκότας ταῖς λαμπροτάταις ἀμφιέννυσιν ἀρεταῖς, καὶ νικητηρίοις τοῖς κατὰ τῶν πάθων καὶ τῶν ἀοράτων ἐχθρῶν τοῖς παγκρατιασταῖς συμβόλοις κατακοσμεῖ. χρυσοῦς δέ φησι τοὺς στεφάνους. οὐδὲ γὰρ εἶχέ τι χρυσοῦ τιμαλφέστερον τοῖς ἐν τῷ παρόντι βίῳ ἐνστρεφομένοις ὑποτίθεσθαι[t] πρὸς ἐναργῆ γνῶσιν.

[u] Περιβεβλημένους ἐν ἱματίοις λευκοῖς.

Ἰστέον ὡς τοῦ ἱστορικοῦ ἔθους τὰ γεγονότα ἐξαγγέλλειν ἔχοντος πράγματα σκοπὸν, ἀλλ' οὐχὶ τὰ μέλλοντα καὶ ἐνεστῶτα· τίς γὰρ ἡ χρεία τὰ ἐνεργούμενα καὶ παρόντα διδάσκειν; ὃ καὶ ὁ προκείμενος Εὐαγγελίστης μέχρι τοῦ νῦν φυλάξας, ἀπὸ τοῦδε ἤμειψε τὴν τάξιν. οὐ τὰ γεγενημένα ἀλλὰ τὰ ἐνεστῶτα ἱστορῶν· ἔστιν οὖν περὶ τούτου εἰπεῖν, ὡς βουλόμενος τὸ φρικτὸν καὶ ἔμφοβον καὶ ἀδιάπαυστον αὐτῶν παραστῆσαι, τοῦτο ἐποίησε· τὸ γὰρ τὰ παρελθόντα διηγεῖσθαι οὐ τοσοῦτον φέρει τοῖς ἀκούουσι τὸ φοβερὸν, ὅσον τὸ ἐνεργές τε καὶ ἐνεστώς.

[x] Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί.

Ἐντεῦθεν τὸ φοβερὸν καὶ καταπληκτικὸν τοῦ θείου αἰνίττεται. τὸ γὰρ θεῖον κάλλος οὐκ ἐν διαχύσει τινὶ καὶ ἡδονῇ τέρψεως τὴν εὐφροσύνην ἔχει. ἀλλ' ἐν τῷ μετὰ θαύματος φοβερῷ· διὸ καὶ ὁ προφήτης φησὶ, "δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ." τὸ γὰρ ἀγαλλίαμα τῆς πρὸς αὐτὸν οἰκειώσεως φόβον οἶδεν ἐμποιεῖν τοῖς ἀγαπῶσι γνησίως, μήτι τούτοις ἐνδεῖ πρὸς ὑπουργίαν τοῦ οὕτως ἀγαπωμένου. διό φησιν ὁ Δαβὶδ, "φοβήθητε τὸν Κύριον πάντες ἅγιοι αὐτοῦ," ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.

[t] ὑποθέσθαι B. [u] Hoc Sch. carent Edd. [x] Et hoc Sch. deest Edd.

Καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι.

Τὰς ἑπτὰ [y] λαμπάδας, αὐτὸς ἡρμήνευσεν [z] ἑπτὰ πνεύματα, ἅ τινα [a] ἤτοι ὡς Ἡσαΐας, τὰ θεῖα τοῦ πνεύματος χαρίσματα, σοφίας, ἰσχύος, βουλῆς [b], καὶ τὰ τούτοις ἑξῆς δεῖ νοεῖν, ἢ, ὡς Εἰρηναῖος καὶ Κλήμης ὁ στρωματεὺς [c], τὰ λειτουργικὰ καὶ τῶν ἄλλων ἐξέχοντα ταγμάτων. ἑπτὰ μὲν, διὰ τὴν ἐφορείαν [d] τοῦδε τοῦ κόσμου τοῦ τῷ ἑβδόμῳ συστοίχου ἀριθμῷ [e]. ἢ, ὡς ἤδη παρεθέμεθα. καιόμεναι δὲ, διὰ τὸ ἀνένδοτον καὶ διηνεκὲς τῆς περὶ τὸ θεῖον ἁγιστίας. τοιοῦτον γὰρ καὶ πῦρ [f], τοῦτο τὸ ἔνυλον ἀδιαλείπτως φωτίζον καὶ φλέγον. διὸ καὶ ὁ προφήτης φησὶν, " ὁ ποιῶν τοὺς " Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ " φλέγον [g]."

6 Καὶ ἐνώπιον τοῦ θρόνου ὡς θάλασσα ὑαλίνη ὁμοία
κρυστάλλῳ. καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ
θρόνου τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ
7 ὄπισθεν. καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι. καὶ τὸ
δεύτερον ζῶον, ὅμοιον μόσχῳ. καὶ τὸ τρίτον ζῶον, ἔχον
πρόσωπον ἀνθρώπου. καὶ τὸ τέταρτον ὅμοιον ἀετῷ
πετομένῳ.

Θαλάσσῃ ἀπεικάζει τὸ κατενώπιον τοῦ θρώνου, τὸ ἄπειρον καὶ ἀνείκαστον πλῆθος τῶν κυκλούντων θείων δυνάμεων τῷ θρόνῳ [h] σημαίνων τοῦ Θεοῦ. ὃ [i] καὶ Δανιὴλ διὰ τοῦ χιλιακοῦ καὶ μυριαδικοῦ ἀριθμοῦ παριστᾷν βούλεται. ἡ δὲ ὑαλίνη καὶ κρυσταλλοειδὴς [k] θάλασσα, τὴν διαύγειαν τῶν ἀσωμάτων φύσεων σημαίνοντός ἐστιν, καὶ τοῦ [l] περὶ τὸν θρόνον, ἤγουν τῆς ἀγγελικῆς ζωῆς [m] τὸ ἀτάραχον. ἅτε ἀκινήτως ὡς ὕαλος πεπηγυῖα [n] καὶ κρύσταλλος, τῷ μηδὲ μιᾷ κηλῖδι σκοτουμένη πρὸς ἀνοήτους περισπᾶσθαι κλονήσεις [o]. . . . . τὶς καὶ κρυσταλλοειδὴς ἡ τοῦ

[y] ἑπτὰ ταύτας B. [z] εἱρμήνευσεν B. [a] ἅ τινα om. B. [b] βουλῆς ἰσχύος B. [c] ἐν στρώματι ἑκάστῳ B. [d] ἐφορίαν B. [e] ἀριθμοῦ B. [f] τὸ πῦρ B. [g] καὶ τ. λειτ. αὐτ. π. φλεγ. om. Edd. [h] τὸν θρόνον B. [i] ἃς B. [k] ὑαλ. θάλασσα καὶ κρυστ. B. [l] τὸ B. [m] τὴν ἀγγελιῶτιν ζωὴν B. [n] πεπηγύας B. [o] Add. hic B. aliquot initio et fine quæ aciem effugiunt propter evanidam scripturam, in fine videor legere ἐστὶ ζεύς.

οὐρανοῦ νενόμισται φύσις σκοπεῖν χρὴ εἰ δια * * * * * ἐδάφους σημαίνεται τὸ στίλβον ὁμοῦ καὶ διαυγὲς ἔχουσα, εἰ μὴ * * * * δόξωμεν τὰ ὑπὲρ κατάληψιν ὑμῖν τερατευόμενοι.

[p]Καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλῳ τοῦ θρόνου.

Ὁ θρόνος σημαντικός ἐστι τῆς τοῦ Θεοῦ βασιλείας καὶ τοῦ αἰωνίου κράτους τῆς κυρείας ἐν ἐξουσίᾳ καὶ περὶ * * τὸ ἀναπόδραστον τῆς προνοητικῆς αὐτοῦ δεσποτείας κατανοεῖται καὶ ἡ ἀγαθότης. ταῦτα δὲ τὰ ἅγια ζῶα ἕτερα τῆς τοῦ Ἰεζεκιὴλ τυγχάνει ὀπτασίας. ἐκείνων μὲν γὰρ ἕκαστον τετραπρόσωπον ὡρᾶτο καὶ ὀκταπτέρυγον, καὶ τροχούς τινας ἐπισυρόμενα οἷς ἐπεκέκλητο γ γέλ·[q] εἰ καὶ πολυόμματα κακεῖνα ὡς καὶ ταῦτα· ἐνταῦθα δὲ ἐν ἑκάστῳ πρόσωπον διάφορόν τε καὶ πτέρυγες ἕξ· κἀκείνοις μὲν ὡς αὐτῷ δοκεῖ Ἰεζεκιὴλ ὄνομα Χερουβεὶμ, τούτοις δὲ ἀκολούθως Σεραφεὶμ, ἃ τῷ Ἡσαΐᾳ ἐδείχθη τῷ θείῳ· οὐχ ὁμοιότητα ἐμφαίνοντα ὡς ταῦτα προσώπων, ἀλλὰ ταῖς δυσὶ μὲν πτέρυξι τὰ ἑαυτῶν κατακαλύπτοντα πρόσωπα, ἐκτὸς τοῦ περιανθίζεσθαι ὡς ταῦτα καὶ ὀφθαλμοῖς. ἀλλ' εἴ τι ταῦτα αἰνίττεσθαι βούλεται τὰ νῦν δειχθέντα τῷ Εὐαγγελιστῇ τὴν πλάνην τὴν ἀπὸ τοῦ ψαλμικοῦ ἐγγενομένην ῥητοῦ "Κύριος," φάσκουσαν, "ἐν τῷ "οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν." ἔδοξε γὰρ ἐκ τούτου τοῦ ῥητοῦ τισὶ τὴν περίγειον κτίσιν ἀνεπισκόπητον Θεοῦ διατελεῖν διὰ τὴν παράβασιν τοῦ Ἀδὰμ, καὶ τὸ ἀλλοιωτὸν τῶν περὶ γῆν φύσεων· οὐ συνιέντων τὸ "οἱ οἰκτιρμοὶ "αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ·" ὥστε εἰ ἔργα καὶ τὰ ἐπίγεια Θεοῦ ἐπισκοπῆς ἂν εἰκότως ἀξιοῖτο· δεικνῦναι οὖν τῇ ὀπτασίᾳ τῷ Εὐαγγελιστῇ σκόπος τῆς πλάνης ἣν εἰρήκαμεν ἀποφέρων ὡς διὰ τῶν δ' τούτων ζώων, ἢ τῶν ἐκ δ' στοιχείων, πυρὸς, ὕδατος, ἀέρος, γῆς, σύγκατος κτίσις τῆς ἐποψίας τυγχάνει Θεοῦ, ὡς ἑκάστῳ τῶν ὁραθέντων ζώων εἰς ὑποτύπωσιν ἀναφερομένου τῶν κοσμικῶν στοιχείων· λέοντος μὲν διὰ τὸ θυμικὸν καὶ θερμὸν εἰς τὸ πῦρ· μόσχου δὲ διὰ τὰ περὶ γῆν ἔργα, εἰς τὴν γῆν· ἀνθρώπου δὲ εἰς τὸν ἀέρα· οὐράνιον γὰρ καὶ μετάρσιον ῥυτὸν ἄνθρωπος διὰ τὴν τοῦ νοῦ

p His carent edd. q Post γ marg. abscissa literas quasdam abstulit.

λεπτότητα· ἀετοῦ δὲ εἰς τὸ ὕδωρ· ἐξ ὑδάτων γὰρ ἡ γένεσις τοῖς πτηνοῖς· τὸ πολυόμματον δὲ τὴν περὶ πάντα τοῦ Θεοῦ ἐποψίαν, ἣν καὶ διὰ τῶν νοερῶν πνευμάτων τῆς διακονίας ποιεῖται· ὥς Δαβὶδ φησι, "δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ "ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ." τουτέστιν ἀνυπερθέτως ἐξ αὐτοῦ προστάγματος ἐκτελοῦντες λειτουργίαν.

Τέσσαρα ζῶα γέμοντα.

Ταῦτα τὰ τέσσαρα ζῶα τινὲς, καὶ τὰ τέσσαρα Εὐαγγέλια καὶ τὰς τέσσαρας γενικὰς ἀρετὰς ἐξέλαβον[r], τοῦ μὲν λέοντος δηλοῦντος τὴν ἀνδρείαν καὶ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, ὃ καὶ Εἰρηναῖος ὁ Λουγδούνου ἅγιός φησι τῆς προαιωνίου βασιλείας εἶναι δηλωτικὸν, διὰ τοῦ, "ἐν ἀρχῇ ἦν ὁ Λόγος." τοῦ δὲ μόσχου, τὴν δικαιοσύνην, ἅτε τοῖς οἰκείοις ἀρκουμένον[s] πόνοις, καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, ὡς νομικῶς καὶ ἱερατικῶς τὸν Χριστὸν γενεαλογήσαντα[t]. τοῦ δὲ ἀετοῦ τὴν σωφροσύνην. ταύτην[u] γὰρ μαρτυρεῖται τὸ ζῶον ἔχειν[x], καὶ τὸ κατὰ Μάρκον Εὐαγγέλιον σύντομον ὂν, ὡς ὁ ἀετὸς τὴν πτῆσιν[y], καὶ ἀπὸ τοῦ προφητικοῦ Πνεύματος ἀρξάμενον. τοῦ δὲ ἀνθρώπου τὴν φρόνησιν, καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ὡς φυσικῶς καὶ οὐ νόμῳ κηρύξας τὴν Χριστοῦ γένησιν. ἴσως δὲ καὶ διὰ τούτων ἡ οἰκονομία Χριστοῦ δηλοῦται. διὰ τοῦ λέοντος, ὡς βασιλεύς. διὰ τοῦ μόσχου, ὡς ἱερεὺς[z], μᾶλλον δὲ καὶ ἱερεῖον[a]. διὰ τοῦ ἀνθρώπου[b] ὡς δι' ἡμᾶς ἀνδρωθείς. διὰ τοῦ ἀετοῦ, ὡς χορηγὸς[c] τοῦ ζωοποιοῦ Πνεύματος καὶ[d] ἐπὶ πάντας καταπτάντος[e].

8 Καὶ τέσσαρα ζῶα ἓν καθ' ἓν εἶχον ἀνὰ πτέρυγας ἓξ
κυκλόθεν. καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν, καὶ ἀνά-
παυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς λέγοντες, Ἅγιος
ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἦν, καὶ
9 ὁ ὢν, καὶ ὁ ἐρχόμενος. καὶ ὅταν δῶσι τὰ ζῶα δόξαν,

[r] καὶ τὰς δ' γεν. ἀρετ. ἐξέλαβον καὶ τὰ δ. εὐαγγ. B. [s] ἀρκουμένην τὴν δικαιοσύνην B. [t] γενεαλογῆσαι B. [u] ταυτῇ Edd. [x] ἔχειν om. Edd. [y] ὡς ὁ ἀετ. τ. πτῆσ. om. Edd. [z] ἱέρεως B. [a] μᾶλλ. δὲ ἱερείου B. [b] τὸ ἀνθρώπινον B. mox ὡς δι' ἡμ. ἀνδρ. om. [c] χορηγοῦ B. [d] ὡς B. [e] Post καταπτ. cæt. om. B. quæ Edd. habent, sed quæ priore Schol. exstant.

καὶ τιμὴν, καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου,
10 *τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, πεσοῦνται οἱ*
εἰκοσιτέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ
τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώ-
11 *πιον τοῦ θρόνου, λέγοντες, Ἄξιος εἶ ὁ Κύριος καὶ ὁ*
Θεὸς ἡμῶν ὁ Ἅγιος, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν
καὶ τὴν δύναμιν. ὅτι σὺ ἔκτισας πάντα, καὶ διὰ τὸ
θέλημά σου ἦσαν καὶ ἐκτίσθησαν.

Εἰπὼν τὰ[f] τέσσαρα ζῶα τὰ τὸν θρόνον κυκλοῦντα, καὶ τὸ εἶδος ἑκάστου διεξελθὼν, ὃ καὶ ἡμεῖς ὡς ἐφικτὸν ἡμῖν κατὰ τὸ κατ' ἀξίαν δοθὲν χάρισμα παρεθέμεθα, ὅτι τὸ προνοητικὸν περὶ πᾶσαν τὴν περίγειον αὐτοῦ κτίσιν περιστῶντός ἐστι τοῦ Θεοῦ, διὸ καὶ τέσσαρα ζῶα ἰσάριθμα τῇ τετρακτύϊ τῶν ποιοτήτων, δι' ὧν τὰ στοιχειώδη σώματα ὑπέστη τοῦδε τοῦ ὑλικοῦ κόσμου, νῦν καὶ τὸ τῆς λειτουργίας ὀξύρροπον[g] αὐτῶν παρίστησιν· ὃ καὶ Δαβὶδ παρίστησι[h] διὰ τοῦ, "δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, "τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ," οἱονεὶ οὐκ ἔφθη τὸ πρόσταγμα τὴν συντέλειαν τοῦ προτεταγμένου, ἀλλ' ἐξ αὐτῆς τῆς ἐντολῆς ἠνύσθη τὸ βούλημα. τὸ τάχος δὲ διὰ τῶν πτερύγων ἓξ κατανύεσθαι[i] φησὶν ἑκάστῳ. τοῦτο γὰρ τὸ "ἓν καθ' ἓν"[k] ὑποφαίνει[l], ἵνα μή τις τὰς ἓξ πτέρυγας ἀκούσας, κοινῇ ταύτας προεῖναι νομίσῃ. τὸ δὲ "κυκλόθεν," οὐ τῶν πτερύγων, ἀλλὰ τῶν τεσσάρων τὴν στάσιν ἐμφαίνει, ὅτι μὴ στοιχηδὸν, ἀλλὰ καὶ κυκλικῶς[m] ἦν. τῶν δὲ πτερύγων ὁ ἀριθμὸς, τὸ τέλος αἰνίττεται τῆς λειτουργίας, καὶ τὸ πρὸς ὃ ἡ λειτουργία· τέλειος γὰρ[n] ὁ ἓξ ἀριθμὸς, παρὰ τοῖς τὰ τοιαῦτα κομψοῖς ἀνυμνεῖται. οὐδὲν δὲ παρὰ τοῖς τὴν αἴσθησιν ἀναβεβηκόσιν ἀτελὲς, οὐδὲ τὴν ἐκ μεταμελείας συμπλήρωσιν ἐκδεχόμενον. ἓξ δὲ πτέρυξιν ὁ θεῖος Διονύσιος[o] τὰ νοερὰ ζῶα διηρτῆσθαι φησὶ[p], δυσὶ τὰ πρόσωπα καλύ-

[f] εἰπὼν τὰ om. B. [g] ὀξυρ. om. Edd. [h] φησὶ B. [i] καταμηνύεσθαι B. [k] τὸ ἓν καθ' ἓν om. Edd. [l] ἐνυποφαίνει Edd. [m] κυκλικὸς Edd. [n] λειτουργία πέλει. καὶ γὰρ Edd. [o] Διον. ὁ θεῖος B. [p] φησὶ om. B.

πτοντα, ταῖς δὲ δυσὶ τοὺς πόδας, ταῖς μέσαις δὲ πετᾶσθαι· ἵνα περὶ τὰ ὑψηλότερα καὶ βαθύτερα τῆς οἰκείας καταλήψεως φανῇ αὐτῶν ἡ εὐλάβεια, δι' ἣν τοῖς μέσοις προστάσσεσθαι τὰς ἀρχικὰς αὐγὰς θείοις ζυγοῖς ἀνατείνειν[q]. τὸ δὲ "κυκλόθεν," διὰ τὸ παντεπίσκοπον παρείληπται. τὸ δὲ "ἔσωθεν," ὅτι οὐδὲν τὰ θεῖα λανθάνειν δύναται, οὐδὲ τῶν ἐν παραβύστῳ τισὶ τελουμένων. τὸ δὲ "ἀνάπαυ- "σιν οὐκ ἔχουσιν," οὐχ ὅτι ἔγκοπόν τι ὑφίστανται, τῇ ἀνενδότῳ λειτουργοῦντα ὑμνῳδίᾳ· περὶ τὴν αἰσθητὴν γὰρ κτίσιν ὁ κόπος. ἀκάματα δὲ πάντα ὅσα ὑπὲρ τὴν ὕλην. ἐκεῖ δὲ, κατὰ τὸν εἰπόντα, "ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός." οὐ τὸ ἔγκοπον οὖν τὸ, "ἀνάπαυσιν οὐκ ἔχουσι," παριστᾷ, ἀλλὰ τὸ περὶ τὴν θείαν ὑμνῳδίαν ἀνένδοτον, ὥσπερεὶ κατεντρυφώντων πρὸς δόξαν καὶ αἶνον τοῦ θείου συντελουμένων. τὸ δὲ[r] τρισυπόστατον[s] τῷ τριπλασιασμῷ τῆς δόξης καὶ τοῦ ἁγιασμοῦ[t] ἔχομεν[u] νοεῖν. [x]οὐκ ἀμάρτυρος δὲ ἡ τῶν τριῶν ὑποστάσεων ἐπὶ τοῦ θείου ἐμφάνεια. ἀλλ' ἐκ παλαιᾶς καὶ νέας γραφῆς πορίζομένη. ἐκ παλαιᾶς, ἀφ' ὧν πρὸς Μωϋσῆν ὁ χρηματίζων "ὁ ὢν ἀπέσταλκέ με" κελεύων ἐρεῖν· ἐκ δὲ τῆς νέας αὐτὸς οὗτος ὁ τὴν Ἀποκάλυψιν ταύτην διδάσκων· τὸν μὲν Υἱὸν διὰ τοῦ "ἦν·" "ἐν ἀρχῇ ἦν ὁ Λόγος" εἰπών. τὸ Πνεῦμα δὲ, αὐτὸς ὁ ἐνανθρωπήσας, ὁ ἦν, τοῖς μαθηταῖς αὐτοῦ ἐν τῷ θείῳ πάθει ἐπαγγειλάμενος "πέμψειν αὐτοῖς ἄλλον Παράκλητον·" τίς δὲ νοῦ κύριος τὸν ἀποστελλόμενον οὐχὶ τὴν ἀποστολὴν ἐκπληροῦντα καὶ ἐρχόμενον φήσει; ἐναργεστέρας οὔσης τῆς ἐπὶ τοῦ βαπτίσματος εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἐντολῆς.

Πεσοῦνται οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι.

Διὰ τούτων δηλοῦται καὶ τοὺς νοηθέντας ἡμῖν πρεσβυτέρους κοινωνοὺς εἶναι τῆς ὑμνῳδίας τῶν οὐρανίων δυνάμεων· ὁμολογοῦντας ἐκ Θεοῦ κεκομίσθαι τῆς τῶν νοητῶν ἐχθρῶν νίκης τὴν δύναμιν. ἐπισκοπητέον[y] δὲ τὴν τῶν χρονικῶν διαστημάτων ἐν τῇ ἀφηγήσει ἀκρίβειαν. ἀπὸ γὰρ τῆς τῶν ἐνεστώτων ἐπαγγελίας[z], ἐπὶ τὰ μέλλοντα χωρεῖ, οὐκ ἀσυνεσίᾳ τοῦτο ποιῶν, ἐνδεικνύμενος δὲ ὡς καὶ τῆς πρὸ τῆς τελευταίας τῶν κατορθούντων ἀναρρήσεως, ἐστί

[q] ἀνατείνονται τὸ κυκλόθεν B. [r] καὶ ἵνα δὴ τὸ B. [s] τρισυπ. παραδηλῶται B. [t] καὶ τ. ἁγιασ. om. B. [u] ἔχωμεν B. [x] Desunt quæ seq. in Edd. [y] ἐπισκεπτέον B. [z] ἀπαγγελίας B.

τι[a] *τοῖς ἀπεκδύνουσι τὸ παρὸν ἐναγώνιον στάδιον τῷ τεθειμένῳ ὑπείκουσιν ὅρῳ, τοῦ συμφέροντος*[b] *ἑκάστῳ ὡροθετηκότος*[c] *εὐχαριστίᾳ· ἅτε καὶ ἀντιλαμβάνουσι συμμέτροις πρὸς τὸν μέλλοντα*[d] *καὶ ἀκατάλυτον αἰῶνα, παραραβλήτω*[e] *τὰς ἀντιδόσεις, ἤτοι*[f] *θαυμάτων περιουσίαν τοῖς πρὸς αὐτοῦ ἐπιδεῶς ἀφικνουμένοις, ἢ καί τισιν ἑτέραις εὐεργεσίαις*[g]*. οὐκ οὖν ἐπὶ τῆς τελευταίας μόνον τεθησαύρισται ἡμέρας, ἡ ἀπὸ τῶν λειτουργικῶν Πνευμάτων καὶ τῶν ἐκείνοις ἐναμίλλων ἀνθρώπων ἐξαιρέτως τῷ ἔργῳ δειχθέντων*[h]*, πρὸς τὸν σαρκωθέντα Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ ὑποτύπωσις καὶ εὐφημία καὶ αἶνος, ἀλλ' ἤδη καὶ ἐπὶ*[i] *τοῦ ἐνεστῶτος, ὡς ἡ δοκοῦσα τῶν χρονικῶν διαστημάτων παράβασις τοῖς ὀξυωπεῖν*[k] *δυναμένοις ὑπέστησεν.*

Καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν.

Τὸ βαλεῖν τοὺς στεφάνους ἐνώπιον τοῦ θρόνου, τὴν νίκην δηλοῖ[l]*, ὡς καὶ νῦν*[m] *ἐπὶ τῶν νικώντων ἀγῶνάς ἐστιν ἰδεῖν. ὁ θρόνος δὲ τὴν κυριότητα καὶ ἐξουσίαν. ἔστι καὶ βασιλείας ὁ στέφανος σύμβολον. βάλλοντες οὖν ἐνώπιον τοὺς στεφάνους τοῦ θρόνου, τί ἂν ἄλλο, ἢ τὴν ὄντως καὶ ἀληθῆ βασιλείαν, καὶ τὴν κατὰ πάντων νίκην, τῷ ἐπὶ πάντων*[n] *ἀνατιθέασι Θεῷ; λέγοντες, σοὶ δέσποτα παρὰ πάντων ἐποφείλεται δόξα, ὡς κτίστῃ καὶ δημιουργῷ, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προσαγωγεῖ*[o] *καὶ συντηρητῇ τε*[p] *καὶ συνοχεῖ.*

ΚΕΦ. ΙΑ.

Περὶ τῆς βίβλου τῆς ἐσφραγισμένης σφραγῖσιν ἑπτὰ, τῆς ἐν τῇ[q] *χειρὶ τοῦ Θεοῦ, ἣν οὐδεὶς ἀνοῖξαι δύναται τῆς κτιστῆς φύσεως*[r]*.*

1 *Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ*
θρόνου, βιβλίον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν, κατε-
2 *σφραγισμένον σφραγῖσιν ἑπτά. καὶ εἶδον Ἄγγελον*
ἰσχυρὸν κηρύσσοντα ἐν φωνῇ μεγάλῃ. τίς ἄξιός ἐστιν

[a] ἔστι τις Edd. [b] συμφερόντως B. [c] ὅρῳ τεθεικότος B. [d] τῷ πρ. τὸν μελ. B. [e] παραβλ. om. Edd. [f] ἢ B. [g] τοῖς πρὸς αὐτ. ἐπ. ἀφικ. om. Edd. mox ἢ καί τινας ἑτέρας εὐεργεσίας. [h] ἐξαρετῆς τῶν ἔργων B. [i] ἀπὸ B. [k] ὀξυοπεῖν Edd. [l] ὁ στέφανος τὴν νικ. δηλ. B. [m] τοὺς ἐπὶ B. [n] πάντας B. [o] προαγωγεῖ B. [p] τε om. B. [q] τῇ om. B. [r] τῆς κτ. φυσ. δύν. B.

ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ;
3 καὶ οὐδεὶς ἐδύνατο ἐν τῷ οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς, οὔτε
ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.
4 καὶ ἐγὼ ἔκλαιον πολὺ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι
5 τὸ βιβλίον, οὐδὲ βλέπειν αὐτό. καὶ εἷς ἐκ τῶν πρεσβυ-
τέρων λέγει μοι, Μὴ κλαῖε.

[rr]Ἐπὶ τὴν δεξίαν τοῦ Θεοῦ ὤφθη τὸ βιβλίον. τὰς κατὰ τὸν βίον δεξιὰς τῶν ἁγίων διεξόδους τῶν ἐν τῇ παλαιᾷ καὶ νέᾳ βούλεται δηλοῦν. τὰ ἐκ δεξιῶν τοῦ Θεοῦ, τὰ[s] κατὰ ψυχὴν αἰνίττεται ἀγαθὰ, ἅπερ καὶ ὁ παροιμιαστὴς Σολομὼν ἐν τῇ δεξιᾷ ἀποκεῖσθαι δηλοῖ τῆς σοφίας, ἃ διὰ τῆς ζωῆς ὑπέφηνεν εἰπὼν, "ἐν τῇ δεξιᾷ αὐτῆς "ζωή." τὰ δὲ ἐξ ἀριστερῶν, τὰ κατὰ σῶμα καὶ τὴν θνητὴν ταύτην ζωὴν, ἅπερ διὰ τῆς δόξης καὶ τοῦ πλούτου[t] ἠνίξατο φήσας, "ἐν τῇ ἀριστερᾷ πλοῦτος καὶ δόξα." ὁ δὲ θρόνος, ὅτι τὴν ἐξουσίαν καὶ τὸ ὑπερβάλλον τοῦ ἐπ' αὐτὸν ἐπόχου σημαίνει[u], εἴρηται. τί δὲ τὸ βιβλίον; ἡ πάνσοφος τοῦ Θεοῦ καὶ ἀνεπίληπτος[x] μνήμη. ἣν καὶ ὁ προφήτης Δαβὶδ καὶ Μωϋσῆς παρεδήλου, ὁ μὲν, διὰ τοῦ, "ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται." ὁ δὲ, διὰ τοῦ, "κἀμὲ "ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας." τὸ δὲ ἔσωθεν γεγράφθαι καὶ ἔξωθεν, καὶ σφραγῖσι κατησφαλίσθαι ἑπτὰ, τὸ ἔσωθεν μὲν, οἱ ἐξ Ἱερουσαλὴμ[y] ἂν εἴησαν γεγραμμένοι, ὡς θεοσεβεῖς τῇ ὁδηγίᾳ τοῦ νόμου, τὸ ἔξωθεν δὲ καὶ τῇ χείρονι μοίρᾳ, οἱ ἐξ ἐθνῶν [z]ἀπὸ τοῦ ἐθνικοῦ ἐπιστρέψαντες καὶ τῆς εἰδωλολατρείας βίου. αἱ δὲ ἑπτὰ σφραγῖδες, τῷ ἑπτὰ[a] ἀριθμῷ τὸ ἐπίσημον ἔχουσαι τὰς[b] κατὰ τὸν θνητὸν τοῦτον κόσμον τῶν ἡμερῶν μεταβολάς τε καὶ διαδοχὰς σημαίνουσαι[c], τί ἂν ἄλλο συνιέναι παρέχοιεν, ἢ τὸ μηδένα πλὴν μόνου Θεοῦ τὰ κατὰ τὴν διέξοδον τοῦ βίου ἑκάστου ἡμῶν ἐξακριβοῦν ἔχειν[d] εἰδέναι; ἢ οὖν τοῦτο, ἢ τὸ κεκλεῖσθαι τὸ βιβλίον καὶ τοῦτο βουλομένου[e] παριστᾶν ἐστὶ τὸ μηδένα ἠξιῶσθαι θείας ἐποψίας πλὴν ὀλιγίστων[f]. πάντες γὰρ ἐξέκλιναν, ἅμα

[rr] Hæc om. Edd. usque ad δηλοῦν. [s] ἀεὶ τὰ B. [t] διὰ τοῦ πλ. καὶ τ. δόξ. B. [u] σημαίνεσθαι B. [x] ἀνεπίληστος B. [y] Ἰσραὴλ B. [z] Verb. quæ seqq. usque ad βίου om. Edd. [a] ἑβδόμῳ B. [b] τοῦ B. [c] τῶν ἡμ. μετ. καὶ διαδ. σημ. om. B. [d] ἔχοντος B. [e] βουλομεν B. mox om. ἐστι. [f] πλὴν om. B. mox ὀλιγοστῶν.

ἠχρειώθησαν τὴν ἀπὸ τῆς ἁμαρτίας τοῦ Ἀδὰμ ἀχρείωσιν, καὶ ἀπολωλέκασι τὴν πρὸς Θεὸν παρρησίαν. [g]ἀλλὰ μὴ πάντες ἀκούσας, μηδένα οἰηθεὶς ἠξιώσθαι θείας ἐπισκοπῆς, τὸν Ἀβραὰμ καὶ Μωϋσῆν καὶ τῶν κατ' ἐκείνους ἀναλογισάμενος ἔνθεον χορόν. τὸ γὰρ πᾶν ὡς ἐπίπαν οὐ καθ' ὁλότητα τῶν ὑποκειμένων τῷ λόγῳ περιληπτικόν. ἀλλ' ἔστιν ὅτε καὶ τῆς περιλήψεως ἀστοχεῖν ἐν τῷ τινὰς τῆς ἀθροίσεως αὐτοῦ ὑποστέλλεσθαι, ὡς ἐν τῷ "πᾶσα ἡ "γῆ ἠρίστα[h]." τοῦ γὰρ ὡς ἐπὶ τὸ πολὺ τοῦτο σημαντικὸν, οὐχὶ τοῦ παντελῶς.

Καὶ οὐδεὶς ἐδύνατο.

Ἀνθρώπων μὲν οὐδεὶς ἠδύνατο. τὸ δὲ ἀρνίον[i] καὶ μάλα[k], ὡς ἤδη εἴρηται, καὶ διὰ τοῦ Δαβὶδ κατὰ[l] τὸ, "πρωῒ εἰσακούσῃ τῆς "φωνῆς μου," [m]τὸ "πρωῒ παραστήσομαί σοι καὶ ἐπόψῃ με·" πρωΐαν, λέγων[n] τὴν διὰ σαρκὸς ἐπιδημίαν τοῦ Κυρίου, δι' ἧς ἐπιδημίας ἄνθρωποι καὶ θείας ἐποψίας ἠξιώθημεν παραστάντες, ἤγουν παραστῆναι ἀξιωθέντες παρὰ τοῦ τὰ κατερραγμένα ἀνορθοῦντος, καὶ τὰ συντετριμμένα συσφίγγοντος. δι' ἃ καὶ ἡ πρὸς ἡμᾶς αὐτοῦ εὔσπλαγχνος ᾠκονομήθη[o] ἐπιδημία, καὶ διὰ ταύτην τῶν θείων[p] προφητῶν αἱ[q] δεήσεις εἰσηκούσθησαν, ὧν ἐστὶ καὶ ἡ, "κλῖνον τοὺς[r] οὐρανοὺς καὶ κατάβηθι."

[s]Οὐδεὶς ἐδύνατο ἐν τῷ οὐρανῷ ἄνω, οὔτε ἐπὶ τῆς γῆς, οὔτε ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὔτε βλέπειν αὐτό.

*Οὐδεὶς μὲν ἀνθρώπων, ὦ θειότατε Ἄγγελε, εἴποι ἄν τις πρὸς αὐτὸν, μόνος δὲ ὁ ἐνανθρωπήσας Θεὸς ἁμαρτίαν ἑλὼν, καὶ τὸ καθ' ἡμῶν ῥήξας χειρόγραφον καὶ τῇ οἰκείᾳ ὑπακοῇ τὴν ἡμῶν * * ἀκοὴν * * * νος, καὶ τὴν ἧτταν ἡμῶν ἀναπαλαίσας.*

Καὶ ἐγὼ ἔκλαιον, ὅτι οὐδεὶς ἄξιος εὑρέθη.

Οὐδὲ γὰρ Ἄγγελος οὐκ ἄνθρωπος ταῦτα ἡμῖν[t] κατώρθωσεν, ὥς φησιν Ἡσαΐας; "οὐ πρέσβυς οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν "αὐτοὺς, διὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτούς[u]." οὔτε οὖν τῶν ἀσάρκων τις,

[g] Hæc om. Edd. [h] Sic. [i] *ὡς ἀρνίον* Edd. [k] *καὶ μάλα* om. B. [l] *κατὰ* om. B. [m] Hæc om. Edd. [n] *λέγων* om. Edd. [o] *οἰκονομήθη* B. [p] *θείων* om. Edd. [q] *αἱ* om. B. [r] *τοὺς* om. B. [s] Hoc Sch. om. Edd. [t] Om. Edd. [u] Hæc om. Edd.

οὔτε τῶν ἐν σαρκὶ ὄντων, οὔτε τῶν[x] ἐκ σαρκὸς ἀποδεδημηκότων, τὴν ἀκριβῆ τῶν θείων εἴληφε γνῶσιν. τοῦτο γὰρ[y] τὸ συνεπτύχθαι δηλοῖ τὸ βιβλίον, οἱονεὶ τὸ πάσῃ κτιστῇ φύσει ἀνεπινόητα εἶναι τὰ κρίματα[z] τοῦ Θεοῦ. [a]διὸ καὶ ἀβύσσῳ παρείκασται· "τὰ "κρίματα γὰρ τοῦ Θεοῦ," φησὶ Δαβὶδ, "ἄβυσσος πολλή." κτιστῇ μὲν οὖν φύσει συνέπτυκται τὸ βιβλίον. καὶ οὐ μόνον ἀνοῖξαί τις αὐτὸ ἀδυνάτως ἔχει[b], ἀλλ' οὐδὲ βλέπειν, τουτέστιν, οὐδὲ ἀτενῶς πρὸς τὰ θεῖα κρίματα ἴσχυσεν ὁρᾷν[c]. [d]πῶς γὰρ οἱ μόχθῳ τῶν ἐνύλων τὸ περισπᾶσθαι δεδυστυχηκότες ὡσπερεὶ ἀχλύϊ τὸν νοερὸν ὀφθαλμὸν ἐξηχρειωμένοι, τὴν περὶ τὰ θεῖα ἐποψίαν εὐτυχῆσαι ἀξιωθεῖεν; ἀλλ' οἱ τοσούτου ἀναπεπλησμένοι τοῦ ἀναξίου, ἐπειδὴ αὐτοῖς ἡ τοῦ ἀρνίου ἐπιδημία παρέστη, τὰ πρὶν ἄπορα, εὔπορα κατέστη, καὶ τὰ δυσχερῆ, ῥᾴδιά τε καὶ εὐχερῆ. [e]ὡς ἔστι μαθεῖν ἀπὸ τῶν νῦν πολλῶν τὸ μὲν προστετηκέναι τοῖς βιωτικοῖς παρ' οὐδὲν τιθεμένους, πρὸς δὲ τὰ θεάρεστα τὴν σπουδὴν μεταταττομένους.

Ἄλλως. Ἡ πάντων, φησὶν, ἀναξιότης γέγονέν ἐμοι θρήνων αἰτία· παρεμυθήσατο δέ μέ τις τῶν πρεσβυτέρων. οὓς πρεσβυτέρους τινες, φθάσαντες παρεθέμεθα· ὅτι τῶν ἐπουρανίων οὗτοι δυνάμεων. πρεσβύτεροι δὲ οὐ τῷ χρόνῳ, οἱ ἅμα καὶ κατὰ ταὐτὸ τὸ εἶναι λαχόντες, ὡς καὶ Δαβὶδ ἔφη περὶ αὐτῶν ὑπὸ Θεοῦ γενομένων, "ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν." οὐ τῷ χρόνῳ οὖν τὸ πρεσβύτεροι λογιστέον, ἀλλὰ τῇ τιμῇ. ὥσπερ καὶ οἱ κατὰ τὸν Δανιὴλ ἐπὶ Σωσάννῃ πρὸς αὐτὸν Δανιὴλ ἀντενεχθέντες ἔφασαν, "δεῦρο καθίσας ἐμμέσῳ ἡμῶν ἀπάγγειλον ὅτι σοι δέδωκεν ὁ Θεὸς "τὸ πρεσβυτέριον." οὐ τῷ χρόνῳ οὖν τὸ πρεσβύτεροι ἀκουστέον, ἀλλὰ τῇ τιμῇ, ἤτοι τῇ τάξει καὶ τῇ πρὸς τὸ κρεῖττον ἐγγύτητι· οὔτε πω οὐδὲ τῆς ἐγγύτητος νοουμένης. τίς γὰρ τόπος τοῖς ἀϋλίαν συγκροτουμένοις; ἐγγὺς δὲ τῇ ἀϋλίᾳ καὶ καθαρότητι τὸ παραπλήσιον ἔχουσιν· οὐ γὰρ ὁμοειδῆ οὐδὲ τὰ θεῖα, ὡς οὐδὲ τὰ ἐν γενέσει.

[x] οὐ τῶν B. [y] γὰρ om. B. [z] τὰ κρίμ. εἶναι B. [a] Hæc om. Edd. [b] ἐσχήκει B. [c] ἐνορᾷν B. [d] Quæ seq. usque ad ἀξιωθεῖεν des. Edd. [e] Quæ seq. usque ad γενέσει om. Edd.

Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων.

Εἷς τῶν πρεσβυτέρων, ἤγουν τῶν θειοτέρων[f] δυνάμεων. οἳ καὶ αὐτοὶ τῇ πρὸς ἡμᾶς σχέσει χαρᾶς πληροῦνται, ὡς καὶ ὁ Κύριός φησι, "χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι." εἰ δὲ ἐπὶ ἑνὶ ἁμαρτωλῷ τοῦτο, πόση τίς[g] ἡ χαρὰ συσταίη ἐπὶ πολλοῖς[h]; δι' ἣν καὶ ἡ παρουσία[i] τοῦ ἀρνίου, ὃ ἤνοιξε τὸ βιβλίον εἰς[k] τὸ γνῶναι τὸν ἐπὶ σωτηρίᾳ ἡμῶν παραγεγονότα. καὶ ὅτι τοῦτο, αὐτὸς ἡμᾶς διδάσκει ὁ Κύριος[l] λέγων, "οὐκ ἦλθον καλέσαι "δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν."

[m]Ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβίδ.

Ἐνίκησεν τὸν ἡμέτερον νικητὴν τὸν διάβολον. τίς δὲ ὁ νικήσας; ὁ ὡς Θεὸς μὲν λέων, περὶ οὗ καὶ ὁ πατριάρχης Ἰακὼβ τὸ "κατα-"κλιθεὶς" ἐχρησμῴδησεν, "ὡς λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα." ὡς "ῥίζα δὲ τοῦ Δαβὶδ," ὡς κτίστης διὰ τὴν θεότητα, ἐκ ῥίζης δὲ Δαβίδ· εἴρηται γὰρ καὶ ἐκ ῥίζης Δαβὶδ ῥάβδον καὶ ἄνθος βλαστῆσαι ὁ θεόσοφος Παῦλος, δι' ὧν φησι, "πρόδηλον γὰρ ὅτι ἐξ "Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός." ῥίζα γὰρ ὁ Χριστὸς, ὡς εἰρήκαμεν, καὶ ἐκ ῥίζης Δαβίδ. ῥίζα μὲν ὡς Θεὸς, οὐ μόνον Δαβὶδ ἀλλὰ καὶ πάσης νοητῆς καὶ αἰσθητῆς φύσεως. ἐκ ῥίζης δὲ Δαβὶδ κατὰ τὸ ἀνθρώπινον.

[n]Ὁ ἀνοίγων τὸ βιβλίον καὶ τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ.

Ζ αἱ σφραγῖδες διὰ τὸ τὸν ζ ἀριθμὸν σύστοιχον εἶναι τῷ παρόντι φθαρτῷ βίῳ, ᾧ καὶ τὸ διδόναι μερίδα τοῖς ζ' καί γε τοῖς ή Σολομόντειον ῥητὸν τινὲς τῶν πατέρων προσένειμαν· καὶ κατά τι, οἷς ταῦτα καὶ περὶ ταῦτα σχολὴ[nn] εἰδεῖεν ἄν· ὧν καὶ Φίλων ὁ Ἑβραῖος πολὺς περὶ ταῦτά ἐστιν, ἐν τῷ λόγῳ ᾧ ἐπέγραψεν Νόμων ἱερῶν Ἀλληγορία.

[f] τῶν θειοτ. λέγε B. [g] πόση καὶ τίς Edd. πόση τίς καὶ B. [h] πολλοὺς B. [i] παρρησία Edd. [k] καὶ B. [l] ὁ κύρ. om. B. mox οὐκ ἦλθ. λεγ. [m] Hoc Sch. seq. cap. assign. Edd. [n] Deest hoc Sch. Edd. [nn] σχολῇ Cod.

ΚΕΦ. ΙΒ.

Περὶ τοῦ ἀρνίου τοῦ τὰ ἑπτὰ κέρατα ἔχοντος ὅπως τὴν βίβλον ἀνέῳξεν.

6 Καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων
ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον, ἑστηκὸς ὡς
ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς ἑπτὰ,
ἅ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ ἀποστελλόμενα εἰς
7 πᾶσαν τὴν γῆν. καὶ ἦλθε καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς
τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον.

Ἀρνίον, ἑστηκὸς ὡς ἐσφαγμένον.

Ἀρνίον ὁ Χριστὸς, ὁ καὶ διὰ τοῦ κατὰ τοῦ νομικοῦ Πάσχα θυομένου προετυποῦτο ἀμνοῦ. καὶ διὰ Ἡσαΐου ἐκ[o] *προσώπου φησὶ τοῦ Χριστοῦ. "ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ "θύεσθαι, οὐκ ἔγνων*[p]*." καὶ τὸ, "ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος "αὐτὸν ἄφωνος," καὶ εἴτι τούτῳ ἑξῆς τῷ ῥητῷ, τὸ πάθος ἡμῖν τοῦ θεανθρώπου*[q] *ἐναργέστατα διατυποῦν. τὸ δὲ μὴ ἐσφαγμένον εἰρῆσθαι, ἀλλ' "ὡς ἐσφαγμένον*[r]*," τὸ μὴ ἐναπομεῖναι δηλοῦντός ἐστι τῷ θανάτῳ. ἀνεβίω γὰρ ὁ Χριστὸς, κατὰ τὴν προφητείαν Δαβὶδ, "οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην," τὴν ἀνάστασιν διεξιούσης, καὶ ὅσα διὰ τῶν ἑξῆς τῷ ῥητῷ τούτῳ ἐνθεωρεῖται· λέγω δὴ τὴν ἐν τῷ ᾅδῃ κατοχὴν τοῦ Κυρίου ὅτι τριήμερος· τοῦτο γὰρ τὸ, "μὴ δὴ ὅσιον ἰδεῖν," οὐχὶ φθορὰν ἀλλὰ "διαφθοράν." ὡς τῆς μὲν φθορᾶς τὴν διάζευξιν τῆς ψυχῆς τὴν ἀπὸ τοῦ σώματος δηλούσης· ὃ καὶ πεπονθέναι Χριστὸν, οὐδεὶς τῶν εὐσεβούντων κατὰ ἀλήθειαν Χριστιανῶν*[s] *ἀθετεῖ ὑποστῆναι· διαφθορὰν δὲ οὔ. οὐ γὰρ τῇ τελείᾳ διαλύσει τῶν ἀνθρωπίνων μερῶν ὑπεβλήθη, ἀλλὰ καθ' ὃν καιρὸν τὴν διαφθορὰν ὑπεισιέναι ἐχρῆν, κατὰ τοῦτον ἡ ἀνάστασις ἐνεργηθεῖσα, τὴν διαφθορὰν ἤμβλυνε. διὸ καὶ τριήμερος ἡ ἐν τῷ θανάτῳ τοῦ Κυρίου διατριβὴ, εἴγε ἀπόδεκτος ὁ τὴν φυσικὴν ἱστορίαν γράψας, τὰ σώματα τῶν θνησκότων μὴ ὑπὸ πυρὸς ἀναλωθέντων, τρεῖς ἡμέρας διακαρτερεῖν τῇ φυσικῇ*[t] *ζωῇ*

[o] ὃς ἐκ B. ὡς Edd. [p] Om. B. [q] Sic B. ἀνθρώπου Edd.
[r] ἐσφραγμένον Edd. [s] Om. Edd. [t] φυτικῇ B.

ἐνεργούμενα, καὶ τὸ ἀπὸ τοῦδε τῇ φθορᾷ, μᾶλλον δὲ[t] τῇ διαφθορᾷ, παραδίδοσθαι.

Ἔχον κέρατα ἑπτά.

"Κέρατα," τὴν δύναμιν σημαίνει καὶ τὴν δόξαν. ἀξιόχρεως ἡ θεία παραστῆσαι γραφή· ὡς ὅταν περὶ τῆς δυνάμεως λέγῃ. "πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω." περὶ δὲ τῆς δόξης, "καὶ ὑψωθήσεται τὸ κέρας τοῦ δικαίου." [u]καὶ ὡς ὅταν ἡ Σαμουὴλ μητὴρ Ἄννα χαριστήριον καύχησιν συντελοῦσα Κυρίῳ ᾄδει· "ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ "στόμα μου."

Ἅ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ.

Διότι δὲ ἑπτὰ καὶ περὶ τούτου προείρηται. τὰ ἑπτὰ πνεύματα τάδε αἱ τοῦ πνεύματος ἐνέργειαι, τῆς σοφίας, τῆς συνέσεως, τῆς γνώσεως, τῆς βουλῆς, καὶ τῆς ἰσχύος, τῆς εὐσεβείας, καὶ τοῦ φόβου τοῦ Θεοῦ. αἵπερ ἐνέργειαι, αἱ ἐπὶ τοὺς εἰς πᾶσαν τὴν γῆν ὄντας ἁγίους ἐνήργησαν[x].

Καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον.

Ὅτι γὰρ ἄν τις καὶ δι' ὧν ἐχόμενον ἀρετῆς οὐκ ἔστιν ἐκτὸς κατορθούμενον, μὴ τῇ ἄνωθεν ἐπιρωννύμενον συμμαχίᾳ. διὸ καὶ εἴρηται τὸ "οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ "ἐλεοῦντος Θεοῦ," ὅτι καὶ τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ. τὸ εἰληφέναι τὸ ἀρνίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τὸ βιβλίον, κατὰ τὸ ἀνθρώπινον νοητέον[y], ὥσπερ τὸ ἐσφάχθαι. κατὰ γὰρ τὸ θεῖον, τοῦ Κυρίου[z] οὐδὲν ἐξιδιαζόμενον ταῖς τρισὶν ὑποστάσεσι τῶν θεοπρεπῶν, πλὴν τῆς τοῦ τρόπου προαγωγῆς τοῦ ἀγεννήτου καὶ γεννητοῦ, καὶ ἐκπορευτοῦ. τίς δὲ ἡ δεξιὰ εἴρηται ἡμῖν.

Περὶ τῶν χρονικῶν διαστημάτων τῶν ἐν τῇ ἀθητήσει[a] τῆς παρούσης ὀπτασίας, ὅτι συγκεχυμένως πρόεισιν ὁ ταῦτα διεξιὼν θεῖος Ἀπόστολος, ποτὲ μὲν ὡς παρῳχημένοις χρώμενος, ποτὲ δὲ

[t] τῇ φθορ. μᾶλλον δὲ om. B. [u] Quæ seq. om. Edd. [x] κατὰ πᾶσαν ἀξίους τὴν γῆν B. [y] ἡ λῆψις B. [z] τοῦ Κυρίου add. B. [a] Sic.

ὡς ἐνεστῶσιν, ἔστι δὲ ὅτε ὡς μέλλουσιν, εἰρήκαμεν ἤδη, καὶ οἶμαι ἐπιτευκτικῶς.

[b]Καὶ ὀφθαλμοὺς ἑπτὰ, ἅ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ ἀποστελλόμενα εἰς πᾶσαν τὴν γῆν.

Κατὰ τὸ *εἰρημένον· "ὀφθαλμοὶ* Κυρίου *ἐπὶ πᾶσαν τὴν γῆν "σκοπεύοντες ἀγαθοὺς καὶ κακούς."*

8 Καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα καὶ οἱ
εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου,
ἔχοντες ἕκαστος κιθάραν καὶ φιάλας χρυσᾶς γεμούσας
9 θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων, καὶ
ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες, Ἄξιος εἶ λαβεῖν τὸ
βιβλίον, καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ· ὅτι ἐσφάγης
καὶ ἠγόρασας τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου ἐκ
10 πάσης φυλῆς καὶ γλώσσης, καὶ λαοῦ καὶ ἔθνους, καὶ
ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς, καὶ
βασιλεύσομεν ἐπὶ τῆς γῆς.

Οἱ μὲν ὑπεροχικὰς θείας ἐξηγήσαντο δυνάμεις τὸ παντοκρατορικὸν τοῦ Θεοῦ περὶ τὸν ἐκ τεσσάρων στοιχείων δημιουργηθέντα κόσμον ἐμφαίνειν οἵας τε οὔσας[c]· *διὸ καὶ περὶ τῷ θρόνῳ τετάχθαι· οἱονεὶ ἐξαγγελτικὰ τῆς περὶ τὸν τετραυπόστατον τοῦτον κόσμον Θεοῦ ἐποψίας. οἱ δὲ δυνάμεις μὲν, ἐφόρους δὲ τῶν ἐξ ὧν τόδε τὸ πᾶν ὑπέστη στοιχείων*[d], *τὸ διαρκὲς αὐτοῖς*[e] *συντηρούσας.* [f]*ὥσπερ καὶ Μωϋσῆς ἑκάστω ἔθνει ὑφηγεῖται ὑπὸ Θεοῦ Ἄγγελον ἐπιστατεῖν τετάχθαι· τοὺς πρεσβυτέρους δὲ τίνες, καὶ διατί τοσοῦτοι, ἔφθημεν εἰρηκότες.*

Ἔπεσον ἐνώπιον τοῦ ἀρνίου.

Λαβόντα τὸν Κύριον τὸ βιβλίον, προσεκύνησαν πάντες προεγνωκότες ἣν μέλλει σωτηρίαν τοῖς ἀνθρώποις ἐπιτελεῖν, κόλασιν δὲ τοῖς ἀκαθάρτοις δαίμοσι. τὸ δὲ ἔχειν τοὺς[g] *πρεσβυτέρους κιθάρας, τὸ ἐναρμόνιον δηλοῖ καὶ εὔηχον τῆς εἰς Θεὸν δοξολογίας. ὡς καὶ Δαβὶδ φησι, "αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ."*

[b] Hoc Sch. carent Edd. [c] *οἷά τε ὄντα* B. [d] *στοιχεῖον* Edd.
[e] *αὐτοῦ* Edd. [f] Quæ seq. desunt Edd. [g] *τοὺς* B. om. Edd.

τοῦ ψαλτηρίου μὲν τοῦ ἀπὸ τῆς ἄνωθεν συνεργείας τὸν εἰς Θεὸν ὕμνον λαμβάνειν * * καὶ μόνον τοῦτο τῶν οὐρανίων ὀργάνων ἄνωθεν τὰς ἀφορμὰς ἔχειν τῶν φθόγγων. τῆς κιθάρας δὲ τὸ κάτωθεν κοῖλον ἐχούσης τὸ τὰς χορδὰς κρέκοντι πλήκτρῳ * * ἡδόνης ὑπηχοῦν. * *τεσθαι ἔοικε τὴν ἀπὸ τῶν κάτω καὶ περὶ ἡμᾶς δοξολογίαν ἅμα πεμπον* * Θεῷ μηδεμίαν τηλικῆς περιαγωγῆς ἡμᾶς οἵαν τε εἶναι τὴν πρὸς Θεὸν εὐχαριστίαν ἡμῖν ἀποπέμπεσθαι. πάντα δὲ τὰ περισπῶντα ἀφορμὴν λογίζεσθαι πρὸς σωτηρίαν τὸν ἀγαθὸν θ* * * * *δωτην ἐπινέμειν ἡμῖν· τί γὰρ ἂν ὁ ἀγαθὸς μὴ ἀγαθὸν βραβεύσει; ἀλλ' ἵνα καὶ τοῖς δοκοῦσιν ὁλοκλήροις τὸ καρτερικὸν ἀντιστήσαντες πλείονα τὴν ἀντίδοσιν εὕροιεν. εἴγε ἀληθῶς τὸ "ἕκαστος τὸν μίσθον λήψεται κατὰ τὸν ἴδιον κόπον." αἱ δὲ χρυσαὶ φιάλαι, αἱ διάνοιαί εἰσι τῶν ἐργαζομένων τὰ θεοφιλῆ, (διὸ καὶ χρυσῷ ὑπεσημάνθησαν ἀπὸ τῆς παρ' ἡμῖν τιμίας ὕλης,) τῷ ἐνδελεχισμῷ τῆς πρὸς τὸ θεῖον ἀναστάσεως τὸ κατὰ προκοπὴν τίμιον εὑρηκότων[f]. ἐκ τούτων καὶ τὰ ἐξατμίζοντα τὸ ἴαμα τῆς καθ' ἡμῶν δικαίας τοῦ Θεοῦ ὀργῆς[g] ἐνάμιλλον τῶν πονηρῶν ἐπιτηδευμάτων, ἀναδίδοται θυμιάματα. διὸ καὶ θυμιάματα, οὐχὶ ἀρώματα εἴρηται. ἴαμα γάρ, κατὰ τὸν εἰρηκότα, "καταπαύσει[h] "ἁμαρτίας μεγάλας." καὶ ὅτι εἰς[i] θυμοῦ ἴαμα αἱ προσευχαὶ τῶν ἁγίων Θεῷ ἐντυγχάνουσι, δῆλον, ἐκ μὲν τῆς παλαιᾶς δι' ὧν φησὶ Σαμουὴλ[k]. "ἐὰν εἰς τὸν Θεὸν ἁμάρτῃ τίς, προσεύξεται περὶ "αὐτοῦ." * * * * θυμὸν τοῦ Θεοῦ τὸν κατὰ τῶν Ἑβραίων τῆς παρανομίας καταπραΰνων, ὅτε ἐξαναλοῦν αὐτοὺς ἐχρημάτιζε τὸ θεῖον διὰ τοῦ, "ἀκούσεται Αἴγυπτος καὶ πάντες ὅσοι ἀκηκόασί σου "τὸ ὄνομα" πραϋντικωτάτης ἐντεύξεως τὴν τοῦ θείου ἀπαμβλύνων ὀργήν. τὸ γάρ τοι τοῦ Κυρίου πρὸς Πέτρον εἰρημένον, τὴν κατ' αὐτοῦ Πέτρου ἐξαίτησιν τοῦ Σατανᾶ, "ὡς ἂν σηνιάσῃ αὐτὸν ὡς τὸν "σῖτον," καὶ τὴν ὑπὲρ Πέτρου δέησιν τοῦ Χριστοῦ, τίς ἂν παρὰ φαῦλον θῆται, μὴ τὰς τῶν θεοφιλῶν ἀνθρώπων εὐχὰς ἴαμα εἶναι ἁμαρτιῶν. ἐκ δὲ τῆς νέας, δι' ὧν οἱ θεῖοι τοῦ Κυρίου μαθηταὶ λύειν καὶ δεσμεῖν ἁμαρτίας ἐξουσίαν ἔλαβον. τὸ δὲ καινὴν ᾄδειν[l]

[f] ἀνευρηκότων B. [g] καθ' ἡμᾶς τοῦ θείου δικαίας ὀργῆς B. [h] καταπαύει κατὰ τὸν εἰρηκ. B. [i] εἰς om. B. [k] Σαμ. δι' ὧν φ. B. [l] ᾄδουσιν B.

ᾠδὴν, διὰ τὸ εἶναι[m] καινὸν[n] καὶ τὸ ἱλαστήριον τοῦ θυμοῦ[o] ὡς ἀρνίου[p] ἐσφαγμένου Χριστοῦ εἰς κάθαρσιν καὶ σωτηρίαν τοῦ κόσμου παντὸς, ὑπὲρ οὗ καὶ ἀνοῖξαι τὸ βιβλίον ἐδόθη αὐτῷ καὶ λῦσαι τὰς σφραγῖδας, ὡς[q] διὰ τοῦ αἵματος αὐτοῦ ἀγοράσαντι[r] ἡμᾶς ἐκ παντὸς ἔθνους καὶ γλώσσης ἁπάσης. τοῦτο γὰρ ἡ καινὴ ᾠδὴ, δι'[s] ἣν τῆς παλαιότητος τοῦ γραπτοῦ νόμου ἀπαλλαγέντες, ἐν καινότητι δὲ ζωῆς περιπατοῦντες οἱ ἐκ πάσης τῆς γῆς καταυγασθέντες, ᾄδειν χαριστήρια[t] διὰ τοῦ θείου Πνεύματος ἐδιδάχθημεν.

Καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ.

[u]Τὸ ἐσφραγίσθαι τὸ βιβλίον τὸ τῶν ἐν αὐτῷ γεγραμμένων τὸ ἀπαρρησίαστον δηλοῖ, καὶ τὸ μὴ ἐξ οἰκείων κατορθωμάτων, ἀλλ' ἐκ φιλανθρωπίας Θεοῦ τὸ ἀνακλητικὸν λαμβάνειν πρὸς σωτηρίαν· διὸ καὶ Παῦλος ὁ θεῖος ἀπὸ τῆς θείας γραφῆς πολλὴν τὴν καταφορὰν τῆς ἀνθρωπίνης οὐσίας τοῦ ἐκμελοῦς ἐργασάμενος ἐπάγει τὸ "ταῦτα δὲ εἴρηται εἰς παράστασιν τοῦ, ἵνα πᾶν στόμα φραγῇ, "καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ·" καὶ ὡς οὐκ ἐξ οἰκείων κατορθωμάτων ἀλλὰ χάριτι Θεοῦ τὸ σεσῶσθαι εὐμοιρήσαμεν. "χάριτι γάρ," φησι, "ἐσμὲν σεσωσμένοι."

Ἐκ πάσης φυλῆς καὶ γλώσσης.

Ἀσφαλῶς δὲ λίαν εἶπεν "ἐκ πάσης φυλῆς καὶ γλώσσης "καὶ ἔθνους," καὶ οὐ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος, ὅτι μηδὲ πάντες ἐκτήθησαν τῷ Θεῷ. πολλοὶ γὰρ ταῖς ἁμαρτίαις ἐναπέθανον. σύμφωνα τούτοις καὶ τὸ ὑπὸ τοῦ Δαβὶδ ᾀδόμενον· "ἄναστα ὁ Θεὸς κρῖνον τὴν γῆν, ὅτι συ κατακληρονομήσεις" οὐ πᾶσαν τὴν γῆν, ἀλλ' "ἐν πᾶσι τοῖς ἔθνεσι."

Οὐ κατὰ τὸ παρωχημένον τοῦ χρονικοῦ διαστήματος τοῦ ἤδη γεγονότος ἡ ἀφήγησις, ἀλλὰ κατὰ τὸ ἐνεστώς· ἐπεί τοι καὶ κατὰ ἀδιάδοχον τοῦ παρόντος αἰῶνος μέχρι τῆς συντελείας αὐτοῦ ἐνεργὴς ἡ χαριστήριος αὐτὴ ᾠδὴ πρὸς Θεὸν ἀναφέρεται, οὔποτε διαλείπουσα τοῦ ἐνεργῶς ᾄδεσθαι.

[m] διὰ τὸ εἶναι om. B. [n] καινὸν γὰρ B. [o] ἱλαστήριον θῦμα B.
[p] τοῦ ὡς ἀρνίου B. [q] ὃς B. [r] ἠγόρασεν B. [s] δι' om. B.
[t] χαριστήριον B. [u] Scholl. seqq. usque ad ᾄδεσθαι desunt Edd.

Τὸ ἐκ πάσης φυλῆς καὶ γλώσσης εἰπεῖν, ἀλλὰ μὴ πᾶσαν φυλὴν καὶ γλῶσσαν, διαστολὴν εἰσηγεῖται τοῦ μὴ πάντας ἀλλὰ τινὰς ἠξιῶσθαι ἐξ οἰκείων πόνων τῆς ἀπὸ τοῦ ἀρνίου σφαγῆς τῷ αἵματι τούτου ἀγορασθῆναι.

Καὶ ἐποίησας ἡμᾶς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς.

Τοῦτο καὶ ἀπ᾽ ἐντεῦθεν ἤδη κατὰ τὸ γράμμα λαμβάνουσι τέλος[u], καθ᾽ ὅτι καὶ βασιλεῖς καὶ ἱερεῖς θεράποντες Θεοῦ τῆς πίστεως διατελοῦσιν. ἔστι δὲ νοῆσαι καὶ θεωρητικώτερον, βασιλεῖς μὲν, τοὺς κατὰ τῶν παθῶν, τῆς νίκης τὸν βασίλειον στέφανον ἀναδησαμένους· ἱερεῖς δὲ, τοὺς θυσίαν ζῶσαν εὐάρεστον τῷ Θεῷ ἑαυτοὺς κατηρτηκότας. κατὰ τὴν ἐκδοχὴν ταύτην, καὶ ὁ[x] τὴν γῆν τὴν τοῖς πραέσιν ὑπὸ Κυρίου ἐπηγγελμένην κατακληρονομεῖσθαι στοιχῶν, οὐ τοῖς ἀστόχοις προλογισθείη[y].

Καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.

[z]Κατὰ τὸ μέλλον τοῦ χρονικοῦ διαστήματος ἡ τοῦ βασιλεῦσαι ἐπαγγελία, ὡς καὶ Παύλῳ τῷ θείῳ δοκεῖ, ὁπότ᾽ ἂν λέγῃ, "καὶ "οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν "ἐπαγγελίαν" καὶ τὸ αἴτιον, ἵνα μὴ φη χωρὶς ἡμῶν τελειωθῶσι· καίτοι γε ἔτυχόν τινες, ὡς Ἀβραὰμ τὴν τοῦ Ἰσαὰκ ἐπηγγελμένην γένεσιν, καὶ τὸ πατὴρ πολλῶν ἐθνῶν κληθῆναι· ἀλλὰ κατὰ τὸν φθαρτὸν τοῦτον βίον οὐδὲν ἔχον τὸ τέλειον καὶ ἄξιον τῆς τοῦ ἐπαγγειλαμένου ὑπερτελοῦς τελειότητος, οὐκ ἂν ἐπὶ τοιούτων δόσει καὶ λήψει τὸ ἱκανὸν ἀποφέροιτο ἡ ἐπαγγελία. τί οὖν τοῦτο νοεῖν βούλεται τὸ, "καὶ βασιλεύσουσιν ἐπὶ τῆς γῆς[a];" κατὰ μὲν τὸ πρόχειρον καὶ θεωρητὸν τοῖς πολλοῖς, τὴν κατὰ νόμον αἰνίττεται[b] πολιτείαν, εἰσαγωγικωτέραν οὖσαν καὶ στοιχειώδη τοῦ κατὰ Χριστὸν τελεωτάτου πολιτεύματος, παρ᾽ ὅσον οὐδὲν ἐτελείωσεν ὁ νόμος. κατὰ δὲ τὸ ὄντως ὂν, τὴν κατὰ τὸ μέλλον μακαρίαν βιοτὴν[c] αἰωνίαν τε οὖσαν καὶ ἀκατάλυτον. διὸ καὶ τὸ τέλειον[d]

[u] λαμβάνει τὸ τέλος B. [x] ὁ om. B. [y] προσλογισθείη B.
[z] Om. Edd. usque ad βούλεται. [a] Om. B. [b] αἰνίττεσθαι B.
[c] βιωτὴν B. [d] τῷ τέλει Edd.

ἐγκολπίζεται. [e]ἀναμένειν δὲ τὴν μετὰ πάντων τῶν ὑπὲρ αὐτῆς ἠγωνισμένων ἀπόληψιν καὶ τρυφήν. οὐδὲ γὰρ εἶναι δικαίου ἀγωνοθέτου ἐπ' ἀτελεῖ τῷ τοῦ θεάτρου πόνῳ, τῶν ἀθλητῶν μὲν ἤδη τοῦ κάματος[f] ἀπολελυμένων, τῶν δὲ ἐναθλούντων ἔτι, τοῖς δὲ προσδοκωμένου τοῦ ἀγωνίσματος, αὐτὸν ὡσπερεὶ ἀκρασίᾳ νενικημένον λαιμαργίας πρὸ τῆς ἐνθέσμου πανδαισίας[g] τοῖς * *πασασιν ἐπανοίγειν τὴν μακαρίαν ἑστίαν. ἀδήλου ὄντος εἰ καὶ πᾶσι τοῖς κεκλημένοις, ἔνδυμα δὲ γάμου μὴ ἐνδεδυμένοις, συγχωρηθείη ἡ θοίνη τοῦ θείου γάμου. καὶ ταῦτα μὲν περὶ τούτων.

11 Καὶ εἶδον καὶ ἤκουσα ὡς φωνὴν Ἀγγέλων πολλῶν
κύκλῳ τοῦ θρόνου καὶ τῶν ζώων καὶ τῶν πρεσβυτέρων.
καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν, μυριάδες μυριάδων, καὶ χιλιάδες
12 χιλιάδων, λέγοντες φωνῇ μεγάλῃ, Ἄξιόν ἐστι τὸ ἀρνίον
τὸ ἐσφαγμένον, λαβεῖν τὴν δύναμιν καὶ τὸν πλοῦτον,
καὶ σοφίαν, καὶ ἰσχὺν, καὶ τιμὴν, καὶ δόξαν, καὶ εὐλο-
13 γίαν. καὶ πᾶν κτίσμα ὃ ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς,
καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θαλάσσης ἐστὶ, καὶ
τὰ ἐν αὐτοῖς, πάντας ἤκουσα λέγοντας, τῷ καθημένῳ
ἐπὶ τοῦ θρόνου καὶ τῷ ἀρνίῳ, ἡ εὐλογία, καὶ ἡ τιμὴ,
καὶ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων,
14 ἀμήν. καὶ τὰ τέσσαρα ζῶα λέγοντα τὸ, ἀμήν· καὶ οἱ
πρεσβύτεροι ἔπεσον καὶ προσεκύνησαν.

[h]Τί τὸ κύκλῳ τοῦ θρόνου καὶ τὰ δ' ζῶα εἴρηται, ὡς τὸ μὲν "κύκλῳ" τὴν περὶ τὰ θεῖα νοερὰν βούλεται σημαίνειν διαγωγήν. τὰ δ' δὲ ζῶα, τὴν τοῦ παντὸς τοῦδε συνεκτικὴν πρόνοιαν οὐκ ἀμοιροῦσαν θείας ἐπιστασίας καὶ ἐποψίας.

Καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν.

[i]Τοῦτο ἀπὸ τῶν τοῦ Δανιὴλ ὁράσεων ἀκούομεν· τὸν ἀριθμὸν λέγων τῶν λειτουργούντων Θεῷ· οὐχ ὅτι μόνον τοσοῦτοι, τίς γὰρ

[e] Om. Edd. usque ad Sch. finem. [f] σκάμματος B. [g] πανδεσίας B. [h] Hoc Sch. carent Edd. [i] Hoc Sch. Edd. abest.

ἂν ἀριθμὸς περιλάβοι τοὺς ἀπ' αἰῶνος μέχρι συντελείας τοῦδε τοῦ βίου πρὸς λειτουργίαν μεταταττομένους ἀνθρώπους Θεοῦ; καὶ μάλιστα εἰ καὶ τοῖς λειτουργοῖς συναφθῇ[x] τοῖς νοεροῖς· ἀλλ' ἐπειδὴ πλέον οὐκ ἦν περιλαβεῖν ἀριθμῷ, εἴγε τὸ χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες τῷ ἐγνωσμένῳ ἡμῖν ἀριθμῷ τὸ πλῆθος τῶν λειτουργούντων ἀ**σημαίνων.

[y]Πραγματικῶς ἡ φωνὴ, ἀλλ' οὐκ αἰσθητῶς καὶ τῷ ἀέρι διηχητικῶς· διὸ καὶ κατὰ τὸ μέλλον τοῦ χρόνου ἡ ψῆφος τῆς ἀναρρήσεως τοῦ ἀρνίου ἱστορεῖται οὐ κατὰ τὸ ἤδη συντετελεσμένον· παροσον ἅπας ὁ Θεῷ προσκατατιθέμενος καὶ μέχρι τῆς συντελείας τῇ μνήμῃ τῶν ὑπὲρ ἡμῶν τοῦ ἀρνίου φιλανθρώπων παθῶν σώφρονι μανίᾳ κατεπειγόμενος πρὸς ἀντίδοσιν κἂν οἰκετικὴν[z] τοῦ δεσπότου κατασπεῦσαι[a]. τὸ γὰρ ἐξ ὁμοτίμου περιττὸν καὶ ἐρεῖν· τί γὰρ μέγα δούλῳ παθεῖν τὰ τοῦ δεσπότου; τὸ δὲ τῷ διαψηφίσματι ἐν τάξει τιμίων καὶ πλοῦτον καὶ δύναμιν καὶ σοφίαν καὶ τὰ τοιαῦτα ὡς καθ' ὑπεροχὴν τοῦ λαμβάνοντος ἠφορῆσθαι[b] ὡς οὐκ ἔχοντος, ἀνθρωπίνῃ ὑπολήψει παρείληπται· τὸ θεῖον γὰρ τούτων ἀπροσδεὲς, ὡς πάσης τιμῆς ὑπέρτερον, καὶ τὸ πᾶν τῶν ὑπ' αὐτοῦ τὸ εἶναι λαβὸν κατόπιν τοῦ πρὸς ἀξίαν τιμὴν τοῦ παραγαγόντος αὐτὰ χωροῦντος[c]. [d]ἀλλὰ γὰρ τούτου τοσοῦτον ἔχοντος πρὸς ἀντάμειψιν τὸ ἔλαττον, αὐτὸς γοῦν, ᾧ ταῦτα περισπουδάστως προσάγεται, τῇ προαιρέσει παραμετρῶν τὰ δωρούμενα εἰς ἀξιόχρεων ἀποτίθεται.

Καὶ πᾶν κτίσμα, καὶ ἑξῆς.

Ἐκ τούτων ἁπάντων εἰ καὶ ἀπροσδεῶς, τῶν νοητῶν, φημὶ, καὶ αἰσθητῶν, τῶν τε ζώντων, τῶν τε ἁπλῶς ὄντων φυσικοῖς λόγοις, ὁ Θεὸς δοξάζεται ὡς πάντων γενεσιάρχης. καὶ ὁ τούτου μονογενὴς Υἱὸς καὶ ὁμοούσιος, καὶ τὸ πανάγιον καὶ ζωοποιὸν Πνεῦμα. [e]οὐ γὰρ, ὡς εἴρηται πολλάκις, τῶν θεοπρεπῶν τῆς Θείας ἀπομερίζεται Τριάδος μία τῶν ὑποστάσεων πλὴν μόνου τοῦ ὑπάρξεως τρόπου, ὡς τὴν καινότητα τῷ ἀνθρώπῳ καὶ τῇ δι' αὐτὸν γεγενημένῃ

[x] συναφθεῖ Cod. [y] πνευματικῶς Edd. [z] οἰκέτης Edd. [a] κατασπ. εἴωθε Edd. [b] ἀφορίσθαι Edd. [c] χωρούντων Edd. [d] Quæ seq. desunt Edd. [e] His carent Edd.

κτίσει χαριζόμενος, εἰ καὶ λαβεῖν οὐρανοὺς διὰ τὸ ἀνθρώπινον λέγεται πρόσλημμα τὴν ἐξουσίαν τῶν ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

Καὶ τὰ τέσσαρα ζῶα.

Καὶ διὰ τοῦτο δείκνυται μια ποίμνη Ἀγγέλων καὶ ἀνθρώπων, διὰ Χριστοῦ τελουμένη, καὶ ὑφ' ἑνὶ ποιμένι τελοῦσα Χριστῷ[f]*. καὶ μία Ἐκκλησία διὰ Χριστοῦ τοῦ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντος, ὃ καὶ*[g] *ἡ τοῦ γενάρχου Ἀδὰμ παρακοὴ περιετείχισε. Σὺν τοῖς κδ' πρεσβυτέροις, οὓς οἵτινες καὶ τισὶν εἰκάζονται εἴρηται, τῆς τοῦ Θεοῦ ἀξιοῦνται ὑμνῳδίας καὶ προσκυνήσεως τὸ "τὰ σύμπαντα δοῦλα σὰ ἔργα" περαίνοντας. τὸ δὲ ἀμὴν, ἀπὸ τῆς Ἑβραΐδος*[h] *εἴληπται φωνῆς, ἐπὶ βεβαίᾳ συγκαταθέσει προφερόμενον, ἰσοδυναμοῦν τῷ ναὶ*[i]*, ἀληθὲς καὶ ἀμετακινήτως.*

Καὶ οἱ πρεσβύτεροι.

Καὶ ἡ τῶν πρεσβυτέρων ὑπόπτωσις, μετὰ τῶν τεσσάρων ζώων, (ἅ τινα ζῶα τίνων ἐστὶν εἴρηται ἀπεικάσματα,) καὶ οἱ χαρακτηριστικοὶ τοῦ τῶν σωζομένων ἀνθρώπων πληρώματος, διὰ τῆς προσκυνήσεως ἔδειξαν, ὅτι τῷ ἀρνίῳ ἡ ἐξουσία ὑπὲρ τοῦ ἐσφάχθαι δίδοται τῶν ἐπουρανίων[k] *καὶ ἐπιγείων καὶ καταχθονίων, ὅσόν ἐστιν αὐτοῦ*[l] *ἀκοῦσαι ἀπὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως*[m] *λέγοντος· "ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς*[n]*." εἰ δὲ καὶ ἐξ ἀρχῆς ἡ δόσις συλλήψεως· διόπερ καὶ ὡς γεγονότων ἡ ἀφήγησις· ἀφ' οὗ γὰρ ἀμνὸς καὶ ἡ δόσις. ἀλλ' οὖν ἐναργέστερον καὶ ἅπασι γνωριμώτερον ὁπήνικα ἡ οἰκονομία ἔσχηκε τῶν κατὰ γῆς πέρας.*

ΚΕΦ. ΙΓ.

Λύσις τῆς πρώτης σφραγῖδος, τὴν ἀποστολικὴν διδαχὴν σημαίνουσα.

1 Καὶ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον, μίαν ἐκ τῶν ἑπτὰ
σφραγίδων. καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων
2 λέγοντος, ὡς φωνὴ βροντῆς, ἔρχου καὶ ἴδε. καὶ ἰδοὺ
ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν ἔχων τόξον.

[f] *ὑφ' ἑνὶ τελ. ποιμ. Χρ.* B. [g] *καὶ* om. B. [h] *τοῦτο ἀπὸ τῆς Ἑβ.* B. [i] *τὸ καὶ ἀληθὲς ἀληθὲς* B. [k] *ἡ ἐξουσία τῶν* B. [l] *ὡς ἔστιν αὐτοῦ τούτου* B. [m] *αὐτοῦ ἀναστ.* B. [n] *ἐν οὐρ. καὶ ἐπὶ γῆς* om. B.

καὶ ἐδόθη αὐτῷ στέφανος. καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

Εἰ τὸ ἐσφραγίσθαι τὸ βιβλίον τὸ ἀπαρρησίαστον τῶν ἐν αὐτῷ γεγραμμένων δηλοῖ, καὶ τὸ πεφράχθαι πάντων[o] τὸ στόμα ἐνώπιον τοῦ Θεοῦ πρὸς πᾶσαν δικαιολογίαν κατὰ τὸ εἰρημένον[p] ἐν τοῖς ἔμπροσθεν τὸ προαιρεῖσθαι[q] κατὰ μικρὸν τὰς σφραγῖδας, κατα-μέρος[r] ἐπανάληψιν σημαίνοιεν[s] ἂν τῆς πρὸς Θεὸν παρρησίας καὶ οἰκειότητος, ἣν προεξένησεν[t] ἡμῖν ἐνανθρωπήσας ὁμογενὴς, τοῖς οἰκείοις κατορθώμασι τὰς ἡμετέρας ἐπανωρθώσας πλημμελείας. κἀντεῦθεν δὲ ἡ τῶν ἐν οὐρανοῖς εὐταξία σημαίνεται, ἐκ τῶν πρώτων τάξεων εἰς τὰ δεύτερα καταβαίνουσα. διὸ ἐκ τῶν τεσσάρων ζώων ἑνὸς τοῦ[x] προσώπου, τοῦ λέοντος δηλαδὴ, τὴν πρώτην γεγενῆσθαι φωνὴν ἤκουσεν, ἐγκελευομένην τὸ, "ἔρχου." ἔρχου[y] δὲ, τῷ τὴν ὀπτασίαν διατυποῦντι αἰνίττεσθαι Ἀγγέλῳ, οὐ τῷ θεομένῳ Ἀποστόλῳ τὴν ὀπτασίαν, ἀναθετέον. τὸ δὲ πρῶτον ζῶον ὁ λέων, ἐμφαίνειν μοι δοκεῖ τὸ βασιλικὸν τῶν Ἀποστόλων φρόνημα κατὰ δαιμόνων[z]. διὸ εἴρηται, "οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν," καὶ τὸ, "κατα-"στήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν." εἰσὶ δέ τινες[a] οἳ[b] ἑκάστης σφραγῖδος τὴν λύσιν εἰς τὴν ὑπὸ τοῦ Κυρίου δι' ἡμᾶς σωτήριον ἐνανθρώπησιν ἐξειλήφασι, τὴν πρώτην, εἰς τὴν γένησιν, ἥτις ἔλυσεν ἡμᾶς τῶν δεσμῶν τῆς σαρκικῆς γενέσεως, ὡς καὶ Παύλῳ δοκεῖ, δι' ὧν γράφει, "ἐπεὶ τὰ τέκνα ὑμῶν "ἀκάθαρτα, νῦν δὲ ἅγια." "ἀκάθαρτα," ὡς ἀπὸ τῆς κατὰ σάρκα φθορᾶς ἐσχηκότα τὴν ὕπαρξιν· "ἅγια" δὲ, ὡς συμμορφούμενα τῇ ἀφθάρτῳ γεννήσει τοῦ ἐκ παρθένου ἡμῖν ἐπιδεδημηκότος, καὶ τῷ θείῳ βαπτίσματι δευτέρᾳ ἀναγεννήσει, τοῦ αἴσχους ἡμᾶς ἀπο-κλύσαντος τῆς κατὰ σάρκα γενέσεως. ταῦτα περὶ τῆς πρώτης καὶ δευτέρας, τῆς τε ἐκ παρθένου γεννήσεως, καὶ τῆς διὰ τοῦ ἁγίου βαπτίσματος, ἥτις ὡς φωτεινὴ, καὶ αὐτὴ τῇ[c] ἐκ παρθένου ἐφάμιλλος[d] συνέζευκται. τρίτης δὲ σφραγῖδος λύσιν, εἰς[e] τὴν μετὰ ταῦτα τῶν θεοσημείων τοῦ Κυρίου ἐνέργειαν. τετάρτης, εἰς[e]

[o] αὐτῶν B. [p] κατὰ τὰ εἰρημένα B. [q] ἄρα τὸ περιαιρεῖσθαι B. [r] τὴν κατὰ μέρος B. [s] σημαίνει B. [t] προυξένησεν B. [x] τοῦ ἑνὸς B. [y] τὸ ἔργχου B. [z] κατὰ δαιμ. φρ. B. [a] ἐπεὶ δέ τινες B. [b] οἳ om. B. [c] καὶ τῇ B. [d] ἐνάμιλλος B. [e] εἰς om. B.

τὴν ἐπὶ τοῦ Πιλάτου παράστασιν. πέμπτης, εἰς[e] τὴν ἐπὶ τοῦ σταυροῦ καθήλωσιν. ἕκτης, εἰς[e] τὴν ἐν τῷ τάφῳ κατάθεσιν. ἑβδόμης, εἰς[e] τὴν ἐν τῷ ᾅδῃ σκύλευσιν. [f]καὶ τούτοις αὖθίς τινες τὸ ἀσύμφωνον ἐλογίσαντο τῶν πρὸς τὴν Ἀποκάλυψιν ἐγκειμένων, καθόσον αὐτοῦ μὲν προγέννητος, ἐνεστώτων δὲ καὶ μελλόντων ἀποκάλυψις ἐκφαντορική. ἐκεῖνο ἐροῦμεν, ὅτι εἰ καὶ προγεγέννηται ταῦτα, ὅμως ἐπείπερ ἡ φιλάνθρωπος θειότης τῶν ἤδη φθασάντων καὶ μέχρι τῆς συντελείας ἑκάστῳ τῶν σωζομένων ἐνθεωρεῖται· οὐδὲν ἀπεικὸς οἷς τεθεώρηται, ταῦτα προσλογισθείη.

Καὶ ἰδοὺ ἵππος λευκός.

Ὁ μὲν λευκὸς ἵππος, σύμβολον ὑπάρχει[g] τοῦ ἀποστολικοῦ εὐαγγελισμοῦ, ὡς δι' αὐτοῦ καὶ τῆς κατ' αὐτῶν[h] γενεᾶς μεγίστης εὐεργεσίας ἀνθρώποις γενησομένης. ὁ δέ γε τῷ ἵππῳ ἔποχος, ὁ πρὸς ὃν Ἀββακοὺμ[i] ὁ αὐτὸς[k] ὁ θειότατος τὸ, "ἐπεβίβασας εἰς "θάλασσαν τοὺς ἵππους σου," θεσμῳδεῖ, καὶ τὸ τόξον ὃ καὶ αὐτὸ ὁ αὐτὸς Ἀββακοὺμ[l] χρησμῳδεῖ "ἐντείνων," φάσκων, "ἐντελεῖς τὸ "τόξον σου [m]ἐπὶ σκῆπτρα λέγει Κύριος·" τόξον τοὺς Ἀποστόλους καὶ τὸ Ἀποστολικὸν αἰνιττόμενος κήρυγμα ἐπὶ σκῆπτρα τῆς δαιμονικῆς ἐξουσίας, ἣν καὶ Παῦλος ὁ θεῖος ἐνέφηνε γράφων, "τὸν ἄρχοντα τοῦ ἀέρος τούτου, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς "τῆς ἀπειθείας." ἐπεὶ δὲ τῇ ἐνστάσει τοῦ τόξου καὶ τῶν βελῶν ἄφεσις ἐπακολουθεῖ, εἰκότως ὁ αὐτὸς προφήτης τὴν ἄφεσιν τῶν βελῶν ἐπεσήμανε καὶ διὸ ἡ ἄφεσις, εἰπὼν "εἰς βολίδες σου "πορεύσονται εἰς φέγγος ἀστραπῆς ὅ   ." τί τοῦτο λέγων; εἰς περιποίησιν φωτὸς τοῖς ἐσκοτισμένοις τῇ εἰδωλομανίᾳ ἔθνεσιν, ὁπήνικα ἡ τοῦ Κυρίου παρουσία ὡς φέγγος τὴν ὑπουράνιον ἐπισχοῦσα τὰ τῇ ἀ**πῆτα αὐτῆς, ἤγουν τῇ θεογνωσίᾳ ἐστομωμένα ὅπλα, ταῦτα καὶ ἔνεργα κατεσκεύασεν.

Ἔχων τόξον.

[n]Περὶ τοῦ τόξου εἴρηται ὅτι τοὺς Ἀποστόλους ᾐνίξατο καὶ τὴν κατ' αὐτοὺς γενεὰν, ὡς βέλη ἀφιέντας κήρυγμα, καὶ τοὺς τρωθέντας

[e] εἰς om. B. [f] Quæ seq. om. Edd. [g] ὑπάρχει om. B.
[h] αὐτοὺς B. [i] ἀμβακοὺμ B. [k] ὁ αὐτ. om. B. [l] ἀμβακοὺμ B.
[m] Quæ seq. om. Edd. [n] Hoc Sch. om. Edd.

προσάγοντας τοῖς σωτηρίοις βέλεσι. τὸν δὲ στέφανον εἰλήφασιν[l] οἱ αὐτοὶ μακαριστοὶ Ἀπόστολοι[m], ἀνθ' ὧν διὰ τῆς ἀληθείας τὸν τῆς πλάνης ἀρχηγὸν νενικήκασιν, ἐπ' ἐλπίδι δευτέρας νίκης τῆς μέχρι[n] θανάτου ὁμολογίας τοῦ δεσποτικοῦ ὀνόματος.

Καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

Ἐν γὰρ τῷ εἰπεῖν ὁ νικῶν, ὑπέφηνεν οὐκ ἄρτι ἡγμένον, ἀλλ' ἤδη καὶ ἄλλαις ἐγγυμνασμένον νίκαις, καὶ τὸ δοκίμιον ἀπενεγκάμενον. Χριστὸς ἦν ὁ "νικῶν ἵνα[o] νικήσῃ." ὃς τὴν πρώτην νίκην νικήσας τὴν τῶν ἐθνῶν ἀπὸ τῶν εἰδώλων ἐπιστροφὴν, ἀφ' ἧς καὶ νικῶν κατωνόμασται, εἰς δευτέραν νίκην ηὐτρέπισται, τὴν ἀπὸ τοῦ θνητοῦ σώματος[p], ὑπαλείφουσαν διὰ κολάσεων τοὺς ὑπὲρ[q] τοῦ ὀνόματος αὐτοῦ τῆς ὁμολογίας ἀντεχομένους, καὶ τὸ[r] σύμβολον αὐτῶν[s] τῆς νίκης τὸν στέφανον ἐστεφανωμένους.

ΚΕΦ. ΙΔ.

Λύσις τῆς δευτέρας σφραγῖδος, δηλοῦσα τὸν τῶν ἀπίστων κατὰ τῶν πιστῶν πόλεμον.

3 Καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖδα, ἤκουσα τοῦ
4 δευτέρου ζώου λέγοντος, ἔρχου καὶ βλέπε. καὶ ἐξῆλθεν
ἄλλος ἵππος πυρρὸς, καὶ τῷ καθημένῳ ἐπ' αὐτὸν ἐδόθη
αὐτῷ λαβεῖν τὴν εἰρήνην ἐκ τῆς γῆς, ἵνα ἀλλήλους
σφάξωσι. καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

Δεύτερον ζῶον ὁ μόσχος, ὃς τῶν ἁγίων μαρτύρων τὰς ἱερὰς θυσίας χαρακτηρίζει καὶ λογικὰς, τοῦ προτέρου ζώου τὴν ἀποστολικὴν ἐξουσίαν διαγράφοντος, ὡς ἤδη εἴρηται. [t]τινὲς, ὡς ἔφθημεν παραθέμενοι, τὴν λύσιν τῆς δευτέρας σφραγῖδος ἀκολούθως τῇ πρώτῃ, ἣν εἰς τὴν Χριστοῦ γέννησιν τὴν ἐκ πα** ἐξειλήφασιν, εἰς τὸ κατὰ Χριστὸν ἐν Ἰορδάνῃ βάπτισμα καὶ τὸν ἐπ' ἐκεῖνο πειρασμὸν ἐδικαίωσαν ἀκούειν, ὃν καὶ νικήσαντα τὸν Κύριον διὰ τοῦ τὸν πειράζοντα καταισχῦναι διάβολον· ἵνα εἰδείη μὴ μόνον

[l] εἰληφότες B. [m] οἱ αὐτ. μακ. Ἀπ. om. B. [n] τῆς μέχρι βιαίου νίκης, τῆς μ. θαν. B. [o] καὶ ἵνα B. [p] σωμ. τούτου B. [q] πρὸς αὐτὸν διὰ κολάσεων ἐκδημίαν τῆς ὑπερ. B. [r] καὶ τοὺς συμβ. B. [s] αὐτῷ B. [t] Quæ seq. desunt Edd.

νικῶν, ἀλλὰ καὶ ἡττώμενος ὁ ἀλητήριος. μηδὲ δάκνων πτέρναν ἱππέως καὶ ὑποσκελίζων τὰ κατὰ Θεὸν ἡμῶν διαβήματα, ἀλλὰ καὶ ὀπίσω δουλοπρεπῶς πίπτων καὶ ἀκούων τὸ "ὕπαγε ὀπίσω μου "Σατανᾶ·" ὑπὸ ἀνθρώπου ὃν ἔδοξε καταπαλαίσαι, ἠγνοηκὼς ὅτι Θεὸς ἦν, καὶ νῦν πρῶτον γινώσκων τὴν ἰδίαν αἰσχύνην τε καὶ ἀσθένειαν, ὁ ἐπάνω τῶν νεφελῶν θήσειν τὸν ἑαυτοῦ θρόνον ἀλαζονευόμενος· κατὰ τὴν θείου Ἡσαΐου προσωποποιΐαν, οὐ τούτου τυχὼν ἀλλ' ὑποκάτω στρῶσιν, ἀντίδοσιν εἰληφὼς τὴν σῆψιν τῆς ὑπερηφανίας.

Τὴν εἰρήνην ἐκ τῆς γῆς.

Ταύτην στοχάσασθαι τὴν δευτέραν ἔνι τῶν Ἀποστόλων ἐνδιαδοχήν, ἣν[u] διὰ μαρτύρων καὶ διδασκάλων συμπληρουμένην ἔγνωμεν· ἐν ᾗ πλατυνομένου λοιπὸν τοῦ κηρύγματος, ἡ τοῦ κόσμου εἰρήνη ἐλύθη, καθ' ἑαυτῆς μερισθείσης τῆς ἀνθρωπίνης φύσεως, κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου, "οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς, "ἀλλὰ μάχαιραν," καὶ ἐπεγεῖραι πατέρα, καὶ υἱὸν, καὶ θυγατέρα, καὶ μητέρα, καὶ νύμφην, καὶ πενθερὰν κατὰ ἀλλήλων φονίως. ἀφ' οὗ καὶ τὰ μαρτυρικὰ σφάγια εἰς τὸ ἄνω θυσιαστήριον ἀνηνέχθη. ὁ δὲ πυρρὸς[x] ἵππος, ἢ τῆς ἐκχύσεως τῶν μαρτυρικῶν αἱμάτων σύμβολον, ἢ τῆς πυριπνόου περὶ Χριστὸν διαθέσεως τῶν μαρτύρων, δι' ἣν καὶ ὁ θάνατος ἡδίων αὐτοῖς τῆς ζωῆς ἐνομίσθη. τὸ δὲ γεγράφθαι, δοθῆναι τῷ καθημένῳ ἐπὶ τὸν ἵππον λαβεῖν τὴν εἰρήνην, τὴν πάνσοφον δείκνυσι τοῦ Θεοῦ συγχώρησιν, τοὺς πιστοὺς δούλους διὰ πειρασμῶν δοκιμάζουσαν.

Καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

Τῷ ἐπὶ τοῦ πυρροῦ[y] ἵππου καθημένῳ ἐδόθη μάχαιρα, ἵνα ἀλλήλους κατασφάξωσι, τουτέστιν, εἰς τὸ[z] τὴν εἰς τὸ κακὸν ὁμόνοιαν τῶν ἐπὶ γῆς διελεῖν καὶ κατατεμεῖν. ὁμόνοια μὲν[a] ἦν αὐτοῖς πρὸς εἰδωλολατρίαν[b], ἵνα ἀλλήλους σφάξωσι, τουτέστιν ἵνα ἀλλήλων ἀνέλωσι τὰς ἐπὶ τὸ χεῖρον σπουδάς. τοῦτο γὰρ ἡ τοῦ πατρὸς πρὸς υἱὸν, καὶ ἡ τῆς νύμφης πρὸς πενθερὰν ἐπανάστασις ὑπαινίττεται[c]. τὰ νέα πρὸς θεοσέβειαν τὴν κατὰ Κύριον τὰς παλαιὰς καὶ σκιωδεστέρας καὶ πολὺ τοῦ ἀληθοῦς καὶ κοσμιωτέρου ἀποφοιτώσας.

[u] ἣν om. B. [x] πυρὸς B. [y] πυροῦ B. [z] ἐφ' ᾧτε B. [a] δὲ B.
[b] προσβαλλομένης δὲ λατρείας Edd. [c] Hic finis Schol. Edd.

ΚΕΦ. ΙΕ.

Λύσις τῆς τρίτης σφραγῖδος, δηλοῦσα τῶν μὴ παγίως πεπιστευκότων Χριστῷ τὴν ἔκπτωσιν.

5 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα
τοῦ τρίτου ζώου λέγοντος, ἔρχου καὶ ἴδε. καὶ ἰδοὺ ἵππος
μελας. καὶ ὁ καθήμενος ἐπ' αὐτὸν, ἔχων ζυγὸν ἐν τῇ
6 χειρὶ αὐτοῦ. καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων
ζώων λέγουσαν, χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοί-
νικες κριθῆς δηναρίου. καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ
ἀδικήσῃς.

Τρίτον ζῶον ὁ ἄνθρωπος ἐνταῦθα λέγεται, τὴν τῶν ἀνθρώπων δηλῶν ἔκπτωσιν. καὶ διὰ τοῦτο κρείττονα τῆς ἐκπτώσεως[c] ἐπεισερχομένην ἔχον τὴν κόλασιν. ἕτεροι δὲ, ὡς προείρηται, τὴν λύσιν τῆς τρίτης σφραγῖδος τὴν εἰς ἡμᾶς ἐλεημοσύνην Χριστοῦ φασὶ παραδηλοῦν, ὃς[d] οὐκ ἰσοῤῥόπῳ[e] ταῖς ἀνομίαις ἡμῶν χρησάμενος[f] τῇ ἀντιδόσει πρὸς τοὺς τὴν ἀποστροφὴν κατακριθέντας, ἀλλὰ ταῖς σωτηριώδεσιν αὐτοῦ διδασκαλίαις καὶ θεοσημείαις εὐεργετήσας ἡμᾶς, ἐπίδοσιν παρέσχε τῆς τοῦ διαβόλου καταλύσεως. ἔγνωμεν[g] γὰρ δι' αὐτῶν τίς ὁ φύσει Θεὸς καὶ ἀληθινὸς, καὶ μὴ ὦμεν παντὶ ἀνέμῳ ἅτε νήπιοι κλυδωνιζόμενοι τῆς διδασκαλίας, καὶ ἐκεῖνα σεβόμεθα, ἃ αἱ χεῖρες ἡμῶν ἐποίησαν, τοὺς φθοροποιοὺς δαίμονας ἀνταλλαξόμενοι τῆς δόξης τοῦ Θεοῦ. ἡ γὰρ διδασκαλία τοῦ Σωτῆρος ἡμῶν Θεοῦ πάντας εἵλκυσεν ὡς ζύμη ἄλευρον τοὺς μαθητευομένους κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ τῶν θαυμάτων ἀπολαύοντας, ἅπερ τὰς ψυχὰς μᾶλλον ἴασατο τῶν * * *

Καὶ ἰδοὺ ἵππος μέλας.

Ὁ μέλας ἵππος κατηφείας σύμβολον καὶ πένθους, ἐπιταθείσης τῆς τοῦ διαβόλου καθαιρέσεως ταῖς θείαις παιδαγωγίαις, καὶ διὰ τοῦτο πενθοῦντος τὴν ἑαυτοῦ λύσιν διὰ τῶν μαρτυρικῶν αἱματῶν κατακλυσθέντος, τοῦ ἐπὶ τοσούτοις χρόνοις τῆς ἀνθρωπίνης φύσεως

[c] τῇ ἐκπτώσει B. [d] ὃς om. B. [e] ἰσόρροπον B. [f] χρησαμένου B. χρησάμενον Edd. [g] Hic fin. Schol. Edd.

κεκρατηκότος. ὁ δὲ ζυγὸς, ἰσότητός ἐστι καὶ δικαιοσύνης αἴνιγμα. "ἐκάθισας γάρ," φησιν ὁ Δαβὶδ, "ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην."

[h] Τὸν μέλανα ἵππον πένθους μὲν καὶ κατηφείας ὡς δηλωτικόν· ἀλλὰ πένθους, οὐ τοῦ τετυραννηκότος, ὡς ἔφθημεν παραθέμενοι, τῶν δὲ ἠπατημένων καὶ τῆς εἰς Χριστὸν πίστεως ἐκπεσόντων διὰ τὸ τῶν κολάσεων ἀφόρητον, ἢ διὰ τὴν πρόσκαιρον τοῦ ἐλεεινοῦ τούτου βίου ἀπόλαυσιν. τὸν δὲ ζυγὸν δοκιμαστὴν εἶναι τῶντε δι' εὐκολίαν γνώμης ἢ κενοδοξίαν τὸ ἔκπτωτον παθόντων, ἢ δι' ἀσθενείαν σώματος τῷ ἀνυποίστῳ τῶν βασανιστηρίων τῆς εἰς Χριστὸν πίστεως ἀποσεσυλημένων· ἐπεὶ καὶ οὕτω τινὲς ἐδοκίμασαν τὸ διὰ τοῦ μέλανος ἵππου πένθους ὄντος συμβόλου, κατὰ διαφορὰν τῶν τῷ πενθεῖν ὑποβαλλομένων τὸ ῥητὸν ἀναπτύξαι· ἀμφότερα δὲ παρεθέμην τῇ τῶν ἐντυγχανόντων ἀρκεσθεὶς ἀπροσπαθεῖ κρίσει καὶ ἀναλλοιωτῷ.

Ἄλλως. Ὁ ζυγὸς οὖν, σύμβολον τῆς τοῦ Θεοῦ δικαιοκρισίας. διὸ καὶ ἐπῆλθεν ἀνθρώποις παῤῥησιᾶσθαι, ἐν τῷ φάσκειν, "ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. ἐπετίμησας ἔθνεσι καὶ ἀπώλετο ὁ ἀσεβής." ἀσεβὴς ὁ διάβολος, ὁ τούτων τυραννικῶς κατακρατήσας.

[i] Ὅπως γνῶμεν τὰ ἔθνη ὅτι ἄνθρωποι λόγῳ τετιμημένοι ἐσμεν, καὶ οὐχὶ ὡς κτήνη ἐν κημῷ καὶ χαλινῷ ἑλκόμενοι καὶ βουκολούμενοι ὑπὸ τῶν τυραννούντων ἡμᾶς δαιμόνων. τινὰ τῶν ἀντιγράφων, "φωνὴν," ἔχουσιν "ἤκουσα" τὸ ὁμοιωματικὸν "ὡς" ἀθετούντων. οὐ πάνυ δὲ ἀκριβὴς ἡ ἀθέτησις, εἰ μὴ καὶ χρησίμως τὸ ὁμοιωματικὸν τῇ τοῦ ὁράματος ὑποθέσει ἐπιζητούμενον. ἐπεὶ γὰρ οὐκ ἐνέργεια πραγμάτων ὑφεστώτων τὰ χρηματιζόμενα, ἐμφάσεις δὲ καὶ τύποι καὶ σύμβολα, εἰκότως ἂν καὶ τὸ "ὡς" ἐπιζητεῖσθαι τῇ ὑποθέσει, ὡς συμβαῖνον, ἤγουν τὸ σύμφωνον, ἀποφερόμενον. ἄλλωστε καὶ ὅτι οὐδὲ εὐσημότερον τὸ λέγειν φωνὴν τοῦ ἄνευ τοῦ ὁμοιωματικοῦ προϊόντος, οἷον, "ἤκουσα φωνὴν λέγουσαν." λεκτὸν γὰρ οὖσα ἡ φωνὴ, τι ἂν ἄλλο καὶ παρ' ἑαυτὴν ἀποτελοίη. ἀλλ' εἴπερ ἄρα τις ἐνίεται τὸ οὕτω κεῖσθαι φωνὴν λέγουσαν, οὐ κατὰ σκοποῦ προΐοι οὗτος. λέγεται γὰρ ἡ φωνὴ, οὐχὶ δὲ λέγει· διὸ καὶ λεκτὸν εἴρηται ὡς ἐνέργημα τυγχάνουσα τοῦ λαλοῦντος· οὐκ

[h] Hæc usque ad Sch. fin. om. Edd. [i] Hoc Sch. om. Edd.

ἂν δὲ τὸ ἀποτέλεσμα καὶ τοιοῦτον ὂν πρὸς παράστασιν τινὸς ἐνεργούμενον[h] ἤδη καὶ αὐτοτελὲς ὅμοιόν τι ἑαυτῷ ποιοῦν, τὸ μηδὲ ἐν ὑπάρξει ὄν· ἀλλ᾿ ἅμα τῇ προαγωγῇ διὰ τὴν χρείαν ἀφανιζόμενον· διόπερ εἰ μέλλει ἐπὶ χώρας ἐᾶσθαι τὸ "φωνὴν" οὐχὶ τὸ λέγουσαν." ἀλλὰ τὸ μὴ δηλοῦσαν, ἀντὶ τοῦ λέγουσαν παραληπτέον.

Χοῖνιξ σίτου δηναρίου.

Τὸ τὸν σῖτον τιμιουλκεῖσθαι[i], λιμοῦ δεῖγμα. ὃν καὶ γεγενῆσθαι, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἔστι δὲ καὶ τροπικῶς, σῖτον τοὺς νομίμως ἀθλήσαντας διὰ Χριστὸν ἐννοεῖν, οἳ καὶ δηναρίου ἐκρίθησαν ἄξιοι, ὡς τῆς δοθείσης αὐτοῖς θείας εἰκόνος ἀκριβεῖς φύλακες καταστάντες. τοὺς δὲ τρεῖς χοίνικας τῆς κριθῆς, τοὺς κτηνοπρεπῶς τοῖς δικασταῖς δι᾿ ἀνανδρίαν ψυχῆς ὑποκύψαντας καὶ ἀναλόγως[k] μετανοήσαντας ὕστερον, καὶ τὴν ῥυπῶσαν εἰκόνα δάκρυσιν ἀποπλύναντας. τρεῖς δὲ χοίνικες οὗτοι δηναρίου ἑνὸς ἐτιμήθησαν, ὡς τοῦ ἑνὸς Χριστοῦ τῇ τριημέρῳ αὐτοῦ ταφῇ ὑπὲρ τοῦ κόσμου παντὸς τοῦ[l] ταῖς ἁμαρτίαις τὴν θείαν εἰκόνα δοθεῖσαν αὐτῷ ῥυπώσαντος. αὐτὸς μὲν γὰρ[m] ἐν ᾅδου διατρίψας, τὴν πρώτην ὑπὲρ τῶν πρὸ τοῦ Μωϋσέως νόμου ἡμαρτηκότων, τὴν δευτέραν, ὑπὲρ τῶν ἐν τῷ νόμῳ. καὶ γὰρ εἰ καὶ μετάνοιαν τινὲς ὑπεδείξαντο τῶν ἀτόπως αὐτοῖς πραχθέντων[n] ταύτην ἐνάμιλλον ἀντιστήσαντες τὴν μετάνοιαν, ἀλλ᾿ οὔπω[o] σαφῆ τὴν συγχώρησιν ἠλπικότες, τοῦ δυναμένου ταύτην παρασχεῖν οὐχ ἑωραμένου, οὔπω ταύτης ἐπέτυχον. διὰ τοῦτο μὲν καὶ ἡ δευτέρα ἐν ᾅδου διατριβή. ἡ τρίτη δὲ, καθ᾿ ἣν καὶ ἀνέστη, ὅτι μηδὲ τῇ διαφθορᾷ κρατηθῆναι οἷόν τε τὴν αὐτοζωήν[p]. διόπερ ἐν τῷ καιρῷ τοῦ κατάρξαι τὴν διαφθορὰν ἡ ἀφθαρσία ἀντεισηνέχθη, πλατύτερον τούτων καὶ σαφέστερον προδιείληπται.

[q] Τινὲς σῖτον οὐ τὸν αἰσθητὸν, ὃς πρὸς τροφὴν σωματικὴν συντελεῖ, ἤκουσαν· οὗ καὶ ἡ σπάνις λιμὸν αἰσθητὸν ἐμποιεῖ, ἀλλὰ σῖτον τὸν διδασκαλικὸν ἐξεδέξαντο λόγον, ὃς καὶ σπέρμα εἴρηται τροπολογικῶς παρὰ τῇ γραφῇ· ὡς ὅταν Ματθαῖος γραφῇ· "ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ" τὸν Εὐαγγε-

[h] Sic. [i] μειουλκεῖσθαι Edd. [k] ἀναλόγως δὲ B. [l] τοῦ om. B.
[m] μὲν γὰρ om. B. [n] πεπραγμένων Edd. [o] Sic B. ὅμως Edd.
[p] Sic B. αὐτοῦ ζωήν Edd. [q] Om. Edd.

λικὸν φάσκων λόγον εἰς σπόρον μεταβαλών· ὥσπερ καὶ οἱ λέγοντες πρὸς τὸν Κύριον αὐτῶν οἱ τῶν δούλων εὐνούστατοι, "Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν οὖν ἔχει ζιζάνια;" ἐπεὶ δὲ τοῦ σπέρματος τὸ μέν ἐστι σῖτος, τὸ δὲ κριθὴ, σῖτος ὁ Εὐαγγελικὸς ἂν εἴη καὶ σωτήριος λόγος, καὶ πρέπων[q] ἀνδράσι τελείοις τοῖς τὰ αἰσθητήρια ἔχουσι γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ. κριθὴ δὲ ἡ Μωϋσέως νομοθεσία, ἅτε ὥσπερ ἡ κριθὴ προακμάσασα τοῦ σίτου, οὕτω[r] καὶ αὐτὴ τοῦ Εὐαγγελικοῦ κηρύγματος, καὶ τρέφουσα τοὺς κτηνωδεστέρους[s] ἀνθρώπους, τοὺς διακειμένους[t] περὶ τὰ θεῖα Ἰσραηλίτας. φησὶν οὖν ὁ χρηματίζων ἐν μέσῳ τῶν τεσσάρων ζώων, δηναρίου μὲν ἀποδόσθαι[u] τὸν χοίνικα τοῦ σίτου, τριῶν δὲ τῆς κριθῆς, ὡς τοῦ Εὐαγγελικοῦ κηρύγματος ἀπορωτέρου ὄντος παραδοχὴν[v] διὰ τὸ τοῦ βιβλίου ἀκριβές. [w]διὸ καὶ βιασταῖς εἰς ἅρπαγμα προκεῖσθαι ἑνὸς μόνου ἀπεμπολουμένου δηναρίου. ὁ τὴν ἐξ ἀρχῆς ἐγχαραχθεῖσαν εἰκόνα τοῖς ἐκζητοῦσι παρέχεται ὁ τοῦ σίτου χοῖνιξ· τρεῖς δὲ χοίνικες δηναρίου· ἀγαπητὸν γὰρ τοῖς δημιωδέστερον τῷ κηρύγματι προσερχομένους Χριστοῦ, κἂν εἰ κατὰ τὴν Μωσαϊκὴν εἰσαγωγικὴν τήρησιν διαβιῶεν, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος ἐμμορφωθεῖσαν αὐτοῖς θείαν ἐπιφερομένους εἰκόνα. καὶ ἵνα τὸ πλῆθος οὕτω διαβιώσκειν δηλωθῇ τῷ τὴν ἀρχὴν τοῦ πλήθους εἰσηγουμένῳ ἀριθμῷ, τῷ τρία φημὶ, ὑπεσημάνθη· ἡ σπάνις δὲ τῆς τροφίμου ζωῆς, ἣν ἂν καὶ βούλης σπάνιν τῆς Εὐαγγελικῆς κατὰ τὸ ἀνώτερον ὑπὸ τοῦ Κυρίου ὑφηγουμένης ζωῆς, ὡς δῆλον ἀπὸ τοῦ νομικοῦ τοῦ ἐμπεδοῦντος τὸν αὐτὸν Κύριον κατὰ τὰς νομικὰς βεβιωκέναι παρατηρήσεις, εἶτα τούτων ἔχεσθαι ἀκηκοότος ὡς αὐταρκῶν εἰς σωτηρίαν οὐσῶν· τούτων οὖν κατ' ἐκεῖνο καιροῦ τῶν θείων σπανιζόντων τροφῶν, καθ' ὃν καὶ εὕρηται λιμὸν δοθῆναι· λιμὸν, οὐκ ἄρτου, οὐχ ὕδατος, ἀλλὰ λόγου· τούτων αὐτοῖς ὡς ἀξίοις ἐπενεχθέντων τὸν δι' ἐπιστροφῆς ἔλαιον[x] φησὶ, μὴ ἀφανίσαι. τοῦτο γὰρ ἡ τοῦ οἴνου καὶ τοῦ ἐλαίου αἰνίττεται φειδώ· καὶ ὅπως προείρηται.

[q] πρέπον B. [r] ὥσπερ B. [s] κτήνη τοὺς κτηνωδέστερον B. [t] ἀνθρ. διαγενομένους B. [u] ἀποδῶσθαι B. [v] παραδ. om. Edd. [w] His usq. ad fin. carent Edd. [x] Cod. ἐλέου.

ΚΕΦ. Ιϛ.

Λύσις τῆς τετάρτης σφραγῖδος, ἐμφαίνουσα τὰς ἐπαγομένας παιδευτικὰς μάστιγας τοῖς δι' ἀνυπομονησίας ἀρνησαμένοις τὸν Κύριον.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα
τοῦ τετάρτου ζώου λέγοντος, ἔρχου καὶ ἴδε. καὶ ἰδοὺ
ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα
8 αὐτῷ ὁ θάνατος, καὶ ὁ ᾅδης ἠκολούθει αὐτῷ. καὶ ἐδόθη
αὐτοῖς ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀποκτεῖναι ἐν
ῥομφαίᾳ, καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων
τῆς γῆς.

Τὸ τέταρτον ζῶον, ὁ ἀετὸς[y] δηλαδὴ, ὡς ὀξυωπὲς[z] καὶ ὀξὺ[a] πρὸς βορὰν, ἄνωθεν ἥκειν ἐκ θεηλάτου ὀργῆς τὰς πληγὰς ἐπιφέρον[b] πρὸς ἐκδίκησιν τῶν εὐσεβῶν.

Καὶ ἰδοὺ ἵππος χλωρός.

Ὁ χλωρὸς ἵππος, ὀργῆς σύμβολον. καὶ οὕτως ἡ χολὴ ἡ ὑπὸ ἰατρῶν καλουμένη χλωρά. ὁ δέ γε θάνατος καὶ ὁ ᾅδης καταστρατεῦσαι νοητῶς ἔστησαν κατὰ τῶν ἀλιτηρίων[c] δαιμόνων, καὶ δίκην εἰσπράξασθαι τῆς τῶν ἀνθρώπων ἀπωλείας. [d] οὔπω δὲ τῷ λόγῳ ἡ τελεία καθαίρεσις τῶν δαιμόνων εἰσφέρεται, ἀλλὰ μόνον τετάρτου μέρους, ἐπειδὴ τῷ λόγῳ τῆς μετὰ χεῖρα ὀπτασίας, οὔπω κατὰ τὸ τρίτον πάθος ἐπράχθη Χριστοῦ. τὴν δὲ καθαίρεσιν τροπικῶς σφαγὴν ὀνομάζει, καὶ λιμὸν τῶν πάλαι προσκυνούντων αὐτοῖς τὴν ἔκλειψιν, καὶ τὸν ἀφανισμὸν τῆς τυραννίδος αὐτῶν καὶ ὑπὸ τῶν θηρίων διαφθορὰν[e] αὐτῶν· θηρία καλῶν γῆς, τὰς τῶν δαιμόνων καθ' ἡμῶν εἰς φθοροποιὰ πάθη[f] ὀχλήσεις καὶ ἐπαναστάσεις[g], καὶ κατακρατήσεις δι' ἀκενοδοξίας, φέρε, καὶ αἰσχρότητος καὶ τῶν ἀναλόγων αὐτοῖς παθῶν, ἃ γηΐνους ὄντας ἡμᾶς

[y] τὸν ἀετὸν B. [z] ὀξυωπὴς Edd. [a] ὀξὺς Edd. [b] ἐπιφέρων Edd. [c] ἀλητηρίων B. [d] ἀλλ' ἐπειδὴ τῷ λόγῳ τῆς μετὰ χεῖρας ὀπτασίας οὔπω τὰ κατὰ τοσ*ον πάθος ἐπράχθη Χριστοῦ δι' οὗ πάσας τὰς ὑπὲρ ἡμῶν ἁμαρτίας ἐξέτισεν, οὔπω οὐδὲ τῷ λόγῳ ἡ τελεία καθαίρεσις τῶν δαιμόνων ἐμφέρεται· ἀλλὰ μόνον τετάρτου μέρους B. [e] διαφθορᾶς B. [f] πάθη φθοροποιὰ B. [g] Hinc om. Edd.

αὐτοὺς δὲ ἀσωμάτους, ὅμως χαίροντας τοῖς ἐπὶ γῆς ἰλυσπωμένοις πάθεσιν· ὑποσμύχει[e] γὰρ αὐτοὺς καὶ κατεσθίει τῆς τῶν ἀνθρώπων ἐκβαλλομένους ἀρχῆς, ἧς ἐξαπ * * * Ἀδὰμ τῆς ὑπ᾽ αὐτῶν ἐκ φθόνου ἐνσκευασθείσης τῆς ὑπὸ Θεοῦ πλάσεως αὐτοχειρίας ἐτύχθη.

[f] Μὴ ἀθετεῖσθαι τὴν δι᾽ ἐπιστροφῆς ἰατρείαν, ἣν καὶ Χριστὸς παρεδήλωσε διὰ τοῦ ἐμπεπτωκότος εἰς τοὺς λῃστάς. ἐλαίου μὲν τὸ ἱλαρὸν τοῦ ὑπαλείφοντος αἰνισσομένου. εἰς οἶνον δὲ τοῦ τὸ φιλάνθρωπον μὴ ἔκλυτον παρεχομένου, μετά τινος δὲ στύψεως καὶ προσοχῆς ἐπιχέοντος. Χριστὸς δὲ οὗτος ὁ μὴ[g] προαναρπασθῆναι θανάτῳ τοὺς ἡμαρτηκότας, οἵ διὰ μακροθυμίας ἔμελλον τὴν ἧτταν ἀναμαχέσασθαι.

Ὅτι ἐν τῷ ιέ κεφαλαίῳ κείμενον τὸ "ἤκουσα φωνὴν ἐν μέσῳ τῶν δ´ ζώων λέγουσαν" οὐκ ἀδοκίμως τισὶν ἀντιγράφοις μετὰ προθήκης τοῦ ὡς ὁμοιωματικοῦ εὕρηται καὶ τῆς πτώσεως τῆς ἐναλλα * * τῆς τοῦ γένους ἀμείψεως τοῦ ἀπὸ τῆς φωνῆς δηλουμένου. οἷον ἵνα ᾖ οὕτως· ἤκουσα ὡς φωνὴν ἐν μέσῳ τῶν δ´ ζώων, οὐχὶ λέγουσαν, ἀλλὰ λέγοντος. καὶ διατὶ τὸ μετὰ τῆς προσθήκης καὶ τῆς τοῦ γένους ἀμ * * καὶ πτώσεως εὐδοκιμώτερον ἡ παρακειμένη τῷ ῥητῷ παραστήσει γραφή.

Ἄλλως ἐκ τῶν τοῦ Ἀνδρέου[h]. Εὐσέβιος δὲ ὁ Παμφίλου ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ θ´ λόγου τῆς Ἐκκλησιαστικῆς ἱστορίας γράφει[i] τάδε. ἐν τῇ τῶν διωγμῶν ἀκμῇ ἐπὶ Μαξιμίνου[k] Ῥωμαίων βασιλεύοντος, ὑπὸ μὲν λιμοῦ καὶ λοιμοῦ κατασκήψαντος αὐτοῖς σὺν ἑτέροις συμπτώμασιν[l], ἄπειρα πλήθη διεφθείροντο, ὥστε ταφῇ μὴ δύνασθαι παραδίδοσθαι, καίπερ

[e] Sic. [f] Hoc Sch. om. Edd. [g] μὴ θέλων vid. leg.

[h] Ἄλλ. ἐκ τῶν τοῦ Ἀνδρ. om. B. sed incipit. ταύτης α * * συμβῆναι ὡς Εὐσέβιος ὁ Παμφ. [i] φήσας B. [k] μαξιμίνου B. μαξιμιανοῦ Edd.

[l] σὺν ἑτέροις πάθεσιν ἐπισκήψαντος τοσοῦτος φθόρος ἀνθρώπων γενέσθαι ὡς μὴ * * * τας ταφῇ παραδιδόναι τοὺς τελευτῶντας· ὅτε καὶ Χριστιανῶν τὸ εὐσεβὲς καὶ φιλάνθρωπον * * περὶ τὰς ταφὰς ἠσχολημένων τῶν Ἑλληνιζόντων καὶ διὰ τούτου τοὺς πεπλανημένους * * * * * των, ἀλλὰ καὶ Ἀρμενίους Ῥωμαίοις ἐπαναστῆναι καὶ οὐκ ὀλίγους αὐτῶν ῥομφαίᾳ ἀνῃρεῖσθαι * * * τὰ τῶν ἀνῃρημένων σώματα κατεσθιομένων φόβῳ τὸ μὴ τοῦτο παθεῖν τοὺς * * * * * ἐθίμου τῆς βορᾶς τῶν τεθνεώτων σωμάτων * * * * * * τάφους κτήσωνται τοὺς ζῶντας κύνας· οὐδὲν δὲ ἀπεικὸς τῆς αὐτῆς τοῖς κυσὶ θοίνης καὶ ἀγρίους θῆρας μετασχεῖν ἀπορίᾳ τροφῆς B.

Χριστιανῶν τότε φιλοτίμως περὶ τὰς κηδείας ἠσχολημένων, καὶ τῷ φιλανθρώπῳ τοὺς πεπλανημένους ἐναγόντων πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. ὑπὸ δὲ Ἀρμενίων ἐπαναστάντων Ῥωμαίοις οὐκ ὀλίγους ἀνῃρῆσθαι ῥομφαίᾳ. καὶ ὑπὸ κυνῶν δέ φησιν ἀνηλῶσθαι τὰ τῶν θανόντων σώματα, ὡς λοιπὸν τοὺς λειπομένους εἰς κυνοκτονίαν τραπῆναι, δεδιότας μὴ καὶ αὐτοὶ θανόντες ζῶντας τούτους τάφους κτήσωνται. οὐκ ἀπεικὸς δὲ τοῖς κυσὶ τῆς αὐτῆς θοίνης καὶ ἀγρίους θῆρας συμμετέχειν διὰ τὸ τῆς τροφῆς ἄφθονον. καὶ ἐν τῇ ἡμετέρᾳ δὲ γενεᾷ τούτων ἕκαστον συμβὰν ἔγνωμεν, ἐκ τῶν νυνὶ φαινομένων.

ΚΕΦ. ΙΖ.

Λύσις τῆς πέμπτης σφραγῖδος, τὴν τῶν ἁγίων ψυχῶν σημαίνουσα πρὸς Κύριον καταβόησιν, ὥστε γενέσθαι συντέλειαν.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑπο-
κάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων
διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν τοῦ
10 ἀρνίου ἣν εἶχον. καὶ ἔκραξαν φωνῇ μεγάλῃ λέγοντες.
ἑωσπότε ὁ δεσπότης ὁ ἅγιος καὶ ἀληθινὸς οὐ κρίνεις
καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἐκ τῶν κατοικούντων ἐπὶ τῆς
11 γῆς; καὶ ἐδόθη αὐτοῖς στολὴ λευκή, καὶ ἐῤῥέθη αὐτοῖς,
ἵνα ἀναπαύσωνται ἔτι χρόνον, ἕως πληρώσονται καὶ οἱ
σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, καὶ οἱ μέλλον-
τες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.

Τῆς πέμπτης σφραγῖδος τὴν λύσιν, οἱ τὴν τῶν προειρημένων[m] *τεσσάρων εἰς τὰ Χριστοῦ πάθη καὶ τὰ τῆς σωτηρίου ἡμῖν ἐνανθρωπήσεως οἰκονομικῶς τελεσθέντα προσνέμοντες, ὡς ἤδη παρεθέμεθα· καὶ ταύτην εἰκότως τὴν καταβόησιν τοῖς προτελειωθεῖσιν ἀνάψει προφήταις καὶ θεοσόφοις ἀνδράσι τὴν τοῦ Χριστοῦ ἐπιδημίαν ποθοῦσι, καὶ τὴν ἀναβολὴν αὐτῆς δυσχεραίνουσι τῆς θείας μακροθυμίας καταβοῶσι*[n] *τῆς μέχρι σταυροῦ παραταθείσης, πρὸς*[o] *ἐκδίκησιν ἤγουν τῶν πονηρῶν ἀνθρώπων καὶ ἀσεβῶν, ἢ καὶ*

[m] *προειρ.* om. B. [n] *καταβοῶντες* B. [o] *τὰ πρὸς ἐκ.* B.

τῶν [p] δαιμόνων τούτους [q] ἐκβακχευσάντων ἐπὶ τὰ [r] τοιαῦτα παραχωρῆσαι τῶν [s] ὁμοφύλων καὶ ὁμογενῶν ἀδικήματα [t], καὶ ταῦτα δι᾽ εὐσέβειαν πάσχειν ἀνασχομένων. μέχρι γὰρ τοῦ σωτηρίου πάθους τοῦ διὰ σταυροῦ, οὐκ ἦν οὕτω [u] πρόδηλος ἡ κατὰ τῶν ἀσεβῶν ἐκδίκησις ἐκ Θεοῦ συντελουμένη. ἀπὸ δὲ τούτου τὰ μυρία πάθη ὑπέλαβον [v], εἴγε πίστεως [x] Ἰώσηπος ἄξιος ὁ ταῦτα φιλαλήθης, οὐ μόνον Ἰουδαίους ἱστορήσας, ἀλλὰ καὶ Ἕλληνας λοιμοῖς καὶ λιμοῖς [y] καὶ στάσεσι ταῖς καταλλήλων δαπανηθέντας, ὡς πρὸ μικροῦ παρεθέμεθα [z]. τὴν γὰρ δαιμόνων ἀπωλείαν καὶ τὸν τέλεον αὐτῶν ἀφανισμὸν μὴ καὶ περιττὸν λέγειν, ἀκούοντας τοῦ θείου Δαβὶδ ᾄδοντος, "τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαίαι εἰς τέλος." ποῦ γὰρ ὑπολείπεται ἔτι δαιμόνων λατρεία, τῶν πρὸ τούτου τὴν σύμπασαν γῆν τῆς ἑαυτῶν πλάνης ἀναπλησάντων; ταῦτα μὲν εἰ τοῖς πρὸ νόμου, καὶ ἐν τῷ νόμῳ θεοφιλέσι τὴν καταβόησιν ἐναρμώσομεν· εἰ δὲ τοῖς μετὰ Χριστὸν μάρτυσιν, ὃ καὶ μᾶλλον εὐαρεστεῖν δίκαιον, ὅτι καὶ περὶ μελλόντων ὁ χρηματισμὸς, οὐκ ἔξω τοῦ εἰκότος [a] χωροίημεν.

Εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου.

Θυσιαστήριον, τὸ ἄνω εἰκότως [b] τὸ ἀνενδεὲς ὂν τῆς δι᾽ αἱματῶν ἁγιστίας [c], καὶ τὰ θύματα [d] τῷ ὑποκάτω αὐτοῦ, ἅτε περίγεια καὶ τῆς θνητῆς οὐσίας, ἀφωρίσατο τόπῳ αὐτῷ [e] τὴν ἀπὸ τῶν θυμάτων ἐξατμιζομένην θεάρεστον ἀναλαμβανόμενον εὐωδίαν, οὐκ αἰσθητὴν, ὅτι μηδὲ αἰσθήσει ὑποβαλλομένην [f], εἰ καὶ [g] αἰσθητὴ ἡ ἀναπεμπομένη ἀπὸ τῶν θυμάτων ἀνάδοσις, καταλλήλως [h] δὲ νοήσει μόνῃ θεωρητὴν τούτοις [i], καὶ ὅσοις τῶν ἀγαθῶν [k] ἀγώνων συντελείᾳ τὸ εὐαπόδεκτον ἀποφέρεται. ἐντεῦθεν καὶ τοῖς κατὰ Χριστὸν ἢ μετὰ Χριστὸν [l] τὸ εὐδόκιμον ἀπενεγκαμένοις οἰκειότερον τὰ τῆς σφραγῖδος τῆς λύσεως προσλογίζεται [m], ἢ τοῖς πρὸ τῆς Χριστοῦ παρουσίας ὑπὲρ τοῦ εὐσεβοῦς τῆς παλαιᾶς

p ἢ τῆς τῶν δ. B. q τῶν τούτ. B. r τὰ om. B. s κατὰ τῶν B. t ἀδικ. om. B. u οὗτος B. v ὑπέλαβεν οὐ μον. Ἰουδ. εἴγε πιστός. x πιστὸς B. y λιμοῖς αὐτοὺς καὶ λοιμοῖς B. z Quæ seq. om. Edd. a Cod. εἰκότως. b εἰκότως om. B. c ἁγιστείας B. d εἰκότως τὰ θύματα B. e αὐτό τε. f ὑποβαλλομένοις B. g ἢ καὶ B. h κατάλληλος B. i θεωρητᾶς B. k οἷς ἡ τῶν ἀγ. B. l καὶ μετὰ Χρ. B. m προσλογίζεσθαι B.

λόγου[1]. *οὐκ αἰσθητῇ ἀπηχήσει· τίνα γὰρ οὐχ ὕπεισι φωνητικῶν σύνταξις ὀργάνων; πραγματικῶς δὲ τῆς ὑπερθέσεως τῇ ἐκτάσει τῇ ἐπὶ τοσοῦτον ἀναβεβλημένῃ τὸ τῆς φωνῆς ἔργον τοῖς ὁρῶσιν ἀποτελούσης· οὐ παροράσεως δὲ τοῦ κρείττονος ἡ καταβοὴ, οὐ μέλει τῶν ἑαυτοῦ ἔργων, οὐδ᾽ ὅσον πατρὶ τέκνων. τὸ δὲ καταλλήλως καὶ τάξει πάντα διεξάγειν, εἰδέναι τὴν γνῶσιν ὑπερβαλλόμενα· ὅσον δὲ εἰδέναι εἰς παράκλησιν ἔτι τῶν ζώντων τὸ μὴ ἐκκακεῖν ταῖς τῶν ὀφειλομένων ἀγαθῶν δόσεσι παρατεινομέναις· οὐ γὰρ ἀσκόπως τοῦ διδόναι ταῦτα ἕτοιμον.*

[m] *Καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀρνίου ἣν εἶχον.*

Ἀναντιρρήτως λοιπὸν ἀπὸ τοῦ ἀρνίου καὶ τῆς δι᾽ αὐτὸ σφαγῆς τοὺς μετὰ Χριστὸν καὶ κατὰ Χριστὸν ἡ λύσις τῆς ε´ σφραγῖδος προσλογισθείη.

Ἕως πότε ὁ δεσπότης.

Οὐ κατὰ τῶν ἀνθρώπων ἡ ἐκδίκησις αἰτεῖται[n] *(οὐ γὰρ τοῦτο ἄξιον τῆς ἀγάπης*[o] *κατὰ τῶν ὁμογενῶν ἐπανίστασθαι.) κατὰ δὲ τῶν δαιμόνων ταύτην ἀπαιτοῦσιν οἱ ἅγιοι*[p], *τῶν ἐναγόντων τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν ἀναίρεσιν*[q]. *εἶτα λαμβάνουσι πρῶτον στολὴν λευκὴν, καὶ ἐπὶ ταύτῃ τῇ στολῇ, καὶ γνῶσιν τῆς ὑπερθέσεως, οὐκ ἀδοκιμάστως, εἰ μὴ καὶ λελογισμένως ἄγαν παρατεινομένης, ἣν τὰ ἐχόμενα παραστήσει τῶν ἑξῆς παρατεθέντων.*

[r] ΚΑῚ ἌΛΛΩΣ ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΝΔΡΕΟΥ͂. *Καὶ διὰ τούτων τὴν τοῦ κόσμου συντέλειαν αἰτούμενοι φαίνονται οἱ ἅγιοι. διὸ μακροθυμεῖν ἄχρι τῆς τῶν ἀδελφῶν τελειώσεως κελεύονται, ἵνα μὴ χωρὶς αὐτῶν τελειωθῶσι, κατὰ τὸν θεῖον Ἀπόστολον. αἱ δὲ λευκαὶ στολαὶ τὴν ἐπανθοῦσαν αὐτοῖς τῶν ἀρετῶν ἐμφαίνουσι λαμπρότητα. ἣν ἠμφιεσμένοι, εἰ καὶ μήπω τὰς ἐπαγγελίας ἐκομίσαντο, τῇ γοῦν ἐλπίδι τούτων, ἅπερ νοερῶς ἐνοπτρίζονται, πάσης ἀπηλλαγμένοι παχύτητος, εἰκότως εὐφραίνονται τοῖς κόλποις Ἀβραὰμ*

[1] Quæ seq. om. Edd. [m] Hoc Sch. deest Edd. [n] *αἰτεῖται* sic B. *ἀναβάλλεται* Edd. [o] *ἁγίων τὸ κατὰ τῶν ὁμογενῶν τῆς ἀγάπης ἐπανιστ.* B. [p] *τ. ἀπ. οἱ ἅγιοι* om. B. [q] *καθ᾽ ἑαυτῶν* B. [r] ῎ΑΛΛΩΣ. *Καὶ διὰ τούτων τὴν τοῦ κόσμου συντέλειαν φαινοῦνται αἰτοῦντες οἱ ἅγιοι, μακροθυμεῖν δὲ αὐτοῖς ἐγκελεύονται χάριν τῆς τῶν ἀδελφῶν τελειώσεως τῶν ἐν τῇ βίβλῳ τῆς ζωῆς ἐναπογραφέντων. "ἵνα μὴ" κατὰ Παῦλον εἰπεῖν, χωρὶς αὐτῶν τελειωθῶσι."* B.

ἀναπαυόμενοι. πολλοῖς γὰρ τῶν ἁγίων τοῦτο εἴρηται, χώρους ἀξίους εἰληχέναι τῶν τῆς ἀρετῆς ἐργατῶν ἕκαστον, δι' ὧν καὶ περὶ τῆς μελλούσης αὐτῶν δόξης τεκμαίρονται.

Καὶ ἐδόθη αὐτοῖς στολὴ λευκή.

Ἡ λευκὴ στολὴ, αἴνιγμα τοῦ κεκαθάρθαι αὐτοὺς τῷ οἰκείῳ αἵματι, καὶ πάντα ἀποθέσθαι ῥύπον, ἅμα δὲ καὶ τοῦτο τῆς λευκότητος τῆς στολῆς ὑποφαινούσης, ὡς οὐ χρὴ τοὺς προφανῶς καὶ μετὰ λαμπρότητος παῤῥησιασαμένους τὴν Χριστοῦ ὁμολογίαν[s], δι' ἣν καὶ τοῦ φθαρτοῦ ἠνέσχοντο[t] καρτερικῶς[u] ἐκβῆναι κόσμου καὶ μοχθηροῦ, νῦν ἀφθάρτῳ[x] βίῳ καὶ ἀμόχθῳ προσορμισθέντας ὡσπερεὶ κόρον τούτου λαβόντας[y] ἀνασείρασιν ἐκ κόρου λαβεῖν· ἀφ' οὗ καὶ ἡ τῶν Ἀγγέλων εἰς τὰ αἰώνια παράκυψις ἀγαθὰ, τινὶ τῶν θεοφορουμένων παρείλειπται δι' ἐπιθυμίας εἶναι, ὡς διὰ τῆς παρακύψεως τί ἂν ἄλλο ζητήσαντος αὐτοῦ[z], ἢ καὶ τὸ μικρὰν αὐτῶν γνῶσιν λαβεῖν ἐν ἀδιαλείπτῳ ἐφέσει προσλιπαροῦνται[a]; [b]ὥσπερ τοίνυν ἀνάμνησιν αὐτοῖς ἐμποιῶν εἰ πρὸς τὸν ἐπώδυνον καὶ καματηρὸν * * * * * * * * * * * * * * * * * * * θλήσατε, οὐκ ἀναξιεπαίνως νῦν ἐν τῷ ἀμόχθῳ βίῳ τὸ πρόσκορες ὑπερβάλεσθε· ταῦτα τῆς λευκῆς στολῆς τῆς δόσεως ὑπαινιττομένης, καὶ λόγοις φησὶ παρακλητικοῖς τὴν πρ * * ἀποκείμενα ἐπέραστα τῷ ὄντι λιχνείαν ἐπισχεθῆναι· οὐδὲν γὰρ δίκαιον εἰ καὶ μὴ τὰς εὐαγγελίας ἐκομίσαντο, τῇ γοῦν ἐλπίδι τούτων, ἅπερ νοερῶς ἐνοπτρίζονται, πάσης ἀπηλλαγμένοι παχύτητος· καὶ ὡς εἰκὸς τοῖς Ἀβραὰμ ἐναγλαϊζόμενοι κόλποις τῶν ἴσῃ τῇ προθυμίᾳ κατασπευδόντων αὐτοῖς ἐναριθμηθῆναι· αὐτοὺς καθυπερτελεῖν τῇ προλήψει τούτων, καὶ ὥσπερ ἀτελῆ τὴν πάνδημον τῶν σωζομένων ὁρᾶσθαι πανήγυριν· οὔτε ἐν μὲν συναγωγῆς ἱσταμένου θεῶν, οὐ διακρίνοντος λοιπὸν θεούς. τίς γὰρ διάκρισις τοῦ σπανίζοντος ἔτι τῶν τὴν διάκρισιν ἐνδίκως κατὰ τὸν κάματον ἀποληψομένων;

[s] ἐμὴν ὁμολ. B. [t] ἠνέσχεσθε B. [u] καρτερῶς B. [x] ἐν ἀφθ. B. [y] ὡσπ. κορ. λαβόντες ὧν οὐκ ἔστιν ἐκ κόρου ἀνασήρασιν ἀνευρεῖν B. [z] ζητησ αὐτ. om. B. [a] προσλιπαρεῖν B. [b] Om. Edd. ad fin. Sch.

ΚΕΦ. ΙΗ.

Λύσις τῆς ἕκτης σφραγῖδος, τὰς ἐν τῇ συντελείᾳ ἐπαγομένας πληγὰς σημαίνουσα.

12 Καὶ εἶδον ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην. καὶ
σεισμὸς μέγας ἐγένετο, καὶ ὁ Ἥλιος ἐγένετο μέλας, ὡς
σάκκος τρίχινος, καὶ ἡ Σελήνη ὅλη ἐγένετο ὡς αἷμα,
13 καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσον εἰς τὴν γῆν, ὡς
συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ ἀνέμου μεγάλου
σειομένη.

Ἡ ἕκτη τῆς σφραγῖδος λύσις, τελεωτάτην ἡμῖν τὴν σωτηρίαν εἰργάσατο. κατὰ ταύτην γὰρ ὁ Χριστὸς [b] τὸν θάνατον κατέλυσε, τὴν ζωὴν ἐπανήγαγε, τὸν νικητὴν τῶν ἀνθρώπων ἀπεστεφάνωσε θριαμβεύσας, κατὰ τὸ γεγραμμένον. "ἀνέβης εἰς ὕψος, ἠχμαλώτευσας αἰχμαλωσίαν." τίς δὲ ἡ λύσις τῆς ἕκτης σφραγῖδος; ὁ σταυρὸς τοῦ Κυρίου καὶ ὁ θάνατος, οἷς ἠκολούθησεν ἡ εὐκταῖα [c] πᾶσι πιστοῖς [d] τε καὶ αἰσθητοῖς ἀνάστασις [e]· καὶ ἀνάληψις ἐγκαινίζουσα ἡμῖν * * πρόσφατον καὶ ζῶσαν τὴν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν ἐπάνοδον. ἥπερ [f] οὐ μόνον τοὺς ζῶντας, ἀλλὰ καὶ τοὺς προκεκοιμημένους εὐηργέτησε. γενόμενος γὰρ ὁ Κύριος ἐν ᾅδου αὐτοῖς ζωῆς ἐπαγγελίαν ἐπήλπισεν, "ἀπειθήσασί "ποτε" κατὰ Πέτρον τὸν Ἀπόστολον, ἐπήλπισε δὲ τοῖς πιστεύουσι, ὡς καὶ Κυρίλλῳ δοκεῖ * * γὰρ οὖν τοῖς ἐν ἀπιστίᾳ ἀποθανοῦσι.

Καὶ σεισμὸς μέγας ἐγένετο.

Σαφῶς τὰ ἐπὶ τῷ σταυρῷ γεγενημένα σημεῖα, ἡ ὀπτασία ἡμῖν ἀναζωγραφεῖ, τὸν σεισμὸν καὶ τὸν κλόνον τῆς γῆς, τὸ τοῦ ἡλίου σκότος καὶ τῆς σελήνης ὅλης τὴν εἰς αἷμα μεταβολήν. πάνυ δὲ ἀκριβῶς ἐπὶ τῆς σελήνης τὸ, "ὅλη," δεδήλωται. πλησιφαὴς γὰρ οὖσα, ἅτε τεσσαρεσκαιδεκαταία [g] οὖσα, καὶ κατὰ διάμετρον ἀφεστῶσα τοῦ ἡλίου, πῶς οἷατε τὸν ἥλιον τῇ ἑαυτῆς ὑποδρομῇ σκοτίσαι; οὕτω γὰρ τὴν ἡλιακὴν ἔκλειψιν φασὶ γίνε-

[b] κατὰ ταυτ. γ. ὁ Χρ. om. B. [c] εὐκτέα B. [d] νοητοῖς B. [e] Om. Edd. usque ad ἐπάνοδον. [f] ἅπερ B. [g] τ. κ. δεκατέα B.

σθαι οἱ ταύτης τὴν σχολὴν πεποιημένοι[g]. πῶς δὲ πάλιν δυνατὸν τὴν Σελήνην[h] ἐν τῷ ἡμερινῷ καταστήματι τοιαύτην φανῆναι; ἀφ' οὗ καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης εἰς θεοσημείαν ἀναφέρει τὸ ἐπὶ τοῦ σταυροῦ συμβὰν τῷ ἡλίῳ, οὐκ εἰς εἰωθὸς πάθος τοῖς κατ' οὐρανὸν σώμασι[i]. τοῦτο δὲ καὶ ὁ Ἰωὴλ ὁ προφήτης προανεφώνησεν. "ὁ ἥλιος," λέγων, "μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα." τῶν προγεγενημένων δὲ τοῦτο ἀνάμνησις ὡς * * καθὼς ἤδη καὶ πολλάκις προανεπτύχθη· τὰ τοτὲ γὰρ φιλανθρωπίᾳ ὑπὲρ ἡμῶν συντελεσθέντα *κ εἰς τὸ τότε τὴν κατάπαυσιν ἔσχεν, ἀλλὰ καὶ μέχρι συντελείας τὸ ἐνεργεῖσθαι κεκλήρωται. * * γὰρ ἂν σωτήριον ἡμῖν διαπραγματευθείη, ἀποσκοπήσας εὑρήσεις τῶν ἐπὶ Χριστῷ τῷ Θεῷ κατὰ τὴν εἰς ἡμᾶς αὐτοῦ ἐπιδημίαν συνενεχθέντων τὸ ἀπεικόνισμα ἀποφερόμενον, ὥσπερ τῆς ἀχράντου γεννήσεως ἀποκτίννυσθαι τούτους ἡ καθ' ἡμᾶς τοῦ θείου βαπτίσματος ἀναγέννησις δια * * ποῖ καὶ ἡ ἐπὶ τῆς φάτνης ἀνάκλισις τὴν ἀπὸ τοῦ ἁγίου βαπτίσματος γέννησιν· διὰ τῆς πρὸς * * αὐτοῦ ἀνακλίσεως τῆς ἀλογίας ἡμᾶς ἀπαλλάττουσαν· καὶ τὴν τεσσαρακονθήμερον αὐτοῦ * * * τὸν Πατέρα ἀνάδειξιν τὴν ἀπὸ τῶν νηπιωδῶν ἡμᾶς σπαργάνων ἤγουν τῶν τῆς * * δὲ τοῦ βίου περισπώντων ἀπαλλάττουσαν δεσμῶν ἐκβεβηκότας ὑπ' αὐτοῦ συντηρη * * * ἐποψία· μηκέτι πρὸς τοὺς τῆς γενέσεως ὑποστρέψῃ λόγους· πρὸς δὲ τὴν ἐξ ἀρχῆς κτισε * * * * ρισθεῖσαν ἀνθρώποις ἀνασωθῆναι κατεπειχθῆναι· καὶ οὕτω μὲν ὥς γε μετρίως τὰ τοῦ Κυρίου ἡμῖν * * μοσαι· τὰ δὲ πρὸς τούτοις τοῖς σοφωτέροις ἐκ τῶνδε ἀφορμῶν παραληπτέον. "δίδου γὰρ * * ἀφορμὴν, "καὶ σοφώτερος ἔσται ὁ σοφὸς," φησὶ Σολομῶν. Τινὲς δὲ ταῦτα[j] εἰς τὴν ὑπὸ Οὐεσπεσιανοῦ γενομένην πολιορκίαν ἐξέλαβον, πάντα τὰ εἰρημένα[k] τροπολογήσαντες.

Καὶ ὁ ἥλιος μέλας ἐγένετο.

Οἱ δὲ πλεῖστοι τῶν ἑρμηνευτῶν[l], σεισμὸν τὴν μετάβασιν ἐνταῦθα εἰρήκασι[m], τὴν ἀπὸ τῶν ἐν τοῖς διὰ Χριστὸν διωγμοῖς γενομένην εἰς τὸν κατὰ τοῦ Ἀντιχριστοῦ[n] καιρὸν, σεισμὸν εἰωθυίας

[g] φασὶν οἱ ταυτὴν τὴν σχολὴν πεπ. γενέσθαι B. [h] ἡ τ. σελ. ἐν τῷ ἡμ. B.
[i] Hinc om. Edd. usque ad Σολομών. [j] ταῦτα δέ τινες B. [k] πᾶν τῶν εἰρημένων B. [l] ἡμῖν δὲ φησὶν Ἀνδρέας ὁ Καισαρείας B. [m] εἰρῆσθαι B.
[n] τὸν ἀντίχριστον B.

τῆς γραφῆς καλεῖν τὴν τῶν πραγμάτων μετάβασιν[o], ὥσπερ τὸ, "ἔτι ἅπαξ σείσω." δηλοῖ γὰρ τὴν τῶν σωλευομένων μετάθεσιν, ὡς ὁ θεῖος φησὶ Παῦλος. καὶ ἐν τῇ παλαιᾷ ἡ ἀπ' Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἔξοδος, σεισμὸς εἴρηται, καθὼς καὶ Δαβὶδ φησι. "γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν." τοσαύτας γὰρ θλίψεις γενέσθαι φασὶν, οἵας οὐδέπω γεγενημένας ἔγνωμεν[p], σοφῶς τοῦτο προειρηκότες πρὸς τὸ προμεμελετηκέναι ταῦτα τοὺς ἀνθρώπους, τοῦ μὴ ἀπειπεῖν πρὸς τὰς ἐπαγομένας τοῦ Ἀντιχρίστου κολάσεις. τὸ δὲ μέλαν τοῦ ἡλίου, καὶ τῆς σελήνης τὸ ἀφεγγὲς καὶ αἱματῶδες, τὸ τοῖς καταλειφθεῖσιν ὑπὸ τῆς θείας ὀργῆς ἀφώτιστον ἐνδείκνυται[q]. οὕτω γὰρ πολλάκις καὶ ὁ μακάριος Κύριλλος ἐξήλειφε. τὸ δὲ πεσεῖν τοὺς ἀστέρας, καὶ τοὺς δοκοῦντας εἶναι φωστῆρας ἐν κόσμῳ πίπτειν ὡς τοῖς γινομένοις ὀκλάζοντας. [r]ὡς καὶ ὁ Κύριός φησι, "πλανηθῆναι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτοὺς" τῷ ὑπερτείνοντι νικωμένους τῆς θλίψεως. διὸ καὶ ἡ συκῆ ὑπὸ ἀνεμοῦ ῥιπιζομένη παραβάλλονται οὗτοι τοὺς ὀλύνθους ἤτοι τοὺς ἀτελεῖς καρποὺς, οἷς οἱ μήπω τῷ χρόνῳ πεπανθέντες τῇ πίστει, καὶ γλυκανθέντες τῇ χάριτι ἀπεικάσθησαν ταῖς ὑπὸ τοῦ διαβόλου βιαίοις ἀντιπνοίαις. τῶν πειρασμῶν δηλονότι ταῖς ἀγρίαις προσβολαῖς θορυβηθέντες κατεσείσθησαν· οἶδεν γὰρ ἡ γραφὴ τὰ σῦκα λαμβάνειν τῷ ἐπαμφοτερίζοντι τοῦ σημαινομένου ἐπί τε χρηστοῦ καὶ τοῦ ἀπεναντίας· ὡς ἐπὶ τῶν δύο καλάθων, τῶν τῷ Ἰερεμίᾳ φανέντων χρηστῶν ὁμοῦ καὶ πονηρῶν, συκοφορίας, καὶ τῆς ξηρανθείσης συκῆς τῆς ἐν τοῖς ᾄσμασι φερομένης· εἰ δὲ καὶ αἰσθητῶς ταῦτα ληπτέον, τῷ μετιόντι τοῦτο ἀναθετέον, καὶ πρὸ τούτου τῷ τῶν δήλων γνωστῇ Θεῷ.

14 Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον ἑλισσόμενος,
καὶ πᾶν ὄρος καὶ νῆσος, ἐκ τῶν τόπων αὐτῶν ἐκινήθη-
15 σαν· καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες, καὶ
οἱ χιλίαρχοι, καὶ οἱ πλούσιοι, καὶ οἱ ἰσχυροὶ, καὶ πᾶς
δοῦλος καὶ ἐλεύθερος, ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπή-
16 λαια καὶ εἰς τὰς πέτρας τῶν ὀρέων, καὶ λέγουσι τοῖς

[o] μεταθεσιν B. [p] ἐγν. ἴσως πρὸς τὸ προμεμελετηκότας B. [q] Om. Edd. usq. ad ἐξήλειφε. [r] Om. Edd. ad Sch. fin.

ὄρεσι καὶ ταῖς πέτραις, πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε
ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τῷ θρόνῳ, καὶ
17 ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου· ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη
τῆς ὀργῆς αὐτοῦ, καὶ τίς δύναται σωθῆναι;

[o] Ταῦτα ἔφθημεν παραθέμενοι γενέσθαι μὲν ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, εἰς ἀνάμνησιν δὲ τῶν τότε γεγενημένων καὶ ἐν τῇ μετὰ χεῖρας Ἀποκαλύψει χρηματίσαι, εἰς παράστασιν τοῦ ὅτι τὰ τότε φιλανθρώπως ὑπὲρ ἡμῶν συντελεσθέντα, καὶ τῶν ἐνεστώτων καὶ τῶν μελλόντων ἀποφέρεται τὴν ἀδιάλειπτον γένεσιν οὔ ποτε σχολάσουσαν, ἕως ὁ φθαρτὸς οὗτος κόσμος παρῇ· ἐν ἑκάστῳ τῶν σωτηρίῳ ἑαυτῷ προσιόντων τῶν ἐπὶ Χριστοῦ τῆς παρουσίας συντελεσθέντων ἐ**ει Χριστῷ καὶ αὐτόν τινα ταῦτα ἐξεικονίζοντα ἐρᾶσθαι γενώμενόν τε καὶ περιτεμνόμενον καὶ τεσσαρακονθήμερον τῷ Πατρὶ ἐμφανιζόμενον, καὶ ὅπως τὰ ἐπὶ Χριστοῦ ἐφ' ἑαυτῷ μετρίως ὡς ἐνῆν προυφηγησάμεθα.

[p] Παρὰ τοῖς ταῦτα τῇ τοῦ Χριστοῦ ἐν σαρκὶ ἀνατιθεῖσιν ἐπιδημίᾳ εἰς τὸ γενόμενον ἐπὶ τοῦ σταυροῦ σκότος ὑπε*ήφθησαν οὕτω συστάντος συχνοῦ, ὡς πᾶν οὐράνιον σέλας δόξαι ἀφανισθῆναι· καὶ τοῦτο τὸν λόγον αἰνίσσασθαι, ἢ καὶ τὰς οὐρανίους δυνάμεις τῶν Ἀγγέλων ἐπὶ τῇ ὕβρει τοῦ οἰκείου δεσπότου ταραχθέντας σκοτο**νίᾳ οἱᾳ τινι ληφθῆναι· καὶ ὡς βιβλίον ταραττόμενον τῇδε κᾳκεῖσε διάττειν τε καὶ μεταχωρεῖν.

Ὡς βιβλίον ἑλισσόμενος.

Τὸ τὸν οὐρανὸν εἰλίσσεσθαι ὡς βιβλίον, ἢ τὸ ἄγνωστον[q] τὸ τῆς δευτέρας Χριστοῦ παρουσίας αἰνίττεται, ἀψοφητὶ γὰρ καὶ ἐν ἀκαρεῖ[r] ἡ βίβλος ἀνοίγεται· ἢ ὅτι καὶ αἱ οὐράνιαι δυνάμεις τοῖς ἐκπίπτουσι τῆς πίστεως συναλγοῦσιν[s], οἱονεὶ ἑλιγμόν τινα καὶ λύπην ἔξουσι. διὰ τούτου δὲ καὶ ἕτερον ὁ τῶν βιβλίου ἑλιγμὸς νοεῖν ὑποβάλλεται, μὴ ἀφανισμὸν τέλεον τὸ οὐράνιον[t] ὑφίστασθαι σῶμα, ὡς φησὶ καὶ Εἰρηναῖος ὁ Λουγδούνου, ἐν πέμπτῳ λόγῳ τοῦ ἐλέγχου τῆς ψευδωνύμου γνώσεως ἐπὶ λέξεως. "οὐ γὰρ ἡ ὑπό-"στασις, οὐδὲ ἡ οὐσία τῆς κτίσεως ἀφανισθήσεται[u]. ἀληθὴς

[o] Hoc Sch. om. Edd. [p] Et hoc om. Edd. [q] Sic B. τὸ ἁπλῶς Edd. [r] ἀκαριαίῳ B. [s] Sic B. συναλγοῦσαν Edd. [t] Sic B. οὐρανὸν Edd. [u] ἐξαφανίζεται B.

"γὰρ καὶ βέβαιος ὁ αὐτὴν συστησάμενος[x]. ἀλλὰ τὸ σχῆμα παράγει τοῦ κόσμου τούτου, ἐν οἷς καὶ[y] ἡ παράβασις ἐγένετο. διὸ καὶ ὁ[z] Δαβίδ[a]. 'ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς,' ἀλλ' οὐκ ἀλλάξεις." ἡγούμεθα δὲ τῇ ἀρχαίᾳ συνηθείᾳ χρήσασθαι τὸν Ἀπόστολον. εἰλιτάριον γὰρ οἱ Ἑβραῖοι[b], ἀντὶ τῶν παρ' ἡμῖν βιβλίων ἐκέχρηντο[c], ὧν ἡ ἀνείλισις οὐκ ἀφανισμὸν, ἀλλὰ τῶν γεγραμμένων φανέρωσιν ἀπειργάζετο. ὡς καὶ τοῦ οὐρανίου σώματος ἡ ἀνάπτυξις τῶν ἀποκειμένων ἀγαθῶν τοῖς [ἁγ]ίοις τὴν ἀποκάλυψιν δείκνυσιν.

Καὶ πᾶν ὄρος καὶ νῆσος.

Ὄρη καὶ νήσους, τὰ τῶν ὑψηλοφρόνων δαιμόνων καλεῖ συστήματα, κατὰ τὸ γεγραμμένον περὶ αὐτῶν, "καὶ μετατίθεσθε[d] ὄρη ἐν καρδίαις θαλασσῶν," οἱονεὶ ἐν τοῖς ἐνεστῶτος βίου ἁλμυροῖς περισπασμοῖς, καὶ μὴ τὸ ἀνάψυχον ἔχουσι πότιμον πρὸς σωτηρίαν ἀφ * * των πρὸς ἀδιέκδοτον ποιούμενα βυθὸν συμφορῶν, ὡς ἂν ταύτῃ[e] τούτους περισοβοῦντα τοὺς ὀλιγοψύχους πρὸς τὸ ἑαυτῶν ψυχόλεθρον[f] περισπούδασμα[g]. καὶ νήσους δὲ τοὺς αὐτοὺς, ἐν ταῖς ἤδη εἰρημέναις περικλύσεσι τῶν βιωτικῶν συμφορῶν[h] ἡμῖν ἐνοχλήσαντας. οὗτοι γὰρ δημιουργοὶ τὰς κατὰ Θεὸν ἡμῶν εὐπλοίας[i] ἐμποδοστατεῖν. ἐξ οὗ καὶ τὸ ἀλαζὸν αὐτοῖς τῆς ματαιότητος περιγίνεται ὕψος. ὄρη μὲν οὖν καὶ νῆσοι διὰ τοῦτο.

Ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν.

[j]Τόπους δαιμόνων τινὸς ἂν ὑπολαβεῖν ἀ * * τῶν ἀσωμάτων δαιμόνων· ἢ τὰς ἐθίμους αὐτῶν ἐκ φθόνου τοῦ ἀνθρωπείου γένους προαιρε * * ἐπεὶ καὶ τούτων ἀπεναντίας ἴσμεν τὸ θεῖον εὐλογίαν ἀποφερόμενον ἐκ τοῦ τόπου αὐτοῦ, ἣν * όμησιν ὁ προφητικὸς λόγος ταῖς ἀσωμάτοις προσνέμει δυνάμεσι, τῷ μηδαμοῦ χωρητῷ επι * * ενην Θεῷ, ἐκ τόπου τῶν φιλανθρώπων αὐτοῦ κριμάτων ἀναπεμπομένην, ὑπὸ τῶν συνεῖναι δυναμένων τὸν ἄφατον ἔλεον αὐτοῦ· καὶ τοὺς οἰκτιρμοὺς τοὺς ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.

[x] συστησ. αὐτ. B. [y] καὶ om. B. [z] ὁ om. B. [a] Δαβὶδ φησι B. [b] ὁ Ἑβραῖος Edd. [c] ἐκέχρητο Edd. [d] μετατίθεσθαι Edd. [e] τούτους Edd. quæ cæt. post. περισπασμοῖς om. [f] ἑαυτ. λαμβάνωσι ψυχ. B. [g] σπούδασμα B. [h] συμφ. ὧν αὐτοὶ οὗτοι δημιουργοὶ τὰς κατὰ Θεὸν ἡμῶν εὐπλοίας ἀνθρώπων ἐμποδοστατοῦντες B. [i] Sic B. εὐκλείας Edd. [j] Hoc Sch. carent Edd.

* * ρισται ἀναιδεστάτῃ ὁρμῇ μὴ τῇ ἐνδίκῳ αὐτῶν ἀποκληρώσει ἐμφιλοχωροῦντες· ἥτις τῆς ἀγγελίας αὐτοὺς ἀπεκλήρωσε δόξης, ἧς καὶ ὁ Κύριος θεωρὸς, ὡς ἀστραπὴν, αὐτὸν, ἤγουν μετὰ πάσης τῆς ὑπ' αὐτὸν δυνάμεως, πεσόντα. δι' ὧν φάσκει, "ἐθεώρουν "τὸν Σατανᾶν ὡς ἀστράπην ἐκ τοῦ οὐρανοῦ πεσόντα." τῇ οὖν ἀγάπῃ ἐμφιλοχωρεῖν τῇ ἀποκληρώσει, ἀλλὰ ἀναιδείᾳ περικρατούμενος τοῖς ἀνθρώποις δι' ὄχλου καθίσταται.

Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστάνες.

Βασιλεῖς τῆς γῆς, καὶ μεγιστάνας καὶ πᾶσαν τὴν τοιαύτην τερθρείαν τοὺς αὐτοὺς καὶ τὸν κατάρχοντα αὐτῶν[k] Σατανᾶν νοήσεις[l], κατάρξαντας τῶν περιγείων δι' ἀπάτης καὶ δόλου. δούλους δὲ καὶ ἐλευθέρους, τοὺς ἐν τοῖς δαίμοσι προὔχοντας καὶ ὑποτεταγμένους. διὸ καὶ τὸ κατασπεῦδειν[m] τὰ ὄρη ἐγκελεύειν ἐξ αἰτήσεως πεσεῖν ἐπ' αὐτοὺς, κρύψεως χάριν, τροπικῶς εἴρηται[n]. αἰνίττεται[o] γὰρ φυγάδας αὐτοὺς γενέσθαι ἀπὸ τῆς ἐπαχθησομένης αὐτοῖς ὑπὸ Χριστοῦ κολάσεως[p]. κολάσεως ἀναλόγου τῆς * * * * ἐντεῦθεν τῷ φόβῳ τούτῳ συνεχομένους καὶ παρὰ τῷ Εὐαγγελιστῇ Ματθαίῳ εἰσαΐοντι τοὺς δαίμονας ἐντυγχάνοντας περιδέως τῷ Χριστῷ. "τί ἡμῖν καί σοι, Υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ "βασανίσαι ἡμᾶς;" ταῦτα δὲ καὶ κατὰ τῶν σταυρωσάντων Χριστὸν ἐκλαβών τις, οἳ τῶν Μακκαβαϊκῶν πιεζόντων αὐτοὺς ὡς ἀξίους πολέμων διὰ Τίτου τε καὶ Οὐεσπασιανοῦ, φυγάδες τὲ ἐγένοντο ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς ἀπορίᾳ συνεχόμενοι. οὐκ ἔξω τοῦ ἔκειτο πεσεῖται.

[q] Ἄλλως. Ὁ Κύριος ἡμῶν καὶ Θεὸς τοῖς Ἀποστόλοις ἐρωτῶσι περὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τῆς καταστροφῆς, καὶ δή γε καὶ τῆς κοσμικῆς συντελείας, καθ' ἣν καὶ ἡ τούτου β παρουσία καθὼς ἐδύναντο χωρεῖν, οὐ κατώκνησε χρηματίσαι τούτους, εἰ καὶ μὴ διεσταλμένως καὶ ἀνὰ μέρος, ὅτι μηδὲ ἡ ἐρώτησις τοιαύτη, ἀλλὰ τῇ τοῦ ναοῦ καταπτώσει, καὶ ἡ ἔφοδος τῆς παρουσίας ὑποσημειοις τοῖς ἀκολούθοις ἐπιζητουμένη· καὶ ἐπειδὴ καὶ τῇ καταπτώσει τοῦ ναοῦ τῇ ὑπὸ Ῥωμαίων καὶ τοῦ Τίτου συντελεσθείσῃ· καὶ τῇ παρ-

[k] αὐτὸν B. [l] ἡ ὑπόληψις B. [m] κρυβῆναι δὲ κατασπεῦδειν B. [n] εἰρῆσθαι B. [o] αἰνίττεσθαι B. [p] Quæ seq. om. Edd. [q] Hoc Sch. carent Edd.

ρουσίᾳ αὐτοὺς τοῦ Κυρίου σχεδὸν τὰ αὐτὰ ἐπισυστῆναι οὐκ ἠμοίρει· προυβάλετο τῷ λόγῳ τὴν γνώρισιν τῶν ἐπιζητουμένων, ὧν καὶ ἡ μετὰ χεῖρας Ἀποκάλυψις μόνῳ τῷ χρονικῷ διαστήματι τὸ διάφορον τῶν ὑπὸ τοῦ Κυρίου χρηματισθέντων ὑποβαλλομένη. καθὸ τὰ μὲν ὑπὸ τοῦ Κυρίου τὸ μέλλον ὑποδύεται τῶν πραγμάτων· τὰ τῆς προκειμένης δὲ Ἀποκαλύψεως τὸ παρῳχημένον· τί διὰ τούτου ἐνδείξασθαι προμηθούμενοι; ἀλλ' ἢ τὸ ἀληθές τε καὶ ἀπαράβατον, καὶ ὡς ἤδη τετελεσμένον ἔργον ὑποφαινόντων. ἐπὶ μὲν οὖν τῆς καταστροφῆς τοῦ ναοῦ τοῦ ἐν Ἱεροσολύμοις ὅσα τῶν προειρημένων τοῖς Ἀποστόλοις ὑπὸ τοῦ Κυρίου τοῖς Χριστοκτόνοις ἐπεσχεδιάσθη, ἱκανῶς ὁ φυλέτης τούτων Ἰώσηπος φιλαληθέστατος ὢν παραστῆσαι, καὶ μέχρι λεπτοτάτων τῆς προρρήσεως προκεχωρηκυίας τῆς ἐκβάσεως, ὡς ἀπὸ τῆς τεκνοφαγίας τῆς μητρὸς τοῦ ἑαυτῆς ἐκγόνου ἐστὶ μαθεῖν· ὅπερ ὁ Χριστὸς διὰ τοῦ " οὐαὶ ταῖς " θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις," προεδήλωσεν. καὶ μάλισθ' ὅτ' ἂν ἐκ τῆς καταφρονήσεως ἀναφλέγηται τῶν αὐτοῦ προσταγμάτων, καὶ ἐκ παραλογισμοῦ τῆς τοῦ υἱοῦ αὐτοῦ ἀνυπερβλήτου συμπαθείας. ὃς πάθεσιν ἠνέσχετο ἀπαθὴς ὁμιλήσας διὰ τὴν αὐτῶν σωτηρίαν. οἱ δὲ πρὸς καταφρονήσει οὐ μόνων τῶν ἀδιορθώτων προσμεμενήκασιν, καὶ θανάτῳ σταυροῦ προσζημιῶσαι οὐκ ἐνετράπησαν.

Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ.

Ἐπὶ τῆς συντελείας μεθ' ὑπερβολῆς καὶ οὐδ' ἐν μέρει τοῦ κόσμου ὡς ἐπὶ τῶν Ἱεροσολύμων, ἀλλ' ἀνυπερθέτως παντὶ τῷ κόσμῳ συμβήσεται θλίψις ὑπερβολικὴ τῇ τῶν Ἀντιχρίστου ἐπιδημίᾳ, ἐν ᾗ τοῖς κατ' ἐξοχὴν εἴτε κοσμικῆς ἐξουσίας, οὓς διὰ τοὺς βασιλεῖς ἐδήλωσεν, εἴτε Ἐκκλησιαστικῆς εὐταξίας, οὓς ὄρη καὶ νήσους τροπικῶς ὠνόμασε, τούτοις φημὶ[q], ἅπασιν ἐκείνη ἡ φοβερὰ[r] θλίψις ἐπενεχθήσεται. ὄρη δὲ καὶ νήσους οὐχ ἁπλῶς τοὺς τῶν ἐκκλησιῶν προὔχοντας ὑπελάβομεν, ἀλλ' ὅπερ καὶ παρὰ τῷ Ἡσαΐᾳ εὕρηται γραφόμενον[s], τὰς ἐγκαινιζομένας νήσους, αἳ δὲ φεύξονται, τοπον ἐκ τόπου ἀμείβουσαι διὰ τὸν ψευδόχριστον. τίνες δὲ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστάνες τε καὶ χι-

[q] *φημὶ* om. B. [r] *ἐκ. ἡ φοβερὰ* om. B. [s] *εὕρ. γραφ.* om. B.

λίαρχοι, καὶ πᾶς δοῦλός τε καὶ ἐλεύθερος, ἀλλ' ἢ οἱ τῶν γηΐνων κατεξουσιάζοντες, καὶ μηδὲν τοῦ ἐν οὐρανοῖς[t] πολιτεύματος πεφροντικότες; δοῦλοι δὲ, οἱ τῇ ματαιότητι τοῦ παρόντος κόσμου δεδουλωμένοι[u]. ὥσπερ[x] καὶ ἐλεύθεροι οἱ τῆς Χριστοῦ ἀφηνιάσαντες δουλείας καὶ ἀνέτως βιοῦν αἱρετισάμενοι[y]. [z]τὸ ἡδὺ τοῦ παρόντος αἰῶνος τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, οὐδ' ὅσον τῆς πλατείας καὶ εὐρυχώρου πολυωρήσαντες· διόπερ ἢ φόβῳ τῶν ἐπηρτημένων ἤδη κακῶν, ἢ τῶν προ ** μένων ἀπερινοήτων καὶ ἀτελευτήτων κολάσεων πρὸς τὸ ἀβίωτον τῆς παρούσης ἐξ ἀπορίας ζωῆς ἠσχέσθησαν. τί γὰρ ἂν ἐφόδιον ζωῆς παράσχοι ὄρη καὶ σπήλαια καὶ πέτραι, αἷς καὶ σκεπασίαι αὐτοὺς ἡ εὐχ **.

Πέσετε ἐφ' ἡμᾶς.

Ἡ πρὸς τὰ ὄρη δέησις τίνων; τῶν μὴ ἐποικοδομησάντων τῇ πίστει τὸ τίμιον τῶν ἔργων καὶ δογμάτων, ἀλλὰ καὶ ξύλα καὶ χόρτον, ἃ μηδὲ πυρὸς τοῦ τυχόντος ὀσμὴν οἷά τε ὑπενεγκεῖν, μὴ ὅτι πυρὸς ἀπειλήν. πῦρ γὰρ, ὥς φασιν, ὁ Θεός.

1 Καὶ μετὰ τοῦτο, εἶδον τέσσαρας Ἀγγέλους ἑστῶτας
ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς
τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς
2 γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπί τι δένδρον. καὶ
εἶδον Ἄγγελον ἄλλον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου,
ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος· καὶ ἔκραξε φωνῇ με-
γάλῃ τοῖς τέσσαρσιν Ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆ-
3 σαι τὴν γῆν, καὶ τὴν θάλασσαν, λέγων, μὴ ἀδικήσητε
τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ
σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν
μετώπων αὐτῶν.

Ἐντεῦθεν λοιπὸν τὰ περιστάντα[a] σαφῶς Ἰουδαίους ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ, ἀντάμειψις ὄντα τῶν τοῦ Κυρίου παθῶν δείκνυται τῷ Εὐαγγελιστῇ. οἱ τέσσαρες Ἄγγελοι γὰρ ἐφρούρουν τὰς τέσσαρας γωνίας τῆς Ἰουδαίων γῆς, δειλίαν αὐτοῖς ἐμβάλλοντες

[t] Sic B. male ἀνθρώποις Edd. [u] δεδ. τ. παρ. κοσ. B. [x] Sic B. ὧπερ Edd. [y] αἱρετησάμενοι B. [z] Quæ seq. add. Cod. B. [a] Sic B. μεταστάντα Edd.

τῆς φυγῆς, ἢ δυσχερείας τινὰς, ἢ ἐξώριον[a] πάθος πατρίδος, γυναικῶν τε φιλτάτων, ἅτινα τροπικῶς διασημαίνεται κρατεῖσθαι τῆς Ἰουδαίας[b]. ἀλλά γε δὴ καὶ τοὺς ἀνέμους κεκωλύσθαι ἐφ' ᾧτε μὴ πνέειν[c], μήτε ἐπὶ γῆς μήτε ἐπὶ τῆς θαλάσσης. ἐπὶ γῆς, τῷ[d] μηδεμίαν αὐτοὺς ἀναψυχὴν εὑρέσθαι ἐν τῷ πρὸς Ῥωμαίους πολέμῳ, μήτε τοὺς γεωργοὺς τοὺς ἐπιμελείᾳ φυτῶν προσανέχοντας· ἐπεὶ καὶ τὰ δένδρα τῆς ἀπὸ τῶν ἀνέμων ἀποσείσεως[e] ἀπολαύοντα ἀναψύχεται. μήτε[f] τοὺς πεζομαχοῦντας, μὴ τοὺς ἐν θαλάσσῃ ναμαχοῦντας, ἐπεὶ καὶ ἐναυμάχησαν κατὰ τὸν Ἰώσηπον, ὃς πάντα ἀκριβῶς διεξέρχεται ἐν τῇ ἱστορίᾳ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων. πάντα γὰρ αὐτοὺς κατέλαβε τὰ κακά· πόλεων πυρπολήσεις, γῆς δηώσεις ἐπὶ φυτῶν ὀλέθρῳ καὶ ἐκτομῇ· ἅπαντα εἴσπραξις ἦν τῆς κατὰ τοῦ Σωτῆρος θρασύτητος. ἀλλ' εἰ καὶ ταῦτα οὕτω, δικαιότερον καὶ[g] ἐπιτευκτικώτερον κατὰ τὴν τοῦ Ἀντιχρίστου ἐπέλευσιν γενήσεται, οὐκ ἐν μέρει τῆς Ἰουδαίων γῆς, ἀλλ' ἐν πάσῃ τῇ οἰκουμένῃ, ἣν καὶ ἔλαχον[h] κατὰ τὰς τέσσαρας γωνίας, ἀνατολῆς, ἄρκτου, δύσεως καὶ μεσημβρίας[i], τὰ λειτουργικὰ πνεύματα ὡς πληροῦντα τὰς[k] διακονίας. ἡ δὲ τῶν ἀνέμων ἐποχὴ, προδήλως λύσιν εὐταξίας τῆς κτίσεως δηλοῖ. καὶ τὸ τῶν κακῶν ἀδιάδραστον ἐμφαίνει. διὰ ἀνέμων γὰρ, θάλασσά τε πλεῖται πρὸς τὴν ἀνθρώπων δουλείαν, καὶ φυτὰ τρέφεται ἀνέμοις ἀναψυχόμενα[l].

Ἄγγελον ἄλλον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου.

Τὸ μὲν ἀπὸ τῆς ἀνατολῆς ἡλίου ἀλλὰ μὴ ἀπὸ δυσμῶν καὶ τῆς ἑσπέρας παραγίνεσθαι τὸν θεῖον Ἄγγελον[m], ἀγαθοεργίαν αἰνίττεσθαι καὶ σημαίνειν δοκεῖ, ἣν ὁ μὲν προπάτωρ τοῦ Κυρίου ἐν πνεύματι θεωρῶν, "ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου "Κύριε," ἔλεγε. καλῶς δὲ καὶ τὸ μηδένα τέως ἀδικηθῆναι κελεύει[n], ἄχρις οὗ σφραγισθῶσιν οἱ τοῦ διασωθῆναι ἄξιοι τῶν Ἰουδαίων, ὡς ἂν μὴ οἱ δίκαιοι τὰ ὅμοια πάθοιεν τοῖς ἐν ἀνομίᾳ τῇ κατὰ Χριστοῦ ἐκτείνασι τὰς χεῖρας αὐτῶν[o] ἀδίκως. [p]συνῳδὰ δὲ τούτοις ὃ καὶ παρὰ τῷ Ἰεζεκιὴλ πάλαι ἀπεκαλύπτετο περὶ τοῦ

[a] ἔξωρον B. [b] Ἰουδ. γῆς B. [c] πνέειν sic B. πεσεῖν Edd. [d] τὸ B. [e] διασείσεως B. [f] μὴ B. [g] ὄν, ὅμως Edd. [h] διέλαχον B. [i] δύσεως, ἄρκτου, μεσημβρ. B. [k] πληροῦν τὰς B. [l] Multa in hoc Sch. suppl. e Cod. B. [m] ἄγγ. αἰνίττεσθαι δοκεῖ καὶ ἀγαθῶν ἀγγελίαν σημαίνειν B. [n] κελεύειν B. [o] ἑαυτῶν B. [p] Quæ seq. om. Edd. usque ad ἐμφανίζοντα.

ἐνδεδυκότος τὸ "βαδὶν" ὃ χροιᾶς ἐκπληκτικῆς βούλεται δηλοῦν ὄψιν, καὶ τῶν καταστεναζόντων τὰ μέτωπα σφραγίζοντος, πρὸς τὸ μὴ συναπόλεσθαι δίκαιον μετὰ ἀσεβοῦς, διὰ τῆς λανθανούσης τῶν δικαίων ἀρετῆς, καὶ οὕτως ὡς καὶ τοῖς ἁγίοις Ἀγγέλοις ἀγνώστου. τοῦτο κἀνταῦθα δείκνυται ἐξ ὑπερτέρας ἁγίας δυνάμεως ἐγκελεύσεως ταῖς τιμωρητικαῖς διαστελλομένης δυνάμεσι, μηδὲν δρᾶσαι εἰς τοὺς πλημμελησάντας ἀνεπιγνωμόνως, πρὶν διὰ τοῦ σφραγισθῆναι ἐπιγνωσθέντας εἰς διάκρισιν τοῦ ὄντος ἀληθείας θεραπευτάς. τοῦτο δὲ εἰ καὶ μερικῶς πάλαι γεγένητο ἐπὶ τῶν τῷ Χριστῷ πεπιστευκότων, οἳ τῆς ὑπὸ τῶν Ῥωμαίων οὐ μετέσχον Ἰουδαίων πανωλεθρίας χρηματισμῷ θείῳ τῆς Ἱερουσαλὴμ ἐκτοπισθέντες, τοῦ μὴ μετασχεῖν τὰ αὐτὰ τοῖς ἀσεβέσιν, οὓς εἰς πολλὰς μυριάδας κατὰ τὸν μέγαν Ἰάκωβον συντελεῖν τῷ μακαρίῳ Παύλῳ τὸ πλῆθος αὐτῶν ἐμφανίζοντα, ἀλλ' οὖν, ὡς εἴρηται, ἐν τῷ καιρῷ τῆς ἐπελεύσεως τοῦ Ἀντιχρίστου, ἡ σφραγὶς τοῦ ζωοποιοῦ σταυροῦ ἐκδηλοτέρους[n] ἀποφανεῖ τοὺς τοῦ ἁγίου βαπτίσματος ἐπιφερομένους σημείωσιν. Χριστοῦ γὰρ κλῆρος οὗτοι[o]. διὸ καὶ εἴρηται ὑπὸ τοῦ Ἀγγέλου "μὴ ἀδικήσητε τὴν γῆν μήτε τὴν θάλασσαν μήτε τὰ δένδρα."

Μὴ ἀδικήσητε.

Ἡ κτίσις ὡς δι' ἡμᾶς γεγεννημένη, παιδευομένοις ἡμῖν κοινωνεῖ ἐπὶ ταῖς μάστιξιν, ὥσπερ οὖν καὶ δοξαζομένοις τοῖς ἁγίοις συμφαιδρύνεται. διὰ τούτων[p] δὲ μανθάνομεν καὶ τοὺς κατ' ἀρετὴν βιοῦντας πρὸς συνεργίαν[q] δεῖσθαι τῆς[r] ἀγγελικῆς βοηθείας πρὸς τὰς[s] τῶν πειρασμῶν ἐπιφοράς[t]. τί γάρ φησιν ὁ ψαλμῳδὸς Δαβίδ, "ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου." χειρὸς δεξιᾶς τῆς τῶν κατωρθωμένων ἡμῖν φάσκων ἀξιοτίμου ἐργασίας· κατὰ τοσοῦτον τῷ κρείττονι ζηλουμένη, καθόσον αὐτῇ ἡμεῖς τὸ ἀξιόζηλον ἑτοιμάσομεν. ἀφ' οὗ καὶ τὸ ἐσφραγίσθαι εὐτυχοίημεν εἰς γνώρισμα ἀσφαλὲς τοῦ κτησαμένου ἡμᾶς τῶν ἀβοηθήτων, οὐκ ἄλλον ἢ τὴν οἰκείαν ἐχόντων αἰτιᾶσθαι ῥαστώνην.

[n] ἐκδηλωτέρους B. [o] ὅτι τοῦ Χριστοῦ κλῆρος οὗτοι B. [p] Sic B. τοῦτο Edd. [q] δεῖσθαι πρ. συνεργ. B. [r] τῆς om. B. [s] πρὸ τῆς B. [t] ἐπιφορᾶς B.

ΚΕΦ. ΙΘ.

Περὶ τῶν σωζομένων ἐκ πληγῆς τῶν τεσσάρων ἀγγέλων χιλιάδων ρ μ δ.

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων, ἑκα-
τοντεσσαρακοντατέσσαρες χιλιάδες ἐσφραγισμένοι ἐκ
5 πάσης φυλῆς υἱῶν Ἰσραήλ. ἐκ φυλῆς Ἰούδα, δώδεκα
χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Ῥουβεὶμ, δώδεκα
χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Γὰδ, δώδεκα χιλιά-
6 δες ἐσφραγισμένοι. ἐκ φυλῆς Ἀσὴρ, δώδεκα χιλιάδες
ἐσφραγισμένοι. ἐκ φυλῆς Νεφθαλεὶμ, δώδεκα χιλιάδες
ἐσφραγισμένοι. ἐκ φυλῆς Μανασσῆ, δώδεκα χιλι-
7 άδες ἐσφραγισμένοι. ἐκ φυλῆς Συμεὼν, δώδεκα χι-
λιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Λευῒ, δώδεκα χιλι-
άδες ἐσφραγισμένοι. ἐκ φυλῆς Ἰσάχαρ, δώδεκα χι-
λιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Ἰωσὴφ, δώδεκα
8 χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Ζαβουλὼν, δώδεκα
χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Βενιαμῖν, δώδεκα
χιλιάδες ἐσφραγισμένοι.

Πολλοὶ γὰρ ἦσαν καὶ ἀριθμὸν ὑπερβάλλοντες οἱ Χριστῷ πιστεύσαντες ἐκ τῶν Ἰουδαίων. καὶ μάρτυρες οἱ Παύλῳ τῷ θείῳ ἐν Ἱερουσαλὴμ γενομένῳ λέγοντες. "θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες "εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων[u];" τούτους δὲ μὴ μετεχεῖν[x] τῆς ὑπὸ Ῥωμαίων πανωλεθρίας, ὁ χρηματίζων τῷ Εὐαγγελιστῇ φησιν. οὔπω γὰρ ἡ ὑπὸ Ῥωμαίων ἀπώλεια Ἰουδαίους κατειλήφει, ὅτε καὶ οὗτος ὁ Εὐαγγελιστὴς ἐχρησμῳδεῖτο[y] ταῦτα. οὐκ[z] ἐν Ἱερουσαλὴμ, ἀλλ' ἐν Ἰωνίᾳ τῇ κατ' Ἔφεσον. μετὰ γὰρ τὸ πάθος τοῦ Κυρίου δέκα καὶ τέσσαρα μόνα ἔτη[a] προσήδρευσεν ἐν Ἱερουσαλὴμ, ὅσα καὶ τὸ θεοδόχον τῆς τοῦ Κυρίου μητρὸς σκῆνος τῇ ἐπικαίρῳ[b] ταύτῃ ζωῇ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν τοῦ ἀφθόρου τόκου αὐτῆς διετηρήθη. ᾗ καὶ συμπαρῆν ἅτε μητρὶ ὑπὸ τοῦ Κυρίου αὐτῷ παραδεδομένῃ. μετὰ γὰρ[c] τὴν ἀποβίωσιν ταύτης, οὐκ ἔτι[d]

[u] Ἰουδ. τῶν πεπιστ. B. [x] μετασχεῖν B. [y] ἐχρησμοδεῖτο B. [z] καὶ οὐκ Edd. [a] ἔτη μόνα B. [b] ἐπικαίρῳ B. ἐνκαίρῳ Edd. [c] δὲ B. [d] μηκέτι B.

τῇ Ἰουδαίᾳ ἐμφιλοχωρῆσαι, ἀλλὰ πρὸς Ἔφεσον μεταστῆναι αὐτὸν λόγος. καθ' ἣν, ὡς εἴρηται, καὶ τὰ τῆς προκειμένης Ἀποκαλύψεως ἐνεργηθῆναι, τῶν μελλόντων οὖσαν δήλωσιν, καθ' ὅτι μετὰ τὸ[e] τεσσαρακοστὸν ἔτος τῆς ἀναλήψεως τοῦ Κυρίου κατὰ τῶν Ἑβραίων[f] ἡ θλίψις συνηνέχθη. ὅτι δὲ καὶ[g] ἀριθμοῦ κρείττονες οἱ διασωθέντες δῆλον. οὐ μόνον γὰρ οἱ πιστοὶ διέφυγον τὸν ὄλεθρον τὸν ὑπὸ[h] Ῥωμαίων, ἀλλὰ καὶ οἱ ἐν ἀγνοίᾳ τῷ σταυρῷ τοῦ Κυρίου[i] συνηργηκότες. [j]περὶ ὧν καὶ ὁ Χριστὸς ἔλεγε. "Πατὲρ, "ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν." εἰ καὶ Κυρίλλῳ τῷ Ἀλεξανδρεῖ ἐν ιγ' τῶν κατὰ Ἰουλιανοῦ ἐλέγχῳ πρὸς νόθον τοῦτο τὸ ῥητὸν ἔδοξεν ἀποσκυβαλίσαι· ἀλλ' εἰ ἐκεῖνος οὕτως, ἡμῖν οὐ τοῦτο δοκεῖ. ὅτι μηδὲ πάντες οἱ παρόντες Ἰουδαῖοι τῆς τόλμης τῷ ἀρχιερέων ἐκοινώνουν, οὓς πάντας εἰκὸς ὕστερον σφραγισθῆναι τῇ πίστει, καθὸ καὶ δούλους αὐτοὺς Θεοῦ ὁ Ἄγγελος καλεῖ.

[k]Ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ.

Οὐ τῷ πόσῳ ἐναμίλλων τῷ ἐξ ἑκάστης φυλῆς τῶν σφραγισθέντων τε καὶ πεπιστευκότων, τῷ ζηλῷ δὲ τὸ ἰσότιμον ἐχόντων τῆς πίστεως αἰνίττεται, κἂν εἰ μὴ τῷ ἀριθμῷ. τίς γὰρ ἡ ἀπὸ πάσης φυλῆς ἰσάριθμος ἐπιτε * * *.

[l]Ἐκ φυλῆς Ἰούδα.

Εἴτε οἱ τότε ἐξ Ἑβραίων ἐσφραγισμένοι πιστοὶ καὶ διαπεφευγότες τὴν Ῥωμαίων αἰχμαλωσίαν τὸν ἀριθμὸν τοῦτον πληροῦσιν, εἴτε, ὃ καὶ μᾶλλον πιστότερον, οἱ ἐν συντελείᾳ οἱ ἐξ Ἰουδαίων σωζόμενοι, ὅτε, καθὼς καὶ Παῦλός φησι, "μετὰ τὸ πλήρωμα τῶν "ἐ * * εἰσελθεῖν πᾶς Ἰσραὴλ σωθήσεται." οὐδέτερον ἀπαράδεκτον.

Ἡ ἀκρίβεια[m] τῆς ἐξ ἑκάστης φυλῆς ἰσότητος ἐμφαίνειν δοκεῖ τὸν πολυπλασιασμὸν τοῦ ἀποστολικοῦ σπόρου δωδεκάκις δωδεκαπλασιαζομένου[n] ἐπὶ τὸν τέλειον τῶν χιλιάδων[o] ἀριθμὸν, καὶ οὕτως τὰς ῥηθείσας χιλιάδας ἀποτελοῦντα. μαθηταὶ γὰρ ἦσαν τοῦ κόκκου τοῦ εἰς τὴν γῆν πεσόντος διὰ φιλανθρωπίαν καὶ πολύφορον

[e] τὸ om. B. [f] ταῦτα τοῖς Ἑβραίοις συνηνέχθη. [g] καὶ om. B. [h] τῶν B. [i] τοῦ Κύρ. τῷ στ. B. [j] Quæ seq. om. Edd. ad fin. Schol. [k] Hoc Sch. om. Edd. [l] Et hoc Sch. carent Edd. [m] ἡ γοῦν ἀκρίβεια B. [n] δώδεκα πολυπλασιαζ. B. [o] τῆς χιλιάδος B.

τῆς παγκοσμίου σωτηρίας τὸν καρπὸν βλαστάνοντος. ἐπισημαντέον δὲ τοῦτο ὡς ἡ φυλὴ τοῦ Δὰν, διὰ τὸ ἐξ αὐτῆς τὸν Ἀντίχριστον τίκτεσθαι[m], ταῖς λοιπαῖς οὐ συντέτακται, ἀλλ' ἀντ' αὐτῆς ἡ τοῦ Λευὶ, ὡς ἱερατικὴ πάλαι εἰς μερισμὸν ἐχομένη. νῦν δὲ τὸν Ἰωσὴφ ἀντὶ τοῦ Ἐφραὶμ τοῦ υἱοῦ αὐτοῦ τέθεικε. ἐκ δὲ τῆς ἑρμηνείας τῶν ὀνομάτων τῶν ἄλλων ἐστὶ μαθεῖν τινὰ διάνοιαν καὶ προσαρμόσαι ἑκάστῃ τῶν φυλῶν, ὡς παραυτίκα παραθήσομεν σὺν τῷ Θεῷ. αὐτίκα γὰρ τὴν ἐξ Ἰούδα φυλὴν, ὃς ἐξομολόγησις ἑρμηνεύεται, αἰνίττεσθαι λέγομεν τοὺς διὰ μετανοίας καὶ ἀγάπης τῆς πρὸς τὸν ἐξ αὐτοῦ βλαστήσαντα Χριστὸν σωζομένους[n]. ἁρμόδιος δὲ ὁ ἀριθμὸς τούτοις ὁ λεχθεὶς τῶν ιβ' φυλαρχῶν, διὸ καὶ τοὺς μαθητὰς ἰσαρίθμους τούτων εἶναι τοὺς Κυρίου ἄρχοντας καὶ τοὺς φρατριὰς τῶν σωζομένων, περὶ ὧν καὶ προείρηται τὸ " ἀντὶ τῶν " πατέρων σου ἐγεννήθησαν υἱοί σοι. καταστήσεις αὐτοὺς ἄρχοντας " ἐπὶ πᾶσαν τὴν γῆν." ἐπείπερ δὲ ἐναυλον * * ἡ περὶ τῶν ἀρχιφύλων τοῦ Ἰσραὴλ ἐπαγγελία διασαφῆσαι περί τε κλήσεως αὐτῶν προφητικῶς τοῖς ὑπὸ τῶν τεκόντων ἐπιφημισθείσας, ὥς γε Μωϋσῆς ἐν τῇ βίβλῳ τῆς Γενέσεως ἱστόρηκε, τὴν Λείαν καὶ τὴν Ῥαχὴλ τοῖς ἐξ ἑαυτῶν ὠδινωμένοις ἐνθεαστικῶς ἐξονομηνούσας. καὶ δὴ τὸν πατέρα τούτων Ἰακὼβ ἐπὶ τέλει τοῦ βίου μετὰ τῆς εὐλογίας τῶν ἐκγόνων καί τινας αὐτοῖς * σεις τῶν εἰς ἔπειτα ἀποκειμένων χρησμῳδοῦνται. οὐκ ἄκαιρον δὲ τούτων μνησθῆναι εἰς ανε * * πῇ παράθεσιν τῆς ὑποκειμένης ἐργασίας. τὴν δὲ τοῦ Ῥουβεὶμ τῶν δηλοῦντος, ὡς ὁρῶντος υἱοῦ, ἢ υἱοῦ ὁράσεως, τοὺς καθαροὺς τῇ καρδίᾳ καὶ ὁρῶντας τῷ πνεύματι. τὴν δὲ Γὰδ, ὃ δηλοῖ πειρασμὸν, ἢ πειρατήριον, τοὺς διὰ θλίψεων καὶ πειρασμῶν ὡς χρυσὸν πεπυρωμένους τῷ δοκίμῳ τῆς πίστεως. τὴν δὲ τοῦ Ἀσὴρ, δι' οὗ μακαρισμὸς σημαίνεται τοὺς τῇ τηρήσει τῶν θεοδιδάκτων μακαρισμῶν τῆς ἀλήκτου τευξομένους μακαριότητος. καὶ πόρνην δικαιώσαντα δι' ἐξομολογήσεως καὶ λῃστήν. τὴν δὲ τῶν Νεφθαλεὶμ, ἑρμηνευομένου συνετοῦ, ἢ στελέχους τῶν αἰωνίων ἀγαθῶν ἐξημμένους, τοὺς ἐν συνέσει τοῦ δεσποτικοῦ στελέχους ἤτουν τοὺς ἐπερειδομένους[o] αὐτῷ, ὅς ἐστιν ὁ σταυρὸς τοῦ Χριστοῦ,

[m] τικτομένου τοῦ Ἀντιχρίστου B. [n] Quæ seq. om. Edd. usque ad ἐργασίας. [o] ἐπεριδομένους Edd.

καὶ ἐστεφανωμένους μετὰ συνέσεως, καὶ ἐν ἐκείνῳ τοὺς δαίμονας κερατίζοντας, κατὰ τὸ εἰρημένον "ἔν σοι τοὺς ἐχθροὺς κερατιοῦ-"μεν." τὴν δὲ τοῦ Μανασσῆ, ὃς ἀπὸ λήθης ἑρμηνεύεται, τοὺς ἐπιλανθανομένους τῶν πατριῶν διὰ Χριστὸν, κατὰ τὸ, "ἐπιλάθου "τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου." ὅπως ἐπιθυμήσῃ βασιλεὺς τοῦ κάλλους σου τοῦ ψυχικοῦ, καὶ ἀξιώσῃ τῆς ἐν τῷ μυστικῷ γάμῳ ἱλήσεως. τὴν δὲ τοῦ Συμεὼν, ὅπερ ἐπακουσμὸν δηλοῖ, τοὺς τῶν θείων ἐντολῶν ὑπακούοντας δι' ἀγαθῶν καὶ καθαρῶν πράξεων. διὸ καὶ τὸ θεῖον εὐήκοον αὐτοῖς προξένουσιν, ὥστε καταξιοῦσθαι ὑπ' αὐτοῦ ἀκούειν, περὶ ὧν καὶ εἴρηται, "ἀπὸ πράγματος "ἐν σκότει διαπορευομένου οὗ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου οὐ "πειραθήσεται." τὴν δὲ τοῦ Λευΐ, ὃς προειλημμένον[p] σημαίνει, τοὺς ὑπὸ Θεοῦ προειλημμένους[p] εἰς ἐκλογὴν, κατὰ τὸ ψαλμικὸν λόγιον, καὶ ἐν ταῖς θείαις ἐγκατασκηνοῦν μέλλοντας αὐλαῖς, ὡς τῆς ὀγδόης τῆς μετὰ τὸν παρόντα αἰῶνα μέλλοντας ἱερατεύειν· ἥτις ὀγδόη, κατὰ τὸν μέγαν Γρηγόριον, καὶ πρώτη τῶν μετ' αὐτὴν, καὶ ὀγδόη τῶν πρὸ αὐτῆς, ὑψηλῆς ὑψηλοτέρα· ἅτε τοῦ μέλλοντος αἰῶνος φέρουσα τύπον, οὗ καὶ ἡ Λευὶ φυλὴ τὸ τῆς τάξεως ἐνταῦθα ὄγδοον λαχοῦσα παρὰ τοῦ ταῦτα χρηματίζοντος. τὴν δὲ τοῦ Ἰσάχαρ, ὅπερ ἐστὶ μισθὸς, τοὺς τὰς ἀρετὰς πρὸς[q] τῶν μελλόντων ἐπάθλων τῆς λήψεως εἰς μισθὸν ὁριζομένους, καὶ δι' αὐτὸ τὸ καλὸν, κἂν ἐπιπόνως ἀκαπηλεύτως ὅμως, αὐτὰς μετερχομένους. τὴν δὲ τοῦ Ζαβουλὼν, ὅπερ ἑρμηνεύεται ῥύσις προσειλημμένη τοὺς τὸν πλοῦτον τοῖς πτωχοῖς ἀπονέμοντας[r], καὶ ὑπὸ Χριστοῦ προσλαμβανομένους. οἳ καὶ τὴν ῥύσιν τῶν ψυχικῶν καρπῶν, ἤτουν τὴν φθορὰν ἣν τίκτει κενοδοξία, τῇ μνήμῃ τοῦ πυρὸς τῆς γεέννης ἰατρεύουσι. τὴν δὲ τοῦ Ἰωσὴφ, ὅπερ ἐστὶν Ἰαὼθ προσθήκη[s], οἱονεὶ θείου ὀνόματος προσθήκην, τοῦτο γὰρ φασὶ σημαίνειν τὸ Ἰαὼθ, τοὺς ἐν προσθήκης μέρει πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν ἀναληφθέντας[t], καὶ τὰ χρειώδη τῶν βίου παρὰ τοῦ ἀψευδοῦς δεσπότου λαμβανόντας. τὴν δὲ τοῦ Βενιαμὶν, ὅπερ υἱὸς ὀδύνης ἢ υἱὸς ἡμέρας ἑρμηνεύεται, τοὺς διὰ τὸ πλῆθος τῶν ἐν καρδίᾳ ὀδυνῶν, ὡς Δαβὶδ μελῳδεῖ, ἐναμίλλους τὰς θείας παρακλήσεις[u] ἀντιλαμβά-

[p] προσηλημμένος B. [q] πρὸ B. [r] ἀποκτωμένους B. [s] ἀγαθῶν προσθήκη Edd. qui seqq. om. usque ad Ἰαώθ. [t] ἀναληφθέντας om. B. [u] περιχρίσεις Edd.

νοντας, ὡς καὶ υἱοὺς φωτὸς καὶ ἡμέρας χρηματίζειν. ταῦτα μὲν ἐκ τῆς τῶν ὀνομάτων τῶν Ἑβραικῶν ἀναπτύξεως παρατέθειται. σκοπητέον δὲ ὡς τοῦ Δὰν τὴν ὀνομασίαν, καί τοι φυλάρχου καὶ αὐτοῦ ὑπάρχοντος[t], οὐκ ἐμνήσθη ὁ ἐνθεάζων. στοχάζεσθαι οὖν ἐκ τούτου δίδοται, ὡς οὐ μόνον διὰ τὸ τὸν Ἀντίχριστον ἐξ αὐτοῦ τεχθησόμενον ὑπειλῆφθαι, ὡς καὶ Ἰακὼβ ὁ πατριάρχης ὄφιν αὐτὸν ἐπὶ ὁδοῦ καθημένον δάκνοντα πτέρναν προεδήλωσεν, ἀλλὰ καὶ ὅτι βαρὺ τὸ κρίνειν ἀλλότριον οἰκέτην. τί γάρ φησιν ὁ Κύριος; "μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·" ἐπεὶ οὖν τὸ Δὰν εἰς τὴν Ἑλλάδα γλῶσσαν ἀναπτυσσόμενον κρίσιν παρίστησιν, ἤτουν κατὰ κρίσιν, οὐκ ἐδικαίωσεν ὁ χρηματίζων ἐκ ταύτης τῆς φυλῆς καὶ κατ' ἐκεῖνον καιρὸν εἰς μοῖραν λαμβάνειν, καὶ ὁπηνίκα τὸ ἐβδελύχθαι αὐτὴν αὐτόχρημα πάρεστι, καὶ κλέος αὐτῇ κἂν ἐπάρατον καὶ ψευδὲς ἐκπορίζῃ αὐτῇ[u].

[x]Ταῦτα περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ ἐσφραγισμένων εἰς σωτηρίαν· ἢ κατὰ τὴν ὑπὸ Ῥωμαίων αὐτοῖς ἐπενεχθεῖσαν[y] πανωλεθρίαν, ἐκδίκησιν οὖσαν τῆς τοῦ Κυρίου μιαιφονίας. ἢ καὶ κατὰ τὴν τελευταῖαν τοῦ Ἀντιχρίστου ἐπιδημίαν, ἐν ᾗ καὶ ἡ τοῦ Δὰν φυλὴ τῆς σωτηρίας ἐκβέβληται, ἅτε μαιεύουσα τὸν Ἀντίχριστον, καὶ ὑπ' αὐτοῦ συγκροτουμένη, καὶ τούτῳ προσανέχουσα, καὶ καύχημα τοῦτον προβαλλομένη καὶ κλέος ἀκλέες καὶ ὀλέθριον.

ΚΕΦ. Κ.

Περὶ τοῦ ἀναριθμήτου ὄχλου τῶν ἐξ ἐθνῶν Χριστῷ συμβασιλευσάντων.

9 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν ἀριθμῆ-
σαι οὐδεὶς ἐδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ
λαῶν καὶ γλωσσῶν, ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ
ἐνώπιον τοῦ ἀρνίου περιβεβλημένους στολὰς λευκὰς
10 καὶ φοίνικας ἐν ταῖς χερσὶν αὐτῶν. καὶ κράζοντες φωνῇ
μεγάλῃ λέγοντες, ἡ σωτηρία τῷ Θεῷ ἡμῶν τῷ καθη-
11 μένῳ ἐπὶ τῷ θρόνῳ καὶ τῷ ἀρνίῳ. καὶ πάντες οἱ
Ἄγγελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσ-

[t] τυγχάνοντος B. [u] Plurima hoc Sch. adjecta sunt e Cod. B.
[x] Hoc Sch. deest Edd. [y] ἐπενεχθῆσαν Cod.

βυτέρων καὶ τῶν τεσσάρων ζώων. καὶ ἔπεσον ἐνώπιον
τοῦ θρόνου αὐτοῦ ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσ-
12 *εκύνησαν τῷ Θεῷ λεγοντες, ἀμήν· ἡ εὐλογία καὶ ἡ*
δόξα καὶ ἡ σοφία καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμὴ, καὶ ἡ
δύναμις, καὶ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. ἀμήν.

[z] Ὅπως μὴ ἐλλειπές τι τῶν θεωρουμένων εἴη, δείκνυσι τῷ Εὐαγγελιστῇ ὁ χρηματίζων, καὶ ταῦτα ὄχλον πολὺν ἀριθμὸν ὑπερβάλλοντα, περὶ ὧν καὶ Δαβὶδ ἐπιτευκτικῶς ἂν εἰρήκει, "ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται." ἐκ πάντων δὲ τῶν ἐθνῶν μυριάδες αὗται καὶ πάσης φυλῆς τῷ Χριστῷ προσδραμοῦσαι. εἴτε πάλαι μαρτυρικῶς ἀθλήσαντες, καὶ τῇ τοῦ * * αἵματος ἐκχύσει τὰς στολὰς ἑαυτῶν λευκάναντες· ἀνθ' ὧν καὶ περὶ τὸν θρόνον τῆς θεαρχικῆς ἀναπαύσεως ἑστᾶναι προσενεμήθησαν, καὶ φοίνικας φέρειν ἐν ταῖς χερσίν. ἐπειδὴ γὰρ ὅσον οὔπω ἐν * * θεωρίας μυήσει ὁ Κύριος δηλοῦται παραγενέσθαι ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ· οἱ ἅγιοι δὲ ὡς πανδικει[a] προαρπάζονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, δείκνυσιν ὀπτασία προηρπαγμένους αὐτοὺς καὶ τῆς ἀποκειμένης αὐτοῖς μακαριότητος τετυχηκότας. τί γὰρ μακαριώτερον τοῦ περὶ τὸν * * ἐνδολιχεύειν θρόνον, καὶ τὰ θεῖα ἀγαθὰ ἐποπτεύειν; ἐζήτηται δὲ πῶς οἱ δι' αἵματος μαρτυρικοῦ *ειωθέντες Χριστῷ, οὐ φοινικὰς ἤτοι ἐρυθρὰς περιεβάλοντο στολὰς, ἀλλὰ λευκάς; φαμὲν οὖν ὡς ἐκ τοῦ αἵματος αὐτῶν ἡ ὑπὲρ Χριστοῦ ἔκχυσις πάσης ἀπήλλαξεν αὐτοὺς κηλῖδος. τῷ γὰρ οἰκείῳ αἵματι βαπτισθέντες, λευκοὶ ἀπὸ τοῦ τοιούτου λουτροῦ ἀνέβησαν πρὸς τὸν ἑαυτῶν βασιλέα Χριστὸν, κατὰ τὰς ἐν τοῖς ᾄσμασιν "οὔσας λευκὰς ἀπὸ τοῦ λουτροῦ ἀμνάδας." αἳ τὰς τῶν ἁγίων προδιετύπουν ψυχὰς λευκὰς ἀπὸ τοῦ ἰλυώδους τούτου κόσμου, πρὸς τὸν ἄσπιλον ἀνιούσας καὶ αἰώνιον κόσμον. οἱ φοίνικες δὲ τί παραδηλοῦν βούλονται ἢ τοῦτο; κατὰ μὲν τὸ ἐν τοῖς ἀγῶσι τοῖς γυμνικοῖς εἰθισμένον σύμβολον ὂν καταπαλαίσεως τῶν ἀνταγωνιζομένων κατὰ τὸ περὶ αὐτοῦ ἐξεταστι * * * * * μένων, ὅπερ ἴσως οὐδὲ τοῖς ἀρχὴν παρασχομένοις

[z] Hoc Sch. carent Edd. [a] Sic.

νίκης αὐτὸ σύμβολον εἶναι ἀνεννόητον[b]*. πρῶτον ὅτι ἐν αὐχμηροῖς χαίρει τὸ φυτὸν τόποις κηπεύεσθαι· οὔτι ἂν ἄλλο ποθεινότερον τοῖς κατὰ Θεὸν βιοῦσι, καὶ τὸν ὑγρὸν τῆς διαίτης βίον ὅτι μάλιστα σπουδαιότατα ἀποκλίνουσιν· εἶτα δὲ ὅτι καὶ ὑψίκομον καὶ πρὸς τὰ ἄνω ἀεὶ καὶ σχεδὸν οὐράνια ἐπαιρόμενον. τοῦτο δὲ τίς ἀπαγορεύσει μὴ τοῖς θεοφιλέσι διὰ βίου προσεῖναι μετὰ τῶν τοὺς ἀναβαθμοὺς μελετώντων, ἤτοι τῶν ἀπὸ τῶν γηϊνῶν ἔπαρσιν συμμελετῶσι τὸ "πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοι- "κοῦντα ἐν τῷ οὐρανῷ." ἀφ' οὗ καὶ τὰ περικάρδια τοῦ φυτοῦ λευκὰ πεφυκότα, τὸ τῶν μακαρισμῶν τοῦ Κυρίου ἀποκληροῦσθαι περιποιεῖτ** κατὰ ζῆλον τοῦ φυτοῦ τὴν καρδίαν ἀειθαλῶς συντηροῦντι. εἶτα τῷ ἐνατενῶς ἐνασχολεῖσθαι τοῖς μεταρσίοις, τὸ Θεὸν ὁρᾶν κατευμεγεθεῖν. εἰ δὲ καὶ τὸ ὅτι τοὺς καρποὺς ἀπὸ τοῦ στελέχους φέρει, καὶ ἅμα γλυκεῖς μετὰ τοῦ στύφειν· διὸ καὶ ὁ Δαβὶδ τὸν δίκαιον ὡς φοίνικα ἀνθεῖν μελῳδεῖ. ταῦτα πῶς ἄν τις ἀπαρνηθείη μὴ τοῖς ζηλωταῖς τῆς βασιλείας τῶν οὐρανῶν φιλοτιμότερον ἐνεργεῖσθαι τῷ στύφοντι, ἤτοι πιέζοντι τῶν τοῦ παρόντος βίου μοχθηρῶν τῇ καρτερίᾳ, τὴν τοῦ μέλλοντος αἰῶνος ἐμπορευομένοις γλυκύτητα. ταύτῃ μὲν οὖν περὶ τῶν στολῶν καὶ τῶν φοινίκων τεθεωρείσθω.*

[c]Ἐνώπιον τοῦ θρόνου.

"Ἐνώπιον τοῦ θρόνου" φήσας ἐπήγαγε "καὶ τοῦ ἀρνίου·" ἐκεῖνο παραστῆσαι βουλόμενος ὡς τὸ ἀναρίθμητον τοῦτο καὶ παγγενὲς πλῆθος τὴν τοῦ ἀρνίου σφαγὴν ἐκείνῳ καὶ ἐπετύθη.

Καὶ κράζοντες φωνῇ μεγάλῃ.

[d]Ἄντι τοῦ ἔκραζον. ὡς γὰρ ἤδη προδιεστειλάμεθα τῶν χρονικῶν διαστημάτων ἐπ' ἔλαττον φροντίζει ὁ τῇ ἐννοίᾳ τὰ σωτήρια τοῖς ἀκροαταῖς διοικούμενος. τίς δὲ ἡ κραυγή; ἡ σωτηρία τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου. ἐλλειπῶς εἴρηται, ὡς καὶ ἐπ' ἄλλων σύνηθες τῇ θείᾳ γραφῇ τὸ συντετμημένον μεταδιωκούσῃ τοῦ λόγου. τὸ γὰρ ἐξηπλωμένον καὶ ἀνενδύαστον καὶ σαφές. ου * * σωτηρία ἡμῶν παρὰ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ παρὰ τοῦ ἀρνίου συντελεισθεῖσα· πῶς; ἐν τῷ δυναμωθῆναι ἡμᾶς ὑπ' αὐτῶν νικῆσαι τὸν

[b] Dub. script. est h. vox. [c] Hoc Sch. om. Edd. [d] Om. Edd.

ἄρχοντα σκότους τοῦ ἀέρος τούτου, καὶ τοὺς ὑπ' αὐτοῦ ἐνεργουμένους εἰδωλολάτρας ἀνθρώπους. τοιοῦτον καὶ τὸ "ἡ σωτηρία ὁ "Θεὸς ἀντιλάβοιτο μου." ἦν γὰρ ἂν κατ' ἐξάπλωσιν ἀνενδέες καὶ σαφές· οὗ ἡ παρὰ σοῦ σωτηρία μου ὁ Θεὸς ἀντιλάβοιτο.

Ἔκραζον, φησὶν, εἰς τὸ δυναμωθῆναι ἡμᾶς ὑπὸ τοῦ ἀρνίου εἰς τὸ νικῆσαι τὸν ἄρχοντα τοῦ σκότους τούτου καὶ τοὺς ὑπ' αὐτοῦ ἐνεργουμένους εἰδωλολάτρας ἀνθρώπους. [e]καὶ οἱ πάλαι καταπληκτικῶς ἀνθρώποις φανέντες, ὡς τῷ Δανιὴλ τὰς ὁράσεις **γουμένῳ[f]. τότε ἐν τῇ β' φημὶ τοῦ Κυρίου παρουσίᾳ συλλειτουργοὶ γενήσονται ἀνθρώποις. ἀνθρώπων μὲν κατὰ τὸ κρεῖττον τῆς διαφορᾶς τὴν ἀφθαρσίαν λέγω μεταστοιχειωθέντων. οὐ γὰρ οὖν καὶ τῇ ὕλῃ, ὡς τῷ θείῳ Παύλῳ δοκεῖ, διὰ τοῦ ὑποδείγματος τοῦ ζωοποιουμένου σπόρου, ὁπηνίκα ζητεῖ, ποίῳ σώματι οἱ νεκροὶ ἐγείρονται; τοῦτο καὶ νῦν τὸ συστάσεως ἀξιωθῆναι ἀγγέλων καὶ τῶν πρεσβυτέρων καὶ τῶν δ' ζώων· ἅπερ εἴτινά εἰσι **ωρήσαντες[g] παρεθέμεθα. τὸ τούτοις οὖν συστῆναι τὸ ὑπερανεστηκὸς εἰς τιμὴν τῆς ἀνθρωπήσεως παριστᾷ καὶ ἡ κοινὴ εὐχαριστία Θεῷ ἐπὶ ταῖς θεοπρεπέσιν αὐτοῦ εἰς τὴν αὐτοῦ κτίσιν εὐεργεσίαις ὑπὲρ ἡμῶν καταπεμφθήσεται.

Καὶ πάντες οἱ Ἄγγελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζώων.

Ἰδοὺ μία ἐκκλησία Ἀγγέλων καὶ ἀνθρώπων.

Καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου.

Ἐπεὶ μὴ πᾶσα πτῶσις σημαίνει τὸ δουλικὸν καὶ ὑπήκ[οον] τεῦμενείας[h] τὸ ᾧ ἡ ὑπόπτωσις διακονεῖται· ἔστι γὰρ καὶ ἐπὶ τιμωρίας, ὡς ἐπὶ τοῦ, "ἔπεσε πῦρ ἐπ' αὐτ[ούς]."

Καὶ προσεκύνησαν τῷ Θεῷ λέγοντες, Ἀμήν.

Τὰ ἐν ἀνθρώποις λειτουργικὰ πνεύματα σὺν τοῖς πρεσβυτέροις ὑπήκουσαν τὸ, ἀμήν. ἐπὶ τὸ ἕβδομον δὲ τοῦ ἀριθμοῦ προεχώρησεν αὐτοῖς ἡ πρὸς τὸ θεῖον σεβασμία τιμὴ, οὐ μόνον ὅτι σύστοιχος οὗτος, ὡς ἤδη παρεθέμεθα, ὁ ἀριθμὸς τῷ παρόντι αἰῶνι, ἀλλ' ὅτι καὶ ὥσπερ οὗτος ὁ ἀριθμὸς οὐκ ἐξ ἑτέρου ἀριθμοῦ τῶν ἐντὸς τῆς δεκάδος ἀποτίκτεται, οὕτως καὶ ᾧ ἐπιβοᾶται ταῦτα Θεὸς, οὐκ ἐξ ἑτέρου τὰ θεῖα ταῦτα ἀποφέρεται πλεονεκτήματα.

[e] Om. Edd. quæ seq. ad fin. Sch. [f] ἐξηγουμένῳ leg. [g] θεωρήσαντες leg. [h] Sic.

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων λέγων μοι,
Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς λευκὰς, τίνες
14 εἰσὶ, καὶ πόθεν ἦλθον; καὶ εἶπον αὐτῷ, Κύριέ μου, σὺ
οἶδας. καὶ εἶπέ μοι, Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς
θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν
15 καὶ ἐλεύκαναν ἐν τῷ αἵματι τοῦ ἀρνίου. διὰ τοῦτο εἰσὶν
ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, καὶ λατρεύουσιν αὐτῷ
ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ. καὶ ὁ καθήμενος
16 ἐπὶ τῷ θρόνῳ σκηνώσει ἐπ' αὐτούς. οὐ πεινάσουσιν ἔτι,
οὐδὲ διψήσουσιν ἔτι, οὐδ' οὐ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ
17 ἥλιος, οὐδὲ πᾶν καῦμα. ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ
θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς
πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἐκ
τῶν ὀφθαλμῶν αὐτῶν.

Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων.

[t]Οὐκ ἀγνοοῦντος ἡ ἀπὸ τοῦ πυνθανομένου τοῦ Εὐαγγελιστοῦ πεῦσις πρεσβυτέρου, ἀλλὰ διερεθίζοντος αὐτὸν γνῶναι καὶ διερευνῆσαι τὰ ὁρώμενα. ὁ δὲ τὴν ἄγνοιαν προβαλλόμενος σοφίζεται παρ' αὐτοῦ ἅπερ ἠγνόει.

Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης.

[u]Πῶς γὰρ οὐ μεγάλη ἡ αὐτὸν ἔχουσα τὸν ὑπεραιρόμενον παντὸς Θεοῦ καὶ σεβάσματος κολαστὴν καὶ δημόκοινόν τε καὶ δήμιον, καὶ εἴτι τῶν ἁπάντων τούτων ἐνεργημάτων πρᾶγμα καὶ ὄνομα; ἔπλυναν δὲ τὰ ἱμάτια ἑαυτῶν, τὴν περικροτοῦσαν λέγων δόξαν αὐτοὺς, ἐν τῷ αἵματι τοῦ ἀρνίου. αἷμα τὸν ζῆλον ἀκουστέον. ὡς γὰρ αὐτὸ τὸ ἀρνίον οὕτω προδιατυπωθὲν ὑπὸ Μωϋσέως τῇ κατὰ τὸ Πάσχα θυσίᾳ, ὡς ὑπὸ Ἡσαΐου χρησμολογοῦντος, "ἀμνὸς "ἄφωνος ἐναντίον τοῦ κείροντος αὐτὸν," ἐλέῳ τοῦ ἑαυτοῦ πλάσματος πατρικῆς ἀφειδήσας δόξης, ἠνέσχετο τὴν τοῦ πλάσματος μορφὴν ὑποδὺς παθῶν ἀνθρωπίνων. καὶ δὴ καὶ τοῖς ὀπαδοῖς αὐτοῦ εἰσηγεῖτο τὸν θέλοντα αὐτῷ ἀκολουθεῖν, πάντων ἀλογήσαντα τῶν βιωτικῶν,

[t] Deest Edd. [u] Hoc Sch. om. Edd.

τὸ τοῦ θανάτου ὄργανον μόνον ἐπάγεσθαι, ὅ ἐστιν ὁ σταυρός. οὕτως καὶ οἱ κατήκοοι τούτων διὰ μιμήσεως εἰκότως ἔπλυναν τὰ ἱμάτια ἑαυτῶν. καὶ τίς ἡ πλύσις, ἔφθημεν περὶ αὐτῆς παραθέμενοι, καὶ περιττὸν περὶ τούτων ταυτολογεῖν.

Τοὺς μάρτυρας φησὶ τοῦ Χριστοῦ τὸν σταυρὸν ἀραμένους, καὶ τὸν αὐτοῦ θάνατον μιμουμένους. τοῦτο γάρ ἐστι τὸ, "ἔπλυναν," οὐχ ἑτέρωθι, ἢ ἐν τῷ αἵματι τοῦ ἀρνίου.

Καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτός.

Ἢ τὸ ἀδιάπαυστον δηλοῦν βούλεται, ἢ τὸ τῶν ὑπὸ τοῦ[x] Θεοῦ διοικουμένων[y] ἀνενδοίαστον τῆς εὐχαριστίας[z], ἄντε πρόδηλοι, ἄντε κατὰ τὸ ἀνεξερεύνητον τῆς σοφίας αὐτοῦ βάθος διεξαγόμενοι[a]. νὺξ γὰρ ἐκεῖ οὐκ ἔστιν, ἀλλ' ἡμέρα μία, τῷ τῆς δικαιοσύνης ἡλίῳ καταλαμπρυνομένων[b] ἁπάντων. ἴσως δὲ νὺξ νοεῖται τὰ ἀπόκρυφα καὶ βαθέα τῆς γνώσεως μυστήρια, ἡμέρα δὲ τὰ σαφῆ τε καὶ εὔληπτα. ναὸς δὲ τοῦ Θεοῦ[c] πᾶσα μὲν ἡ ἀνακαινιζομένη ὑπ' αὐτοῦ κτίσις διὰ τοῦ Πνεύματος, μάλιστα δὲ, οἱ τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἄσβεστον διατηρήσαντες, οἷς ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἡ ἀψευδὴς ἐπαγγελία, οἱονεὶ φιλοτιμότερόν τε καὶ γνησιώτερον ἐμφιλοχωρήσει * καρτερικωτάτη αὐτῶν πρὸς τοὺς ἐπενεχθέντας αὐτοῖς ἐνειδόμενος πειρασμούς.

Σκηνώσει ἐν αὐτοῖς.

Σκηνῶσαι τί ἂν ἄλλο, ἢ τὸ ἀδιαλείπτως μετ' εὐαρεστήσεως καὶ ἡδονῆς σημαίνει ἐμφιλοχωρεῖν;

Οὐ πεινάσουσιν ἔτι.

[d]Ἐξ ἑτέρου μὲν γὰρ πρὸς ἕτερον ἦλθον πειρασμὸν οἱ ἅγιοι διαπαντὸς, μᾶλλον δὲ οἱ ἐξ ἐθνῶν ἐπὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου. μετὰ δὲ τὸν τοιοῦτον καιρὸν ἀδιαλείπτως κορεσθήσονται τῶν ἀμυθήτων ἀγαθῶν, ἄρτον μὲν ἔχοντες τὸν οὐράνιον, ὃς διὰ τὴν σωτηρίαν αὐτῶν ἐφοίτησεν ἐπὶ γῆς· ὕδωρ δὲ, τὴν ἄφθονον χύσιν τοῦ Πνεύματος, περὶ οὗ καὶ εἴρηται ὑπὸ τοῦ Κυρίου, "ὁ πιστεύων "εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας[e] αὐτοῦ ὕδατος ζῶντος."

[x] ἢ τὸ ὑπὸ τοῖς B. [y] ὑπὸ τοῦ θείου διοικουμένοις B. [z] τῇ ἀνενδοιάστῳ εὐχαριστίᾳ B. [a] διεξαγόμεναι B. [b] καταλαμπομένων B. [c] ν. δὲ αὐτοῦ B. [d] Om. Edd. fere totum hoc Sch. [e] ἐκ τῆς κοιλ. αὐτ. ῥεύσουσι B.

ὧν οἱ ἅγιοι τότε ποτιζόμενοι δαψιλῶς ἀγαλλιάσει ἔσονται καὶ εὐφροσύνῃ ἀπεράντῳ· τῆς μερικῆς γνώσεως καταργηθείσης, τῆς τελεωτάτης δὲ ἐπεισενεχθείσης πρὸς ἀπόλαυσιν, τὴν κατὰ τὸ ἀνάλογον τῶν σπευσάντων οἰκειωθῆναι Θεῷ. ἣν καὶ γνῶσιν ὁ θεῖος Παῦλός φησι· δι' ὧν φάσκει, "ἐπιγνῶναι ἡμᾶς τὸν Θεὸν, καθὼς "καὶ ὑπὸ Θεοῦ ἐγνώσθημεν·" τουτέστι καθὼς καὶ ἡμεῖς κατεσπεύσαμεν οἰκειωθῆναι αὐτῷ, οὕτω καὶ Θεὸς ἀφθόνως ἐφήπλωσεν ἡμῖν τὰ ἀπόρρητα αὐτοῦ ἀγαθά. καὶ ὅτι πεινῆν ἔθος τῇ γραφῇ καλεῖν τὴν τῶν θείων ἀγαθῶν ἔνδειαν, ἱκανὸς, ὁ λιμὸν ἀπειλῶν ἥξειν τοῦ ἀκοῦσαι λόγον Κυρίου, πιστώσασθαι. τὸ δὲ ἥλιον ἐπ' αὐτοῦ πεσεῖσθαι· τέως ποικίλος ὁ ἥλιος παρὰ τῆς θείας γραφῆς τροπολογεῖται· τῇ μὲν λέγοντος τοῦ προφήτου "ἡμέρας ὁ ἥλιος "οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα·" τουτέστιν ὅτι πρὸς τὴν πατρῴαν ἀνασωζόμενος ἑστίαν, τὸν πάτριον ἔχων Θεὸν βοηθὸν, οὔτε πρόδηλον ἕξεις ἐπηρεαστὴν δίψει πιέζοντά σε καὶ ἀπορίᾳ τῶν καταθυμίων· οὐ τοῖς ἀμαυροτέροις πρὸς κατανόησιν. ἣ διὰ σεληνιακοῦ ἠνίξατο φωτὸς ἠρέμα θερμαίνοντός τε καὶ ψύχοντος, ἅτε καὶ τινῶν πειρασμῶν δελεαστικῶν κεχρημένων τῇ καταρχὰς αὐτῶν ἐφόδῳ τῷ προσηνεῖ καὶ ἡδεῖ. πρὸς ὀλέθριον δὲ ὕποιστον ἀποκαθιστῶν τῶν κακῶν· ὃ καὶ ὁ παροιμιαστὴς ἐπὶ τῆς μοιχείας συμβαίνειν φησὶ "πρὸς καιρὸν λιπαινώσης τὸν φάρυγγα." οὐ μόνον δὲ ὁ προφητικὸς λόγος πειρασμοῖς παραβάλλει τὸν ἥλιον, ἀλλὰ Χριστὸς αὐτὸς τὰ ἐπὶ τῆς πέτρας καταβαλλόμενα σπέρματα πρὸς βραχὺ ἀνατείλαντα ὑπὸ τοῦ ἡλίου[e]. τὸν δὲ ἥλιον πειρασμοῖς ἀφωμοίωσεν. καὶ πειθέτω σε τὰ πρὸς βραχὺ ἀνατείλαντα ἐν τῇ πέτρᾳ σπέρματα, ἀθρόον μὲν φύσαντα, εὐθέως δὲ ὑπὸ τοῦ ἡλίου φλογισθέντα.

Ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς πηγὰς ὑδάτων. καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν.

Συντελεσθεν * * * * ἄφθαρτον βίον ἁπάντων μεταχωρησάντων.

[e] Cætera desunt Cod. B.

αὐτό τε τὸ ἀρνίον ἀπαρακαλύπτως θεὰν χ**ζει τοῦ σαρκικοῦ νέφους αὐτῷ πρὸς τὸ θεοειδέστερον ἀλλοιωθέντος. εἴ τι Γρηγορίῳ τῷ θείῳ τὸν λόγον πιστέον θαρροῦντος[b] ὁμόθεον αὐτῷ ἀποφαινομένῳ. τὸ, ἀναμέσον τοῦ θρόνου, εἴρηται ἀντὶ τοῦ, ἐκ μέσου τοῦ θρόνου, οἱονεὶ ἐκ τῆς πατρικῆς δόξης, ἤγουν κυριαρχίας, τῆς σαρκικῆς οἰκονομίας τῇ ἐπεισόδῳ τῶν θείων ἐλλάμψεων, μᾶλλον δὲ, τῆς ἀναλλοιώτου θεότητος ὑποχωρησάσης. τὸ ἀπὸ τούτου δὲ, ἀνυποστόλως θεοπρεπὲς τῷ Υἱῷ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. τὸ γὰρ ποιμαίνειν αὐτῷ προσέσται καὶ ὁδηγεῖν τὰ ὑπ' αὐτοῦ ποίμνια διὰ τῆς οἰκονομίας κτισθέντα, οἷς οὐκέτι δάκρυον ἐνοχλοίη· [c] τῶν δακρυοποιῶν ὡς ἐν ἀναλλοιώτῳ ζωῇ διωλωλότων, ἀλλ' ἐπὶ νομὰς ὑδάτων θείων ἐννοιῶν ἀΰλων ἐπαναπαύεσθαι ποιμαινομένων· ὅτε καὶ λύκοι τῷ αἰωνίῳ παραδόθειεν πυρί· μισθὸν τοῦτον ἀνευρόντες σὺν τῷ κατάρχοντι διαβόλῳ αὐτῶν ἐν τῷ φθαρτῷ τῷδε βίῳ, ἅτε φθονεροὶ δαίμονες τῆς τῶν ἀνθρώπων ἐξ ἐπηρείας[d] πολυπλανίας.

ΚΕΦ. ΚΑ.

Λύσις τῆς ἑβδόμης σφραγῖδος, δηλοῦσα ἀγγελικὰς δυνάμεις προσάγειν Θεῷ τὰς τῶν ἁγίων προσευχὰς ὡς θυμιάματα.

1 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο
2 σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. καὶ εἶδον τοὺς ἑπτὰ
Ἀγγέλους, οἳ ἐνώπιον τοῦ Θεοῦ ἑστήκασι, καὶ ἐδόθησαν
αὐτοῖς ἑπτὰ σάλπιγγες.

[e] Μελλόντων ἀφήγησιν πραγμάτων, ὡς παρῳχημένων ποιεῖται, εἴτε, ὡς πολλάκις ἔφθημεν εἰρηκότες, τὸ μηδὲν θείαν γραφὴν περὶ τὰ χρονικὰ διαστήματα μικρολογεῖσθαι· διὸ καὶ προγεγονόσιν ὡς μέλλουσι χρῆται. ὡς ἐπὶ τοῦ "ἐν ποταμῷ διελεύσονται ποδί·" καὶ ἐνεστῶσιν ἀντὶ μελλόντων, ὡς ἐπὶ τοῦ "Ἱερουσαλὴμ οἰκοδομου- "μένη ὡς πόλις·" καὶ γὰρ ἔμελλεν ἀνοικοδομεῖσθαι, ἡ ὑπὸ Ναβουχοδονόσορ καταστραφεῖσα, τῶν αἰχμαλωτισθέντων ἀνασωθέντων αὐτῇ· ἀλλὰ καὶ τὸ ἐχόμενον τοῦ ῥητοῦ τούτου, τὸ "ἀνέβη- "σαν αἱ φυλαί·" παρῳχημένων ἔννοιαν ἐπὶ μελλόντων εἰσάγει·

[b] θαρρούντως leg. vid. [c] Om. Edd. quæ seq. ad fin. Sch. [d] ἐξεπηρεας Cod. [e] Suppl. init. Sch. usque ad δεδήλωται e Cod. B.

ἤτοι οὖν, ἀφροντιστούσης τῆς γραφῆς τῶν χρονικῶν διαστημάτων, ταῦτα· ἢ τὸ πάντως ἐσόμενον εἰσηγουμένη διὰ τοῦ ὡς συντετελεσμένοις χρῆσθαι τοῖς ἐσομένοις. καὶ ταῦτα μὲν περὶ τούτων. συχνότερον δὲ ὁ ἑπτὰ ἀριθμὸς ἔνθα παραλαμβάνεται, ὥσπερ καὶ νῦν, ὡς συστοίχου ὄντος τῷ σαββατισμῷ τοῦ αἰῶνος τούτου. καὶ αὐτὸ ἤδη μοι δεδήλωται. ἡ τῆς ἑβδόμης σφραγῖδος λύσις, τὴν τῆς γηΐνης τύρβης λύσιν διασημαίνει, ἑπτὰ Ἀγγέλων διακονούντων ταῖς τιμωρίαις ταῖς κατὰ τῶν ἀσεβῶν ὀφειλομέναις. ἡ δὲ σιγὴ τὴν ἀγγελικὴν εὐταξίαν δηλοῖ καὶ τὴν εὐλάβειαν, τό, τε περὶ τῆς δευτέρας τοῦ Κυρίου παρουσίας, καὶ τῆς προτέρας ἀγνόημα. τὸ δὲ ἡμιώριον, τὸ τοῦ καιροῦ ἐμφαίνει βραχὺ, ἐν ᾧ τῶν πληγῶν[f] ἐπαγομένων καὶ τῶν ἐπὶ τῆς γῆς συντελουμένων, ἡ τοῦ Κυρίου[g] βασιλεία φανήσεται.

Ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ.

[h] Ὡς τῆς κτίσεως ἁπάσης καὶ τῆς ὑπερκοσμίου καὶ ἀγγελικῆς δυνάμεως καταπεπληγημένης τὸ ὑπε**λον τῆς δόξης τοῦ παραγινομένου, καὶ διὰ τοῦτο σιγώσης.

Καὶ εἶδον τοὺς ἑπτὰ Ἀγγέλους οἳ ἐνώπιον τοῦ Θεοῦ ἑστήκασι.

[i] Περὶ τοῦ κατεβδοματεῖσθαι τὴν προκειμένην Ἀποκάλυψιν προδιείληπται· τὸ δὲ "ἐνώπιον τοῦ Θεοῦ" ἑστάναι, οὐ τοπικὴν ἔννοει παρουσίαν, ἀλλὰ τὸ κατὰ βούλησιν τούτου τὰς λειτουργίας αὐτῶν ἐξανύειν αὐτούς. καὶ Δαβὶδ περὶ αὐτῶν φησι, "δυνατοὶ ἰσχύϊ "ποιοῦντες τὸν λόγον αὐτοῦ·" τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ, τοῦ ἀνυπερθέτως καὶ ἐξ αὐτῆς ἀκοῆς τὸ προσταττόμενον ἐνεργούντων· τοιοῦτον οὖν τὸ "ἐνώπιον," ἐπεὶ τὸ τόπῳ περιγράφειν ὃ τὰ πάντα πληροῖ, παχυσάρκων ἀνθρώπων καὶ μηδὲν ἐχόντων * *νωδῶς τῆς αἰσθήσεως ἐννοεῖν πλέον.

Καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.

"Ἑπτὰ σάλπιγγες," ὡς βασιλέως ἐφισταμένου. αἳ δ' αὐταὶ, κατὰ τὸν θεόσοφον Παῦλον Θεσσαλονικεῦσι γράφοντα, καὶ διυπνίζειν μέλλουσι τοὺς νεκροὺς, ἀνίστανται[k] ἐπὶ ἀφθαρσίᾳ, κατὰ

[f] Sic B. πάντων Edd. [g] Sic B. Ἀντιχρίστου Edd. [h] Hoc Sch. carent Edd. [i] Om. Edd. [k] Vid. leg. ὅτε ἀνιστ. om. Edd. usq. ad θανάτῳ.

τὸν αὐτὸν Ἀπόστολον, καθ' ὁμοιότητα τοῦ Κυρίου, ὃς αὐτὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ὑπήχθη θανάτῳ· διὸ καὶ ὡς προκατάρξας τῆς τοιαύτης παλ**ϊας[l] πρωτότοκος ἐκ νεκρῶν εἴρηται. ἱστέον δὲ ὅτι, εἰ καὶ σχηματίζονται εἰς ὕλας καὶ χρώματα τὰ ὁρώμενα, εἴτε θυσιαστήριον, εἴτε θυμιατήριον, εἴτέ τι ἄλλο, ἀόρατα ὅμως καὶ νοητὰ ὄντα τυγχάνουσιν. ἐπὶ τοιούτου τοίνυν στὰς ὁ Ἄγγελος, καὶ τὸν λιβανωτὸν, τὸ τὸν λιβανωτὸν δεχόμενον θυμιατήριον δηλαδὴ κρατῶν, τὰς εὐχὰς τῶν ἁγίων ὡς θυμιάματα τῷ Θεῷ προσέφερεν. χρυσοῦν δὲ τοῦτο φάσκει, τῷ τὴν ὕλην ταύτην τιμαλφεστάτην εἶναι ἀνθρώποις καὶ περιπόθητον· δι' οὗ αἰνίττεται καὶ παρὰ τῷ Θεῷ τὰς τῶν ἁγίων εὐχὰς τοιαύτης καταξιοῦσθαι ἀποδοχῆς. ὥσπερ δέ τι πρωτόλειον καὶ ἀπαρχὴ τιμία προσάγονται Θεῷ αἱ εὐχαὶ παρὰ τῶν προστατούντων Ἀγγέλων ἡμῶν, αἳ φύσει μέν εἰσιν εὐώδεις, εὐωδέστεροι δὲ γίνονται τῇ τοῦ μεταχειρίζοντος ταύτας Ἀγγέλου συνεργίᾳ. [m]ἅτε κατ' ἐξαίρετον αὐτὰς προσάγοντος τῷ δεδωκότι προστατεῖν Ἀγγέλους ἀνθρώπων Θεῷ. τὸ εὐπρόσδεκτον δὲ τῶν εὐχῶν τῶν ἁγίων, ἡ τῶν θυμιαμάτων ἀντίδοσις ἡ ὑπὸ Θεοῦ παρεμφαίνει· ὃ καὶ Δαβὶδ ἀξιοῖ τὸν Θεὸν τὴν εὐχὴν αὐτοῦ ὡς θυμίαμα κατευθυνθῆναι. ᾐτοῦντο δὲ διὰ τῆς παγκοσμίου συντελείας, ταῖς μὲν τιμωρητικαῖς μάστιξι, ταῖς κατὰ τῶν δυσσεβῶν καὶ παρανόμων ἀξίως ἡτοιμασμέναις, λῆξιν τῇ συντομίᾳ τῆς ἐπιφορᾶς τῆς κακώσεως πρυτανευθῆναι, τῷ μὴ[n] πρὸς πλείονας ἀνθρώποις[o] διαδοθῆναι· [p]διὰ τὸ πεφυκέναι τοὺς ἐπιγινομένους τῷ μοχθηρῷ τούτῳ βίῳ ἀνθρώπους ἐπιμελῶς τούτων ἀντέχεσθαι ἐκ νεότητος· ὧν ἡ πονηρία ἀγνώρισμα. ἣ καὶ τῷ Μωϋσῇ ὁ χρηματίζων μετὰ τὸν τῆς παγκοσμίου ἐπικλύσεως τῆς κατὰ τὸν Νῶε οἰκτίρμονι λόγῳ παρίστησιν. ἐκείνοις μὲν οὖν ταύτῃ, ἑαυτοῖς δὲ τὸν διὰ τῆς παρουσίας τοῦ ἀξιονίκως τὰ ἔπαθλα διανέμειν εἰδότος τοῖς ἐν τῷ παρόντι βίῳ ὑπὲρ ἀρετῆς παγκρατιασταῖς μισθὸν, οἵτινες οὐκ ἄλλοι, ἢ οὗτοι οἱ τὸν ἀθλοθέτην ἐν τοῖς ἑαυτῶν δοξάσαντες σώμασι. καὶ ὅτι ταῦτα τὰ ἑξῆς ἐμφανίσει.

3 Καὶ ἄλλος Ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου, ἔχων λιβανωτὸν χρυσοῦν, καὶ ἐδόθη αὐτῷ

[l] παλινζωΐας leg. [m] Hinc om. Edd. usq. ad ᾐτοῦντο. [n] καὶ τὸ μὴ Edd. [o] ἀνθρ. om. B. [p] Hinc suppl. e Cod. B. usq. ad ταύτῃ.

θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων
πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον
4 *τοῦ θρόνου. καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς*
προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ Ἀγγέλου *ἐνώπιον*
5 *τοῦ* Θεοῦ. *καὶ εἴληφεν ὁ* Ἄγγελος *τὸν λιβανωτὸν, καὶ*
ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ
ἔβαλεν εἰς τὴν γῆν, καὶ ἐγένοντο βρονταὶ, καὶ ἀστραπαὶ
6 *καὶ σεισμός. καὶ οἱ ἑπτὰ* Ἄγγελοι *οἱ ἔχοντες τὰς ἑπτὰ*
σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς ἵνα σαλπίσωσι.

Τὸ *θυσιαστήριον τοῦτο, ὁ* Χριστός *ἐστιν, ἐν ᾧ πᾶσα λειτουργικὴ καὶ ἁγία συνέστηκε σύνοδος, καὶ μαρτυρικαὶ θυσίαι προσάγονται, οὗ ἦν τύπος τὸ δειχθὲν ἐν τῇ σκηνῇ θυσιαστήριον ἐν τῷ ὄρει τῷ* Μωϋσῇ[k]. *διὸ καὶ μαρτυρίου σκήνη εἴρηται, ὡς τὰς ἐπωφελεῖς ἀνθρώποις διὰ μαρτυρίας ἐντεῦθεν κομιζομένων καὶ τοὺς κατ' αὐτὰς ῥυθμίζοντας ἑαυτοὺς τὰς προσεύχας ἑαυτῶν, ἃς θυμιάμασιν εὐώδεσιν ἀπεικάζει τούτῳ καλλιερεῖσθαι, ὡς ἤδη εἴρηται.*

Ἐ*νώπιον τοῦ θρόνου.*

Ἐ*νώπιον τὸν* Χριστὸν *τοῦ θρόνου δηλαδὴ τῶν ὑπερτάτων ἁγίων δυνάμεων εἴρηκε.* Χερουβὶμ *λέγω καὶ* Σεραφίμ· *ὧν τὸ μὲν πλῆθος ἐξελληνιζόμενον, ἢ χῦμα γνώσεως καὶ σοφίας σημαίνει·* Σεραφὶμ *δὲ ἐμπυριστήν. θρόνου γὰρ τὴν ὑπερούσιον, ὡς ἤδη ἔφημεν φύσει καλεῖ. οὗ καὶ* Χριστὸν *αὐτὸν πῇ μὲν ἐκ μέσου βηματίζειν τοῦ θρόνου, τουτέστι τῆς παντοκρατορικῆς δόξης καὶ πατρικῆς, ἅτε κατ' οὐδὲν ἐλαττούμενος ταύτης. κοινὰ γὰρ πάντα ἀνυποστόλως τὰ θεοπρεπῆ ταῖς τρισὶν ἁγιαστικαῖς ὑποστάσεσι, πλὴν τοῦ τῆς ὑπάρξεως τρόπου· τῇδε ἐνώπιον τοῦ θρόνου οὐχ ἧττον καὶ τούτου δηλοῦντος, τοῦ ἐνώπιον λέγω, τὸ μηδὲν ἀπομερίσθαι τοῦ* Πατρὸς *τῶν εἰς γνῶσιν ἀναφερομένων· τὸ γὰρ ἐνώπιον τὸ φανερὸν σημαίνει, εἴπερ τὸ πάντα ἐνώπια τοῖς συνιοῦσιν ἱκανὸν εἰς τὸ σαφῆ σκοπὸς αὐτῷ διαδεῖξαι. διὸ καὶ τοῦ θρόνου ὡς τῆς θείας συμβόλου οὐσίας οὐ σχῆμα, οὐ σῶμα, οὐχ ὁμοίωμα δηλοῦσθαι, οὐκ ἐνταῦθα, οὐ παρά τινι τῶν θείων προφητῶν. ἐνώπιον*

[k] Om. quæ seq. Edd. usq. ad *τάξις*, p. 301, 5.

οὖν τοῦ θρόνου οὐ περιττόν. καὶ αἱ ὑπέρταται δυνάμεις διὰ τὴν χύσιν τῆς ἐν αὐτοῖς ἐμπύρου σοφίας καὶ ἀγάπης, καὶ τῆς ἀκραιφνοῦς φιλίας τε καὶ ἀγάπης, ὅπερ ἐμφαίνει ἡ ἑρμηνεία τῶν ὀνομάτων, ἡ τῶν Θεῷ πλησιαζούσων ὑπερτάτων ἁγίων δυνάμεων, ὡς εἰρήκαμεν, τάξις. τὰ δὲ θυμιάματα, αἱ προσευχαὶ τῶν ἁγίων, οἷς εὐκταῖον εἴ τι καὶ ἄλλο τῷ Θεῷ προσαχθείη, ἐν μοίρᾳ θυμιαμάτων ἡδυπνόων αὐτῷ λογισθῆναι, τοῦ μοχθηροῦ τούτου καὶ δυσώδους βίου τῷ πυρὶ τῆς εἰς αὐτὸν ἀγάπης ἐξατμισθέντος. τοσαύτη γὰρ ἡ περὶ τὸν Χριστὸν ἀγάπη τὸ ζέον εἶχε καὶ διάπυρον, ὡς πάντα ἡγήσασθαι τὰ τοῦ παρόντος αἰῶνος τερπνὰ, σκύβαλα, μόνον ἵνα Χριστῷ τῷ ποθουμένῳ ἀποδοθῶσι συνεῖναι. καπνὸν δὲ ἀναβῆναι ἀπὸ τῆς τῶν θυμιαμάτων ἐντυχίας, ὅτι καπνὸς ὀργῆς τεκμήριον, ὡς καὶ ἐν τῷ, "ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ." τοῦτο οὖν οὐ δι' ἄλλο [l] συμβῆναι ἐσχημάτισται, ἢ τοῦ δειχθῆναι χάριν καὶ φανερωθῆναι τὸ τῆς ἀγάπης διάπυρον τῶν ἁγίων τὸ περὶ τὸν Χριστὸν ὡς πῦρ [m], ἢ τὸν θυμὸν, ὡς καπνὸν, ὡς καὶ αὐτῶν τῆς αὐτῆς τοῖς Ἀγγέλοις [n] φύσεως λαχόντων, οὐ πρὸς ὁμοίαν δὲ τούτοις εὐαρέστησιν τοῦ πεποιηκότος κατεσπουδακότων.

Ἐκ χειρὸς τοῦ Ἀγγέλου.

Ὁρᾷς ὅτι παρὰ τοῦ Ἀγγέλου ὑπῆρξε τὸ εὐωδεστέρας τὰς εὐχὰς τῶν ἁγίων γενέσθαι, καὶ ἀξίας τοῦ προσκομίζεσθαι ἐνώπιον τοῦ Θεοῦ;

Καὶ εἴληφεν ὁ Ἄγγελος τὸν λιβανωτόν.

Τὸν λιβανωτὸν ὅτι θυμιατήριον βούλεται δηλοῦν, καὶ τὸ θυσιαστήριον τὸν Χριστὸν, καὶ τὸν καπνὸν τὸν θυμὸν, καὶ τὸ πῦρ τὸ ἀπὸ τοῦ θυσιαστηρίου, τὸ διάπυρον τὸ περὶ τὸν Θεὸν τῶν ἁγίων προεξετασθὲν, ἐχομένως παρατέθειται. τὸ δὲ ἐπὶ τὴν γῆν ἐκχεθῆναι πρὸ τοῦ διακονοῦντος τιμωρητικοῦ Ἀγγέλου, διὰ τοῦ θείου πυρὸς, ὅμοιον τῷ πάλαι τῷ Ἰεζεκιὴλ ἐφάνη ἐκ χειρὸς τῶν Χερουβὶμ, ληφθέντι [o] μὲν ἀπὸ τοῦ θυσιαστηρίου, δοθέντι [p] δὲ τοῖς Ἀγγέλοις τοῖς πεμφθεῖσιν εἰς τὴν τῶν δυσσεβῶν οἰκητόρων τιμωρίαν τῆς Ἱερουσαλήμ. τούτῳ [q] τῷ Ἀγγέλῳ, Ἀνδρέας ὁ τῆς κατ'

[l] οὐκ ἄλλως B. [m] περὶ θύμον καύσει κατὰ τῶν ἀσεβῶν τοῦ θείου B. [n] ἁγίοις B. [o] ληφθὲν B. [p] δοθὲν B. [q] τούτους B.

ἐμὲ[r] Καισαρείας τῆς Καππαδοκίας ἀξίως τὴν ἐφορείαν λαχὼν, ἕκαστον ἱεράρχην παρεικάζει[s]. ἀλλ' εἰ μὲν τοὺς κατ' ἐκεῖνο καιροῦ οὐκ ἔχω ἐρρεῖν· εἰ δὲ τοὺς καθ' ἡμᾶς, Ἀγγέλῳ μὲν τῷ ὄντι Σατανᾶν, τὸν καμηλὸν καταπίνουσι, τὸν δὲ κόνωπα διϋλίζουσι, κἂν εἰς αἰσχύνην ἑαυτῶν ἀφομοιοῦντας ἑαυτοὺς, τίς ἀντερεῖ σωφρονῶν;

Ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου.

Ἐκ τοῦ πυρὸς τούτου ἔβαλέν τις τῶν Ἀγγέλων ἐπὶ τὸ Σίναιον ὄρος, ἐπεὶ κακεῖ ἡ τοῦ Θεοῦ ἐπιφοίτησις, βρονταὶ καὶ ἀστραπαὶ καὶ σάλπιγγος ἀπήχησις μιᾶς, ὅτι καὶ ἔθνους ἑνὸς ἡ ἐπισκοπή. ἐνταῦθα δὲ αἱ σύστοιχοι τῷ ἀλλοιώτῳ κόσμῳ τούτῳ σάλπιγγες ἑπτὰ, ὡς παγκοσμίου ἐσομένης, ὑπὸ τοῦ ἐπιδημοῦντος κριτοῦ ἡ ἐξέτασις.

Ἅπαντα ταῦτα πρὸ τῆς συντελείας, τὴν συντέλειαν χαρακτηρίζοντα καὶ τὴν τοῦ Χριστοῦ παρουσίαν, συμβήσεται. ὥσπερ καὶ ἐπὶ τοῦ Σινᾶ ὄρους τὰ φόβητρα ταῦτα προωδοποίει τὴν τοῦ Θεοῦ ἐμφάνειαν. διατί δὲ ἐκεῖ μὲν σάλπιγξ μία, ἐνταῦθα δὲ ἑπτὰ, ἐν τῷ αὐτῷ ἐδαφίῳ προθεωρηθὲν παρατέθειται. βρονταὶ δὲ τὰ δείματα καὶ φωναὶ καὶ ἀστραπαὶ καὶ σεισμός. ἤτοι καὶ οὕτως προφανῶς. ἢ καὶ βροντὰς τὴν ἐπίγ**σιν ὀνομάζων, ὡς οὐκ ἄλλοθεν πόθεν αἱ συμφοραὶ κατείληφασι τὴν περίγειον κτίσιν. θανάτων ἀπροσδοκήτων λέγω, ἀφ' οὗ καὶ τὸ καταπεπλῆχθαι περιγίνεται τοῖς ζῶσιν, οἷαπερ καὶ ἐπὶ βροντῆς, ἢ καὶ τινῶν ἄλλων ἀνεννοήτων παθῶν σωματικῶν· δι' ἃ καὶ φωναὶ θρηνώδεις ἀναπέμφθειεν. ἀστραπὰς δὲ τὰς ἐν τοῖς θρήνοις μεταβολὰς ἐπὶ τὸ χρηστότερον ταῖς ἔλπισιν, οἷά τινι σέλατι τοῦ σκότους ἀπαλλάττονται τῆς ἀθυμίας, περιαυγάζουσας Θεοῦ προμηθείᾳ· καὶ τοῦτο ὡς ἂν μὴ τῇ περισσοτέρᾳ λύπῃ καταπωθεῖεν οἱ τῆς ὀρθῆς ἀντεχόμενοι πίστεως· οὐ γὰρ εἰς ἅπαξ ἐπανοίσει ὁ κόσμος τῶν ἐκλεκτῶν· διὸ καὶ αἱ ἡμέραι, κατὰ τὴν τοῦ Κυρίου προαγγελίαν, κολοβωθήσονται. σεισμοὺς δὲ τοὺς τὴν διάνοιαν νοητέον γεώδεις ἀλληγορίας καὶ τούτους ὑπερβάλλοντες τρόπῳ πτωμάτων οὐκ ὀρθωμάτων ἐπὶ τὸ κρεῖττον καὶ στάσεως παραιτίους. καὶ περὶ μὲν τούτων ταύτῃ θεωρητέον· ἑτοίμους δὲ τοὺς τιμωροὺς σαλπιγκτὰς ὑποτίθεται καί-

[r] κατ' ἐμὲ non est in B. [s] Quæ seq. om. Edd. ad fin. Cap.

τοι μακρόθυμον τὸ θεῖον καὶ οἰκτιρμονικὸν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ· τῷ μὴ ὑπολείπεσθαι ἔτι καιρὸν μεταγνώσεως, παρόσον ἡ τοῦ ἀλλοιωτοῦ κοσμοῦ τοῦδε σύστασις συντετέλεσται.

Τὰς σάλπιγγας δὲ αἷς οὗτοι χρώμενοι διατελοῦσι, τί ἂν αἰνίττεσθαι δοθείη ἢ νίκην τὴν τοῦ κραταιοῦ ἐν πολέμῳ Κυρίου, ὑφ' αἷς καὶ ἄνεισιν ἐν ἀλαλαγμῷ οἷον ἐπινικίῳ καταπαύσει. τοῦτο γὰρ ὁ ἀλαλαγμὸς, ὑποφωνούσης καὶ σάλπιγγος, ἧς κατὰ τὸ ἔτυμον[s] ἡ ὀνομασία, τί ἂν ἄλλο ἢ τὸ σέλας προθυμοποιὸν τοῖς ἐσκοτισμένοις τῷ τοῦ πολέμου φόβῳ **γάζειν[t].

ΚΕΦ. ΚΒ.

Περὶ τῶν ἑπτὰ Ἀγγέλων, ὧν τοῦ πρώτου σαλπίσαντος, χάλαζα, καὶ πῦρ, καὶ αἷμα ἐπὶ τῆς γῆς φέρεται.

7 Καὶ ὁ πρῶτος ἐσάλπισε. καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα ἐν αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν, καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη, καὶ πᾶς χλωρὸς χόρτος κατεκάη.

Διάφοροι οἱ ἀπὸ τῆς ἐκχύσεως τοῦ πυρὸς τοῦ θυσιαστηρίου αἱ τιμωρίαι. ἐπειδὴ καὶ τῶν φιλοθέων αἱ μοναὶ εἰς ἀνταπόδοσιν κείμεναι τούτοις, διάφοροι καὶ πολλαί. διὸ καὶ ὁ Κύριος φησὶ, "παρὰ τῷ Πατρί μου, μοναὶ πολλαί εἰσιν."

Καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα ἐν αἵματι.

Ὅτι μὴ κατὰ τὴν ἐσχάτην ἡμέραν τὴν εἰς κόλασιν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς αἱ τιμωρίαι αὗται τῆς χαλάζης καὶ τοῦ συγκράτου αἵματι πυρὸς, ἡ προκειμένη Ἀποκάλυψις ἀφορίζει, ἀλλὰ ταῖς θλίψεσι ταῖς πρὸ τῆς ἐσχάτης ἡμέρας, ὡς προείρηται, δῆλον. οὐ γὰρ τὸ τρίτον μέρος τῶν ἁμαρτωλῶν, ἀλλὰ τὸ πᾶν ὑποβληθείη ἀπαραιτήτως. τί γάρ φησιν ὁ θεῖος Εὐαγγελιστὴς περὶ τούτου; "καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ "δίκαιοι εἰς ζωὴν αἰώνιον."

[s] ἕτοιμον Cod. [t] ἐπαυγάζειν leg.

Καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη.

Ταῦτα, οἱ μὲν εἰς τὴν ἐσχάτην ἀφορίσαντες ἡμέραν, χόρτον καὶ δένδρα τοὺς ἁμαρτωλοὺς ἐνόησαν κατὰ τὸν θεῖον Ἀπόστολον Παῦλον, τὸν ἐν πυρὶ τὴν ἡμέραν ἀποκαλύπτεσθαι χρηματίζοντα. οἱ δὲ μὴ οὕτως, ἀλλ' εἰς τὴν πρὸ τῆς ἐσχάτης ἡμέρας θλίψιν, τὰς ἐκ Βαρβαρικῶν χειρῶν πυρπολήσεις τε καὶ σφαγὰς τοῖς πολλοῖς ἐπαγομένας ἔδειξαν[u]. ὑφ' ὧν καὶ ἤδη οὐκ ἔλαττον τοῦ τρίτου μέρους ἡ σύμπασα κατηνάλωται ὑπὸ τῶν αἰσθητῶν πολεμίων. οὐ σφαγαῖς μόνον ἀνθρώπων, ἀλλὰ καὶ καταπτώσεσι κτισμάτων τῶν ἐκ πυρός. περὶ δὲ τούτου δὲ καὶ ὁ μακάριος Ἰωὴλ ὁ προφήτης πρὸ τῆς μεγάλης ἡμέρας Κυρίου καὶ ἐπιφανοῦς, αἷμα καὶ πῦρ, εἰπὼν, καὶ ἀτμίδα καπνοῦ.

Καὶ πᾶς χόρτος χλωρὸς κατεκάη.

Χόρτον χλωρὸν κατὰ μὲν τοὺς εἰς τὴν ἐσχάτην ἡμέραν ἐξειληφότας τὰς ἐνταῦθα θλίψεις ἐμφερομένας εἰς τοὺς ἡμιμοχθήρους τακτέον. οἳ καὶ αὐτοὶ τῷ πυρὶ τῆς συνειδήσεως ἑαυτῶν ἐκτακήσονται, μάλιστα ὁρῶντες τοὺς ἐκ δικαίων πόνων καὶ ἐκ θελήματος ἑαυτῶν βοηθουμένους καὶ ἀναθάλλοντας.

ΚΕΦ. ΚΓ.

Περὶ τοῦ δευτέρου Ἀγγέλου, οὗ σαλπίσαντος, τῶν ἐν θαλάσσῃ ἐμψύχων ἀπώλεια γίνεται.

8 Καὶ ὁ δεύτερος Ἄγγελος ἐσάλπισε. καὶ ὡς ὄρος μέγα
καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν. καὶ ἐγένετο τὸ
9 τρίτον τῆς θαλάσσης αἷμα, καὶ ἀπέθανε τὸ τρίτον τῶν
κτισμάτων ἐν τῇ θαλάσσῃ τὰ ἔχοντα τὰς ψυχάς. καὶ
τὸ τρίτον τῶν πλοίων διεφθάρη.

[x]Ἐμοὶ δοκεῖν ὄρος μέγα ὑπουπηχήσει[y] τῆς σάλπιγγος· ἣν οἷον εἰς σέλας ἐμποιεῖν τοῖς ἀγωνιζομένοις, κατὰ τὸ ἔτυμον τοῦ ὀνόματος προειρήκαμεν, ὅτι σάλπιγξ ἀπὸ τοῦ σέλατος παρωνόμασται, ὃ τὸ φῶς σημαίνει· ἐμποιεῖ δὲ τὸ σέλας, τουτέστι τὸ

[u] Om. Edd. usq. ad fin. Cap. [x] His carent Edd. usq. ad σάλπιγγος ταῦτα. [y] Sic.

φῶς, προθυμοποιοῦσα τοὺς ἀγωνιζομένους· ὡς καὶ παρ' Ὁμήρῳ ὁ τῷ Τεύκρῳ εἰσηγούμενος βάλλειν οὕτως, εὐστόχως δηλαδὴ, ἐπιφέρει τὸ, "αἴκε φῶς ἑτάροισι γένοιο," τὴν προθυμοποιΐαν φῶς οὐ κατοκνήσας καλέσαι. καὶ περὶ μὲν τῆς σάλπιγγος ταῦτα.

Ὄρος μέγα, τὴν θείαν ὀργὴν ὑπεμφαίνει. κἂν γὰρ φιλάνθρωπον τὸ θεῖον, ἀλλὰ καὶ δίκαιον. ἀφ' οὗπερ ἔσθ' ὅτε καὶ κατολιγωρούμενον παρ' ἡμῶν τὴν δικαίαν ἀξίως αὐτοῦ ἐπιφέρει ὀργήν. καθὸ καὶ ὁ ψάλλων Δαβὶδ "κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν "δὸς αὐτοῖς" φησι· καίτοι καὶ αὐτὸς ἄνθρωπος καὶ τῆς αὐτῆς ἔμπλεος ῥαθυμίας, ἀλλὰ τὸ ἄγαν πλημμελὲς τῶν ἁμαρτανόντων ἐπὶ τοιαύτην διάθεσιν ἤνεγκαν αὐτὸν κατὰ τῶν ὁμοφύλων. καὶ οὕτως μὲν τὰ περὶ τοῦ ὄρους νοεῖν ὑπειλήφαμεν. ἡ δὲ πρὸς θάλασσαν αὐτοῦ ἐμβολὴ, τὸ ἀστάτως κυμαινόμενον τοῦ παρόντος βίου σύστημα, καὶ μᾶλλον θαλάσσης ταῖς περιστάσεσιν ἀγριαῖνον παραδηλοῖ. καὶ ἄλλοτε καὶ καθεκάστην ἔχον τὸ ἀστατεῖν, μάλιστα δὲ τῇ ἐπιδημίᾳ τοῦ Ἀντιχρίστου. οὕτως ταῖς τερατείαις ἀποπλανώσει, ὡς καὶ, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, καὶ τοὺς ἐκλεκτοὺς σκανδαλισθῆναι. τὸ δὲ τρίτον τῆς θαλάσσης, αἷμα γενέσθαι, τῶν διὰ μαρτυρίου τελειώσεως ἐρυθρωσάντων τὴν περίγειον κτίσιν. ἐπεὶ δὲ ὁ τρία ἀριθμὸς ἀρχὴ πλήθους ἐστὶν, ὡς ἡ ἀριθμητικὴ βούλεται μέθοδος, τὸ πλέον τῶν ἀπολλυμένων [u] οὐ τὸ πᾶν, ὡς καὶ πρὸ μικροῦ παρεθέμεθα, διὰ τοῦ τρίτου ἐδήλωσεν.

Καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.

Πλοῖα, τὰς τῶν ἁγίων ψυχὰς τροπικῶς ὀνομάζει. ἃ καὶ καταπαίζει τοὺς ἐν τῇ θαλάσσῃ Δράκοντας, ὡς ἐν τῷ ἑκατοστῷ τρίτῳ ψαλμῷ ἀλληγορικῶς τεθεώρηται. ἐνταῦθα δὲ μάλιστα οὕτως ἐκδέχεσθαι δεῖ σύμβολα πράγματος [x], οὐκ ἐνέργειαν τῆς προκειμένης Ἀποκαλύψεως παριστώσης. ἐπεὶ οὖν καὶ ἀπὸ τῶν τῆς σωτηρίας δραξαμένων [y] πλανηθῆναί τινας εἰκὸς, φόβῳ τοῦ μὴ τοῦτο παθεῖν ἄρδην, τῇ τοῦ τρίτου προαγγελίᾳ, τὴν παντοπάθειαν ἠσφαλίσατο.

[u] ἀπολωμένων B. [x] πραγμάτων B [y] δεξαμένων Edd.

ΚΕΦ. ΚΔ.

Ὁ τρίτος Ἄγγελος, τὰ τῶν ποταμῶν πικραίνει ὕδατα.

10 Καὶ ὁ τρίτος Ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ
οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπάς. καὶ ἔπεσεν
ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πηγὰς τῶν
11 ὑδάτων. καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος.
καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἀψίνθιον, καὶ
πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι
ἐπικράνθησαν.

[y]Τῇ σαλπίσει τοῦ τρίτου Ἀγγέλου, τὸν ἀστέρα φησὶ πεσεῖν[z] τὸν μέγαν ὡς λαμπάδα καιόμενον, τοῦτον δὲ ἐκεῖνον εἶναι οὗ τὴν πτῶσιν καὶ ὁ Ἀμὼς Ἡσαΐας ἐποικτιζόμενος ἐχρησμῴδει, ἐν οἷς ἔφασκε. "πῶς ἔπεσεν ὁ ἑωσφόρος ὁ τῷ πρωῒ ἀνατέλλων," τιθέμενος οὐκ ἔξω τοῦ εἰκότος πεσεῖται. πέπτωκε μὲν γὰρ κἂν τῇ ἐπιφανείᾳ τοῦ Κυρίου· περὶ οὗ καὶ αὐτὸς ὁ Κύριος φησὶ, "ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα·" τῆς ἀστραπῆς τῆς πτώσεως τὸ τέλος ἀπεσβέσθαι τὴν πρὸ τούτου λαμπρότητα αὐτοῦ ὑποφαινούσης, ὑφ' ἣν τοῦ εἰδωλικοῦ καιροῦ πλάνη ἀπηύγαζεν. εἰ γὰρ καὶ "μεχρὶ τοῦ νῦν ἐν τοῖς υἱοῖς "ἐνεργεῖ ἀπειθείας" κατὰ Παῦλον εἰπεῖν, ἀλλ' οὐ τοσοῦτον ὅσον πρὸ τῆς τοῦ Κυρίου παρουσίας· ἀλλὰ καὶ ἀπὸ τῆς θείας ἐπιφανείας ἡ διὰ Μωυσέως θεία ἐπισκοπὴ, οὐδ' ὅσον ἐστὶν εἰπεῖν ἄρα, τὸν διάβολον λέγω, τοῦ κράτους ἐσύλησεν, οὗ ὑποθήκῃ τέκνα πατέρες ἐνάγιζον. εἰ δὲ καὶ μετὰ * * * * * * * * * * * λὰ, πρῶτον μὲν οὐ πρὸς τοσοῦτον ἐξαιρόμενα κακίας ὕψος, οὐδὲ πρὸς * * * * * ότητα ἐνεργούμενα. ὅλως δὲ ἐαθῆναι κἂν ποσῶς εἰς γυμνάσιον ἀρετῆς τῶν μέχρι τῆς συντελείας τοῦ ἀλλοιωτοῦ τοῦδε καὶ πολυπερισπάστου τοῦδε βίου. κατὰ μέντοι τὴν πρὸς ἀνθρώπους ἀπατηλὴν διὰ σαρκὸς αὐτοῦ παρουσίαν, καὶ μείζονα τῆς παραχωρηθείσης αὐτῷ χρήσασθαι ἐξουσίας, ἐξ ἀναιδείας δηλαδὴ καὶ ἀπονοίας· καὶ τοῦ τὴν ἀπάτην ὡς οὐκ ἀπάτη ἀλλὰ ἀληθεία ἐμπε-

[y] Hujus Sch. longe majorem part. om. Edd. [z] πεσεῖσθαι B.

δώσεται· ἀφ' οὗ καὶ ὡς ἀστὴρ τῷ ὁρῶντι ὀπτάνεται· εἰ καὶ ὡς λαμπὰς καιόμενος· τὸ ἤδη ἐκλιμπάνον τῆς δόξης αὐτοῦ κλέος διὰ τῆς λαμπάδος παριστάμενον, ὃ καὶ τῇ λαμπάδι ἐπακολουθεῖ δαπανωμένης ὑπὸ τοῦ τὸ φωτίζειν αὐτῇ παρεχομένου. οὕτως γὰρ καὶ τῷ πλάνῳ Ἀντιχρίστῳ συμβαίη τῇ δευτέρᾳ τοῦ Κυρίου παρουσίᾳ, ἐκλελοιπυίας αὐτῷ τῆς ἀπατηλῆς δόξης εἰς ἅπαν, τῷ αἰωνίῳ δὲ πυρὶ παραδοθέντι. ποταμοὺς δὲ τὰ ἔθνη τροπικῶς, εἴγε ἱκανὸς καὶ τοῦτο ὁ Ἀμὼς Ἡσαΐας πιστώσασθαι, ἀφ' ὧν πρὸς τὸν βασιλέα τῶν Ἑβραίων συμβάσεις καὶ ὁμαιχμίας ποιούμενον πρὸς τὸν Συρίας βασιλέα ἐλεγκτικῶς φασι· "τί πέποιθας ἐπὶ "τὸ ὕδωρ τοῦ Σιλωὰμ, ὅτι μέγαν οὐχ ὑποσταίη ποταμόν;" τὸν βασιλέα φάσκων τῶν Ἀσσυρίων. ἡ πτῶσις δὲ τούτου, τὴν ἐπὶ τοῖς ὑπ' αὐτοῦ πλανησομένοις παραδηλοῖ ἐπιφορὰν, μεθ' ὧν τῷ γεέννης παραδοθείη πυρὶ εἰς καῦσιν αἰώνιον καὶ ἀτελεύτητον.

Καιόμενος ὡς λαμπάς.

[a] *Τὸ καίεσθαι τὸ ὄρος τὸν δραστικὸν τοῦ Θεοῦ θυμὸν τὸν ἐπὶ τοῖς ἀνενδοιάστως ἁμαρτάνουσιν ὑπογράφειν, καὶ Δαβὶδ, διὰ τοῦ, "δράξασθε παιδείας πρὸς ἐξιλέωσιν," ἐπάδει· ὡς οὕτως ἡ τοῦ Θεοῦ ἄκρα * * ὀργὴ καὶ οὐκ ἄλλως πεφυκυία μαραίνεσθαι ἢ θᾶττον ἐκκαίεσθαι ἐπὶ τοὺς ἁμαρτάνοντας παρὰ προσδοκίαν ἐπιβρεχομένη. πηγὰς δὲ, τὰς τούτων φατρίας.*

Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος.

Πικρὸν μὲν τὸ ἀψίνθιον ἡ βοτάνη. ὀξυωπίαν δὲ αὐτὴν παρέχειν τοῖς ἐσθίουσιν ἰατρῶν παῖδες διδάσκουσιν. ἐπιτευκτικῶς οὖν καὶ τὸν παντολμίαν ἀστέρα ἄγαν ἀψίνθιον ἐκάλεσε. πικρίαν γὰρ δι' ἡδονῆς ποτίζων τοὺς ἀνθρώπους καὶ ἀνατροπὴν θολερὰν, καὶ διὰ τοῦτο συγχωρούμενος, τὰς τιμωρητικὰς αὐτοῖς ἐπάγει ἐνταῦθα μάστιγας, ὡς ἂν οἱ δυνάμενοι διαβλέψαι, δι' ὑπομονῆς καὶ καρτερίας κατὰ τὸ "ἐν θλίψεσι ἐπλάτυνάς μοι" ψαλμικὸν χαριστήριον πρὸς τὸν συμφερόντως[b] *παραχωροῦντα ταῖς θλίψεσι δοκιμάζεσθαι. ὃ καὶ τοῖς νοσερῶς διακειμένοις, ἢ πρὸς τὰς τομὰς τῶν ἰατρῶν καρτεροῦσι τὴν ὑγίειαν τούτοις μνηστεύεται. οἱ οὕτως οὖν ὀξυωπεῖν ἔχοντες τῇ ἀδοξίᾳ τῶν θλίψεων, διὰ ἀδοξίας καὶ δυσφη-*

[a] Hoc Sch. carent Edd. [b] *συμφέρον τῷ* Cod.

μίας ἐκ τῶν δοκούντων ζημιωδῶν μᾶλλον ἐκέρδαινον δόξαν καὶ εὐφημίαν, καὶ ἐπὶ τούτῳ τὴν αἰώνιον βασιλείαν, δι' ἣν καὶ ὑπὸ τοῦ ἀγωνοθέτου δοκιμασθῆναι παρεχωρήθησαν.

Καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἀψίνθιον.

Τοῦ πειραστοῦ τῆς διαθέσεως μεταλαμβάνει καὶ τὰ περιστατούμενά τε καὶ πειραζόμενα. μεταλαμβάνει δὲ, οὐ κατὰ τὸ πικραίνειν, ἀλλὰ τοῦ διὰ τῆς πικρίας τὸ ὀπτικὸν ῥωννύντος ἑαυτοῖς σωτηρίως. [a] διὸ καὶ Παῦλος τὴν "ἀκαταίσχυντον "ἐλπίδα" διὰ τῆς ὑπομονῆς οἶδεν τῆς θλίψεως. πρῶτον μὲν τὸ δοκίμιον καρπουμένην, εἶτα δὲ πρὸς τὴν ἀκαταίσχυντον ἀποτελευτῶσαν ἐλπίδα. καὶ ἐπειδὴ οὐ πᾶσι τοῖς μεταλαβοῦσι τοῦ ἀψινθίου σωτήριος ἡ μετάληψις, ἀλλ' ἐστὶν οἷς καὶ * * * * * τοῖς ἀνθρωπίνοις ἐνεσχημένοι * * * * * φερόμενα κερδαλέα [b], ὅτι μηδὲ κατ' ἶσον ἅπασι διεγρήγορε τὸ συνιέναι· διὸ καὶ Παῦλος "Χριστοῦ εὐωδίαν" ἑαυτὸν εἶναι αὐχῶν ἀνυποστόλως τοῖς σωζομένοις γὰρ καὶ τοῖς ἀπολλυμένοις ἐπάγει, "οἷς μὲν ἐκ ζωῆς εἰς "ζωὴν, οἷς δὲ ἐκ θανάτου εἰς θάνατον."

Πολλοὶ ἀπέθανον ἐκ τῶν ὑδάτων.

Ἀπέθανον οἱ ἀνθρωπίνως ταῖς θλίψεσι προσανέχοντες τῇ πικρίᾳ τοῦ ἀψινθίου, ἔζησαν δὲ οἱ διὰ τῆς πικρίας τὸ ὀπτικὸν ἀναλαβόντες. τίνες δὲ οὗτοι; οἱ ἀνθρωπίνως ταῖς θλίψεσι προσανέχοντες, τῇ πικρίᾳ τοῦ ἀψινθίου.

ΚΕΦ. ΚΕ.

Ὁ τέταρτος Ἄγγελος τὸ τρίτον τοῦ ἡλιακοῦ καὶ σεληνιακοῦ φωτὸς σκοτίζει.

12 Καὶ ὁ τέταρτος Ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ
τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ
τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ
ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως.
13 καὶ εἶδον καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου ἐν μεσου-
ρανήματι, λέγοντος φωνῇ μεγάλῃ, οὐαὶ, οὐαὶ, οὐαὶ τοῖς

[a] Hinc om. Edd. usq. ad fin. Sch. [b] Cod. κερδαλαῖα.

κατοικοῦσιν ἐπὶ τῆς γῆς. ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν Ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

[c]Τὰ συμβησόμενα τῇ τοῦ δ´ σαλπιγτοῦ Ἀγγέλου ἀπηχήσει, ὡς καὶ προλαβόντες παρεθέμεθα, σύμφωνα οὐ μόνον τῷ Ἰωὴλ κατὰ τὴν μεγάλην ἡμέραν Κυρίου καὶ ἐπιφανῆ, ἀλλὰ καὶ τοῖς ὑπὸ τοῦ Κυρίου καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ παρὰ τῷ Ματθαίῳ ἐξηγγελμένοις εὐθέως φάσκοντος "μετὰ τὴν θλίψιν τῶν ἡμερῶν "ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγ-"γος αὐτῆς." ἀλλὰ καὶ Πέτρος ἐν τῇ δευτέρᾳ αὐτοῦ Ἐπιστολῇ τὰ αὐτὰ διαγορεύει δι᾽ ὧν λέγει, "ἥξει ἡ ἡμέρα Κυρίου ὡς κλέπτης·" κλέπτῃ ἀπεικάζων τὴν ἀπροσδόκητον ἔφοδον. οὐ γὰρ ἀνθρώπων εἰδέναι χρόνους ἢ καιροὺς οὓ τῷ Πατρὶ μόνῳ ἀπεθησαυρίσθησαν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, εἰς γνῶσιν. "ἐν τῇ ἡμέρᾳ δὲ ἐκείνῃ," τὸ ἀκόλουθον εἰπεῖν τῆς Πέτρου Ἐπιστολῆς· "οὐρανὸς μὲν ῥοιζηδὸν" οἱονεὶ ἠχητικῶς, διὰ τὴν σύμπτωσιν τῆς τοιαύτης παρελεύσεως τελουμένης. "στοιχεῖα δὲ καυσούμενα λυθήσεται." ἡ γὰρ ἡμέρα, ὡς Παύλῳ δοκεῖ, ἐν πυρὶ ἀποκαλύπτεται. ταῦτα πάντα διὰ τῆς προκειμένης Ἀποκαλύψεως ἔσεσθαι δηλοῦται κατὰ τὴν τοῦ παρόντος αἰῶνος συντέλειαν. τὸ τρίτον δὲ τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, οὐ τὸ πᾶν πληγῆναι φησὶν, ὡς διὰ φιλανθρωπίαν ἄφατον τοῦ Θεοῦ οὐ πάσης μαστιγουμένης τῆς κτίσεως. τινὲς γὰρ ἂν καὶ οἱ τοῖς κακοῖς τούτοις εἰσὶν ἐπιστροφὴν ἀποκλίνοντες· δι᾽ οὓς καὶ ὡς πρωτολεῖον[d] ταῦτα τῆς τοῦ Κυρίου δευτέρας παρουσίας ὁδοποιεῖται. ἢ οὖν τὸ τρίτον εἰς παράστασιν τοῦ ἐν ὀλίγῳ καιρῷ τοῦ ἡμερινοῦ καὶ νυκτερινοῦ καταστήματος τὰ μέγαλα ταῦτα καὶ ἀκουσθῆναι συντελεσθείη φρικτὰ, ἢ καὶ τὸ τρίτον εἰς ἔμφασιν τῆς ὑπεραγίας Τριάδος, ἥτις δι᾽ ὑπερβολὴν τῆς τοῦ ὑπ᾽ αὐτῆς ὑποκειμένου κόσμου χρηστότητα, οὐ παντελῆ τοῖς ἀξίοις τὴν τιμωρίαν, ἀλλ᾽ ἰσαριθμῶς ἑαυτῇ ἐπιφέρει.

Σκόπει ὡς τὸ τρίτον εἰπὼν τῆς ἀστρῴας διακοσμήσεως, οὐκ αὐτοὺς εἶπε σκοτισθῆναι, ἀλλὰ τὸ ὑπ᾽ αὐτῶν καταλαμπόμενον, ὃ ἡ περίγειος κτίσις ἐστίν. διὸ καὶ ἐπιφέρει, καὶ τὸ τρίτον αὐτῆς

[c] Hoc Sch. carent Edd. [d] Cod. πρωτολῖον.

μὴ φανῇ, τουτέστιν, ἵνα μὴ τῇ οὐρανίῳ διακοσμήσει καταλαμφθῇ τὸ περίγειον, ἀφ᾽ ὧν τὸ ἡμερινόν τε καὶ νυκτερινὸν ἀποτελεῖται κατάστημα.

Καὶ εἶδον καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου.

Τίς ἡ τοῦ ἀετοῦ ἐνταῦθα πτῆσις; τῶν τέως ὑποβληθέντων Ἀγγέλων τὰς τιμωρίας διακονεῖν παρεωραμένων, οἶμαι, διὰ τὸ ἀπειθὲς καὶ ἀσωφρόνιστον τῶν δι᾽ ἔλεος μετρίως καὶ πρὸς ἐπιστροφὴν ταῖς τιμωρίαις ὑποβαλλομένων μὲν, ἑαυτῶν δὲ εἰς[d] βέλτιον οὐδαμῶς ἐπιφροντισαμένων[e]· τούτοις οὖν τοῖς ἀμετανοήτοις[f] τῆς θείας ὀργῆς εἰς δήλωσιν πέτεται καὶ κράζει ὁ ἀετὸς[g], ὡς ἂν τῷ φόβῳ ταύτης, τῆς ἑαυτῶν γένωνται σωτηρίας. ὁ περὶ τῷ θρόνῳ ἀποτεταγμένος τῷ θείῳ ἀετὸς[h], ὡς Ἰεζηκιὴλ ἐνέφηνεν, ἐκ μεσουρανήματος τὸ οὐαὶ τριπλασιάζων. ἐκ μεσουρανήματος μὲν, ὅτι μηδὲ πέραν τούτου ἄτερ τοῦ θρόνου χωρεῖν καὶ ἐπόχου τούτου οἷοί τε εἰσίν[i]. ἀετὸς δὲ, τῶν τετραμόρφων, καὶ οὐκ ἄλλο[j] τῶν περὶ τὸν θρόνον δηλωθέντων, ἅτε τούτων οὐδενὸς τὸ ἵπτασθαι. ἐξ οὗ καὶ τὸ μεσουράνημα καταλαβεῖν ἦν εὐπετῶς, καὶ ἅμα ὡς ἔχον[k] τῇ ὀξυωπίᾳ, (ὃ σύμφυτον ἀετοῖς,) τὸ ἀλάθητον περισταίη[l] τοῖς κατηκόοις τὰ ἐφ᾽ οἷς ἐκβοᾷ. τριπλασιάζεται δὲ τὸ οὐαὶ, οὐ μόνον εἰς ὀδυρμοῦ γνῶσιν περιουσίας, ἀλλ᾽ ἵνα καὶ τὴν ἀγανάκτησιν τοῦ τρισαγίου ὑπογράψῃ, συμπαθείᾳ τε τῶν οὐρανίων πρὸς ἡμᾶς, δι᾽ ἣν μάλιστα καὶ τὸ οὐαὶ τούτοις τριπλασιάζεται, τῆς ὑπερβαλλούσης ἐμφάσεως[m] τῆς ὑπὲρ ἡμῶν θρηνῳδίας συνδούλων αὐτοῖς ὄντων. διὸ καὶ τὸ ἀλγύνεσθαι αὐτοὺς[n], εἰς περιουσίαν ὑπῆρξεν[o]. καὶ δῆγε καὶ ὡς τῆς νοερᾶς καὶ Θεῷ φύσεως ἐγγιζούσης ἐκ τούτου καὶ τὴν φιλανθρωπίαν ἐκματτομένοις πλέον δὲ ὅτι καὶ αὐτοὺς λαβόντας τὸ νοερὸν διὰ τῆς λογικῆς ψυχῆς, οὐχ ὁμοίως τοῖς ὁμογενέσι τὸ * ἴτευμα ἑαυτῶν μετεκρούσαντο ἐν οὐρανοῖς, ἀλλὰ τοῖς ἀνοήτοις κτήνεσι παραβληθέντας ἐν τῷ τὴν γῆν οἰκεῖν, καὶ τὰ γήϊνα φρονεῖν εἰς ἀεί.

[d] τοῦ ἑαυτῶν δὲ βελτ. B. [e] οὐδαμῶς γε φροντισμένου. [f] ἀμετανοήτοις om. B. [g] πετ. καὶ κρ. ὁ ἀετ. om. B. [h] ὁ περὶ τ. θρόνῳ usque ad ἐνέφηνεν om. Edd. [i] οἷόν τε B. om. εἰσὶν. [j] ἄλλως B. [k] ἔχοντος B. [l] παρασταίη B. [m] εἰς ὑπερβάλλουσαν ἔμφασιν B. [n] αὐτοῖς B. [o] Hinc ad fin. Sch. om. Edd.

Ἐκ τῶν λοιπῶν φωνῶν.

Πόθεν τὸ οὐαὶ διεσάφησεν ὁ ἀετός; ἀπὸ τῆς φωνῆς φήσας τῆς σάλπιγγος. οὐχ ὅτι αὐτὴ ἡ φωνὴ δημιουργὸς τῶν μελλόντων κακῶν ἐπέρχεσθαι, ἀλλ' ἐπεὶ μὴ τῷ σαλπισμῷ τῶν προηχησάντων Ἀγγέλων πρὸς μετάνοιαν ἀπεῖδον, τί ἂν ὑπολείπεται ἄλλο, ἢ τὸ πάλιν τῇ σάλπιγγι ὡς ἐξ ὕπνου διαναστῆναι πρὸς τὴν τῶν σωτηρίων αὐτοῖς ἐργασίαν; [p]καὶ ἐπειδὴ τοῦτο τοῖς ἐπὶ γῆς κατοικοῦσιν ἀμήχανον, οἷς καὶ ὁ προφήτης Ἡσαΐας τὴν πτῶσιν ὡς ἀναπόβλητόν τε καὶ ἄφυκτον προεθέσπισεν, ὅμως εἰς πλείονα ἔμφασιν ἀναλγησίας, διὸ καὶ τιμωρίας τὰ μέλλοντα κακὰ καταλήψεσθαι αὐτοὺς προσαλπίζεται εἰς ἀναπολόγητον τῶν ταῖς μάστιξιν ὑποβαλλομένων.

Τῶν τριῶν Ἀγγέλων μελλόντων σαλπίζειν.

Οἱ τρεῖς Ἄγγελοι ἀπὸ τῶν ἑπτὰ ὑπελείφθησαν· τοῦ τετάρτου γὰρ σαλπίσαντος, οἱ ἑξῆς τρεῖς πρὸς ἀναπλήρωσιν τοῦ ἑπτὰ ὑστεροῦσιν.

ΚΕΦ. ΚΗ.

Περὶ τοῦ πέμπτου Ἀγγέλου, καὶ τῶν ἐκ γῆς ἀβύσσου ἀνερχομένων νοητῶν ἀκρίδων, καὶ τοῦ ποικίλου τῆς μορφῆς αὐτῶν.

1 Καὶ ὁ πέμπτος Ἄγγελος ἐσάλπισε. καὶ εἶδον ἀστέρα
ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ
2 ἡ κλεῖς τοῦ φρέατος τῆς ἀβύσσου, καὶ ἀνέβη καπνὸς
ἐκ τοῦ φρέατος, ὡς καπνὸς καμίνου καιομένης, καὶ
ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέ-
3 ατος. καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν,
καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορ-
πίοι τῆς γῆς.

Καὶ ὁ πέμπτος Ἄγγελος ἐσάλπισε.

[q]Τὰ πρὸ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ὑπὸ τῇ πλανώδει τοῦ Ἀντιχριστοῦ ἐπιδημίᾳ τερατευθέντα προδιαγράψας, ἐντεῦθεν

[p] Hinc usq. ad fin. Cap. suppl. e Cod. B. [q] Hoc Sch. usque ad αἰτήσεις παρέχουσαι solus habet B.

λοιπὸν τὰ κατ' αὐτὴν τὴν ἀληθῆ συμβησόμενα τὴν τοῦ ἀληθινοῦ Σωτῆρος ἐπέλευσιν πρὸς σωφρονισμὸν τῶν ἀκουσομένων χρηματίζεται, ἃ καὶ γραφὴ παρατίθεται πρὸς ἐπιστροφὴν τοῦ μὴ ταῦτα παθεῖν τοὺς τούτων ἀκουσομένους, ἅτε φιλίως πρὸς τὸ ὁμογενὲς διακείμενος, ὅτι μαθήτης ἂν ἐκείνου τοῦ μὴ θέλοντος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ἀλλὰ τὴν ἐπιστροφήν. ὁ πέμπτος δὲ οὗτος Ἄγγελος, ὁ ἀπὸ τῶν ἑπτὰ καταλειφθεὶς σαλπιγκτῶν ἐστιν. ἀστέρι δὲ αὐτὸν παραβάλλει διὰ τὴν λαμπρότητα τῶν ὑπερκοσμίων λειτουργῶν· ἐπὶ γῆν δὲ καταβάντα, τοῦτο γὰρ τὸ πεπτωκέναι σημαίνει, εἰ μήτι χάριν ἀκριβολογίας τὴν πτῶσιν διὰ τὸ τιμωρητικὸν αὐτοῦ τῆς τιμωρίας ὑπολάβοι· ἡ κλεὶς δὲ τοῦ φρέατος ἡ δοθεῖσα αὐτῷ, τὸ ὑπὸ ἀσφάλειαν ἀνέκφυκτον εἶναι τοὺς κατοιχομένους, μάλιστα εἰ ἁμαρτωλοὶ εἶεν· οὐχ ὥσπερ αἱ τῶν ἁγίων, αἱ τοῖς ἐπικαλουμένοις ἀχρόνῳ τάχει ἐπιφοιτῶσι ψυχαὶ τὰς σωτηρίους αἰτήσεις παρέχουσαι. φρέαρ δὲ, τὸ ἐν γῇ. οὐ γὰρ ἄλλως τὸ ἀναπόδραστον ἢ διὰ φρέατος δηλωθείη. ἄβυσσος δὲ καὶ ἐν γῇ. ἐπὶ γῆς γὰρ ἡ τιμωρία καὶ ἐν ἀβύσσῳ φρέατι. ἀβύσσον γὰρ πολυβαθὲς καλοῦσι, τοῦ ἄλφα στοιχείου, ἢ κατὰ στέρησιν τοῦ βεβύσθαι τὸ ἀειχανὲς ὑποβαλλομένου, ἢ κατὰ ἐπίτασιν τὸ πολυβαθὲς παριστάνοντος. πόσον οὖν καὶ εἴη τὴν εὐρυχωρίαν μετρούμενον· ὃ τοὺς ἀπ' αἰῶνος κατὰ Κυρίου τραχηλιάσαντας περιείρξε *. ὅτι δὲ ἐν γῇ ἡ κρίσις, τῶν ἁγίων τις προφητῶν διὰ τῆς κοιλάδος ᾐνίξατο τοῦ Ἰωσαφὰτ, ἐν ᾗ καθεδεῖσθαι τὸν Θεὸν εἰς κρίσιν ἐχρησμοδότησεν, τῷ [m] πολλοὺς ἐκεῖ πολέμους συμπεσεῖν [n] καὶ συγχωσθῆναι. καπνὸν δὲ ἀναδοθῆναι ἀπὸ τοῦ φρέατος, τῆς τῶν ἐκεῖ περιειργμένων ἀσεβῶν μνήμης τε καὶ ἐκφάνσεως ὀργιλότητα παραστησάσης, καὶ τοσαύτην, ὅσην εἰκὸς καὶ ἀπὸ καμίνου [o] ἀναδίδοσθαι. καὶ ὥσπερ ἐκεῖνος ὁ καπνὸς ἀχλύϊ καὶ σκότῳ τὸ περιέχον ἀναμπιμπλῶν, τὸ ἡλιακὸν φῶς ἀμαυροῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν ἀσεβῶν μνήμη ἀνακαινισθεῖσα [p], πᾶν, εἴτι συμπαθείας φῶς, ἐσβέσθαι ἐνεποίησε [q] τῷ μεγαλείῳ τῶν τολμηθέντων αὐτοῖς.

[m] τὸ B. [n] συμπτώσει τεθᾶναι. [o] ἀπ. καμ. ἀε*ου (fors. ἀεννάου.) B.
[p] ἀνακινηθεῖσα B. [q] ἐποίησε B.

Καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες.

Ἡ μνήμη τῶν ἀκρίδων, ὑποσημαίνειν ἕνεκεν ἀπηνεστέραν τὴν μνήμην τῆς τῶν ἁμαρτωλῶν ἐν τῇ προσκαίρῳ αὐτοῦ ζωῇ ἐκτοπωτάτης διαγωγῆς. διὸ καὶ ἐκ τοῦ καπνοῦ τὴν γένεσίν φησιν ἐσχηκέναι. ἐπείπερ καὶ τῶν αἰσθητῶν ἀκρίδων ἡ γένεσις ἐκ φθοροποιοῦ περιέχοντος λαμβάνει τὴν ἀφορμήν. ἀλλὰ καὶ τὸ ἀκρίδες ὄνομα, οὐκ ἔξω τοῦ κατ' ἄκρας τὰς τιμωρίας ἐπαχθῆναι πρὸς δήλωσιν παρελήφθη. ὅσον γὰρ τὸ ἀκόλαστον τῶν ἁμαρτησάντων τῇ μνήμῃ παρίσταται, τοσοῦτον καὶ ἡ ὀργὴ τοῦ λαχόντος κρίνειν ἐξάπτεται μυσσούσης ἀεὶ τῇ παρουσίᾳ τοῦ τὴν ἀγανάκτησιν ἀναφλέγοντος. δεδόσθαι δὲ ἐξουσίαν ὡς ἐπὶ ἐμψύχων αὐταῖς διεσκευάσθη[r] τῇ προσωποποιΐᾳ, τῷ ἀνυποστόλως καὶ ἀπαρεμποδίστως[s] τὰς τιμωρίας ἀνύεσθαι. ἀλλ' ἵνα μή τις τὰ τῶν ἀκρίδων δήγματα εἰδὼς οὐ τοσαύτην ὀδύνην παρέχοντα, φορητὴν ὑπολάβοι τὴν ἀλγηδόνα, τὸ τῶν σκορπίων ἐπιφέρει ὑπόδειγμα, ἀλγεινοτέραν τὴν αἴσθησιν τῇ τοῦ κέντρου ἐγχρίμψει παρεχόντων. διὸ καὶ ἐῤῥέθη οὐ τοῖς σκορπίοις ἀλλὰ ταῖς ἀκρίσι, τῇ προσωποποιΐᾳ ἐπιμένων κἀνταῦθα[t], ἵνα μὴ ἀδικήσωσιν οὐ τοὺς ἀνθρώπους, ἀλλὰ τὰ ἀπὸ γῆς φυόμενα. [u]καὶ τινὸς χάριν ἑξῆς**** ἔχουσιν ἐξουσίαν κατὰ τὴν δοθεῖσαν δηλονότι, οὐ τοῖς σκορπίοις γὰρ ἐδόθη ἀλλὰ ταῖς ἀκρίσι· καὶ τίνος ἐξουσιάζειν τὰς ἀκρίδας; τῆς γῆς· οἱ σκορπίοι δὲ παρελείφθησαν οὐ μόνον εἰς ἔμφασιν τοῦ δραστικώτεραν τῆς τῶν ἀκρίδων δήξεως τὴν αἴσθησιν τὸ τύμμα τοῦ σκορπίου ἐμποιεῖν, ἀλλ' ὅτι καὶ τῷ οὐραίῳ πλήττων ὁ σκορπίος τὴν εἰς ὕστερον ἀποκειμένην αἰνίττεται τοῖς κακοποιοῖς ἐπωδύνην ἄλγησιν. εἰ δὲ μὴ σαφῶς οὕτως ὁ τῆς Ἀποκαλύψεως λόγος διέξεισι, προείρηται πολλάκις ὡς ἐπ' ἔλαττον τῆς εὐρημοσύνης ἡ Θεοῦ Ἐκκλησία πεφρόντικε τῆς ψυχικῆς σωτηρίας· διὸ καὶ Παῦλος ὁ θεῖος φησὶν, "ἔχομεν τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι." θησαυρὸν, ἐν ᾧ ὁ πλοῦτος τῆς τοῦ Χριστοῦ ἀπόκειται συγκαταβάσεως σοφίας· ἡ σοφία οὐ ῥητορικαῖς περιειργεται φληναφίαις, ἀλλὰ παιδευτικῶν συνθέσεων ἐξηγήσει· καὶ δῆλον τοῦτο ἀπ' αὐτῆς τῆς προκειμένης χρήσεως·

[r] διεσκεύασται B. [s] ἀπαραποδίστως B. [t] κἀνταῦθα om. B.
[u] Seq. om. Edd. usque ad ληφθείη.

δεὸν γὰρ εἰπεῖν, ἔχομεν τὸν θησαυρὸν τοῦτον δι' ὀστρακίνων σκευῶν συγκροτούμενον· οὐχ οὕτως δὲ εἴρηκεν, ἀλλ' "ἐν ὀστρακίνοις "σκεύεσι." οὕτω γὰρ ὁ εἷς θησαυρὸς εἰς πολλοὺς ληφθείη. τινὲς δὲ τῶν πατέρων τὰς ἀκρίδας εἰς σκώληκας μετέλαβον, ἵνα ᾖ σύμφωνος αὕτη ἡ ἔκληψις τῆς τοῦ Ἡσαΐου ἀποφάνσεως, ὅτι "ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει."

4 Καὶ ἐῤῥέθη αὐταῖς ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς
γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον. εἰ μὴ τοὺς
ἀνθρώπους οἵ τινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ Θεοῦ
5 ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἐδόθη αὐταῖς ἵνα μὴ
ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας
πέντε. καὶ ὁ βασανισμὸς αὐτῶν, ὡς βασανισμὸς σκορ-
6 πίου, ὅταν παίσῃ ἄνθρωπον. καὶ ἐν ταῖς ἡμέραις ἐκεί-
ναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ
εὑρήσουσιν αὐτόν. καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ
φεύξεται ἀπ' αὐτῶν ὁ θάνατος.

Εἰ μὲν κατὰ τὴν προειρημένην ἀλληγορικὴν ἔκληψιν θέλει τις στοιχεῖν, τὰ συμβολικῶς ἅτε θεῖα καὶ μυστικῶς ἐκφερόμενα, χόρτον τῆς γῆς καὶ χλοερὰν ἔκφυσιν, καὶ πᾶν δένδρον, εἰς τοὺς ἀχυρώδεις ἀνθρώπους, καὶ ἅτε δένδρα, ἀλογίᾳ ἀποδενδρωθέντας, οἱονεὶ εἰς δενδρώδη τινὰ ἠλιθιότητα[u] προβάντας, θετέον. οὓς ἡ φιλάνθρωπος θειότης φειδοῦς ἀξίους θεμένη, οὐ τὴν αὐτὴν αὐτοὺς τιμωρίαν ὑπέχειν τοῖς ἐκ προνοίας καὶ σκέψεως κακούργοις τῷ ἐσφραγίσθαι[x], ταύτην ἀπωσαμένους, ἐντέλλεται. εἰ δὲ ἐπ' αὐτοῦ τοῦ γράμματος τῷ νοεῖν ἀπασχοληθείη, καὶ χόρτον τῷ ὄντι καὶ δένδρα τῷ χρηματισμῷ ἐκφερόμενα οἰηθείη, τὸν Δαβὶδ ἔχων συνίστορα, "ἀνακαινιεῖς," φάσκοντα "τὸ πρόσωπον τῆς γῆς," ὑπέσχεν ἄν τις τὴν ὑπακοὴν, εἰ μὴ τὸν ἀνακαινισμὸν εἰς κατάλληλον τῷ ἀνακαινισμῷ τῆς κτίσεως ζωὴν ὑπελάμβανεν. εἰ μὲν οὖν καὶ κτήνη τῷ ἀνακαινισμῷ ἐνθεωρηθῆναι χρὴ[y], εὖ ἂν ἔχοι καὶ χόρτον καὶ δένδρα τῇ ἀϊδιότητι ὑπολειφθῆναι. δι' ἃ καὶ χόρτος

[u] εἰς ἀνθρωπίνην ἡλικίαν B. [x] τὸ ἐσφρ. ἀπωσαμ. ἐντελλ. B.
[y] ἐνθεωρηθείη B.

ἐξανατέλλει καὶ χλοὴ καὶ πᾶν ἄλλο ὃ τοῦ φθαρτοῦ τοῦδε βίου χρειῶδες· ὡς ξύλα πρὸς οἴκων κατασκευὴν καὶ πρὸς πυρὸς θάλψιν ἐπιζητουμένων. εἰ δὲ τούτων οὐδὲν, τῇ ἀνακαινιζομένῃ τὸ πρόσωπον γῇ εἰς ἀπρονόητον ἔκληψιν τὸ πρὸς τὸ γράμμα ἀποκαθεῖσθαι θετέον, καὶ σύμφωνον τοῖς τὴν χιλιετῆ[z] Χριστοῦ βασιλείαν μετὰ τὴν τοῦδε τῶν βίου καὶ τοῦ αἰῶνος παραδρομὴν πότοις[a] καὶ ἀνέσεσιν ἐνευθηνουμένοις[b].

Εἰ μὴ τοὺς ἀνθρώπους.

Ἐκ τούτου σαφὲς, ὡς οὐ περὶ χόρτου καὶ δένδρων ἡ ὑποστολὴ τοῦ ἀδικηθῆναι, ὡς ὁ προστάσσων φησὶν, ἀλλὰ τοὺς χόρτῳ ἐξασυ**σιας[c] παραβαλλομένους, [d]ὡς καὶ τῷ θείῳ Παύλῳ δοκεῖ, καθὼς ἔφθημεν εἰρηκότες· εἰ δὲ ὡς οὗτος ὁ Παῦλος τοῖς τοιούτοις τὴν διὰ πυρὸς ἀπώλειαν ἐπιμαρτυρεῖ, ἐνταῦθα δὲ φειδοῦς ἄξιοι κρίνονται· ἐκεῖνο ἐννοητέον, ὡς οὐ τοὺς αὐτοὺς τοὺς χορτώδεις λογιστέον. ὧν μὲν γὰρ φείσασα ἡ ὑποστολὴ, εἰς κτηνωδίαν τὸ ἔγκλημα, οἱ δὲ τὸ δοκίμιον ἑαυτῶν διὰ πυρὸς παρεχόμενοι ἐκ τοῦ δοκιμασίᾳ ὑποβάλλεσθαι παριστῶσιν ὡς οὐκ ἀφελότητι, εἰ μὴ πλημμελείᾳ τρόπων τὸ δαπάνημα πυρὸς ἐδυστύχησαν· ὥστε τὸ προσκεῖσθαι τοὺς ἀνθρώπους ἡ διαστολὴ αὕτη, οὐ χόρτου φείσασθαι, ἀλλὰ χορτωδῶν ἀνθρώπων βούλεται. εἰ γὰρ μὴ τοῦτο, εὐδιαγνώστου οὔσης τῆς διαφορᾶς χόρτου καὶ ἀνθρώπων, τίς ἡ χρεία ἀπενεγκεῖν τὸ ἀλλὰ ἀνθρώπων. ἢ δῆλον ὡς συνεξακουομένου ἐκείνων ἀνθρώπων, εἰ πρὸς τὸ γράμμα τις ἀπασχολεῖ, ἀλλὰ μὴ πρὸς ἄλλην ἀλληγορίαν μεταρυθμίζῃ, οὐκέτι πρὸς τὴν δευτέραν παρουσίαν τοῦ Κυρίου, καὶ τὴν τότε κρίσιν αὐτοῦ ὑπολάβει ταῦτα. ἐπεὶ γὰρ τὰ μετὰ τὴν ἐσχάτην ἀνθρώπων ἀναβίωσιν ἡ προκειμένη Ἀποκάλυψις χρηματίζει, μεθ' ἣν ἀναβίωσιν οὐκέτι θάνατος ὑπολείπεται ἀνθρώπων· ὅτι μηδὲ τὸ ἁμαρτάνειν ἅτε πρὸς ἀφθαρσίαν τῆς ὅλης κτίσεως ἀστοιχειωθείσης· τὸ δὲ ἁμαρτάνειν τῷ φθαρτῷ κόσμῳ, ἀλλ' οὐ τῷ ἀφθάρτῳ συμπαρεδρεύει. τί τὸ τοὺς τιμωρεῖν λαχόντας διαστολὴν λαβεῖν τοὺς ἀσφραγίστους, μὴ πρὸς θάνατον βαρύνειν τὰς τιμωρίας; τίς δὲ καὶ ἡ τῶν πέντε μηνῶν

[z] χιλιοστὴν B. [a] πώτοις B. [b] ἐνευθηνουμένην B. [c] ἐξασυ**σιας παραβ. B. [d] Quæ seq. om. Edd. usque ad Sch. fin.

βασάνισις; οὐκέτι τῆς ἡλιακῆς φορᾶς τὰ χρονικὰ διαστήματα ἀποτελούσης· τίς γὰρ καὶ χρειὰ τούτων τῷ ἀκαμάτῳ καὶ ὁλολαμπεῖ κόσμῳ;

Καὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε.

Τὸ μὴ ἀποκτεῖναι ἐκεῖνο παριστᾷ τοῖς διὰ πείρας ἔχουσιν εἰδέναι τὸ τῶν βασάνων ἀφόρητον, ὅτι εἰς θάνατον ὁδοποιεῖν εἴωθε. τούτου οὖν τοῦ ἀφορήτου ἀπέχεσθαι τοὺς βασανιστὰς ἡ φιλάγαθος ἐντολὴ παρακελεύεται. τὸ δὲ πεμπταῖον τῶν μηνῶν, ἐπεὶ καὶ οἱ μῆνες τοῦ αἰσθητοῦ κόσμου μέτρα, ὅθεν καὶ τὰ γνωστήρια τούτου αἱ αἰσθήσεις τὸ ἐνεργεῖν ἔλαβον, εἰκότως ἰσαρίθμῳ παραστάσει τὸ ἁμαρτάνειν αἰνίττεται, εἰς τὸ μνήμην ἀνθρώποις ἐμποιεῖν τῶν δι' ὧν ἔσχον τὸ τὴν κρίσιν ἀνέχεσθαι. ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ ἀνταπόδοσις. σκορπίου δὲ τύμματι παρέβαλε τὴν ὀδύνην, ἐπεὶ καὶ αὕτη, ὡς ἐπίπαν, θανάσιμος.

Ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον.

Ὅστις ἐλπίζει εὑρεῖν τούτου καὶ τυγχάνει· ἐπεὶ δὲ τῷ ἐκεῖ κόσμῳ οὐκ ἔστιν ἐμφιλοχωρεῖν θάνατον, τί νῦν τοῦτο ἡ ἐπιζήτησις νοεῖ τοῦ θανάτου; οὐκ ἄλλο οὐδὲν ἢ τὸ ἀνύποιστον τοῦ ἄλγους, ὡς τοῦ θανάτου πᾶν ἀλγεινὸν ἀποπαύοντος. διὸ καὶ εἴρηται τὸ "θανάτῳ ἀνάπαυσις." ἐπεὶ δὲ ἐν ἀφθάρτῳ ζωῇ ὁ θάνατος ἀπελήλαται, πρὸς τῷ μὴ εὑρίσκειν ἐπήγαγε τὸ φεύξεται. σεσωματοποίηται[c] δὲ εἰς ἔμφασιν πλείονα τῶν διὰ τῆς ὑφηγήσεως ἐμφανιζομένων. [d]Θαυμάσειεν ἄν τις τὸ ἀκριβὲς τῆς ἀπαγγελίας τῶν προκειμένων· οὐ γὰρ ἀκρίδας εἶπεν, ἀλλ' ὁμοιώματα ἀκρίδων· τὸ κατ' ἄκρας ὡς ἤδη εἴρηται τῶν ἀλγεινῶν ὑποφαίνων διὰ τοῦ ὀνόματος· ἀκρὶς γὰρ ἢ ὅμοιον ταύτῃ τι ἐν τῷ φθαρτῷ βίῳ παραλειφθεῖεν. καί τινα δριμύτητα παρέξουσαι τοῖς τιμωρουμένοις· ὧν καὶ ἡ ἐν τῷ φθαρτῷ τούτῳ βίῳ μετριωτάτη ἡ δῆξις καὶ ὅσον οὐδὲ νυγμῆς ῥαφίδος παραβληθῆναι.

7 Καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον. καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν, ὡς στέφανοι χρυσοῖ, καὶ τὰ πρόσωπα αὐτῶν, ὡς πρόσωπα

[c] σεσωματοπεποίηται B. [d] Hæc usque ad fin. Sch. om. Edd.

8 ἀνθρώπων. καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν, καὶ
9 οἱ ὀδόντες αὐτῶν, ὡς λεόντων ἦσαν· καὶ εἶχον θώρακας,
ὡς θώρακας σιδηροῦς· καὶ ἡ φωνὴ τῶν πτερύγων
αὐτῶν, ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων
10 εἰς πόλεμον· καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις καὶ
κέντρα, καὶ ἐν ταῖς οὐραῖς αὐτῶν ἐξουσίαν ἔχουσιν
11 ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε· ἔχουσαι βα-
σιλέα ἐπ' αὐτῶν Ἄγγελον τῆς ἀβύσσου, ὄνομα αὐτῷ
Ἑβραϊστὶ Ἀββαδὼν, ἐν δὲ τῇ Ἑλληνικῇ ὄνομα ἔχει
Ἀπολλύων.

Ἵπποις ἀφωμοίωνται αἱ ἀκρίδες καὶ οὐκ ἄλλῳ ζώῳ, διὰ τὸ ὀξυκίνητον τῆς ἐφόδου καὶ τὸ θυμικὸν τοῦ ἵππου, μάλιστα τὸ κατὰ πολέμους, ὃ καὶ αὐτὸ παρεδήλωσεν ἡ ὑποκειμένη Ἀποκάλυψις ὁμοίαν ἵπποις λέξασα τὴν ἑτοιμασίαν αὐτῶν εἶναι πόλεμον ὠδινόντων.

Καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν, ὡς στέφανοι χρυσοῖ.

Ἐπὶ τῆς καταπληκτικῆς ἔχεται πλάσεως, διὸ καὶ τὸ "ὡς" ὁμοιωματικῷ χρῆται μορίῳ. ἡ ὡς χρυσῆ στεφάνη, τὴν νίκην ἔοικε παριστᾷν, ἣν κατὰ τῶν ἡττημένων ἀθλίων ἀπηνέγκαντο. ὡς χρυσῆ δὲ αὕτη, ἀλλ' οὐ χρυσῆ. οὐ γὰρ τῷ ὄντι ἡ ἐπ' ἀπωλείᾳ τοῦ θείου πλάσματος τιμωρία τὸ τίμιον ἐστὶν ἀποφερομένη. καὶ προσώποις δὲ ἀνθρώπων ἀπεικαζόμεναι τὰς ὄψεις, τῷ ὁμοειδεῖ[e] τοὺς ἀπατωμένους παράγουσιν[f], οὓς διὰ τὸ ἀπατῆσαι αἱ τιμωρίαι αὗται ὑπέλαβον τῆς ἀπατητικῆς ταύτης κακουργίας. καὶ αἱ γυναικεῖαι τῶν τριχῶν ἐμπλοκαὶ ὡς[g] πυκάζουσαι τοὺς ἀπατεῶνας. τοιαῦται γὰρ καὶ αἱ σαρκικαὶ ἡδοναὶ, αἵ τινες τῷ φαινομένῳ αὐτῶν ἐπιτέρπειν[h], τῷ ἑαυτῶν ὀλισθήματι τοὺς δελεασθέντας κατασύρουσι. διὸ καὶ ὁ παροιμιαστὴς φησὶ Σολομὼν "τοὺς τῆς πορνάδος λόγους "πρὸς καιρὸν μὲν λιπαίνειν τὸν φάρυγγα, ὕστερον δὲ πικρότερον "χολῆς τὴν αἴσθησιν ἐμποιεῖν." ἐκ τοῦδε καὶ ἡ πρόχειρος αὕτη πλάσις μετὰ τὰς γυναικείας τρίχας, καὶ τοὺς λεόντων ὀδόντας

[e] ὁμοιωειδεῖ B. [f] παραγοῦσαι B. [g] ὡς om. B.
[h] ἐπιτερπεῖ B.

ἐπάγεται τιμωροὺς, καὶ τοὺς "ὡς θώρακας σιδηροῦς," τῶν μὲν ὀδόντων λεοντείων τὸ ἀπηνὲς παριστᾷν βουλομένων, τῶν σιδηρῶν δὲ θωράκων, τὸ στερεὸν τὸ πρὸς ἀντένεξιν τῶν ταῖς βολῖσι προσμαχομένων. οὐ κατὰ τὸ ῥᾴδιον ἐπιφερομένων τὸ ἐπιτεταγμένον[h]. ἐπεὶ δὲ καὶ πτῆσις αὐτοῖς ἐνθεωρεῖται ἅτε ἀκρίσιν ἀφομοιουμένοις, ἡ πτῆσις μὲν τὸ τῆς ἐπελεύσεως θᾶττον αἰνίττεται, καὶ τὸ ἄνωθεν ἐπιέναι, ὡς καὶ Δαβὶδ "πολλοὺς τοὺς ἀπὸ ὕψους αὐτὸν πολεμοῦντας καταλαμβάνεσθαι·" καὶ ὅτι ἀπὸ μετεώρων ἡ πρὸς ἀνθρώπους πολεμικὴ πάλη, ὁ θεῖος Παῦλος ἐχέγγυος παρασχεῖν, δι' ὧν φησὶν, "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ "πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, πρὸς τοὺς κοσμήτορας τοῦ "σκότους τοῦ ἀέρος τούτου." φωνὰς δὲ τῶν πτερύγων τὴν ἀφόρμησιν αὐτῶν λέγει πρὸς τὴν πολεμικὴν αὐτῶν συμπλοκὴν, οὐ καθ' ἡσυχίαν ἐκτελουμένην, ὅτι μηδὲ ἔν τινι τόπῳ, ἀλλ' ἐν παντὶ τῷ κόσμῳ συντελουμένη τυγχάνει, ἀφ' οὗ καὶ μὴ πᾶσιν ἀνθρώπων ἤθεσιν ὡς ὑπτίοις χωρίοις προσβάλλουσιν, ἀλλὰ τισὶ, τοῖς μηδ' ὅλως τὸ ὑποβεβηκὸς αὐτοῖς παρέχουσιν, ἢ παρέχουσι μὲν, βιαιότερον δὲ τῇ ῥύμῃ. ἀφ' οὗ καὶ ὡς ἀπ' ἁμαξιαίων τροχῶν[i], τῇ μεταπτώσει τε καὶ ἀντιπτώσει τῶν σκόλων, φωνὴ, ἤγουν κτύπος συνίσταται.

[k]Εἰ δὲ μάλιστα καὶ πολεμιστήριον ἁμάξεσι παρῇ, πῶς οὐ καὶ τῇ κατὰ πάντα τὸν * * προσβολῇ τῶν ταραχωδῶν δαιμόνων τῇ προσβολῇ τε καὶ πάλῃ;

Καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις καὶ κέντρα.

Σκορπίων οὐραῖς καὶ κέντροις αἱ τῶν δαιμόνων ἀπεικάσθησαν προσβολαὶ αἱ πρὸς ἀνθρώπους, ἐπειδὴ καὶ οἱ δαίμονες οὐχὶ ἅμα τῷ χρηματίσαι, τὸ βλαπτικὸν ἀποφαίνουσιν, ὅτι μηδὲ σκορπίος ταῖς καρκινώδεσι χηλαῖς, ἀλλὰ τῷ ἐξόπισθεν οὐραίῳ διὰ τοῦ κέντρου. τέως δὲ καὶ οἱ ἀλιτήριοι δαίμονες οὓς ἂν λάβωσιν ἐξ ἀπάτης, οὐκ εὐθὺς ἔχουσι καὶ τὴν ὑπὲρ τῆς τούτων ἀπάτης τιμωρίαν αὐτοῖς ἐπιβαλλομένην. τηρηθέντες δὲ τῷ τελευταίῳ πυρὶ μεθ' ὧν ἠπάτησαν[l], τῶν ἀξίων γερῶν τεύξονται. ἐκ τοῦδε καὶ

[h] ἀποφερομένων τὸ ἐπιτετευγμένον B. [i] καὶ ἐπ' ἁμαξίαις B. [k] Hoc Sch. carent Edd. [l] ἤλπισαν B.

Παῦλος τὸ μὴ πρὸ καιροῦ τί κρίνειν παραινεῖ. τὸ δὲ τὴν ἐξουσίαν τῆς τιμωρίας πεμπταίῳ μόνον μηνὶ παρατείνεσθαι τί βούλεται, εἴρηται ἡμῖν ἤδη. τίς γὰρ ὁ τὸ διαιωνίζον παραιρούμενος τῶν ἁμαρτωλῶν πῦρ; οὐ πῦρ ὂν αἰσθητὸν, ὅτι μηδ' ὅτι πῦρ μήτ' ἄλλο ἐκεῖ αἰσθητόν; ὡς γὰρ "τὰ ἀγαθὰ οὐκ ὀφθαλμὸς ἰδεῖν αἰσθητὸς "ἱκανὸς, οὐδὲ οὖς ἀκοῦσαι, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀναβῆναι," οὕτως οὐδὲ τὰ τιμωροῦντα ἄχρι τῆς πείρας. τὸ δὲ ἀτελεύτητον τῆς κολάσεως δοκῶ μοι τοῦτο εἶναι, τὸ τὴν μνήμην τοῖς ἁμαρτοῦσι τῆς βασιλείας τοῦ Θεοῦ· ἐπεὶ τὰ ἐκεῖ πάντα ἀναλλοίωτά τε καὶ ἄφθαρτα, καὶ ὡς ἡ λογικὴ ψυχὴ ἐξ ἀρχῆς οἷς ἐκοσμήθη ὑπὸ τοῦ πλάστου ἀγαθοῖς καὶ σωτηριώδεσιν ἑαυτῇ ἀγαθοῖς ἀναφέρεται, ταῦτα καὶ διαιωνίζοντα ἔχει. ἓν δὲ καὶ ἡ μνήμη τῶν ἀγαθῶν τούτων οὐκ ἂν οἶμαι τὸ ἀλωβητὸν ταύτης ἡ ψυχὴ ἀποφερομένη, εἶτα ἑτέρους ὁρῶσα τῶν ἀγαθῶν πόνων τε ἔπαθλα κομιζομένους καὶ ἐπευφραινομένους τῆς αὐτῆς αὐτῇ φύσεως λαχόντας, αὐτὸν δὲ τῶν πονηρῶν αὐτῆς καμάτων τὰς τιμωρητικὰς ἀντιμι** ἀνταμειβομένην μὴ σκώληκος τρόπον κατεσθίεσθαι καὶ σητός· τί γὰρ τὸ λόγιον * * ὀστέων καὶ καρδία αἰσθητική· εἰ δὲ ἐν τῷ φθαρτῷ τούτῳ βίῳ, τί ἄρα ἔσται ἐν τῷ ἀφθάρτῳ;

Ἔχουσαι βασιλέα ἐπ' αὐτῶν Ἄγγελον τῆς ἀβύσσου.

Ὁ Ἄγγελος οὗτος, εἰ καί τισιν ἔδοξε πονηρὸς δαίμων εἶναι, ἀλλ' ὅμως οὐ καλῶς. πῶς γὰρ τοῦ Κυρίου, τὴν κόλασιν τοῦ πυρὸς τῷ διαβόλῳ ἡτοιμάσθη ἀποφηναμένου καὶ τοῖς Ἀγγέλοις αὐτοῦ, ἐκ τούτων τις τῶν εἰς κόλασιν ἀφωρισμένων, βασιλικῆς ἀξιωθείη ἐξουσίας; οὐκ οὖν πονηρῷ Ἀγγέλῳ ἡ ἐξουσία βραβευθείη, ἐκείνῳ δὲ τῷ κατάλληλον τὴν διακονίαν μεταχειριζομένῳ. οὐ γὰρ πάντες εἰς λειτουργικὰ πνεύματα εἰς διακονίαν σωτήριον ἀποστελλόμενοι, κατὰ τὸν εἰρηκότα θεῖον Παῦλον, ἀλλὰ καὶ πρὸς τιμωρίαν. ὡς ὁ τὸν Ἀσσύριον στρατὸν μετὰ Σεναχηρεὶμ ἐπὶ Ἱερουσαλὴμ[m] ἀθροισθέντα ἀφανίσας. καὶ τῶν Σοδόμων τὸν διάπυρον[n] ὄλεθρον ἐπιστήσας. ὅπερ δὲ καὶ προλαβόντες ἀπεσημηνάμεθα, καὶ νῦν φαμὲν[o], ὡς ταῦτα, εἰ καὶ παρῳχημένῳ ἐξαγγέλλεται, ἀλλ' οὖν

[m] Ἱεροσόλυμα B. [n] διὰ πυρὸς B. [o] φαμὲν om. B.

μέλλοντα νοεῖσθαι[p]. ἀλλὰ δυοῖν χάριν τοῦτο, ἤτοι ὡς πάντως ἀπαρεμποδίστως[q] ἐσομένων, ἢ καὶ τοῦ χρηματίζοντος τῷ Εὐαγγελιστῇ τὰ προκείμενα κατὰ τὸ τῆς προφητείας ἀξίωμα περιποιοῦντος[r].

Ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀββαδών.

Τὸ ὄνομα τὸ ἀπὸ τοῦ Ἑβραϊκοῦ ἀπὸ τῆς ἐκβάσεως πέπλασται, ὡς δῆλον ἀπὸ τοῦ Ἑλληνικοῦ. Ἀπολλύων γὰρ, τί ἕτερον ἢ τὸ διαφθεῖρον σημαίνει; ὃ καὶ Ἀβαδδὼν λαβὼν ὄνομα ἐκληρώσατο, πρὸς τοῦτο ἀποσταλεὶς, λέγω δὴ τοῦ διαφθείρειν.

ΚΕΦ. ΚΖ.

Περὶ τοῦ ἕκτου Ἀγγέλου, καὶ τῶν ἐπὶ τῷ Εὐφράτῃ λυομένων Ἀγγέλων ἐπίλυσις.

12 Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν. ἰδοὺ ἔρχονται ἔτι δύο οὐαὶ
13 μετὰ ταῦτα. καὶ ὁ ἕκτος Ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα
φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστη-
14 ρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ, λέγοντος τῷ
ἕκτῳ Ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα· λῦσον τοὺς
τέσσαρας Ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ
15 τῷ μεγάλῳ Εὐφράτῃ. καὶ ἐλύθησαν οἱ τέσσαρες Ἄγ-
γελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ εἰς τὴν ἡμέραν,
καὶ μῆνα καὶ ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν
16 ἀνθρώπων. καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ
ἱππικοῦ δύο μυριάδες μυριάδων. καὶ ἤκουσα τὸν
ἀριθμὸν αὐτῶν.

Τὸ οὐαὶ ἐπίρρημά ἐστι σχετλιαστικόν. σχέτλη δὲ, τὸ ὀδύνην ἐπιφέρον καλεῖται. ἀπῆλθεν οὖν οὐ τὸ ἐπίρρημα, πῶς γὰρ τὸ κατὰ συμβεβηκὸς καὶ οὐ καθ' ὑπόστασιν ὑπάρχον, ἀλλ' ἅμα τῇ γενέσει ἀφανιζόμενον, πρόοδον σχοίη; ἀλλ' ἐκείνων παρελθόντων

p ἀλλ' οὖν μελ. νοεῖσθαι om. B. q ἀπαραποδίστως B. r περιπατοῦντος Edd.

τῶν ὀδυνηρῶν δι' ἃ καὶ τὸ τοιοῦτον προσφώνημα γίνεται, καὶ τὸ οὐαὶ εἰκότως ἐλέχθη ἀπελθεῖν.

Καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων.

Ἐκ τῶν τεσσάρων κεράτων ἡ φωνὴ, τῶν ἐχόντων τὸ θυσιαστήριον· ἃ κέρατα τὰς περιβεβλημένας θείας δυνάμεις ἀκουστέον. ἤτοι τοῦ θυσιαστηρίου ἀπαρτιζομένου, ἐν ᾧ τὰ θύματα πυρὶ τῷ[8] Θεῷ καθήπτετο, καθεκάστην γωνίαν κερατοειδὴς ἐξοχὴ συνεστήρικται συνέξουσα τὰς σχίζας, αἷς ὁ βωμὸς ἀναπτόμενος τοῖς θύμασι τὸ καλλιερεῖσθαι παρεῖχεν, ἐξ οὗ καὶ τῷ ἄνω θυσιαστηρίῳ κατ' εἰκόνα, τὸ κάτω καὶ ὑπὸ Μωσέως ἐν τῷ Σινᾷ διετέτακτο. διὸ καὶ ὁ χρηματίζων αὐτῷ, "ὅρα," φησὶ, "ποιήσεις πάντα "κατὰ τὸν τύπον τὸν δειχθέντα σοὶ ἐν τῷ ὄρει." τὰς ἐξοχὰς δὴ ταύτας, ἃς νοερὰς δυνάμεις εἰρήκαμεν, συνέχειν εἰκὸς τὸ ὑπερούσιον καὶ ἀνθρωπίνῃ φύσει ἀπρόσιτον μύημα, τοῦ μήτε προχείρως τοῖς μετ' ἐκεῖνο τὴν φύσιν εἶναι, ληπτὸν, μήτε τὰς λογικὰς θυσίας προσαγομένας αὐτῷ, ὡς ἂν τύχοι διαρρυΐσκεσθαι. τετράγωνον δὲ τὸ σχῆμα τοῦ θυσιαστηρίου, ἰσοσχημάτως τῷ τετραστοίχῳ κόσμῳ τούτῳ, ἀφ' οὗ καὶ ἐκ παντὸς αὐτοῦ μέρους αἱ λογικαὶ θυσίαι καθαραὶ, κατὰ τὸν προφήτην, προσάγονται.

Λῦσον τοὺς τέσσαρας Ἀγγέλους.

Τούτους, οἱ μὲν θείους παρέθεντο τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ δεδεμένους, οἱονεὶ προσλιπαροῦντας καὶ τῇ περὶ αὐτὸν ἐνασχολουμένους καὶ εὐφραινομένους νοητῇ θεωρίᾳ. εἶναι γὰρ τοῦτον Θεὸν, περὶ οὗ Ἡσαΐας μὲν φάσκει ὡς ἐξ αὐτοῦ τοῦ Θεοῦ, "ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χιμάρ-"ρους ἐπικλύζων δόξαν ἐθνῶν." καὶ Δαβὶδ, "τοῦ ποταμοῦ τὰ "ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ." εἶναι δὲ τοὺς τέσσαρας Ἀγγέλους τὸν παρὰ τῷ Δανιὴλ Μιχαὴλ, Γαβριὴλ παρὰ τῷ Ματθαίῳ, Ῥαφαὴλ παρὰ τῷ Μαρδοχαίῳ, καὶ τὸν Οὐριήλ. ἀπολυθῆναι δὲ αὐτοὺς τῆς τοιαύτης θείας ἀσχολίας εἰς οὐκ ἀπᾴδουσαν λειτουργίαν τῆς τε τοῦ θείου δικαιοδοσίας καὶ τῆς αὐτῶν μεγαλοδόξου παρουσίας. τινὲς δὲ οὐκ Ἀγγέλους, ἀλλὰ δαίμονας πονηροὺς, δεθέντας μὲν ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ

κατὰ τὸ θεῖον πρόσταγμα, ἐκ τοῦ ὑπερανθρωπίνου δὲ θυσιαστηρίου ἐξελθόντας, λύεσθαι ὑπὸ τοῦ θείου Ἀγγέλου. ὡς ἔστι ταράξαι ἔθνη, καὶ τῇ ταραχῇ ταύτῃ διάδηλον γενέσθαι τῶν τε πιστῶν τὸ σιτῶδες καὶ πρὸς ἀποθήκας αὐτῶν ταμιεύσιμον, τῶν τε ἁμαρτωλῶν τὸ ἀχυρῶδες καὶ πρὸς καῦσιν ἕτοιμον τὸ ἄχρηστον. οὐκ ἀδόκιμον δέ ἐστι τὸ φάσκειν εἰς τὸν Εὐφράτην δεδέσθαι τοὺς δαίμονας, τάχα ἐκεῖθεν τοῦ Ἀντιχρίστου ἐξελευσομένου ἀπὸ τῶν διασωθέντων ἐν τῃ Ἱερουσαλὴμ αἰχμαλώτων Ἑβραίων καὶ τοῖς ἐκεῖ τόποις ἐναπομεινάντων.

[d]Οὗτοι μὲν οὕτως· τί δὲ οἱ ἵπποι τῶν ἐμφρίκτων τῇ θέᾳ μὴ σωφρονισθέντες μηδὲ πρὸς ἐμπειρίαν μεταχωρηθέντες; εἰς ἀποχὴν φιλανθρώπως ἡ τῶν δεινῶν πεῖρα ἐπρυτανεύθη κατὰ τὸ ἀνεξεύρητον τῶν τοῦ Θεοῦ * * ἴσως δὲ καὶ τῇ τῶν πονηρῶν κολάσει, ὡς ἂν αὐτοὶ τὸ σωτήριον ἑαυτοῖς προμηθεύσοιντο λοιμου μαστιγουμένου. "πανουργότερος ἄφρων γίνεται," ὁ Παροιμιάστης φησὶ Σολομῶν. τί τούτοις συμβαι * * * * ἐπενεχθείη τιμωρία, οὐκ ἐμνήσθη· τάχα δὲ ὑπερβάλλουσαν κακῶσιν, ὡς γὰρ "τὰ ἡτοιμασμένα τοῖς "ἀγαπῶσιν Θεὸν ἀγαθὰ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, "καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη·" οὕτως καὶ τὰ τοῖς καταφρονηταῖς ὀφειλόμενα κακά. εἰ δέ τις ἐρεῖ, ὅτι καὶ μὴν καὶ τῶν ἀγαθῶν ἐστιν ἐπαγγελία παράδεισος καὶ οὐρανῶν βασιλεία, καὶ τῶν κακῶν ὡσαύτως τὸ ἐν Εὐαγγελίοις σκότος καὶ τὸ πῦρ αἰώνιον καὶ τὰ τοιαῦτα· τούτων οὕτως ἐχόντων ἡ ἀποσιώπησις καὶ τῶν κρειττόνων καὶ τῶν χειρόνων· ἐροῦμεν οὖν ὡς τὰ ἀποκείμενα ἀγαθὰ καὶ κακὰ οὐκ ἀπροφάσιστον ἔχει τὴν ἀνταμοιβὴν, ἀλλὰ τῷ κόπῳ σύμμετρον τῶν μετιόντων· ἐξ οὗ καὶ Παῦλος ὁ θεῖος καὶ Γρηγόριος ὁ θεῖος τὸν λόγον· ὁ μὲν τῷ κόπῳ τὴν χάριν παρισοῖ· Γρηγόριος δὲ τρισὶ τάξεσι τοὺς σωζομένους ἐναρμόσας, δουλείας, μισθαρνίας, υἱότητος· οἷς καὶ κατ' ὀφειλὴν ἀποκεῖσθαι· δουλείᾳ τὸν φόβον· μισθαρνίᾳ τὴν λῆψιν· υἱότητι τὴν ἀκαταίσχυντον ἀγάπην, ἥτις ἔξω μᾶλλον οἶδεν τὸν φόβον· ἐπεὶ τοίνυν αἱ δύο τὰς ἀμοιβὰς προχείρους παρέστησαν, ἡ δὲ υἱότης διὰ τὸ ὑπέρβαλλον τῆς

[d] Hoc Sch. solus habet B.

ἀγαπῆς οὐκ ἔσχεν τῶν κατ' ἀνθρώπους γνωρίμων τὴν ἐνάμιλλον ἀνταπόδοσιν, σιωπῇ τετίμηκε τὴν παραβολὴν, ἐκ τοῦ μὴ ὀφθαλμὸν ἰδεῖν μηδὲ οὖς ἀκοῦσαι πρὸς ἐξίσωσιν· σιωπῇ τιμήσας τὸ πρὸς τὴν γνῶσιν χειραγωγοῦν. ὡς οὖν ἐπὶ τῶν ἀγαθῶν τὸ ὑπερβάλλον, οὕτως κἀν τοῖς κακοῖς τὸ ὑπερτεῖνον τὴν ἀπὸ τοῦ ὁμοίου γνῶσιν παρείλετο.

Καὶ ὁ ἀριθμὸς τῶν στρατευμάτων τοῦ ἱππικοῦ.

Μὴ προειπὼν στρατεύματα, ἀριθμὸν τούτου ποιεῖται. δῆλον οὖν ὡς οἱ ταξιάρχας τοὺς τέσσαρας ἐκλαβόμενοι, Μιχαὴλ, Γαβριὴλ, Οὐριὴλ, Ῥαφαὴλ, οὐκ ἀδοκίμως ἠνέχθησαν. φιλεῖ γάρ πως τῷ ταξιάρχῃ τὸ στῖφος ἕπεσθαι. χιλίας δὲ χιλιάδας καὶ μυρίας μυριάδας τῶν λειτουργούντων ἐν τῷ Δανιὴλ μάθοιμεν ἄν. ἐπιδιπλάσιον δὲ νῦν τοῦ μυριοστοῦ ἀριθμοῦ τὸ πλῆθος τὸ ἑπόμενον τοῖς ταξιάρχαις διέξεισιν ὁ ὁρῶν, τῷ ἀνυποστόλως μετὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου, Ἀγγέλους ἀνθρώποις ἐνδιαιτᾶσθαι. διὸ καὶ τὸ ἀναβαίνοντας καὶ καταβαίνοντας εἰρῆσθαι ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου.

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς
καθημένους ἐπ' αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ
ὑακινθίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων,
ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν
18 ἐκπορεύεται πῦρ καὶ καπνὸς, καὶ θεῖον. ἀπὸ τῶν τριῶν
πληγῶν τούτων, ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώ-
πων, ἀπὸ τοῦ πυρὸς, καὶ τοῦ καπνοῦ, καὶ τοῦ θείου, τοῦ
19 ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν. ἡ γὰρ ἐξουσία
τῶν ἵππων, ἐν τῷ στόματι αὐτῶν ἐστὶ, καὶ ἐν ταῖς
οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεων ἔχου-
σαι κεφαλὰς, καὶ ἐν αὐταῖς ἀδικοῦσι.

Τοὺς ἐφέδρους τῶν ἵππων, εἴτε δυνάμεις θείας ὑποληπτέον κατ' ἠθῶν καὶ παθῶν κληρωσαμένας τὸ ἀγκτικόν τε καὶ πρὸς τὸ κρεῖττον ῥυθμιστικόν. οὕτω γὰρ καὶ τοὺς ἵππους οἱ πωλοδάμναι ῥυθμίζουσιν ἀναβαίνοντες κημῷ τε καὶ χαλινοῖς. εἴτε καὶ θεῖα προστάγματα ζήλῳ τῶν ἀπολλυμένων εἰς πυρίνην ἀπεικασθέντα καὶ ὑακινθίνην καὶ θειώδη πανευχίαν. ἀφ' οὗ καὶ Δαβὶδ, (τοῦ θείου

φημὶ ζήλου,) τὸ, "ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ," μηνυρεῖ[d], "καὶ "πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγῆναι καὶ ἄνθρακας ἀναφθῆ-"ναι." ὁποτέρῳ τούτων πρόσθοιτό τις, μᾶλλον καθ' ἡδονήν μοι ἔσται, τοῦ πρὸς πονηροὺς ἀπευθύνοντος τὸ ἴνδαλμα.

Καὶ αἱ κεφαλαὶ τῶν ἵππων, ὡς κεφαλαὶ λεόντων.

Τὸ ὄχημα τῶν θείων κριμάτων, εἴτε πρὸς πνευματικοὺς καὶ ἀγγελικοὺς τὸν βίον ἀνθρώπους μεταλαμβάνει τις, ἢ καὶ πρὸς ἤθη καὶ πάθη, οὐδὲν διοίσει τῷ μὴ φιλαύτως τῷ ὁράματι προσκειμένῳ. κεφαλαῖς δὲ λεόντων ἀπεικάσθησαν εἰς δεῖγμα, ὅτι τούτους τοὺς διακονουμένους τοῖς θείοις οὐκ ἀναβεβλημένως τὴν λειτουργίαν χρὴ μετιέναι. "ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ πάσης "τομώτερος μαχαίρας." διόπερ ὡς ἑκατοντάρχης τὸ κεφάλαιον ἐμφανίζει τὴν ἀγανάκτησιν μετὰ λεοντιαίου σφοδρότητος, ὡς οὐκ ἂν ἄλλως, ἢ οὕτως ἕξειν τὸν ἀκροατὴν εἰς συγκατάθεσιν ἔμπρακτον. οὐκ ἄμοιρος δὲ τῆσδε καὶ Παῦλος τῆς περινοίας, ὁπότε Κορινθίοις τὴν μετὰ ῥάβδου αὐτοῖς ἐπιδημίαν ἑαυτοῦ ἀπειλεῖ. τοῦτο μὲν οὖν αἱ κεφαλαὶ ὑπαινίττοντο. τὰ στόματα δὲ τὸ ἀπὸ τῆς ἐγγύτητος ὀλέθριον ἄσθμα, οὐ πόρρωθεν δι' ὁράσεως ἐλπιζόμενον, ἀλλ' ἀγχοτάτῳ τῇ προσπελάσει, τὸ ἀναπόδραστον ἐμπεδούμενον, πυρὸς μὲν τὸ ἀφανιστικὸν, καπνοῦ τὸ μετ' ὀργῆς, ("ἀνέβη γὰρ "καπνὸς ἐν ὀργῇ αὐτοῦ,") θείου δὲ τὸ ἀπὸ θείας μήνιδος ἐμφαίνοντος, ἢ καὶ τὸ θεαρέστως τοῖς ἀκολάστοις ἐπενεχθῆναι ταῦτα. ὅτι δὲ ὀχήματι τῶν ἑαυτοῦ κριμάτων καὶ μυστηρίων εἴωθε χρῆσθαι τὸ θεῖον τοῖς ἰσαγγέλως βιοῦσιν, ἱκανῶς τὸ παρ' αὐτοῦ πρὸς Ἀνανίαν χρηματισθὲν περὶ Παύλου παραστήσει, δι' ὧν φησὶ "Παῦλον "σκεῦος ἐκλογῆς εἶναι," ἀκαμάτως βαστάζειν ἔχοντα τὰ θεοπρεπῆ δόγματα, ἅπερ διὰ τοῦ ὀνόματος παρεδήλωσεν, ἐπειδὰν ἔφη, "τοῦ "βαστάσαι τὸ ὄνομά μου," ὄνομα ἀντὶ τοῦ τὴν δόξαν εἰπὼν καὶ μεγαλειότητα, καὶ πᾶν τὸ ὑπὲρ λόγον, ἤγουν κατανόησιν, οὐ μόνον θνητὴν, ἀλλὰ καὶ ἀγγελικήν.

Ἡ γὰρ ἐξουσία τῶν ἵππων, ἐν τῷ στόματι αὐτῶν ἐστί.

Τί τοῦτο; τὸ τὴν ἐξουσίαν ἀνατιθέναι τῷ στόματι, καὶ οἱονεὶ

[d] An leg. μηνύει.

τὴν αἰτίαν τοῦ ἀπεστάλθαι τοὺς ἵππους; ἢ τὸ ἀπὸ τῶν στομάτων αὐτῶν ἐμφαίνει ἀπειλὰς ἐκφοβούντων ἀνθρώπους τοῦ ἀπέχεσθαι τῶν πονηρῶν ἐπιτηδευμάτων, τοῦ μὴ ταῖς οὐραῖς αὐτῶν ἐκδοθῆναι; εἰς οὐρὰς γὰρ τὰ τέλη καὶ τὴν ἔκβασιν τῶν ἀπολλυμένων διατυπῶν, καὶ δή γε καὶ αὐτὴν τὴν ἔκβασιν διαμορφῶν, ὄφεσιν ἀπεικάζει ὁμοίας ἔχουσι κεφαλὰς, ἐξ αὐτῆς δηλαδὴ τῆς ἐφόδου τὸ ὀλέθριον ἐμφανιζούσας καὶ ἀναπόδραστον, καὶ τὸ ἀμελλητὶ τὴν κάκωσιν ἐπιφέρειν, οὐκ οὔσης ἔτι περινοίας τὴν κάκωσιν διαδιδράσκειν.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάνθησαν
ἐν ταῖς πληγαῖς ταύταις, οὐ μετενόησαν ἐκ τῶν ἔργων
τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια,
καὶ τὰ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ λίθινα
καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν,
21 οὔτε περιπατεῖν. καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων
αὐτῶν, οὔτε ἐκ τῶν φαρμάκων αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

Ὑπερβολὴν ἀναισθησίας ὁ λόγος σημαίνει, ἤγουν ἀναλγησίας καὶ ἀκολασίας, τὸν τῆς ἐπ' αὐτοὺς διὰ φιλανθρωπίαν φειδοῦς τέως ὑπερτιθέμενον σωτηρίας καιρὸν εἰς μάτην ἀναλωσάντων, καὶ εἰς τὸ τὴν κατ' ἀξίαν τῆς ῥαθυμίας αὐτῶν ἀνταπόδοσιν ἀποφέρειν· καίτοι γε καὶ πρὸ ὀμμάτων ἐνεργουμένης τῆς τῶν πονηρῶν ἀντιμισθίας. οἱ δὲ οὐχ ὅπως τῇ θέᾳ τῶν φοβερῶν τῶν αὐτοῖς ἑτοίμων[e], βελτίους γεγόνασιν ἑαυτῶν, εἰ μὴ καὶ χείρους καὶ τοῖς ἀτοπωτέροις[f] ἐνδολιχεύοντες.

Οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν.

Οὐ τοῦτο φησὶν, ὅτι οἱ μὴ μετανοήσαντες ἐν τῷ ἐκεῖσε βίῳ, (πῶς γὰρ καὶ τίς ἡ μετάγνωσις ἐν τῷ ἀναλλοιώτῳ βίῳ;) ἀλλ' ὅτι οἱ ζῶντες ἔτι καὶ μὴ ἐκ τῆς ἀκοῆς καὶ θέας τῶν τότε ἐσομένων μετανοήσαντες ἀπὸ τῶν ἔργων ὧν κατεῖδον[g], παρέθεντο πρὸς τὰ πρῶτα τῆς δαιμονομανίας καὶ εἰδωλολατρείας, καὶ τὰ πρὸς τὸ σέβας τὴν δυσμένειαν φέροντα, οὐ τὸ ἀναίσθητον

[e] ἑαυτοῖς ἐθίμων ἐκστάντες B. [f] Sic B. ἁμαρτωλοτέροις Edd. [g] κατ' εἶδος B.

ὑπειδόμενοι τῶν χειροκμήτων, ἀλλ' ὅτι ἐπ' ἀνομίᾳ ἀνομίαν προσέθεσαν. διόπερ καὶ τῆς ἀληθοῦς ἀπεκλείσθησαν δικαιοσύνης. τίς γὰρ δικαιοσύνη φονῶντι τὸν ὁμόφυλον[h]*, ἢ διὰ ξίφους ἐπιφορᾶς, ἢ διὰ φαρμάκων ἐπιβουλῆς; τίς δὲ τὸν ἀφειδῶς ἑαυτῷ χρώμενον οὐ μισήσει; καὶ ὅσα καὶ ἐχθρὸς ἐπιβούλως διακείμενος αὐτῷ, μηχανᾶσθαι εἰς αὐτὸν οὐ κατοκνήσει; τίς γὰρ τὸ*[i] *διὰ πορνείας μυσαρίαν καὶ προσεδρείαν τοῦ θεῖον εἶναι σκήνωμα ἑαυτὸν ἀποστερεῖν, (εἴγε τῷ θείῳ* Παύλῳ *πειστέον) οὐ βδελυγμίαν σχοίη καὶ ἀποτρόπαιον*[j]*; τὸν κλέμμασι δὲ προσλιπαροῦντα ἐκεῖνος ἂν οἰκειώσαιτο, ὃς καὶ ἑαυτῷ τὸ ἀσύμφορον ἐμνηστεύσατο, τὰ πρὸς τὸ ζῆν ἐφόδια διὰ μελέτης ἔχοντος ἐκφορεῖν τοῦ οἰκειουμένου.*

ΚΕΦ. ΚΗ.

Περὶ Ἀγγέλου περιβεβλημένου νεφέλην καὶ ἶριν, καὶ τὸ κοινὸν τέλος προμηνύοντος.

1 *Καὶ εἶδον ἄλλον Ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ
τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ· καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ
2 ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στύλοι πυρός· καὶ εἶχεν
ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον ἀνεῳγμένον· καὶ ἔθηκε
τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ
3 εὐώνυμον ἐπὶ τῆς γῆς. καὶ ἔκραξε φωνῇ μεγάλῃ, ὥσπερ
λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ
βρονταὶ τὰς ἑαυτῶν φωνάς.*

Ἡ μὲν νεφέλη, τὸ ἀφανὲς καὶ ἀόρατον παριστᾷ. ἡ δὲ ἐπὶ τῆς κεφαλῆς ἶρις, τὸ κεφάλαιον ὑπογράφει τῆς ἀγγελιώτιδος τάξεως τῆς ἐξ ἀρετῶν τῶν θεαρέστων τῆς κτίσεως, καὶ τοῦ περὶ τὴν Ἀποστολὴν *ποικίλου, τὴν ἐγγύτητα καὶ στάσιν κατευμεγεθούσης. τοιοῦτον γὰρ ἡ ἐν νέφεσιν ἶρις, ἐξ ἡλιακῆς ἀκτινοβολίας ποικίλοις χρώμασιν ἰνδαλλομένη. ἡ δὲ πρὸς ἥλιον τοῦ προσώπου*

[h] *τῷ ὁμοφύλῳ* B. [i] *τὸ γάρτοι* B. [j] Edd. *ὁ δὲ κλεμμ. προσλιπαρῶν ἐκεῖνο ἂν ᾠκειώσατο, ὡς κ. ε. τὸ ἀσ. ἐμνησ.* cæt. om.

ὁμοίωσις, τί ἂν ἄλλο, ἢ τὸ ἡλιῶδες σημαίνοι; καὶ ὅτι ὅποι ἂν καὶ παρῶσιν, ἡμερινῶν ἔργων διάταξιν ἐκτελοῦσιν, ὑπὸ φωτὶ ἀπροσίτῳ καὶ ὑπερουσίῳ καταλαμπόμενοι.

[k]Εἶδον Ἄγγελον ἰσχυρόν.

Οἷς ἔτι ζῶσιν οὐ διὰ σπουδῆς γέγονεν τῇ θεᾷ κατὰ τῶν πλημμελούντων βασανιστηρίων ἐπὶ μετάνοιαν ἀπιδεῖν, ἀλλ' ἐνέμειναν ἐνηδόμενοι ταῖς ἀσελγείαις αὐτῶν· κατὰ τοῦτο, "Ἄγγελον," φησὶν, "εἶδον ἐξ οὐρανοῦ καταβαίνοντα·" τὸ δραστικὸν τῇ περιβολῇ ἐμφανίζοντα, ὅτι θεῖος, διὰ τῆς νεφέλης· ἐπεὶ καὶ τὸν Θεὸν νεφέλη καὶ γνόφον περικυκλοῦν, ὁ θεῖος Δαβὶδ ἀνυμνεῖ. νεφέλῃ τὸ ἀειδὲς ἀπεικάζων, ἤγουν τὸ ἀσώματον καὶ ἀσχημάτιστον, τῆς οὐσίας αὐτοῦ. ἀφ' οὗ καὶ τοῖς προφήταις ἡ πολυσχημάτιστος τοῦ Θεοῦ ἐμφάνεια πεποίκιλται, τουτέστι τῇ φύσει μονίμου ὡς ἀπαράβλητον αἰσθητοῖς παραβληθέντος. ἐπεὶ δὲ θεῖος, πῶς οὐκ ἰσχυρός; τί γὰρ τοῖς θείοις καὶ μάλιστα θεοπείθεσιν ἀμήχανον;

Καὶ οἱ πόδες αὐτοῦ, ὡς στύλοι πυρός.

Οἱ πόδες τὴν κατάβασιν ὑπαινίττονται, ἥτις οὐκ ἄλλου τινὸς ἕνεκεν, ἢ τοῦ τιμωρήσασθαι ἀσεβεῖς. [l]Ἡ νεφέλη καὶ ἡ ἶρις καὶ τὸ ἡλιοπρεπὲς πρόσωπον τοῦ φωτὸς ἐμφαίνειν βούλονται οὐράνιον καὶ ποικίλον τῷ ὄντι ταῖς ἀρεταῖς· καὶ τὸ φωτεινὸν τῆς ἀγγελικῆς οὐσίας τε καὶ νοήσεως. διόπερ καὶ αἱ διάφοροι αὐτοῖς ἐγχειρίζονται λειτουργίαι τῇ πεφυκυίᾳ τῇ διεξοδευομένου τοῦ ἐγχειρήματος. διὸ καὶ ὡς στύλοι πυρός. στύλοις δὲ πυρὸς ἀπεικάσθησαν, οὐ τοῦ φωτιστικοῦ, ἀλλὰ τοῦ καυστικοῦ. καὶ ἀμεταθέτους ἀπὸ τῶν πονηρῶν αὐτῶν ἐπιτηδευμάτων.

Οὗ καὶ ἡ παρὰ τῷ ὑμνογράφῳ, "φωνὴ Κυρίου διακόπτουσα "φλόγα πυρός." τῷ καταλλήλῳ μισθῷ τοῦ πόνου καὶ τοὺς ἐργάτας δεξιώσεται. τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ βιβλίον ἀνεῳγμένον, τί ἂν βούλοιτο; τοῦτο τὸ ἀνεῳγμένον βιβλίον, καὶ παρὰ τῷ Δανιὴλ εἴρηται, ὅτε κριτήριον παρ' αὐτῷ κάθηται, καὶ βίβλοι ἀνοίγονται περιέχουσαι πάντων τῶν ἀπ' αἰῶνος ζησάντων τὰς πράξεις καὶ τὰ ὀνόματα. τέως μὲν οὖν τὸ βιβλίον τὴν ἐντυχίαν

[k] Hoc Sch. carent Edd. [l] Hæc usque ad ἐγχειρήματος inserit B.

τῶν ἐν αὐτῷ γεγραμμένων οὕτινα ἐμφαίνει ὡς μετὰ τοῦτο ἀπαγορεύοντα· εἰ δὲ ἐν τῷ Δανιὴλ μὲν βίβλοι, ἐνταῦθα δὲ βιβλίον ἐμφαίνει ὁ ὁρῶν, οὐδὲν διάφωνον. παρὰ μὲν γὰρ τῷ Δανιὴλ, βίβλοι τῆς παγκοσμίου κρίσεως ἐμφαίνουσαι δικαίων τε καὶ ἀδίκων τὴν διάγνωσιν· ἐνταῦθα δὲ μόνον τῶν ἀθεμίτοις ἔργοις ἐμβιωσάντων. ὧν καὶ ἐξηρημένως αἱ πράξεις οὐκ ἐν βιβλίῳ, ἀλλ' ἐν βιβλιδαρίῳ, ὑποκοριστικῷ ὀνόματι τὴν ὀλιγότητα τῶν ἐγκειμένων παραδηλοῦντος[l] τοῦ Ἀποστόλου, ἐπὶ τῇ καθολικῇ τῆς κρίσεως ἀποφάνσει, καὶ τὰ ταύτην συμπληροῦντα ἐξαννόμενα.

Καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης.

Τὸ τῶν μὲν τῶν ποδῶν τῇ ὑγρᾷ ἐπερείσαι συναγωγῇ, τὸν δὲ τῇ ξηρᾷ, τὸ μέγεθος ὑπεμφαινοντος ἐστι τοῦ κατειληφότος. τὸν δὲ τὸν δεξιὸν τῇ ὑγρᾷ, τὸν ἀριστερὸν δὲ τῇ ξηρᾷ, οὐκ ἄλλως οἶμαι ἢ τῇ θέσει τῶνδε τῶν στοιχείων ἑπόμενος. ἀέρι γὰρ λεπτομερεῖ τὴν ὑπόστασιν ὄντι, τὸ ἁδρομερέστερον ὕδωρ ὑπόκειται, ὥσπερ[m] τῷ ὕδατι ἡ ξηρά[n]. οὐκ ἄλλως οὖν[o] οἶμαι ἢ ὅτι τὰ δεξιὰ ἀεὶ δυναμικώτερα τῶν ἀριστερῶν· ἀφ' οὗ καὶ Δαβὶδ τὸ, "δεξιὰ Κυρίου ἐποίησε δύναμιν," ἀνυμνεῖ, πλειόνων δηλαδὴ ὄντων τῶν κατὰ θάλασσαν ἀνοσιουργῶν, πειρατῶν λέγω καὶ καταποντιστῶν[p], ἐκ ναυμαχίας ἢ τινὸς ἄλλης ἐπιβουλῆς, τῆς ὑγρᾶς ὑποστάσεως ἀμοχθοτέραν τοῖς κακούργοις, καθ' ὧν ἐπιβούλως διάκεινται, τὴν ἔξοδον[q] παρεχομένης. ἐπεὶ οὖν ταῦτα, ἐπιτετευγμένως τὸ δυναμικώτερον τοῖς κακούργοις[r] προσνέμεται. καὶ ὅτι τοῦτο, ὁ θεοπάτωρ[s] ἐχέγγυος πιστώσασθαι[t], ἐν οἷς τὴν καθ' ἡμῶν τῶν ἐπιβούλων ἡμῖν δαιμόνων προσβολὴν, βοηθείᾳ ἡμῶν χρωμένων τῇ τοῦ ὑψίστου, ἐκ μὲν τοῦ ἀριστεροῦ κλίτους χιλιοπλασίαν τὴν πτῶσιν τῶν ἐν σκότει διαπορευομένων ἐπιβούλων ἡμῖν ὑπογράφων, τὸ δεκαπλάσιον τῷ δεξιῷ ἀφωρίσατο. καὶ περὶ μὲν τῆς ἐμβολῆς τῶν ποδῶν τοιαῦτα. τὸ δὲ κράξαι φωνῇ με-

[l] εἰρημένων παραδηλοῖ B. om. τοῦ Ἀποστ. [m] ὥσπερ πάλιν B. [n] ἡ γῆ B. [o] ἄλλως τε καὶ ἐπειδὴ τὰ δεξ. B. [p] καὶ καταπ. om. B. [q] διέξοδον B. [r] κακουργοτέροις B. [s] ὁ αὐτὸς θεοπ. B. [t] τοῦτο πιστώσ.

γάλῃ καὶ[u] λεοντιαίῳ ἀπηχήσει, τῆς ὀργῆς ἐστι σύμβολον. διὸ καὶ μυκηθμῷ παρεβλήθη. περὶ οὗ καὶ ἔφθημεν κατὰ τὸ ἡμῖν δ' ἐφικτὸν φιλανθρωπίᾳ Θεοῦ παραθέμενοι. ἑπομένως δὲ τῇ κραυγῇ αἱ ἑπτὰ βρονταὶ ἐλάλησαν. ταύτας δὲ τὰς ἑπτὰ βροντὰς, ἢ ἑπτὰ φωνὰς ἐξ ἑνὸς τοῦ αὐτοῦ διαρθρουμένας φοβερῶς Ἀγγέλου τὰς ἀγγελικὰς δυνάμεις εἶναι νομίζομεν, διὸ καὶ βρονταῖς ἀπεικάσθησαν. ἢ τὰ προειρημένα ἐν τοῖς ἔμπροσθεν ἑπτὰ πνεύματα. [x]τοῦτο γὰρ νοεῖν ἡμῖν ὑποβάλλεται ἡ τοῦ ἄρθρου πρόσθεσις, ἐν οἷς φησὶν, "ἐλάλησαν αἱ ζ' βρονταί." ἀεὶ γὰρ γραμματικῶν παῖδες τὰ ἄρθρα προεγνωσμένου τινὸς ἀναπόλησιν βούλονται ποιεῖσθαι.

Ὥσπερ λέων μυκᾶται.

Οὐ προσφυῶς ἐπὶ λέοντος ἡ διὰ τοῦ μυκᾶσθαι φωνή. ἐπὶ βοῶν γὰρ μᾶλλον, λέουσι δὲ τὸ βρύκειν ἢ βρύχειν[y] ἀφώρισται. ὅτι μέντοι τοῦτο οὐ παρέργως ἐπῆλθεν ἐρεῖν αὐτῷ[z], ὁ ταῦτα διεξιὼν συνετίζει, μὴ ἐπιμείνας τῇ τοῦ μυκᾶσθαι χρήσει, ἀλλὰ πρὸς τὸ ἔκραξε μεταβάς. περὶ μὲν οὖν λεόντων βοῆς ἀκριβολογουμένοις ταῦτα. ἐπὶ δὲ ἁμαρτωλῶν τιμωρουμένων ὀδυνηρᾶς φθογγῆς τί τὸ μᾶλλον[a] κατάλληλον, ἢ τὸ βρύκειν, ἀφ' οὗ βρυγμός[b]; τῷ συγκρουσμῷ γὰρ τῶν ὀδόντων τὸ ἄγαν αὐτοὺς πήγνυσθαι τῷ ἀναλογισμῷ*οση αυτει ἐν τῷ προσκαίρῳ τούτῳ βιῷ πλημμεληθέντων ἐν ἀνελπιστίᾳ τοῦ θάλπειν εἰδότος ** αὐτοῦ ὄργανεν τοῦ ἡλίου Θεοῦ ὥσπερ κρυμῷ κατειλημμένοι. ἀσταθούσης τῆς φυσικῆς δυνάμεως καὶ μὴ μένειν ἐν ἑαυτῇ οἷαστε οὔσης, κλόνῳ πιέζεται τῶν μελῶν. ἐξ οὗ καὶ τοῖς ὀδοῦσι τούτου προσγινομένου τὸ βρύκειν παρίσταται. βρύκειν δὲ ὠνομάσθη[c], ἀπὸ τοῦ βρώσει ἐοικέναι, ὡς ἐπὶ τοῦ ἐσθίειν ἀλλήλοις τῶν ὀδόντων συγκρουομένων.

4 Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, ἔμελλον γράφειν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν, σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, καὶ μὴ αὐτὰ γρά-

[u] μεγάλῃ καὶ om. B. [x] Quæ seq. om. Edd. [y] ἢ βρύχειν ded. e Cod. B. [z] ἐρᾶν· αὐτὸς ὁ B. [a] μᾶλλον om. B. [b] Hinc om. Edd. usque ad παρίσταται. [c] ὀνομασθέντος B.

5 ψῃς. καὶ ὁ Ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης
καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς
6 τὸν οὐρανόν. καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας
τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ,
καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ
7 ἐν αὐτῇ, ὅτι χρόνος οὐκ ἔτι ἔσται, ἀλλ' ἐν ταῖς ἡμέραις
τῆς φωνῆς τοῦ ἑβδόμου Ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν,
τελεσθήσεται τὸ μυστήριον τοῦ Θεοῦ, ὡς εὐηγγέλισε
τοῖς δούλοις αὐτοῦ τοῖς προφήταις.

Ἐντεῦθεν ἀριδήλως αἱ βρονταὶ ἀγγελικαὶ δυνάμεις γνωρίζονται. λαλεῖ γὰρ ἡ οὐσία, οὐχ ἡ βροντὴ, ἀπήχησις οὖσα, τῇ γενέσει καὶ τῷ εἶναι ἀφαιρουμένη.

Ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν.

Τοῦ γράφειν ἤτοι πρόδηλα ποιεῖν ἀνθρώποις διὰ γραφῆς τὰ ὁρώμενα ἐκωλύθη. σφραγῖδι δὲ οἱονεὶ ἀσφαλεῖ κατοχῇ ἐν τῇ διανοίᾳ σου συντήρει, φησὶν, ἔκφορον δὲ διὰ γραφῆς μήδ' ὅλως ποιοῦ· ἴσως ὅτι μὴ λυσιτελεῖ πρὸ τῆς παρουσίας τῶν τελευταίων καιρῶν ἐμφανίζεσθαι, ἐπεὶ καὶ Δανιὴλ ἐσφραγισμένους τοὺς τῶν τοιούτων λόγους ἐδιδάσκετο· λυσιτελεῖν δὲ τὸ ταμιεύεσθαι, εἰκαστικῶς εἴπομεν ἂν τῶν διαταξαμένων κολάσεων τὸ σφοδρὸν, φιλανθρωπίᾳ τοῦ ἐλεήμονος Θεοῦ μὴ ἰσόσταθμον ἐπάγοντος τὴν ἀντέκτισιν. ἐξ οὗ καὶ τὸ, "μὴ κατὰ τὰς ἀνομίας ἡμῶν, καὶ τὸ "κατὰ τὰς ἁμαρτίας ἀνταπόδομα[a]," ὁ ὑμνογράφος φησὶν ἐπιμετρεῖσθαι ἡμῖν[b]· ἀξίως δὲ τοῦ κολάζοντος τῆς εὐμενείας καὶ ἀγαθότητος, περὶ ἧς καὶ Γρηγόριος μὲν ὁ θεῖος τὸν λόγον περὶ τοῦ Ἀδὰμ φησὶ, "καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία· οὕτω γὰρ "πείθομαι κολάζειν Θεόν." καὶ ἐν ἑτέρῳ πάλιν ὁ αὐτὸς περὶ τῶν αὐτῶν. "οὔτε τὸν ἔλεον ἄκριτον, οὔτε τὴν κρίσιν ἀνήλεον." διὸ καὶ προμηθείας ἄκρας ἐχεμυθεῖν τὰ τοιαῦτα, καὶ μὴ ἐμφανῆ καθιστᾶν ἀκολάστοις καὶ νεωτέροις, ὡς Εὐάγριος βούλεται. "λανθανέτω," φάσκων "ταῦτα τοὺς νεωτέρους καὶ κοσμικοὺς ὁ "περὶ κρίσεως ὑψηλότερος λόγος· οὐ γὰρ ἴσασι πόνον ψυχῆς "λογικῆς καταδικασθείσης τὴν ἄγνοιαν." ὡς τῆς ἀγνοίας οὐκ ὄντος

[a] ἀνταπόδωμα B. [b] Hinc usq. ad fin. Sch. adj. B.

ἄλλου βασανιστηρίου κακοῦ ἐναμίλλου ψυχῇ λογικῇ, ἢ τὸ μετά γε Θεὸν τὸ πρὸς πάντα ἐγρηγορὸς συνουσίωται· παρὸ καὶ τῷ αὐτεξουσίῳ τετίμηται, ὡς μηδὲν ἐξ ἀγνοίας δυστυχεῖν ἐχούσης τῶν συνιστώντων αὐτήν. οὗ διολωλότος αὐτῇ, τί ἂν ἄλλο ζημιωδέστερον ἔσται;

Ἐλάλησαν αἱ ἑπτὰ βρονταί.

Τὰς βροντὰς, δυνάμεις ἀγγελικὰς εἶναι οἰητέον, βρονταῖς ἀπεικαζομένας διὰ τὸ καταπληκτικὸν τῶν ὑπ' αὐτῶν ἐκφωνουμένων. τοιαῦται γὰρ αἱ τῶν ἀσωμάτων ἁγίων Ἀγγέλων φωναὶ, καὶ ἀπ' αὐτῆς τῆς ἐμφανείας τὸ καταπληκτικὸν ἔχουσαι, ὡς δῆλον ἀπὸ τοῦ τὸν Δανιὴλ, μηδὲ προσηνῆ θέαν Ἀγγέλου, μήτιγε ἀπειλητικὴν, ἐνεγκεῖν. ὅτι δὲ αἱ ζ´ βρονταὶ οὐχ οὕτως ἑνὸς Ἀγγέλου φωνὰς ἀλλ' ἑτέρους ἁγίους Ἀγγέλους ἐκδεκτέον τοῦ πρώτου τῇ τάξει δευτερεύοντας, ὁ θεῖος Διονύσιος[c] ἱκανὸς πιστώσασθαι ἐκ τῆς κατ' αὐτὸν διωρισμένης ἀγγελικῆς εὐταξίας. σφραγίσαι δὲ τὰς τῶν ἑπτὰ βροντῶν ἀγγελίας ἡ ἐντολὴ παραδίδοται, τουτέστιν, ἐν ἀποῤῥήτῳ κατέχειν, ὡς τῆς περὶ τούτων τελείας καταλήψεως καὶ τρανοτέρας εἰδήσεως, τοῖς τελευταίοις χρόνοις ἀποκειμένης συμφερόντως.

Ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανόν.

Χεὶρ τῆς πράξεως σύμβολον[d]· ὥσπερ καὶ ὅταν λέγῃ Δαβὶδ "νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου." ἀντὶ τοῦ τὰς πράξεις μου ἀθώους ἤτοι ἀνενόχους ἀποφανῶ οὐδενὶ οἱάστε ἐπηρεάζοντι θορυβεῖσθαι. ἡ τῆς δεξιᾶς ἔπαρσις τὸ ἔμπρακτον τοῦ ὀμνύοντος ὑπαινίττεται καὶ δυναμικώτερον. διὸ καὶ εἴρηται, "δεξιὰ Κυρίου "ἐποίησε δύναμιν."

Ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας.

Δοκεῖ μὲν ἀνελλήνιστον εἶναι. ὀμνύειν γὰρ λέγεται κατά τινος, οὐκ ἔν τινι. πλὴν οὐκ ἀπαίσιον ἦν τὰ ἐν τῷ ζῶντι ὀμνύναι, τῷ κατὰ βούλησιν παριστᾶν τοῦ καθ' οὗ ὁ ὅρκος παρείληπται. Θεὸς μὲν, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὅπερ δι' ἔθος τοῖς ὀμνύουσιν, ὀμνύει καθ' ἑαυτοῦ. "καὶ κατ' ἐμαυτοῦ γὰρ

[c] Cit. e Dionys. om. Edd. [d] Hinc usq. ad. θορυβεῖσθαι om. Edd.

" ὤμοσα λέγει Κύριος." Ἄγγελοι δὲ ὡς κτίσμα κατὰ τοῦ κτίστου ὀμνύουσι, τὴν ἡμετέραν ἀπιστίαν διὰ τοῦ θείου τῆς παραλήψεως πιστούμενοι. ὤμοσε γὰρ χρόνον μηκέτι εἶναι, καλῶς καὶ ἀληθῶς, " ὅτι χρόνος οὐκ ἔσται ἔτι." τὸ γὰρ τότε διαστηματικὸν ῥεῦμα τῆς χρονικῆς ὑποστάσεως, ἀνέσπερόν τε ἔσται καὶ ἀδιάκοπον, καὶ διὰ τοῦτο οὐ χρόνος. τίς γὰρ ἡλιακοῦ φωτὸς χρεία ἢ συστολὴ καθ' ἣν ἀνάπαυσις τῶν ἀπὸ τῆς ἡμέρας κόπων τοῖς ζώοις ἐγγίνεται; χωρὶς δὲ τούτων, τίς ἡλιακοῦ φωτὸς χρεία; τῶν μὲν δικαίων φωτὶ καταλαμπομένων, ὃ ἐστι Θεὸς, τῶν ἀσεβῶν δὲ ἐν σκότῳ διατελουμένων τῷ πονηρῷ ἑαυτῶν συνειδότι. ἥλιος μὲν οὖν ἔσται, ὅτι μηδ' εἰς ἀνυπαρξίαν χωρήσῃ ὁ νῦν κόσμος, ἀλλ' εἰς ἀνακαινισμόν. ὥσπερ δὲ νῦν ἄστρα μέν ἐστι καὶ ἐν ἡμέρᾳ, οὐ μὴν καθορᾶται, ὑπερνικώντων τὴν ἐκείνων λαμπηδόνα τοῦ ἡλίου τῶν μαρμαρυγῶν, καὶ οὕτως, ὥστε ὅτι εἰσὶν ἐν οὐρανῷ ἀγνοεῖσθαι, οὕτω καὶ τότε. τὸ γὰρ ὅτι οὐδὲ μία αἰτία τοῦ εἰς ἀνυπαρξίαν χωρῆσαι παντελῆ τῷ νῦν κόσμῳ τέως ἀγνοεῖν, οὐχ ἡ τυχοῦσα ἄγνοια.

Ὅτι χρόνος οὐκ ἔτι ἔσται.

Χρόνον μὴ εἶναι ὤμοσεν, οὐ τῶν τηνικαῦτα, ἀλλὰ τῶν ὅτε μέλλει σαλπίζειν ὁ ἕβδομος Ἄγγελος. διὸ καὶ οὕτως ἀκουστέον μετὰ προσθήκης " ὅτι χρόνος οὐκ ἔτι ἔσται" ἀπὸ τοῦ νῦν. οὐ γὰρ οὖν κατὰ τοῦτο ὁ ὅρκος, ἀλλ' ὅτι ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου Ἀγγέλου. κατὰ σχῆμα δὲ ἐλλείψεως [b] εἴρηται. ἐλλείπει γὰρ τὸ, τότε ἔσται τοῦ χρόνου ἡ ἀπουσία, τοῦ τὸν ἥλιον μὴ μετρεῖν τὰ χρονικὰ διαστήματα. ὅτε γὰρ μέλλει σαλπίζειν ὁ ἕβδομος Ἄγγελος, τότε καὶ τὰ χρονικὰ διαστήματα ἐλλείψει, καὶ πᾶσα ἡ τῶν ἀσεβῶν ἐπιστήσεται κόλασις, διαφόροις ἐκδικίαις συντελουμένη. καιρῷ τοιγαροῦν τῷ προσήκοντι σαλπίζοντος, ἔσται συντέλεια, οὐ νῦν ὅτε ἐν τῇ θεωρίᾳ τὸ σαλπίσαι. κατὰ δὲ τὸν προσήκοντα καιρὸν καὶ τὰ σαλπίζοντα, τέλος λήψεται, φησὶ, καὶ τὸ μυστήριον ὃ εὐηγγέλισε Θεὸς τοῖς ἑαυτοῦ δούλοις τοῖς προφήταις. ἄχρι γὰρ τῆς κρίσεως καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων ἀντιδόσεως, προεφήτευσαν οἱ προφῆται. ὃ, καὶ Παύλῳ τῷ θείῳ

[b] καὶ ἐλλειπῶς δοκεῖ εἰρῆσθαι B.

δοκεῖ, γλώσσας τε παύσασθαι κατ' ἐκεῖνο καιροῦ, καὶ προφητείας καταργηθήσεσθαι. εὐαγγελισμὸν δὲ τὴν τούτων ἔκβασιν καλεῖ, διὰ τὴν ἡτοιμασμένην τοῖς ἁγίοις ἀνάπαυσιν.

8 Καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν
λαλοῦσα μετ' ἐμοῦ καὶ λέγουσα, ὕπαγε καὶ λάβε τὸ
βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ Ἀγγέλου
9 τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς. καὶ
ἀπῆλθον πρὸς τὸν Ἄγγελον λέγων αὐτῷ, δοῦναί μοι τὸ
βιβλιδάριον, καὶ λέγει μοι, λάβε καὶ κατάφαγε αὐτὸ,
καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου
ἔσται γλυκὺ ὡς μέλι.

Δεῖ πρὸς ἐντελεστέραν τῶν λεγομένων γνῶσιν τῷ προκειμένῳ ῥητῷ, ἢ τὸ ὑπαρκτικὸν ῥῆμα προσνέμειν, ὡς εἶναι οὕτως· "καὶ ἡ φωνὴ "ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, ἣν πάλιν λαλοῦσα μετ' ἐμοῦ καὶ λέ"γουσα." ἢ "ταύτην τὴν φωνὴν ἤκουσα πάλιν λέγουσαν μετ' ἐμοῦ." εἰ γὰρ μὴ καθὸ ἕτερον τούτων προενεχθείη ἐξακουόμενον τὸ προκείμενον ῥητὸν, ἢ τῷ ὑπαρκτικῷ συναρμολογούμενον ῥήματι· ἢ τοῦ ἐνεργήματος ἐξ εὐθείας πτώσεως εἰς αἰτιατικὴν πτῶσιν προαγομένην τοῦ λέγουσαν· ἵν' ᾖ τὸ ἐνέργημα κατ' αἰτιατικὴν προαγόμενην φημὶ δηλοῦσαν καὶ λέγουσαν μετὰ προσθήκης τῆς πρὸς τὸ ἐνέργημα προσοχῆς· τοῦτο δέ ἐστι τὸ "ἤκουσα πάλιν λέγουσαν, ὕπαγε καὶ "λάβε τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ Ἀγγέλου "τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς." κἀνταῦθα ἄλλη τις ἀγγελικὴ ὑπερτέρα δύναμις τῷ Εὐαγγελιστῇ ἐγκελεύεσθαι φαίνεται διὰ τοῦ βιβλίου[c] τὴν γνῶσιν τῶν χρησμῳδηθέντων ὑποδέξασθαι. τί δὲ ἐλάλει; λαβεῖν τὸ βιβλίον ἐκ τοῦ Ἀγγέλου.

Λάβε καὶ κατάφαγε αὐτό.

Κατὰ τὸ προσταχθέν μοι φησὶν ἀπῆλθον πρὸς τὸν Ἄγγελον αἰτῶν τὸ βιβλιδάριον, καὶ λαβὼν ἔφαγον κατὰ τὸ ἐκείνου πρόσταγμα, ὃ καὶ ἦν ὡς ἐδόκει καὶ τῷ δεδωκότι, γλυκὺ μὲν κατ' ἀρχὰς, διὰ τὴν τῶν μελλόντων γνῶσιν. τοῦτο γὰρ αἰνίττεται διὰ τοῦ στόματος, ὅτι δι' αὐτοῦ ἡ τοῦ ἐσθίειν ἀρχή. πικρὸν δὲ ἐν

c τῆς βίβλου B.

κοιλίᾳ, κοιλίαν, τὸ διανοητικὸν λέγων ἢ χωρητικὸν τῶν λογικῶν τροφῶν. ἐπεὶ γὰρ ἔγνω τὰς τῶν ἀσεβῶν κολάσεις ἐξ ἔργων ἐσχηκυίας τὴν ὕπαρξιν τῶν ἀπηχθημένων, διὸ καὶ ὡς βδελλυκταὶ Θεῷ, ἔγνω[d] καὶ ὡς τῷ τῆς θεωρίας ἠξιωμένῳ διὰ συμπάθειαν τοῦ ὁμογενοῦς πικρίας παραίτιον[e] γενήσεται ἡ γνῶσις[f] τοῦ ὁμογενοῦς ἐβδελυγμένου Θεῷ, καὶ διὰ τοῦτο κολάσεσιν ἀξίως ὑποβληθησομένου. [g]Ἔστι καὶ ἄλλως περὶ τοῦ πικροῦ θεωρῆσαι καὶ τοῦ γλυκέος. ἐπεὶ γὰρ ὁ ταῦτα ὁρῶν ἅγιος ἀπείρατος τοιούτων ἀνοσιουργιῶν ὑπῆρχεν· κελεύεται διὰ τῆς καταπώσεως τοῦ βιβλίου, αἵτε ὀνομασίαι καὶ αἱ πράξεις τῶν ἀσεβῶν καὶ αἱ διὰ ταύτας κολάσεις ἐνεφέροντο, τοῦτο καταπιεῖν· τοῦτο γὰρ τὴν ὡς ἔτυχεν πεῖραν ὑποβάλλεται· ἀλλὰ καταφαγεῖν, τουτέστιν ἐν πείρᾳ τοῦ πράξαντος γενέσθαι· ὡς καὶ αὐτουργὸν νομισθῆναι διὰ πολλῆς πειρᾶς ἐληλακότα τῶν τοιούτων, διόπερ καὶ κατ' ἀρχὰς μὲν διὰ τὴν γνῶσιν ἥτις ἀεὶ περισπούδαστος ἀνθρώπους γλυκύτητος ἔμφασιν παρασχεῖν· πικρίας δὲ διὰ τὴν ἀπαραλόγιστον γνῶσιν τῶν τῇ ἀμοιβῇ τῶν ἀνοσιουργιῶν ἑαυτῶν ὑποκειμένων. Ἔστι καὶ οὕτως περὶ τούτων εἰπεῖν. καὶ ἐπειδὴ ἐν τῷ βιβλίῳ τούτῳ πᾶσα ἐναπόγραφος ἡ τῶν ἐν τῷδε τῷ βίῳ ἐμπεπολιτευμένων[h] ἀγωγὴ, εἰκότως κατ' ἀρχὰς μὲν τῇ τῶν ἀγαθουργῶν ἐντυχίᾳ χαρμόσυνον γλυκανθῆναι ἐφαίνετο[i]. ἐπὶ πολὺ δὲ προβάντι, ὅπερ ἡ κατάποσις εἰσηγεῖται, καὶ ταῖς τῶν κακούργων περιενεχθέντι βδελυρίαις, ὀδύνης ἀναπλησθῆναι καὶ πικρίας· ὀδύνης, διὰ τὸν ἐκ τῶν βασάνων τῶν ἁμαρτωλῶν ὀλολυγμόν· πικρίας, ὅτι μὴ ἐνάμιλλον καὶ αὐτοὶ ὁμογενεῖς ὄντες τοῖς κατωρθωκόσιν ἠνέχθησαν. ἢ πῶς ἂν τὸ ἱερὸν λόγιον ἐκτελοῖτο τὸ "χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων" ὑποτιθέμενον;

ΚΕΦ. ΚΘ.

Ὅπως τὸ βιβλιδάριον ἐκ χειρὸς τοῦ Ἀγγέλου ὁ Εὐαγγελιστὴς εἴληφεν.

Καὶ ἔλαβον τὸ βιβλίον ἐκ τῆς χειρὸς τοῦ Ἀγγέλου,
10 καὶ κατέφαγον αὐτό. καὶ ἦν ἐν τῷ στόματί μου, ὡς

[d] ἔγνω om. B. [e] παρ. θεοφιλεῖ B. qui mox om. γενήσεται. [f] ὡς γν. B. [g] Quæ seq. init. seq. Cap. dant Edd. [h] ἐμπολιτευσαμένων B. [i] ἐφαίνετο om. B.

μελι γλυκύ. καὶ ὅτε ἔφαγον αὐτὸ, ἐπικράνθη ἡ κοιλία
11 *μου, καὶ λέγει μοι, δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ*
λαοῖς, καὶ ἐπὶ ἔθνεσι, καὶ γλώσσαις, καὶ βασιλεῦσι
πολλοῖς.

Καὶ λέγει μοι, Δεῖ σε πάλιν προφητεῦσαι.

Διὰ τούτων δείκνυται μὴ αὐτίκα μετὰ τὴν ὅρασιν τῆς ἀποκαλύψεως τὴν ἔκβασιν τῶν ὁραθέντων ἐπακολουθεῖν, ἀλλὰ δεῖν τὸν μακάριον τοῦτον πολλοῦ τοῦ χρόνου παρατεινομένου μέχρι τῆς συντελείας τοῦ θνητοῦ κόσμου τούτου, καθὸ ταῦτα τὴν πλήρωσιν λάβοι, πολλοῖς προφητεύσειν· εἴτε διὰ γνώσεως τοῦ Εὐαγγελίου αὐτοῦ ἐν ᾧ τινὰ τῶν μελλόντων ἐμφέρεται, ἢ καὶ διὰ τῆς προκειμένης Ἀποκαλύψεως. τοιγαροῦν ἐξ ἐκείνου ἄχρι τοῦ νῦν ὁ θεσπέσιος οὗτος προφητεύει· τότε μὲν αὐτόχρημα δι' ἑαυτοῦ διὰ τοῦ Εὐαγγελίου καὶ τῆς Ἀποκαλύψεως, ὡς ἤδη εἴρηται. οὐκ ἀγνοεῖν δὲ δεῖ ὡς ἀπὸ τούτου τοῦ ῥητοῦ τοῦ, "δεῖ σε πάλιν "προφητεῦσαι," ἔχουσι δόξαν οἱ πολλοὶ, ὡς μέχρι τῆς συντελείας ὁ μακάριος οὗτος Ἀπόστολος ζῶν ἥξει κατὰ τὸν καιρὸν[j] τοῦ Ἀντιχρίστου μετὰ Ἐνὼχ καὶ Ἡλιοῦ, ἅμα αὐτοῖς ἐπανορθούμενος[k] τοὺς τηνικαῦτα ἀνθρώπους, καὶ ὑπὸ τοῦ Ἀντιχρίστου ἀποκτανθήσεται[l].

1 *Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων, Ἔγει-*
ραι, καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ, καὶ τὸ θυσιαστή-
2 *ριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ, καὶ τὴν αὐλὴν*
τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρή-
σῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι, καὶ τὴν πόλιν τὴν ἁγίαν
πατήσουσι μῆνας τεσσαρακονταδύο.

Τὸν κάλαμον ὃν δεδόσθαι αὐτῷ ὁ Εὐαγγελιστής φησιν, εἴτε γνῶσίν τις ἐθέλοι καλεῖν νοερῶν πραγμάτων, καθὸ καὶ Δαβὶδ "κάλαμον ὀξυγράφου κεκτῆσθαι τὴν ἑαυτοῦ γλῶσσαν" αὐχεῖ, οἱονεὶ γλώσσης εὐμοιρῆσαι τρανοῦν ἐπιτηδείας ἅτε γράψας κάλαμος τὰ πρὸς γραφὴν ὑποκείμενα· ὡς οὖν ἐκείνῳ κάλαμος τροπικῶς

[j] οὗτος ζῇ, καὶ ἥξει Edd. ἥξει om. B. [k] ἐπανορθούμενοι B. [l] ἀποκτανθήσονται B.

εἴληπται, οὕτως καὶ νῦν τὸν Εὐαγγελιστὴν τὴν γνῶσιν τὴν[m] νοερῶς αὐτῷ ἐγγινομένην, διὰ καλάμου δόσεως φησὶ χρηματίσαι· ὃς καὶ ῥάβδῳ τῇ ὁμοιώσει ἀπείκαστο, τῆς ῥάβδου πάλιν τὸ ὑπερειστικὸν καὶ δραστήριον αἰνιττομένης, ὡς ὁ ὑμνόλογος "διὰ "ῥάβδου δόσεως τῆς ἀπὸ Κυρίου καὶ ἐκ Σιὼν τὴν κατακυρίευσιν "τῶν ἐθνῶν" εὐαγγελίζεται. τὴν τῶν νοερῶν τοίνυν γνῶσιν κἀνταῦθα διὰ τῆς τοῦ καλάμου δόσεως, ὑποδηλοῦντος τὸν χρηματισμὸν, ὡς δι' ἄλλων ἀψύχων, τοῦ θυσιαστηρίου λέγω καὶ θρόνου καὶ τῶν τοιούτων, οὐκ ἀπεικὸς ὑπολαβεῖν[n]. οὐ γὰρ ἄψυχα ταῦτα νοεῖν, οὐδ' ὡς ὁρᾶται, κατὰ τὸ κρεῖττον δὲ τῆς ὑπάρξεως καὶ νοερὸν, ἤγουν τὴν διακριτικὴν γνῶσιν τῶν ὁρωμένων, εἰς δόσιν ἄν[o] τις ἀλληγοροῖ. πῶς γὰρ ὁ κάλαμος ἄψυχος ὢν ἔλεγεν, "ἔγειραι[p] καὶ "μέτρησον τὸν ναὸν τοῦ Θεοῦ;" ἐκ τούτου οὖν δείκνυται ἀγγελικῇ συνέσει μετρεῖσθαι τὸν τοῦ Θεοῦ ναόν. εἰ δέ τις εἴποι ὑπὸ τούτου τοῦ Ἀγγέλου καὶ τὸν κάλαμον δεδόσθαι, καὶ ἀκηκοέναι αὐτὸν, "ἔγειρε καὶ μέτρησον τὸν ναὸν τοῦτον," φαμὲν τὸν κάλαμον μέτρον δηλοῦν γνώσεως ἀναλογοῦν τῷ λαμβάνοντι· ἤτοι γνώσεως ἄξιοι οἱ παρὰ Θεοῦ καὶ τῶν θείων Ἀγγέλων δι' ἔργων ἀγαθῶν γινωσκόμενοι· "ἔγνω γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ" θεῖόν φησι λόγιον. ταῦτα μὲν περὶ τούτων. ἐπειδὴ δέ τινες ἑτέρως περὶ τούτων διαφόρως ἠνέχθησαν, λέγω δὴ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, ἃ καὶ μετρηθῆναι τὸ πρόσταγμα, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ, ναὸν Θεοῦ καὶ θυσιαστήριον τὴν παλαιὰν τοῦ Θεοῦ διαθήκην ἀποφηνάμενοι, αὐλὴν δὲ τὴν νέαν, οὐ κατὰ σκοποῦ βάλλοντες, (οὕτω γὰρ ἂν εἴησαν τὰ παλαιὰ μυστικώτερά τε καὶ ἱερώτερα[q] τῆς κατὰ Χριστὸν διαθήκης, εἴγε καὶ ὁ ναὸς καὶ τὸ θυσιαστήριον τῆς αὐλῆς τιμιώτερα[s],) οὐχ οὕτως τὸ ἐπιτεταγμένον[s] τοῦ ἐξηγουμένου προβαίνειν εἰκός[t]. ἀλλ' εἰ μὲν ὅτι στοιχειωδέστερα τῆς νέας ἐκεῖνα, καὶ πρὸς θεοσέβειαν ἀρχαΐζοντα, ἐξ οὗ καὶ μετρητοὶ οἱ κατ' αὐτὴν τὸ ἀριστεῖον ἀπενεγκάμενοι, ἔχει τινὰ λόγον ἡ ἔκληψις, καθὸ καὶ τὰ νηπιώδη τῆς ἀνδρώδους ἡλικίας προτερεῖ· καὶ τὰ σκιαγραφούμενα τῶν χρωμάτων ἐπαλείψεως· εἰ δὲ πρὸς θεοπρέπειαν

[m] τῶν B [n] οὐκ ἀπ. ὑπολ. om. B. [o] ἂν om. B. mox ἀλληγορεῖ.
[p] ἔγειρε B. [q] θὲ ἱερωτερα B. mox νέας. [r] τιμιώτερα om. B.
[s] ἐπιτετευγμένως B. mox om. τοῦ. [t] προβαίνοντος B.

καὶ ἀνθρωπίνου ἤθους κατάστασιν, καὶ, ἵνα τρανότερον φῶ, τὴν[u] τοῦ πλάστου πρὸς ἡμᾶς κηδεμονικὴν φιλοστοργίαν[x], ἀπαράβλητος τῇ[y] νέᾳ διαθήκῃ ἡ κατὰ νόμον. ἐντεῦθεν καὶ τὸ παρ' ἐκείνῃ σπανίζον· διὸ καὶ ἀριθμῷ ὑποβέβληται ἡ τῶν θεοφιλῶν φημὶ εὕρεσις τῶν κατὰ τὴν νέαν καὶ ἀριθμὸν ὑπερτεινόντων. εἴη ἂν οὖν αὐλὴ ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἀπεριόριστος οὖσα καὶ τόπῳ καὶ τοῖς κατ' αὐτὴν τοποχωροῦσιν[z] ἔθνεσιν ἀνεικάστοις. μὴ θορυβείτω δὲ τὸ πρόσταγμα τὸ ἔξωθεν τοῦ ναοῦ ἐκβάλλον αὐτήν. οὐ γάρ τι ἄλλο, ἢ τῆς νομικῆς στενοχωρίας τῶν ἀκριβασμάτων, περιτομῆς, σαββατισμῶν, καὶ τῶν ἄλλων περιττῶν ἁγνισμάτων[a] ἐλευθέραν ἀποφαίνοντος εἶναι τὸν λόγον· καὶ τὸ αἴτιον, ὅτι ἔθνεσιν ἐδόθη μὴ ταῖς νομικαῖς παρατηρήσεσι ζῆν, ὅτι τὸ ἀπαρατήρητον τοῖς ἔθνεσι τοῖς κατὰ Χριστὸν βιοῦν ἐθέλουσιν ἐδόθη. τῷ δὲ τὴν πόλιν τὴν ἁγίαν πατηθῆναι μῆνας τεσσαρακονταδύο, πόλιν ἁγίαν τὴν Ἐκκλησίαν ἐκάλεσεν, ἣν ἴσμεν[b] πατεῖσθαι ὑπὸ ἐθνῶν, οἷς ἐδόθη οἱονεὶ ἐν αὐτῇ ἀναστρέφεσθαι, ὑπὸ μὲν Χριστιανῶν θεοφίλως, ὑπὸ δὲ ἀπίστων καταφρονητικῶς καὶ ὀλεθρίως. ἐπεὶ δέ τινες τὸ ἐκβεβλῆσθαι τὴν αὐλὴν τὴν τῶν ἀπίστων ἐθνῶν τε καὶ Ἰουδαίων συναγωγὴν ἐξεδέξαντο, οὓς καὶ ἐφυβρίστως ἐν αὐτῇ διαδιώκειν[c] φασὶ τοὺς πιστοὺς, μάλιστα κατὰ τὸν τοῦ Ἀντιχρίστου καιρὸν, κατὰ τῶν Χριστιανῶν τοῦτο ἐξειλήφασι[d].

Καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαρακονταδύο.

Τῶν τεσσαρακονταδύο μηνῶν τὸν χρόνον, συντομίας εἶναι δηλωτικὸν ὑπειλήφαμεν, κατὰ τὴν παρουσίαν τοῦ Ἀντιχρίστου, δι' ἣν θλιβερὰν οὖσαν ἄγαν τοῖς φιλοθέοις, ὁ ἀληθὴς[e] Θεὸς ὁ Χριστὸς κολοβοῦσθαι[f] αὐτὰς τὰς ἡμέρας λέγει. εἰσὶ δὲ οἱ τεσσαρακονταδύο μῆνες, τρία ἥμισυ ἔτη, ἐν οἷς συμβήσεται[g] τοὺς πιστοὺς καὶ δοκίμους πατεῖσθαι καὶ διώκεσθαι. [h]Οὕτω μὲν οὖν κατὰ τοὺς τὴν ἐκβολὴν τῆς αὐλῆς τὴν συναγωγὴν ἐξολέσαι εἰληφόσι τῶν

[u] τῆς B. [x] κηδεμονικῆς ἐλπίδος B. [y] τῇ om. B. [z] τοποχοῦσιν B. [a] ἁγνισμῶν B. [b] οἱ μὲν B. [c] διαβιώκειν B. mox om. φασὶ τ. πιστ. [d] τοῦτο ἐξειλ. om. B. [e] ἀληθινὸς B. [f] κολοβωθῆναι ταύτας B. [g] συμβήσεται om. B. [h] Quæ seq. om. Edd. usque ad fin. cap.

*ἀπίστων καὶ Ἰουδαίων. κατὰ δὲ τοὺς τὴν Ἐκκλησίαν δοξάζοντας, μ̅ μῆνας καὶ β, μὴ μόνον τῆς τοῦ Ἀντιχριστοῦ εἶναι παρουσίας, ἀλλὰ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως εἶναι σημαντικούς· οἳ πρὸς παράθεσιν τῶν ἀπ' ἀρχῆς κτίσεως κόσμου βραχεῖς τοὺς πρὸ Χριστοῦ τῆς παρουσίας μέχρι τῆς συντελείας λέγω· πόσος γὰρ οὗτος ὁ ἀπὸ Χριστοῦ τῆς παρουσίας οὐδόλως τῆς χιλιοστίας δραξάμενος πρὸς τὸν πεντακισχιλιόστον καὶ πλέον συμπληροῦντα παραμετρούμενος. εἰ δὲ τὸ καταπατεῖσθαι πρὸς τὸ ἀνειμένως ἀναστρέφεσθαι ἐκληφθὲν ἐμποδῶν τοῖς τοῦ Ἀντιχριστοῦ καιροῖς, θλιβερωτάτους ὄντας καὶ ἐπιμόχθους τοῖς εὐσεβέσι κατασταίη. εἶχεν ἂν οὖν ἡ ἔκληψις χάριν τοῖς θεοφιλέσι τὸ **νετον μετεδιωκε**το τοῦ βίου. ἐπεὶ δὲ καὶ τοῦ διδασκάλου τούτοις προαγγελία πρὸς θλίψεις τὰς ἐν τῷ κόσμῳ ὑπαλείφουσα καὶ ἀγῶνας, δι' ὧν φησὶν "ἐν τῷ κόσμῳ θλίψιν ἕξετε·" ἦν δὲ τοῖς μαθηταῖς εὐκταιότερον μάλιστα τοῦ θεανθρώπου ἢ τὸ κατὰ γνώμην τοῦ διδάσκαλον ὅσαι ἡμέραι χωρεῖν. πῶς ἂν τὸ ἐπίμοχθον οἰηθείη λογιεῖσθαι τοὺς θεολέκτους; ἀλλ' οὐ πολλῆς ἀνάμεστον ἡδονῆς τὸ τοῖς δεινοῖς τοῦ βίου ἐγκαρτερεῖν, προξένοις οὖσι τῆς ἀϊδίου μακαριότητος; διὰ ταῦτα μὲν οὖν ἀνθεκτέον τῆς περὶ τὴν ἐκβολὴν τῆς αὐλῆς εἰς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ἐκλήψεως.*

ΚΕΦ. Λ.

Περὶ Ἐνὼχ καὶ Ἠλία διελέγχειν μελλόντων τὸν Ἀντίχριστον.

3 Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύ-
σουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλη-
4 μένοι σάκκους. οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο
5 λυχνίαι ἐνώπιον τοῦ Κυρίου τῆς γῆς ἑστῶτες. καὶ εἴ
τις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ
στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. καὶ
εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκταν-
6 θῆναι. οὗτοι ἔχουσι τὸν οὐρανὸν ἐξουσίαν κλεῖσαι, ἵνα
μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν. καὶ
ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς

αἷμα, καὶ πατάξαι τὴν γῆν, ὁσάκις ἐὰν θελήσωσιν, ἐν πάσῃ πληγῇ.

Ἐπειδὴ πάντα ἐν τῇ ὀπτασίᾳ διεπλάσθη τῷ Εὐαγγελιστῇ, τὰ κατὰ τὴν ἔνσαρκον τοῦ Κυρίου οἰκονομίαν, ἡ γέννησις, οἱ πειρασμοὶ, αἱ διδασκαλίαι, αἱ κατ' αὐτοῦ παροινίαι, ὁ σταυρὸς, ἐπὶ τούτοις καὶ ἡ ἀνάστασις, ἡ δευτέρα τε παρουσία· καὶ πρὸς τούτοις, ἡ τῶν ἁγίων τε καὶ ἁμαρτωλῶν ἀντίδοσις· μόνα δὲ παρελείφθη τὰ τῆς δευτέρας παρουσίας. ἐξ ὑποστροφῆς νῦν τὰ περὶ τούτων διδάσκεται. καὶ ὅτι μὲν Ἠλίας ἥξει ὁ προφήτης δῆλον[h], προαγορευσάσης τῆς γραφῆς διὰ Μαλαχίου χρησμῳδοῦντος, "ἰδοὺ "ἐγὼ ἀποστέλλω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν "ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ· ὃς ἀποκαταστήσει "καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν "πλησίον αὐτοῦ." [i]ἀλλὰ καὶ ὁ Χριστὸς περὶ Ἰωάννου τοῦ βαπτιστοῦ, ὡς ὁ Ματθαῖός φησι τοῦτο τὸ λόγιον * * φάσκων· "καὶ εἰ θέλετε δέξασθαι, οὗτος ἐστὶν Ἠλίας ὁ μέλλων ἔρχεσθαι," τὴν κατάδοσιν προφητεῦσαι. ἀλλ' ἐπειδὴ πολλὴν εἶχεν ὁμοιότητα καὶ ἡ πρώτη τοῦ Κυρίου παρουσία πρὸς τὴν ἐσχάτην, τὰ πρὸς ἐπιστροφὴν τῶν πλανωμένων διοικουμένη ὑπὸ ὁμοίῳ τὴν δίαιταν ἀνδρὶ τῷ Θεσβίτῃ· διὰ τοῦτο, ὡς μὴ τῆς κυρίας ἐφεστώσης, ὁμοίας δὲ, ἐπ' ἐκείνοις τὴν καταδοχὴν τίθησιν. εὐγνωμονοῦσιν γὰρ οὐδὲν τὸ διάφορον τῆς χρείας τῆς παρουσίας, εἰ μὴ χρόνου. τῆς γὰρ ἐπιστροφῆς ταύτης οὐδὲν πρὸς ἐκεῖνο τὸ διαλλᾶττον· περὶ μὲν οὖν Ἠλία ταῦτα. περὶ δὲ τοῦ Ἐνὼχ, μαρτυρίαν μὲν ὅσον πρὸς τὴν παρουσίαν ἀπὸ τῆς γραφῆς οὐκ ἔχομεν, πλὴν τοῦ διὰ μεταθέσεως ἀπαθανατισθῆναι. λόγος δὲ φέρεται ἐκ παραδόσεως φοιτῶν τῇ Ἐκκλησίᾳ ἀπαρατρέπτως[j], καὶ αὐτὸν ἥξειν μετὰ Ἠλιοῦ τοῦ Θεσβίτου, (φασὶ γὰρ αὐτοὺς κατὰ τὸν καιρὸν τοῦ Ἀντιχριστοῦ ἥξειν καὶ προδιαμαρτύρασθαι τοῖς οὖσι τότε, μὴ τοῖς ἀπατηλοῖς τοῦ Ἀντιχρίστου παράγεσθαι σημείοις,) καὶ τῇ διαμαρτυρίᾳ ταύτῃ τριβῆναι χρόνον τριετίας καὶ ἡμίσεως. τοῦτο γὰρ αἱ χίλιαι διακόσιαι ἑξήκοντα ἡμέραι χρονικὸν ἀποτελοῦσι

h δῆλον om. B. i Quæ seq. om. Edd. usque ad Ἠλία ταῦτα.
j λόγος δὲ ἐκ παραδόσεως τῇ ἐκκλ. φ. ἀπαράτρεπτος B.

διάστημα. ἡ δὲ τῶν σάκκων περιβολὴ, τὸ μετὰ εὐτελείας προβῆναι καὶ πένθους καὶ σκυθρωπότητος παριστᾷ[k]. τούτους τοὺς δύο οὓς ἐλαίαις Ζαχαρίας ὁ προφήτης ἀπεικάζει, καὶ λυχνίαις δυσίν· ἐλαίαις, διὰ τὸ, τὸ ἔλαιον τὴν τροφὴν τοῦ φωτὸς πηγάζειν, λυχνίαις δὲ, ὅτι ὄχημα τῆς ἀληθείας γεγόνασιν. ἥτις τὸ δι' ἀρετῶν ἀληθινὸν φῶς ὀνομαζόμενον ὑποδύεται, καὶ φρυκτωρεῖ[l] τοὺς πελαγίζοντας[m], ὃ καὶ αὐτοῖς περιγίνεται παρρησιάζουσι. τῷ δὲ ἐνώπιον ἑστᾶναι τοῦ Κυρίου τῆς γῆς τί ἂν ἄλλο σημαίνει, ἢ τὸ ἀγχοτάτως[n] τοῦ κριτοῦ ζώντων καὶ νεκρῶν τῆς αὐτῶν παρουσίας τὴν ἔφοδον γίνεσθαι[o];

[p]Περὶ τῶν δύο ἐλαίων καὶ λυχνιῶν Ζαχαρίας ὁ προφήτης εἶδεν λυχνίαν ἑστῶσαν, ἑπτὰ λύχνους ὑπερείδουσαν καὶ δύο κλάδους ἐλαίων· ἀλλὰ τοὺς κλάδους ἑστῶτας ἐν δύο λύχνων μυξωτῆρσιν· οὕτω πῶς λέγει, ὅτι δύο κλάδοι τῶν ἐλαίων οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν, μυξωτῆρας λέγων τὸ πρὸς τὸ χεῖλος τοῦ λύχνου μέρος κατ' ἐξοχὴν κοιλαινόμενον πρὸς ὑποδοχὴν τῆς θρυαλλίδος. καὶ πρὸς ταύτην τὴν πεῦσιν ἤκουσε παρὰ τοῦ χρηματίζοντος Ἀγγέλου· τοὺς υἱοὺς εἶναι τῆς πιότητος, οἳ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς. τούτους ἀπαραλογίστως κἀνταῦθα ὁ τὴν Ἀποκάλυψιν διασκευάζων τῷ Ἀποστόλῳ ὑποφαίνει, ὅτι μὴ ἀλλαχόθεν ἐστὶν εὑρεῖν τὴν τῶν ἐλαιῶν χρῆσιν, ἢ ἀπὸ τοῦ εἰρημένου Ζαχαρίου τῆς προφητείας. καὶ ὅτι ἀπὸ τούτου ἡ λῆψις τοῦ προφήτου τὸ μετὰ τῶν ἄρθρων κεῖσθαι τὸ, ὅτι "οὗτοι εἰσὶν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι," βεβαιοῖ· τὰ ἄρθρα γὰρ ἀεὶ πρὸς προεγνωσμένον τι ἀναφέρουσι, πλὴν ὅτι τοὺς ἐκεῖ δύο μυξωτῆρας, ἐνταῦθα δύο λυχνίας ἐκάλεσε. καὶ ὡς ἐκεῖ μὲν ἀπὸ μέρους τὸ ὅλον δηλῶν προφητικῇ συντομίᾳ καὶ κρυφιότητι· ἐνταῦθα δὲ τῇ κατὰ Χριστὸν ἐπιδημίᾳ ἐκφαντορικῶς κεχρημένη τοῖς κατὰ νόμον τε καὶ προφήταις αἰνίγμασι, τοὺς μυξωτῆρας εἰς λυχνίας μετέλαβεν. ἥτις λυχνία καὶ τῶν λύχνων ὄχημα, ἐν οἷς καὶ τὸ τῆς θείας φιλανθρωπίας σύμβολον ἔλαιον τεθησαύρισται, καὶ τὸ ἐλλύχνιον τοῦ φωτὸς χορηγὸν, τοῦ νόμου μηδὲν φιλανθρωπίας ἐπιφαίνοντος, εἰ μὴ ὅσον ὑπολυχνιαία

[k] παριστᾷν B. [l] φρυκτορεῖ B. [m] πελάζοντας Edd. [n] τῷ ἀγχοτάτῳ Edd. [o] γενέσθαι B. [p] Hoc Sch. car. Edd.

αὐτῇ ἀμαυρά· ὥσπερ ὅταν ἀγαπᾶν μὲν τὸν φίλον διαγορεύει, μισεῖν δὲ τὸν ἔχθρον. ὅτι μὲν οὖν ἐλαῖαι καὶ αἱ δύο λυχνίαι οἱ προμαρτύρασθαι προβεβλημένοι ἐνώπιον τοῦ Κυρίου τῆς γῆς οἱονεὶ ἐκκαλύπτεσθαι, εὐπρεποῦς οὔσης τῆς δευτέρας τοῦ Κυρίου παρουσίας, τοῦτο γὰρ τὸ κατενώπιον βούλεται δηλοῦν, εἴρηται ἤδη.

Πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν.

[q]Τοῦτο τῶν λίαν πιστοτάτων. εἰ γὰρ ὁ εἷς αὐτῶν Ἡλίας τοιαύτην ἔσχεν ἐξουσίαν καὶ πρώην, πῶς ἄπιστον πληροῦντα τὴν Χριστοῦ διακονίαν καὶ προτρέχοντα τῆς παρουσίας αὐτοῦ, μὴ οὕτως ἐν σημείοις καὶ τέρασι προβῆναι; ἐπειδὴ γὰρ ἡ παρουσία τοῦ Ἀντιχριστοῦ, ὡς καὶ Παῦλος φησὶ, κατ' ἐνέργειαν γίνεται τοῦ Σατανᾶ ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους· ὁλικὸν γὰρ τοῦτο εἰς συγκατάθεσιν καὶ πίστιν τὸ τερατουργεῖν. φημὶ δὲ παρὰ τοῦτο καὶ οἱ δύο οὗτοι προφῆται οἱ περὶ αὐτοῦ λέγοντες, σημείοις χρήσονται καὶ αὐτοὶ δυνατοῖς, διὰ τοῦ ἀληθινοῦ ἑαυτῶν τὰ κατὰ πλάνην καὶ ἀπάτην ἐλέγχοντες, καὶ τοὺς ὁρῶντας εἰς πίστιν καὶ συγκατάθεσιν ἕλκοντες. βαβαὶ δὲ τῆς θείας ἀγαθότητος ἀντίρροπον τῇ πλάνῃ τὴν ἀλήθειαν ἀντιταξάσης! ἐν δυνάμει γὰρ ἀληθινῶν σημείων καὶ τεράτων τοὺς ἁγίους τούτους καθοπλίσασα, τοὺς ἐναντίους αὐτοῖς καταισχυνεῖ· μετὰ τῶν τεράτων τῶν ἀληθῶν καὶ λόγοις διδασκαλικοῖς ἐπιστρέφοντας, καὶ πρὸς τούτοις καὶ μάστιξιν, ἀνομβρίας λέγω καὶ πυρὸς, καὶ ταῖς τῶν στοιχείων μεταπτώσεσιν ἐπὶ τὸ βλαπτικὸν προχωρούσαις τοῖς ἀνεπιστρόφως διακειμένοις[r], ἀντίρροπον κομιζομένων τῆς κατὰ ἁγίων λύσσης καὶ μιαιφόνου ὁρμῆς τὴν παιδείαν· καὶ οὕτω μὲν οἱ ἀσύνετοι καὶ ἀπειθεῖς. οἱ δὲ βελτίους καὶ πρὸς ἐπιστροφὴν ἀπιδόντες κατὰ τὸ, "ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα," καὶ τὸ, "ὃν ἀγαπᾷ "Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται" καὶ "ἐν κημῷ καὶ χαλινῷ τοὺς μὴ ἐγγίζοντας πρὸς αὐτὸν ἄγχοντα," ἐκέρδαναν, εἰ καὶ βιαίως, ἀλλ' οὖν τὸ σωτήριον αὐτοῖς ἐπιβραβευθὲν παρὰ τοῦ μὴ ἁμαρτωλοῦ τὸν θάνατον θέλοντος, ἀλλὰ πολυτρόπως τὴν δι' ἐπιστροφῆς τὴν μετάνοιαν αὐτοῦ διοικουμένου.

[q] Quæ seq. solus habet B. usque ad οἱ π. αὐτ. λέγοντες. [r] τῶν ἀνεπ. διακειμένων B.

Καὶ πατάξαι τὴν γῆν.

Ἀντιρρόπως κατὰ θείαν χρηστότητα τῇ πληγῇ ἐπιφέρεται καὶ ἡ ἴασις. ἐπειδὴ γὰρ ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους, πάντων φαρμάκων καὶ ἐπαοιδῶν ἔσται περιφανέστερος ὁ ψευδόχριστος κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ὁ ἀγαθὸς Θεὸς τοὺς ἁγίους τούτους καθοπλίσει ἐν δυνάμει σημείων ἀληθινῶν, τῇ παραθέσει τούτων τὸ ψεῦδος ἀπελέγξοντας. καὶ τοὺς πεπλανημένους παντοίοις εἴδεσιν ἐπιστροφῆς ἐπανάξοντας, τὸν δὲ πλάνον παραδειγματίσοντας, καὶ μηδὲν πεισομένους ὑπ' ἐκείνου λυπηρὸν μηδ' ὑφ' ἑτέρου, ἄχρι περάτων τῆς ἑαυτῶν προφητείας.

7 Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον
τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου, ποιήσει μετ' αὐτῶν
8 πόλεμον, καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτούς· καὶ
τὸ πτῶμα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς
μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴ-
9 γυπτος, ὅπου καὶ ὁ Κύριος αὐτῶν ἐσταυρώθη. καὶ
βλέπουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ
ἐθνῶν τὸ πτῶμα αὐτῶν ἡμέρας τρεῖς ἥμισυ. καὶ τὰ
10 πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνῆμα· καὶ
οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαρήσονται ἐπ' αὐτοῖς, καὶ
εὐφρανθήσονται, καὶ δῶρα δώσουσιν ἀλλήλοις, ὅτι
οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας
ἐπὶ τῆς γῆς.

Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν.

Ποίαν; ὅτι οὗτος ὁ παρὼν οὐκ ἔστιν ὁ Χριστός. ἀπατεὼν δὲ καὶ ὀλέθριος πλάνος. ἥξει δὲ, ὅσον οὔπω, ὁ τοῦ Θεοῦ Υἱὸς, ᾧ καὶ πιστευτέον ὡς Σωτῆρι, καὶ ἐπὶ εὐεργεσίᾳ τῶν ἀνθρώπων καὶ πάλαι παραγεγονότι, καὶ νῦν παραγινομένῳ.

Τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου.

Θηρίον τὸν Ἀντίχριστον λέγει, διὰ τὸ ὠμὸν καὶ ἀπάνθρωπον καὶ αἱμοβόρον. ἄβυσσον δὲ τὸν τῶν ἀνθρώπων βίον, τὸν πικρὸν

ταῖς ἁμαρτίαις καὶ λυπηρὸν[q] καὶ ἀστατοῦντα ταῖς περιφυσήσεσι καὶ ἀντιπνοίαις τῶν πονηρῶν πνευμάτων. οὐ γὰρ ἐξ ἄλλης φύσεως ἐγερθήσεται ὁ ἀλιτήριος οὗτος, ἀλλ' ἐκ τῆς ἡμετέρας καὶ ἀνθρωπίνης οὐσίας. ἄνθρωπος γὰρ ἔσται κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ὡς ἤδη εἴρηται. τοῦτο οὖν φησὶ, τὸ θηρίον πολεμήσει[r] τοῖς ἁγίοις τούτοις προφήταις, ἀποκτενεῖ αὐτοὺς, καὶ τὰ σώματα αὐτῶν ἄταφα ῥίψει ἐν ταῖς πλατείαις τῆς Ἱερουσαλήμ. ἐν αὐτῇ γὰρ βασιλεύσει ὡς Ἰουδαίων βασιλεὺς, οὓς ἀπατήσει καὶ ἕξει[s] πρὸς πάντα ὑπουργοῦντας καὶ πειθομένους. καὶ ὁ Κύριος παρὰ Ἰωάννῃ, "ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ "λαμβάνετέ με. ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον "λήψεσθε." Σόδομα δὲ τὴν Ἱερουσαλὴμ καὶ Αἴγυπτον[t] πνευματικῶς φησὶ καλεῖσθαι, οἱονεὶ κατὰ ἀλληγορίαν· Σόδομα, διὰ τὴν τότε ἀσέλγειαν ἐν αὐτῇ ἐσομένην Ἰουδαίων καὶ κακοξενίαν· Αἴγυπτον, ὡς καταδουλουμένην καὶ ἀδικοῦσαν τοὺς Χριστοῦ δούλους, ὡς καὶ ἐκείνη τὸν Ἰσραήλ.

[u]Καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτούς.

Μετὰ τὸ διαμαρτύρασθαι, φησὶ τῆς ἀπάτης τὴν ἀποφυγὴν τὸ θηρίον ὁ Ἀντίχριστος ἀπὸ τῶν σκοτεινῶν καὶ βυθίων τῆς γῆς χώρων ἐξιὼν, εἰς οὓς κατεδικάσθη ὁ διάβολος, τῇ τοῦ Κυρίου διὰ σαρκὸς ἐπιδημίᾳ, πολεμήσει μετ' αὐτῶν καὶ νικήσει αὐτοὺς, καὶ ἀνελεῖ κατὰ θείαν συγχώρησιν, καὶ ἀτάφους ἐάσει.

Καὶ τὸ πτῶμα αὐτῶν.

Τῶν πτωμάτων αὐτῶν ἤτοι τῶν σωμάτων, ἃ πτώματα λέγεται διὰ τὸ τῆς ἑαυτῶν ἐν τῇ ζωῇ δόξης καὶ τοῦ ὕψους διὰ τοῦ θανάτου ἐκπεπτωκέναι, ταῦτα ἄταφα ποιήσει κατὰ τῆς πλατείας τῆς παλαιᾶς Ἱερουσαλὴμ καὶ κατεστραμμένης. ἐν αὐτῇ γὰρ καὶ βασιλεύσει ὡς Ἰουδαίων βασιλεὺς, εἰς παράστασιν δῆθεν τοῦ προφητικοῦ λογίου, τοῦ "ὅτι ἀναστήσω τὴν σκήνην Δαβὶδ τὴν "πεπτωκυίαν," καὶ κατὰ μίμησιν τοῦ ἀληθινοῦ Χριστοῦ. ὃς καὶ αὐτὸς ἐκεῖ κατὰ σάρκα γεγέννηται. τούτῳ γὰρ τῷ προφητικῷ ἐκτραχηλιζόμενοι Ἰουδαῖοι εἰς τὴν ἐκείνου παρουσίαν ἀνατιθέασιν.

[q] ἁλμυρὸν B. [r] πολεμῆσαν B. [s] ἀπατήσας ἕξει B. [t] καὶ Αἴγ. om. B. [u] Duo Sch. quæ seq. om. Edd.

Ὅπου καὶ ὁ Κύριος αὐτῶν ἐσταυρώθη.

Κύριος, τῶν δύο μαρτύρων δηλονότι.

Καὶ βλέπουσιν ἐκ τῶν λαῶν.

Ὁρῶντες δὲ οἱ τῷ Ἀντιχρίστῳ ἐκ πάσης φυλῆς ἐξηπατημένοι Ἰουδαῖοι τὴν ἀναίρεσιν τῶν δύο μαρτύρων, χαρήσονται, ὡς τοῦ σφῶν βασιλέως νενικηκότος, καὶ δώροις χαριστηρίοις δεξιώσονται ἀλλήλους. καὶ τὰ σώματα αὐτῶν ἄταφα ποιήσουσι μεῖναι, ἀμοιβὴν τοῦτο παρέχοντες τοῖς δύο προφήταις. [s] βασάνου μὲν αἰσθητῆς οὐδεμιᾶς· οὐ γὰρ αἰσθητὰ αὐτῶν σώματα αἱ πληγαί· ἀλλ' ἢ ἄρα εἰς τὴν κτίσιν· ἢ καὶ ταῖς ἑαυτῶν ἐπισκώπτοντες ἁμαρτίαις καὶ διελέγχοντες καὶ τὴν ἀπάτην ἑαυτῶν ἀνακαθαίροντες βασανίσωσιν ὄντως.

ΚΕΦ. ΛΑ.

Ὅπως ἀναιρεθέντες ὑπὸ τοῦ Ἀντιχρίστου ἀναστήσονται Ἐνὼχ καὶ Ἡλίας, καὶ τοὺς ἠπατημένους ἐκπλήξουσιν.

11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς
ἐκ τοῦ Θεοῦ εἰσῆλθεν εἰς αὐτοὺς, καὶ ἔστησαν ἐπὶ τοὺς
πόδας αὐτῶν, καὶ φόβος μέγας ἔπεσεν ἐπὶ τοὺς θεω-
12 ροῦντας αὐτούς. καὶ ἤκουσα φωνὴν μεγάλην ἐκ τοῦ
οὐρανοῦ λέγουσαν αὐτοῖς· ἀνάβητε ὧδε. καὶ ἀνέβησαν
εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ
13 ἐχθροὶ αὐτῶν. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς
μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσεν. καὶ ἀπεκτάν-
θησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτὰ,
καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο, καὶ ἔδωκαν δόξαν τῷ
14 Θεῷ τοῦ οὐρανοῦ. ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν. ἡ οὐαὶ ἡ
τρίτη, ἰδοὺ ἔρχεται ταχύ.

Ἰσαρίθμους ἡμέρας τοῖς ἔτεσι τῆς προφητείας νεκρωθέντας ἀναστήσειν φησίν [t]. ἐξέστη [u] πάλιν χρονικῆς δηλώσεως ἀπὸ μελλούσης συντελείας εἰς παρωχημένην μετακρουσθεὶς, κἀνταῦθα [x]

[s] Quæ seq. om. Edd. [t] ἀνέστησαν om. φη. B. [u] ἐξ ἔτι τῆς χρον. Edd. [x] κἀνταῦθα om. B.

τὸ ἀπαράβατον τῶν δηλουμένων σοφῶς πῶς ἐμφανὲς[y] μετὰ τῆς πρεπούσης καθιστῶν ἀκριβείας.

Καὶ φόβος μέγας ἔπεσεν.

Φόβος μέγας εἴρηται ἤτοι καὶ αἰσθητῶς συμβαίνων τότε, τούτων μελλόντων, ἢ καὶ ἑτέρως[z]. παρουδὲν δὲ περὶ τούτων ἀσχολεῖσθαι χρὴ, ἀφ' ἑκατέρου τῇ ψυχῇ τῶν ἐγρηγορέναι φιλούντων, τοῦ σωτηρίου θεαρέστως[a] ποριζομένου.

Καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ.

Νεφέλη ἀεὶ τῶν θείων πραγμάτων ὑπουργὸς, ἤτοι περιπολοῦσα, ὡς ἐν τῷ, "νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ." ἢ καὶ ὀχοῦσα ὥς περ ἐν ἄλλοις καὶ δὴ καὶ ἐνταῦθα. ἡ γὰρ νεφέλη εἴρηται[b] ἀπὸ νεφῶν, τὸ παχὺ καὶ ὑδατῶδες ἀποβαλόντων, ἃ νέφη ἐξ ἀναθυμιάσεως τῆς ὑγρᾶς οὐσίας πέφυκε τὴν ὑπόστασιν λαμβάνειν τῇ ἐξατμίσει. τοιγαροῦν τῶν νεφῶν τῆς νεφέλης τὸ εἶναι οἰκειουμένων, ἐνθεωρεῖται ἐν αὐτῇ ἀδηλία τις μετά τινος αἴγλης, ἥτις ἐξ ἀνακλάσεως ἡλιακῆς ἀκτῖνος, κατ' ἔμπτωσιν ἐκτελεῖται. διόπερ καὶ ἀεὶ τοῖς θείοις δηλώμασι συμπαρομαρτεῖ, ἐκεῖνο αἰνιττομένη, ὡς τὰ θεῖα[c] οὔτε πάντη ἄδηλα[d] ἡμῖν, οὔτε πάντως ἐκδήλως παρεχόμενα[e], ἀλλ' οἷον ἀκράτου φωτὸς ἔλλαμψις[f] τῇ κρυφιότητι ὑπογυμναζομένη[g]. κατ' αὐτὸ δὴ τοῦτο καὶ νῦν ἡ νεφέλη τῇ πρὸς οὐρανὸν ἀνόδῳ τῶν προφητῶν ὑπηρετεῖ. διὸ καὶ, ὡς ἔθος[h], τὰ τοιαῦτα μετὰ τοῦ ἄρθρου παρείληπται. ἐν τῇ νεφέλῃ γὰρ ἀναβῆναι[i] φησὶν, οὕτω τῆς μνήσεως ἐντελλομένης, τῶν ἄρθρων, ὡς πρὸ μικροῦ ὑπεμνήσαμεν, προεγνωσμένου τινὸς ἀναπόλησιν εἰσηγουμένων. καὶ περὶ μὲν νεφέλης, ταύτῃ τεθεωρείσθω, ἥτις[k] κατὰ τὸ ἕτοιμον τῆς λέξεως, νεφέλη εἴρηται διὰ τὸ ἀπὸ νέφους τὴν ὑπόστασιν ἐσχηκέναι ἀποτιναχθέντος[l] πᾶν τὸ παχὺ καὶ ὑδατῶδες. ἀναθυμίασις γὰρ ὑγρὰ τὰ νέφη συνίστησιν, ἧς ἀποτιναχθείσης εἰς ὑετὸν, καὶ οἱονεὶ πέψεως[m] γενομένης, τὸ ἄπεπτον τούτου εἰς νεφέλης χωρεῖ γένεσιν· ἥντινα[n] δὲ[o] λεπτό-

[y] τῶν δηλ. ἐμφ. καθιστῶν B. [z] ἑτέρως πως οὐδὲν περὶ τ. B. [a] θεαρέστως om. B. [b] εἴρηται om. B. [c] τῶν θείων B. [d] ἀδήλων B. [e] παρεχομένων B. [f] λάμψις B. [g] ὑπολιγαζομένη B. [h] ἐθὰς B. [i] ἀνιέναι τῆς μνησ. B. [k] εἴτις B. [l] ἀποτειναχθέντος B. [m] πέμψεως Edd. [n] εἴτινα B. ᾗ τινι Edd. [o] διὰ Edd.

τητα καὶ διαφάνειαν καὶ ῞Ελληνες[l] ἤτοι φῶς ἡλιακὸν ἐμφιλοχωρεῖ, ὡς εἶναι οἱονεὶ νέφος πεφωτισμένον καὶ διαυγές[m].

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς μέγας.

[n]Δηλοῦ γινομένου ὡς καὶ αἰσθητῶς συμβαίνειν μελλόντων τούτων καὶ νοητῶς κατὰ θεωρίαν, πρὸς οὐδὲν τούτων ἀπαγορευτέον. τὸν γὰρ σεισμὸν νοητῶς καὶ ἐπὶ τῶν σαλευομένων τὴν μετάθεσιν ἐπὶ τὸ σταθερὸν καὶ βέβαιον δηλοῦν νομίζομεν. τὸ δέκατον δὲ τῆς πόλεως πίπτειν τὸ τῆς ἀσεβείας πτῶμα, μήτε τῇ τῶν ἀναιρεθέντων ἀπαλείψει σωφρονισθέντων, ὡς τῶν λοιπῶν σωθησομένων. αἱ γὰρ ζ' χιλιάδες ἀναιρούμεναι τοὺς τῷ ἑβδοματικῷ χρόνῳ προστετηκότας τοῦ παρόντος βίου, καὶ τὴν ὀγδόην τῆς ἀναστάσεως μὴ ἀναμένοντας, σημαίνειν φαίνεται, οὓς καὶ ἀποκτανθῆναι τὸν ἐν τῇ γεέννῃ αἰώνιον τῆς κολάσεως θάνατον. ὡς οὐχ οἷόν τε τὸν αἰσθητὸν τοῦτον οὐκέτι χώραν ἔχοντα ἐν ἐκείνῳ τῷ ἀκηράτῳ αἰῶνι ἐμφιλοφωρεῖν, ἐξ ἧς κατὰ δίκης οἱ λοιποὶ χαριστήριον ἀνέπεμψαν τῷ Θεῷ δόξαν τοῦ οὐρανοῦ. ὡς οὐκέτι τῶν γηΐνων ἤτοι τῶν τῇ φθορᾷ συστοίχων ἐνεργουμένων, ὡς θείας ἐπισκοπῆς δεῖσθαι. ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν. ἡ τρίτη ἔρχεται, καθ' ἣν ὁ ἕβδομος Ἄγγελος σαλπίσει.

Καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε.

[o]Τί αἰνιττόμενος διὰ τούτου· ἢ τὸ ὅτι τοῦ κόσμου τὸ τηνικαῦτα δοκοῦν τέλειον καθοπότερον ἀρετῆς καὶ κακίας μὴ σωφρονισθὲν τῇ τιμωρίᾳ τῶν ἐκλελοιπότων, καὶ πρὸς τὸ ὄντως ὂν μεταθέμενον, τῷ αἰωνίῳ κατακρίματι παραπεμφθείη;

Καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα.

Ἰδικώτερον κέχρηται τῇ ἐπαγγελίᾳ. οὐ γὰρ τὰ ὀνόματα ἀπεκτάνθη. πῶς γὰρ τὰ ἐν τάξει συμβεβηκότων κείμενα; ἃ χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς γίνεται καὶ ἀπογίνεται, ὡς οἱ περὶ ταῦτα δεινοὶ ἐμφανίζουσιν. ἀλλ' ἐκείνων ἀναιρεθέντων τῶν καθ' ὧν τὰ ὀνόματα τέθειται, τὸ λεγόμενον νοητέον[p]. οὐ γὰρ κατὰ κενοῦ ἡ θέσις, κἀκεῖνα τῷ ὀλέθρῳ ὑπεβλήθη.

[l] καὶ ἔλη Edd. [m] καὶ διαυγὲς om. B. [n] Hoc Sch. carent Edd.
[o] Deest hoc Sch. Edd. [p] τὸ λεγ. νοητ. om. B.

ΚΕΦ. ΛΒ.

Περὶ τῆς ἑβδόμης σάλπιγγος, καὶ τῶν ὑμνούντων τῷ Θεῷ ἁγίων ἐπὶ τῇ μελλούσῃ κρίσει.

15 Καὶ ὁ ἕβδομος Ἄγγελος ἐσάλπισε, καὶ ἐγένοντο φω-
ναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγουσαι, ἐγένετο ἡ βασι-
λεία τοῦ κόσμου, καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
16 καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ οἱ
εἰκοσιτέσσαρες πρεσβύτεροι, οἱ ἐνώπιον τοῦ θρόνου τοῦ
Θεοῦ, οἳ κάθηνται ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσον ἐπὶ
τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ, λέγον-
17 τες· εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ,
ὁ ὢν καὶ ὁ ἦν, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν με-
18 γάλην, καὶ ἐβασίλευσας. καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ
ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆναι
καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις
καὶ τοῖς ἁγίοις, καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς
μικροῖς καὶ τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθεί-
ροντας τὴν γῆν.

Τὰ τῆς τρίτης οὐαὶ, ἡ τοῦ ἑβδόμου Ἀγγέλου σάλπισις παριστᾷ, φωνὰς μεγάλας ἐν οὐρανῷ ἐξηχουμένας, δήλωσιν ἐμποιούσας. τοῦτο γὰρ βούλεται τὸ λέγειν, ὡς καὶ προείπομεν. τί οὖν [q] τὸ δηλούμενον, "ἐγένετο ἡ βασιλεία;" ἀεὶ μὲν ὁ Θεὸς βασιλεύει, οὔτε ἀρξάμενος, οὔτε παυσάμενος βασιλεύειν ὁρατῶν τε καὶ ἀοράτων, καὶ νοουμένων τε πάντων [r] καὶ ἀνεννοήτων, (ὅτι μηδὲ πάντων ἡ ἀνθρωπίνη περιδράττεται νόησις,) ἀλλὰ καὶ ἀνάρχως καὶ ἀτελευτήτως ἐστὶ πάντων Κύριος ὁ δεσπότης. ἐπειδὴ δὲ ἡ κοσμικὴ ἀρχὴ καὶ βασιλεία ἔσθ' ὅτε τὸ ἀνυπότακτον ἐπεδείξατο αὐτῷ οἰκείαις ματαιότησι κορυφουμένη, ἧκε δὲ ἀπὸ τούτου [s] ὀνειρώττουσα δόξα τῷ θνητῷ τούτῳ κόσμῳ πρὸς φθορὰν καταντῶσα· λυθέντων [t] καὶ παυσαμένων τῶν ἐπὶ γῆς βασιλευόντων καὶ τυραννούντων οὐκ ἀληθῶς, ἀλλ' ἐν ἐσόπτρῳ τε καὶ ἰνδάλματι,

[q] δὲ B. [r] τε παντ. om. B. [s] τοῦ ὡς ὀνειρ. B. [t] Edd. κατὰ τῶν σαλευθέντων.

μόνος ὁ τῷ ὄντι Θεὸς καὶ βασιλεὺς κρατεῖν καὶ βασιλεύειν[t] εἰς τοὺς αἰῶνας ἀδιαδόχῳ[u] κράτει καὶ ἐξουσίᾳ εἴρηται.

Καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι.

[x]Οἱ κδ' οὗτοί τινες προτεθεώρηται ἤδη. διὸ κἀνταῦθα καὶ τοὺς ἁγίους Ἀγγέλους καὶ τοὺς ἀγγελικῶς τούτῳ τῷ βίῳ ἐμπολιτευσαμένους εὐχαριστίαν ἀναπέμψαί φησιν τῷ παντοκράτορι, ὃς ἔχει τὸ ὁ ὢν καὶ ὁ ἦν. τὸ ὢν ἐπὶ τῆς Ἁγίας ἁρμόζει Τριάδος, ὡς προείρηται· καὶ τὸ ἦν, εἰ καὶ τὰ μάλιστα περὶ τοῦ Πατρὸς εἴρηται τὸ ὁ ὢν, περὶ δὲ τοῦ Υἱοῦ τὸ ὁ ἦν, ἀλλ' οὖν καὶ κατὰ τῶν τριῶν ὑποστάσεων εἰρῆσθαι τις ἀναμφιβάλοι, ὃς ἐμφρόνως τὰ θεῖα καὶ θεοπρεπῶς διαιτῶν προτεθύμηται· πλὴν γὰρ τῶν ὑποστατικῶν χαρακτηρισμάτων τἆλλα πάντα ἀνυποστόλως κατὰ τῶν τριῶν ἐναρμόττεται προσώπων. ὥστε ἡ εὐχαριστία τῶν πρεσβυτέρων εἰς τὴν Ἁγίαν ἀνατίθεται Τριάδα, καὶ κοινῇ καὶ καθέκαστον· εἰλῆφθαι δὲ τὴν δύναμιν τὴν μεγάλην δι' ἐπιγνώσεως ἀληθοῦς ἐν τῇ παραδρομῇ τῶν σκιῶν, ἣν ὡς Θεὸς ἐξ ἀρχῆς βασιλείαν ἐκέκτητο, ἔδωκεν ἀνθρώποις· δι' ὃ καὶ εἴρηται, "δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ τύρραννοι κρατοῦσι "γῆς." ταύτην ὡς ἄνθρωπος μάλιστα ὁ δι' ἡμᾶς γενόμενος ἄνθρωπος λαβεῖν κατηξίωσεν. οὗ γενομένου καὶ τῆς ἐπιγείου βασιλείας ἀπολωμένης, εἰκότως τὰ ἔθνη ὠργίσθησαν, καθαιρεθείσης τῆς αὐτῶν δυναστείας· ἔθνη λέγων τὰ τῶν δαιμόνων συστήματα καὶ τῶν ἀπίστων ἀνθρώπων τὰ τάγματα, ὡς ἂν καὶ τῶν δαιμόνων ἀποστερουμένων τῆς ἑαυτῶν λατρείας καὶ δὴ καὶ ἐθνῶν, ἅτε τῇ προσφάτῳ καὶ ξενῇ διδαχῇ. μακροθυμήσας, ἐπὶ τέλει τὴν δίκην ἐπήνεγκεν, ἀξίαν καὶ τῆς θείας ἀνεξικακίας καὶ τῆς ἐκείνων σκληρότητος καὶ ἀγνωμοσύνης.

Ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν.

Ἐπειδὴ ἡ πτῶσις καὶ τὴν ἁπλῶς κάθεξιν σημαίνει, ἵνα μὴ τοῦτο ὑποληφθείη, ἐπήγαγεν "ἐπὶ τὰ πρόσωπα αὐτῶν," ὅπερ τῇ δεσποτικῇ ἐποφείλεται παρὰ τῶν ὑποδεεστέρων τιμῇ.

Καὶ ἦλθεν ἡ ὀργή σου.

Πολλά, φησι, μακροθυμήσας ἔτι τοῖς πάλαι, ἐπεὶ μηδὲν ἀπώναντο τῆς χρηστότητός σου, νῦν κατὰ καιρὸν ἦλθες. καιρὸν

[t] κρατεῖ καὶ βασιλεύει B. [u] ἀδιαδόχως B. [x] Hoc Sch. carent Edd.

δὲ τῶν νεκρῶν, τὸν[y] τῆς παγκοσμίου φησὶν ἀναστάσεως, ἐν ᾧ ἑκάστῳ καταλλήλως δοθήσεται τὰ ἐπίχειρα. διὰ δὲ τῶν προφητῶν, καὶ τῶν ἁγίων, καὶ τῶν φοβουμένων τὸν Θεὸν, τὰ τρία τάγματα τῶν ρ′ καὶ ξ′, καὶ λ′ καρποφορούντων φησὶ, τῆς πρώτης λήξεως τῶν Ἀποστόλων ἀξιουμένων, καὶ τῆς ἐπὶ δώδεκα θρόνων ἱδρύσεως. ὡσαύτως καὶ τοὺς προφήτας[z] μάλιστα τοὺς ὑπολυσσώσαις[a] κατ᾽ αὐτῶν βασιλέων τιμωρίαις ὑποβληθέντας[b]. μικροὺς δὲ καὶ μεγάλους. μικροὺς, τοὺς ἧττον ἁγίους, μεγάλους, τοὺς μᾶλλον ὑπερέχοντας ἁγιότητι. ἐπεὶ δὲ διττὸς ὁ φόβος, ὁ μὲν προκαταρκτικὸς, ὁ δὲ τελειωτικὸς, καὶ τοῦ μὲν προκαταρκτικοῦ, τοῖς οὔπω τὴν ἀθώωσιν εἰληφόσι σύνοντος, τοῦ τελειωτικοῦ δὲ, τοῖς ἤδη ὑπὸ Θεοῦ ἀνειλημμένοις, οἷς καὶ διὰ φόβου ἀεὶ τὸ μή τι αὐτοῖς ἐνδεῖ, ὃν[c] εἰκὸς ὑπεῖναι τοῖς σφόδρα ἀγαπῶσιν, οὐκ ἀποβλητέον[d] οἶμαι τὸ ἀπὸ τῶν ἁγίων ὑποσταλῆναι τοὺς φοβουμένους, ὡς τῶν μὲν μικρῶν τῷ ὄντι φόβῳ ἐνεχομένων, τῶν δὲ μεγάλων οἳ ἔχουσι τὸ θαῤῥεῖν, ὥσπερ εἴρηται, καὶ τῷ θάῤῥει τὸν φόβον παρομαρτεῖν. ἑκατέροις τοίνυν ὁ φόβος διὰ τὴν ἀντίδοσιν τὴν πρὸς ἀξίαν τῶν βεβιωμένων καὶ τὴν ἀντιμισθίαν, τοῖς μὲν μεγάλοις, αὐτὸ τοῦτο τὸ μὴ πεποιθέναι ἑαυτοῖς προσεῖναι τὸ ἀνελλιπὲς, τοῖς μικροῖς δὲ ἀνενδοιάστως ἐλπιζομένοις[e] σώζεσθαι, καὶ ὅτε τοὺς τοῦ Θεοῦ δούλους ὑπέβαλλον ἀπηνέσι κακοῖς, καὶ οἷς ἄλλοις ἀτόποις αὐτῶν ἔργοις ἐμίαναν τὴν γῆν καὶ διέφθειραν[f].

ΚΕΦ. ΛΓ.

Περὶ τῶν διωγμῶν τῆς ἐκκλησίας τῶν προτέρων, καὶ τῶν ἐπὶ τοῦ Ἀντιχρίστου.

19 Καὶ ἠνοίχθη ὁ ναὸς ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Κυρίου ἐν τῷ ναῷ αὐτοῦ. καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ καὶ χάλαζα μεγάλη.

Μετὰ τὴν εὐχαριστήριον δόξαν τῶν Ἀγγέλων καὶ τῶν ἰσαγγέλως ζησάντων, ἠνοίχθαι τὸν οὐρανόν φησι, καὶ ὀφθῆναι τὴν κιβω-

[y] τῶν B. [z] τοῖς προφήταις B. [a] τοῖς ὑπολυσσῶσι B. [b] ὑποβληθεῖσι B. [c] ὧν B. [d] ἀπόβλητον B. [e] ἐλπιζομένων τῶν οἷς τοὺς Θεοῦ δούλους B. [f] ἐμίαναν καὶ τὴν γῆν διεφ. B.

τὸν τῆς διαθήκης. οὐρανὸν τὴν ὑπεράνθρωπον λέγων γνῶσιν, ἐν ᾧ καὶ τεθησαύρισται "ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, "καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς "ἀγαπῶσιν αὐτόν." ἐν τούτῳ τῷ τῆς γνώσεως οὐρανῷ, καὶ ἡ κιβωτὸς ὤφθη τῆς διαθήκης. τί δὲ δι' αὐτῆς δηλοῦν ἐθελούσης τῆς ὀπτασίας; τὸ ὅτι, ὥσπερ ἐν ἐκείνῳ καιρῷ εἴρηται Μωϋσῇ, συμβολικὰ ταῦτα τὰ παρατατόμενα αὐτῷ, ἀλλ' οὐκ ἐνεργείας ἐχόμενα, ("ὅρα γάρ," φησι, "ποιήσεις πάντα κατὰ τὸν τύπον "τὸν δειχθέντα σοι ἐν τῷ ὄρει,") οὕτω καὶ νῦν μὴ ἐπ' αὐτῶν ἐναπομένειν ταῦτα εἰσηγεῖται τῶν ὁρωμένων, καταλλήλως δὲ τῷ οὐρανίῳ ὕψει μετεωρίζων[f] τὴν γνῶσιν. καὶ ἐπειδὴ τῇ ὑποδείξει Μωϋσῇ τῆς κιβωτοῦ τῆς διαθήκης, προτέλεια[g] αἱ ἀστραπαὶ καὶ βρονταὶ κατὰ τὸ ὄρος ἐν ᾧ ταῦτα χρηματισθῆναι εὐδόκητο, ἀθιγὲς[h] τοῖς ἀλόγοις καὶ θηριωδέσιν ἀπειργάζοντο, οὕτω καὶ ἐνταῦθα τῇ ὑποδείξει τῆς κιβωτοῦ, καὶ τὰ καθήκοντα ταύτῃ τῇ ὀπτασίᾳ ἐπηκολούθει.

Καὶ ἐγένοντο ἀστραπαί.

Αὕτη ἐστὶν ἡ τρίτη οὐαὶ, ἥτις τοῖς ἁμαρτωλοῖς ἡτοιμάσθη, ὥσπερ ἡ ἐποψία τῶν ὑποκειμένων ἀγαθῶν τοῖς ἁγίοις τέως ἀδιαγνώστοις ἀνθρώποις, διὰ δὲ τῆς ἀνοίξεως τοῦ ναοῦ τοῦ Θεοῦ τοῦ ἐν τῷ οὐρανῷ, εἰς γνῶσιν ἀφικομένοις. περὶ ὧν καὶ ὁ Σωτὴρ ἐν τῷ δείπνῳ τῷ μυστικῷ φησι· "ἀπαρτὶ οὐ μὴ πίω ἀπὸ τούτου "τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, ἕως ἂν αὐτὸ πίνω καινὸν "μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου." τότε γὰρ οἱ καλῶς βιώσαντες[i] τῆς παλινζωΐας ἠξιωμένοι, τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ὁσίοις[j] ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς τεύξονται.

1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ. γυνὴ περι-
βεβλημένη τὸν ἥλιον καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν
αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανοι ἀστέρων
2 δώδεκα, καὶ ἐν γαστρὶ ἔχουσα, ἔκραζεν ὠδίνουσα, καὶ
βασανιζομένη τεκεῖν.

[k]Γυνὴ τοσαύτης ἠξιωμένη δόξης ἔφθημεν εἰρηκότες ὡς οὐρανὸν

[f] μετεωρίζειν B. [g] πρωτόλεια B. [h] ἅπερ Edd. [i] οἱ καλ. βιωσ. om. B. [j] ἁγίοις B. [k] Init. huj. Sch. adj. e Cod. B. usq. ad τὰ κατὰ τὸν Ἀντίχρ.

τὰ ὑπερφερῆ τῆς θνητῆς φύσεως νοήματα κατονομάζει· τὸ γὰρ τοῖς δεικνυμένοις ἐπιβάλλειν τὴν γνῶσιν ἐπιτευκτικῶς, καὶ οἴεσθαι τοῦτο ἀμαθῶς διατείνεσθαι, θρασείας καὶ αὐθάδους φρενός· τὸ δὲ ἀνεπερείστως[k] καὶ ὃ λαβεῖν κατηξίωται συμμέτρως τῇ ἑαυτοῦ καθάρσει, τοῦτο γνωρίζειν τοῖς ἄλλοις, ἐπιεικοῦς ἀνδρὸς καὶ μετρίου. διόπερ ἐκεῖνα προθέντες ἃ παρὰ τῶν πρὸ ἡμῶν ἔγνωμεν περὶ τῶν προκειμένων, τὰ πρὸς ἀποδοχὴν ὁποτέρου τῇ γνώμῃ τοῦ αἱρουμένου ἐῶμεν. τὴν τοίνυν ταύτην τὴν γυναῖκα οἱ μὲν εἰς τὴν τοῦ Κυρίου μητέρα ὑπελάβον τὴν ὀπτασίαν ἀναφέρουσαν δεῖξαι τὰ κατὰ τὸν Ἀντίχριστον πρὸ βραχέως διεξελθὼν, ἐπειδὴ τοῦ ἐπιστῆναι τοῦτον καὶ ὑπὸ τοῦ Σατανᾶ προχειρισθῆναι οἱ λόγοι εἴρηνται, σπουδῇ τοῦ Σατανᾶ πείθειν ἐξ ἀπάτης[l] βουλομένου τοὺς ἤδη προσνεμηθέντας Χριστῷ, καὶ ἐξ ὑποστροφῆς πρὸς αὐτὸν αὐτομολῆσαι· ὃς καὶ[m] τοῖς ἀπ᾽ ἀρχῆς τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου κακούργως ἐπιβαλὼν ἐξ ὁμοιώσεως τούτων τὴν ἀπάτην προέθετο[n] ἐνστήσασθαι, καὶ μάλιστα Ἑβραίοις[o] τὰς περὶ Χριστοῦ προφητείας ἐκείνῳ μᾶλλον προσοικειοῦσιν ἢ τῷ[p] Χριστῷ. ταύτῃ τοι ἡ θεωρία τὴν ἀπάτην διορθουμένη, τὴν τοῦ Κυρίου δι᾽ ἡμᾶς προβάλλεται οἰκονομίαν, ὡς ἤδη τελεσθεῖσαν, καὶ μὴ ἂν ἄλλην αὐτῇ ἐνάμιλλον ἔσεσθαι δυναμένην. διὸ περὶ μὲν τῆς μητρὸς, ἅτε καθαρᾶς καὶ τῶν γηΐνων ἀπηλλαγμένης, ἐν οὐρανῷ ταύτην γράφει, καὶ οὐκ ἐν γῇ, ὡς ἰσάγγελον. [q]ἀλλὰ καίπερ οὕτω τῇ καθαρότητι ὑπερανέχουσα, τοῦ αὐτοῦ ἡμῖν μέτειχεν φυράματος· τί γάρ φησιν ὁ Δαβὶδ περὶ τῆς συλλήψεως τοῦ Κυρίου; "καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν "ἡ στάζουσα ἐπὶ τὴν γῆν." γῆν τὴν ἁγίαν καλοῦσα τοῦ Κυρίου μητέρα, ὡς ὁμοούσιον ἡμῖν τοῖς γηΐνοις· τὸ γὰρ ἀνόσιον Εὐτυχοῦς δόγμα περὶ τῆς θεοτόκου, καὶ τῆς τοῦ Κυρίου σαρκώσεως, ἔξω ποῦ θείων περιβόλων ῥιπτέσθω. τὸ δὲ περιβεβλῆσθαι αὐτὴν τὸν ἥλιον, καὶ τὴν σελήνην ἔχειν ὑποπόδιον, ὁ Ἀββακοὺμ ἱκανὸς παραστῆσαι δι᾽ ὧν φησίν, "ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει "αὐτῆς," ἥλιον λέγων τῆς δικαιοσύνης τὸν Σωτῆρα Χριστὸν,

[k] ἀνεπερίστως Cod. [l] ἐξαυτῆς B. [m] ὃς καὶ om. B. [n] προθέσθαι B. [o] Ἑβραίους B. [p] μάλα προσοικειῶν οὐχὶ τῷ B. [q] Quæ seq. om. Edd. usque ad ῥιπτέσθω.

τῷ εὐαγγελικῷ κηρύγματι ὑψωθέντα καὶ μετεωρισθέντα· τῆς δὲ σελήνης, τουτέστι τῆς τῶν Ἰουδαίων συναγωγῆς[q], οὐκ ἔτι προσθήκην δεξαμένης. οὐ γὰρ ἔτι μετὰ τὴν τοῦ Χριστοῦ ἐπιφάνειαν προσθήκην ἐκ τῶν ἐθνῶν ἔλαβε διὰ προσηλύτων. μᾶλλον μὲν οὖν καὶ ὠλίγωται Χριστιανοῖς προσχωρούντων Ἰουδαίων. ἀλλὰ καὶ τὸ περιβεβλῆσθαι τὸν ἥλιον, τὸ ἐσκεπᾶσθαι τὴν ἁγίαν παρθένον τῷ ἡλίῳ τῷ νοητῷ, ἤτοι τῷ Χριστῷ, δυνάμεθα ὑπολαβεῖν, καὶ τὴν σελήνην, τὴν κατὰ νόμον λατρείαν καὶ πολιτείαν· ἅτε ὑποβιβασθεῖσαν καὶ παρὰ πολὺ μείονα ἑαυτῆς γενομένην τῷ εὐαγγελικῷ κινηθεῖσαν πυρσεύματι[r]. ἄλλως τε καὶ ὅτι ὁ νόμος καὶ τὰ νομικὰ προστάγματα ὑπὸ Χριστοῦ τοῦ Ἡλίου φωταγωγεῖται, ὡς καὶ ἡ σελήνη ὑπὸ τοῦ ἡλίου τοῦ αἰσθητοῦ. ἴσως[s] δὲ πρὸς τὸ δηλούμενον ἀκολουθότερον ἦν εἰπεῖν, τῷ ἡλίῳ μὴ περιβεβλῆσθαι τὴν γυναῖκα, περιβεβληκέναι δὲ τὸν ἐν γαστρὶ ἐχόμενον ἥλιον. ἀλλ' ἵνα δείξῃ ἐν τῇ ὀπτασίᾳ ὅτι καὶ κυοφορούμενος ὁ Κύριος, καὶ τῆς οἰκείας μητρὸς καὶ πάσης τῆς κτίσεως ὑπερεῖχε, σκέπῃ αὐτὸν ἔφη περιβεβληκέναι τὴν μητέρα. [t]συνῳδεῖ τούτῳ καὶ τὸ ὑπὸ τοῦ Γαβριὴλ τῇ παρθένῳ ῥηθέν, "δύναμις ὑψίστου ἐπισκιάσει σοι·" τὸ σκέπην γὰρ περιβεβληκέναι ταὐτὸν ὑπάρχει τῷ ἐπισκιάζειν.

Ἕτεροι πάλιν, ὧν καὶ Μεθόδιος ὁ ἅγιος ὁ Πατάρων, εἰς τὴν ἁγίαν Ἐκκλησίαν ἁρμόζει τὸ ὅραμα, ἀσύμβατα τῆς δεσποτικῆς γεννήσεως νομίσας ταῦτα, διὰ τὸ ἤδη πρὸ πολλοῦ τετέχθαι τὸν Κύριον. ἡ Ἐκκλησία τοίνυν τὸν Ἥλιον τῆς δικαιοσύνης περιβέβληται καὶ τὸ νομικὸν φῶς τῆς νυκτοφαοῦς σελήνης. ταύτῃ γὰρ ὁ νόμος ἀπείκασται, ὡς ὑπὸ σκότῳ τῆς θεοσεβείας τὴν περίγειον πᾶσαν κατέχοντι, ἀμυδρὰν αὐγὴν, λάμψιν λέγω θεογνωσίας, παρασχούσῃ· καὶ δή γε καὶ ὡς ἀλλοιουμένη κοσμικῇ ζωῇ ὑπὸ τοὺς πόδας τῆς Ἐκκλησίας λέλογχε. ἄστρασί τε ὁ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος δώδεκα κεκόσμηται, ἀριδήλως τοῖς Ἀποστόλοις ἡ Χριστοῦ Ἐκκλησία. ἀλλά γε δὴ ὁ αὐτός φησι Μεθόδιος καὶ ὡς τῆς σελήνης ἠρτημένης τῆς ὑγρᾶς οὐσίας, ἥτις τροπικῶς καλεῖται θαλάσσα, τὸ ἅγιον βάπτισμα δηλοῦν· ὀλέθριον μὲν δαίμοσι, σωτήριον δὲ ἀνθρώποις εὐγνώμοσι. τὴν Ἐκκλησίαν

[q] τούτεστι τῆς τ. Ἰουδ. συν. om. B. [r] πνεύματι Edd. [s] ὡς δὲ B.
[t] Quæ seq. add. Cod. B.

οὖν φησὶν ἡγητέον τὴν γυναῖκα, οὐ τὴν ἁγίαν παρθένον γεννῶσαν τὸν Χριστόν. γάλα γὰρ τοῦτο τετέλεστο τὸ μυστήριον τῆς ἐνανθρωπήσεως. ὁ δὲ Ἰωάννης τῶν μελλόντων οὐ τῶν ἤδη γεγεννημένων τὴν γνῶσιν ἀποκαλύπτεται. ἡ τοίνυν Ἐκκλησία, ἤγουν ἡ νέα Σιὼν, ὠδίνει, κατὰ Παῦλον τὸν θεῖον εἰπεῖν, καὶ στενάζει γεννῶσα τοὺς ἀπολυτρουμένους, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν αὐτοῖς. δέδοικε δὲ τὸν δράκοντα. ἐστ' ἂν ἐκφύγῃ τὰς μηχανὰς αὐτοῦ, καὶ τέκῃ κατ' ἄνδρα ἕκαστον τὸν Χριστὸν, νοητῶς ἐμμορφωθέντα ἐν ἑκάστῳ· διὸ καὶ σπαργᾷ καὶ ὠδινεῖ ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ἡμῖν γεννηθεὶς, ὥστε ἕκαστος τὸ μετέχειν Χριστοῦ γεννᾶται.

Καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανοι.

[s]Τὸ ὑποκάτω τῶν ποδῶν κατὰ τοὺς τὴν γυναῖκα τὴν ἐν τῷ οὐρανῷ εἰς τὴν θεομήτορα ἐξειληφότας εἴρηται· περὶ δὲ τοῦ ἐπὶ τῆς κεφαλῆς στεφάνου τοῦτό φασιν, ὡς στεφανοῦται ἡ παρθένος Μαρία τοῖς ιβ Ἀποστόλοις Χριστὸν κηρύσσουσιν· ὁποῖον γὰρ τὸ κλέος Χριστοῦ κηρυσσομένου τῆς τοῦτον τεκούσης ἀναφαίνεται· τὸ δὲ τὴν ἐν γαστρὶ ἔχουσαν καὶ ὠδίνουσαν κράζειν βασανιζομένην τῷ τόκῳ ὁ Ἀμώς, φησιν, Ἡσαΐας ἀπολύσασθαι, δι' ὧν φάσκει "πρὶν "τὴν ὠδίνουσαν τεκεῖν, καὶ πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων "ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν" καὶ Γρηγόριος δὲ ὁ Νύσης ἐν λόγῳ ιγ τῆς εἰς τὰ ᾄσματα ἑρμηνείας, περὶ τοῦ Κυρίου φησι, "ἧς "ἀσυνδύαστος μὲν ἡ κυοφορία, ἀμόλυντος δὲ ἡ λοχεία, ἀνώδυνος "καὶ ἀῳδός." Ἐπεὶ δὲ ἡ μὲν Ἀποκάλυψις κράζειν τὴν ὠδινοῦσαν, καὶ βασανίζεσθαι ἐπὶ τῷ τόκῳ παριστᾷ· ὁ δὲ προφήτης καὶ ὁ θεῖος πατὴρ οὐδὲν τοιοῦτόν φασιν, ἐκεῖνο ἐρῶμεν ὡς ἀμφότερα συνέβη τῇ παρθένῳ. καὶ γὰρ ἔκραζε καὶ ἐν ἀθυμίᾳ ἦν, τὸν μνηστῆρα ὑπονοοῦσα μοιχείας αὐτὴν ἐγκλήματι ὑπόδικον καταστήσειν[t], ὃ καὶ τὸ Εὐαγγέλιόν φησι διὰ τοῦ λάθρα ἀπολύσαι αὐτὴν βουλεύεσθαι. ἐπεὶ δὲ Ἀγγέλῳ θείῳ τῆς ὑπονοίας ταύτης ἀπηλλάγη, ἐκ Πνεύματος Ἁγίου τὴν κυοφορίαν[u] εἶναι ἐμπεδοῦντος, τότε καὶ αὐτὴ ἐξέφυγε πᾶσαν τὴν ὀδυνοῦσαν[x] αὐτὴν πραγματείαν. εἰ δὲ μηδὲν τοιοῦτον περὶ τῆς παρθένου τὸ Εὐαγγέλιον ὑποφαίνει, οἷον ὅτι ἠγωνία διὰ τὴν κυοφορίαν, οὐδὲν πρᾶγμα. οὕτω

s Init. huj. Sch. adj. e Cod. B. usq. ad τοιοῦτον φασιν. t καταστήσοντα B. u ἐπιφορίαν B. x ὠδινοῦσαν Edd.

γὰρ καὶ Μωσέα ἐρεῖς ψευδῶς περὶ ἑαυτοῦ ἱστορῆσαι, ὁπηνίκα κυκλούμενον ὁρῶν ἑαυτὸν ὑπὸ τῶν Αἰγυπτίων ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ κρυφίαις ἐντυχίαις σιγῇ καρτερῶν, ἤκουεν πρὸς τοῦ Θεοῦ "τί βοᾷς πρός με;"

3 Καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ. καὶ ἰδοὺ
δράκων πυρρὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα
4 δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ, ἑπτὰ διαδήματα, καὶ
ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ,
καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.

Δράκοντα τὸν Σατανᾶν καλεῖ, διὰ τὸ σκολιόν· οὕτως γὰρ αὐτὸν καὶ ὁ Ἡσαΐας καλεῖ "τὸν δράκοντα" λέγων "τὸν ὄφιν τὸν σκόλιον." πυρρὸν δὲ διὰ τὸ αἱμοβόρον[y] καὶ ὀργίλον. ἢ διὰ τὸ πυρῶδες τῆς ἀγγελικῆς οὐσίας· οὐ γὰρ τῆς οὐσίας ἠλλοίωται τῆς ἀγγελιωτίδος, ἀλλὰ τῆς προαιρέσεως, δι' ἣν καὶ ἐκπέπτωκεν. οὐρανὸν δὲ ἐνταῦθα, ὃς τὸν ἀέρα φάσκει, οὐ κατὰ σκόπον βάλλει· πῶς γὰρ ἐκπέπτωκεν τούτου ὁ τὴν ἐξουσίαν, κατὰ Παῦλον εἰπεῖν, ἔχων ἐν αὐτῷ, "κατὰ τὸν ἄρχοντα," λέγοντα, "τοῦ σκότους τοῦ ἀέρος τούτου;" κεφαλὰς δὲ αὐτοῦ, τὰς πονηροτέρας αὐτοῦ δυνάμεις καὶ ταῖς πνευματικαῖς ἐνεργείαις ἀντιθέτους. ἢ τὰ κατὰ τὸ Εὐαγγέλιον τῇ σεσαρωμένῃ ἐνοικιζόμενα οἰκίᾳ. ἢ τὰς ἑπτὰ κακίας, ἃς ὁ Σολομῶν ἐν καρδίᾳ εἶναί φησι τοῦ ἐχθροῦ.

[x] Ἀκολούθως τοῖς ἀρχῇ εἰρημένοις ἡ ὀπτασία καὶ νῦν τὰ κατὰ τὸν Ἀντίχριστον τελεώτερον διηγήσασθαι βουλομένη. ἀρχὴν τοίγαρ καὶ τὴν τοῦ Κυρίου σύλληψίν τε καὶ γέννησιν, ὡς ἀντιζήλως ταύτης καὶ τοῦ κοινοῦ τῶν πάντων ἡμῶν ἐχθροῦ Σατανᾶ τὸν Ἀντίχριστον προβαλλομένου, κλέψει τῇ ὁμοιότητί τινας τῶν νοθεστέρων καὶ ῥαθυμότερον τῶν περὶ Χριστοῦ προφητικῶν ἐπακούοντας. τὰ κατὰ Ἀντίχριστον τοίνυν τῆς ὀπτασίας παραθεῖναι ἀφορμημένης ὡς τοῦ Κυρίου γεννήσεως· ἄλλην ἀρχὴν πρεσβυτέραν ἐκτίθησιν τὴν κατὰ τὸν Σατανᾶν τῆς ἐκ τοῦ οὐρανοῦ καταπτώσεως, ἣν καὶ ἐν τῇ ἑξῆς ὀπτασίᾳ τρανότερον προθῆται. νῦν γοῦν ἐκεῖνο συνιστᾶν βουλομένη, ὡς ὁ ἀντίζηλος τῇ τοῦ

[x] Hoc. Sch. carent. Edd.

[y] ὠμοβόρον B.

ἀληθινοῦ Χριστοῦ προβησόμενος ἐνανθρωπήσει· ἀεὶ καὶ ἀρχῆθεν τοῖς ὑπὲρ ἑαυτὸν * * * λμίσας, καὶ οὗπερ εἶχεν ἐκπέπτωκεν αὐτῇ φάλαγγι καὶ συμμορίᾳ· καὶ δὴ καὶ τῇ παρουσίᾳ τοῦ Κυρίου τὰ δι' ἔθους τολμήσας τῇ γεννήσει διὰ τοῦ Ἡρώδου· τῇ λοιπῇ οἰκονομίᾳ διὰ τῶν Φαρισαίων * * ἑξῆς προκεισομένων. ὡς οὖν ἐπ' ἐκείνοις τὸ μετὰ αἰσχύνης ἧττον, οὕτως κἂν τοῖς ἐν τῇ Ἀντιχρίστου παρουσίᾳ πολλὰ τεχνιτεύσας ἀπατηλὰ[z], ὅμως τῷ αἰωνίῳ πυρὶ πανστρατίᾳ δοθείη· τούτων τῇ προεκθέσει τῆς ὀπτασίας ἡμᾶς κατησφαλμένης, ἀναπολογήτους πεποίηκε τοὺς μετὰ τὴν προφώνησιν ἁλωσομένους. ταῦτα κατὰ σύνοψιν τεθεωρηκότες χωρῶμεν ἤδη πλατύτερον καὶ τοῖς κατὰ μέρος.

Καὶ κέρατα δέκα.

Τὸ κέρας, δυνάμεως καὶ δόξης σημαντικόν ἐστιν. δυνάμεως ἐν τῷ Δαβὶδ, "καὶ πάντα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθή-"σεται τὸ κέρας τοῦ δικαίου." δόξης δὲ, δι' ὧν φησιν Ἄννα, "ὑψώθη κέρας μου ἐν Θεῷ μου." δέκα δὲ τὰ κέρατα, ἢ τὰ ἀντιδιαστελλόμενα ταῖς δέκα ἐντολαῖς τοῦ νόμου πλημμελήματα καὶ τὰ τελειωτικὰ τῆς Σατανικῆς ἀποστασίας ἐγχειρήματα, ὁ γὰρ δέκα ἀριθμὸς ἐκ μονάδος πρῶτος τέλειος ἀριθμὸς καὶ γεννητικὸς τελειότητος. ἢ τὰς διαιρέσεις τῆς βασιλείας κόσμου φερούσας αὐτῷ, ὡς ταῖς διχοστασίαις χαίροντι. ἑπτὰ δὲ διαδήματα τὰ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ, ἰσάριθμα ταῖς κεφαλαῖς, διότι οἱ ἐν ταῖς δαιμονικαῖς ἐνεργείαις νικῶντες, ἐκεῖθεν τοὺς στεφάνους κομίζονται, ὅθεν πόνοις καὶ ἱδρῶσι τὴν νίκην ἤραντο. [a]Περὶ τούτων καὶ ὁ μέγας Μεθόδιος ἐπὶ λέξεως οὕτως φησί· "ὁ δράκων ὁ μέγας ὁ "πυρρὸς, ὁ ἑπτακέφαλος ὁ σύρων τὸ τρίτον τῶν ἀστέρων. ὃς ἕστη-"κεν ἐφεδρεύων, ἵνα τὸ τέκνον τῆς ὠδινούσης καταφάγῃ διάβολός "ἐστιν." καὶ ἑξῆς "ἀλλ' ἀστοιχεῖ καὶ σφάλλεται τῆς ἄγρας, "ἄνω πρὸς ὕψος ἁρπαζομένων τῶν ἀναγεννωμένων."

Καὶ ἡ οὐρὰ αὐτοῦ, σύρει τὸ τρίτον τῶν ἀστέρων.

Τρίτον μέρος τῶν ἀστέρων ἐκλήθησαν, οἱ περὶ ἕνα τοῦ[b] ἀριθμοῦ τῆς τριάδος διεσφαλμένοι[c], ὡς Ἄρειος καὶ Μακεδόνιος. ἡ

[z] Cod. ἀπατειλὰ. [a] Quæ seq. add. Cod. B. [b] ἐννάτου Edd.
[c] διεσταλμένοι Edd.

ἔρημος δὲ, εἰς ἣν ἐλθοῦσα τρέφεται ἡ Ἐκκλησία, ἡ κακῶν ἔρημος καὶ στεῖρα φθορᾶς. τὸ δὲ τὴν οὐρὰν ἕλκειν τὸ τρίτον τῶν ἀστέρων, καὶ οὕτω θεωρητέον. δύο τινὰ νομίζομεν δηλοῦσθαι διὰ τούτων. ἢ τὴν προτέραν αὐτῷ ἐξ οὐρανοῦ πτῶσιν μετὰ τῶν συναποστατῶν Ἀγγέλων διὰ τοῦ ἐσχάτου κινήματος τοῦ φθόνου. τοῦτο γὰρ ἡ οὐρά. πρῶτον γὰρ ἡ ἔπαρσις ἡ σύρασα ἐκεῖνον[b] πρὸς φθόνον ἐφώπλισε, καὶ τούτους εἰς τὴν γῆν κατέρραξεν. ἢ τοῦ ἐχθροῦ μετὰ τὴν θλάσιν αὐτοῦ τῆς κεφαλῆς ἣν ὑπὸ τῶν τοῦ Κυρίου ὑπέστη μαθητῶν λαβόντων ὑπ' αὐτοῦ "ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ "σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τὴν κακὴν," τὴν μετὰ τοῦτο οὐραίαν κίνησιν· ἤγουν τὴν ἐσχάτην, τοὺς ἀστηρίκτους κατενεγκοῦσαν ἐκ τοῦ οὐρανίου φρονήματος, ἀστέρας τροπικῶς ὀνομασθέντας διὰ τὴν ἐκ τοῦ βαπτίσματος λαμπρότητα. [c]οὕτω γὰρ καὶ Δανιὴλ περὶ τοῦ Ἀντιόχου προεφήτευσεν εἰς τύπον ἐσόμενον τοῦ Ἀντιχρίστου.

Καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.

Συγκατέβαλε γὰρ ἑαυτῇ πλείστων Ἀγγέλων μοῖραν συναποστατῆσαι πείσασα ἀπὸ Θεοῦ, καὶ πεποίηκε χθονίους τοὺς οὐρανίους, καὶ σκότος, τοὺς λαμπροὺς ὡς ἀστέρας.

Καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς
μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς κατα-
5 φάγῃ. καὶ ἔτεκεν υἱὸν ἄρρενα, ὃς μέλλει ποιμαίνειν
πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ. καὶ ἡρπάσθη τὸ τέκ-
νον αὐτῆς πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ.
6 καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον
ἡτοιμασμένον ὑπὸ τοῦ Θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν
αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

Τὸ δὲ ἑστηκέναι τὸν Δράκοντα ἐπιβούλως κατὰ τοῦ τόκου εἰσκευαζόμενον, τοῦτο δηλοῖ ὅτι πολλὴν ἐπιμέλειαν πεποίηται τῷ τεχθέντι ἐξαρτίσαι τὰ δυσχερῆ, καὶ τινὰ ταῦτα εἴρηται.

Καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεόν.

[b] κατασύρασα οὕτως B. [c] Ult. hæc add. Cod. B.

Ὁ μὲν ἰοβόλος δράκων ἐνήδρευσε καὶ παρέθηξεν[d] Ἡρώδην ἀνελεῖν τὰ ἐν Βηθλεὲμ βρέφη, ὡς ἐν ἐκείνοις καὶ Χριστὸν ἀναιρήσων. τὸ δὲ παιδίον Θεοῦ[e] προνοίᾳ τοῦ Πατρὸς χρηματίσαντος τῷ Ἰωσὴφ, παραλαβόντα αὐτὸ καὶ τὴν μητέρα αὐτοῦ φεύγειν εἰς Αἴγυπτον, διέφυγε τὴν ἐπιβουλὴν, ὡς μέλλοντος Ἡρώδου ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου. ἐπεὶ οὖν ταῦτα καὶ πατρικῇ προνοίᾳ διὰ τοῦ χρηματισμοῦ τὸ παιδίον αἰσθητὴν σωτηρίαν εἰς ἁρπαγὴν ἔταξε, "πρὸς τὸν Θεὸν," λέγων, "καὶ πρὸς τὸν θρόνον αὐτοῦ," οἱονεὶ ἐκ τῆς θείας προνοίας καὶ δεσποτείας διακειμένης[f] τῆς σωτηρίας τῷ παιδίῳ. τοῦτο γὰρ ὁ θρόνος βούλεται δηλοῦν.

Καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον.

[g]Οἱ πρὸς τὴν Ἐκκλησίαν τὴν γυναῖκα μεταλαμβάνοντες, τὴν ἁρπαγὴν τοῦ τέκνου πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ διττῶς ἐξηγήσαντο, τήν τε ἐνθάδε τῶν δικαίων ἀπὸ τῶν πειρασμῶν ὑπὸ Θεοῦ ἐξαίρεσιν, καθὸ καὶ ἡ ὑπόσχεσις τοῦ "ἑξάκις ἐξ "ἀναγκῶν ἐξελεῖταί σε·" καὶ ἡ τοῦ, "οὐκ ἀφήσει ἡμᾶς ὑπὲρ ὃ "δυνάμεθα πειρασθῆναι· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ τὴν ἔκ-"βασιν" καὶ τὴν τελευταίαν ἐν τῇ ἀποκαταστάσει, ὅτε οἱ Θεῷ φίλοι ἁρπαγήσονται ὑπὸ νεφελῶν εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ σὺν ταῖς ἀγγελικαῖς δυνάμεσι πρὸς τῷ θρόνῳ τοῦ Θεοῦ ἔσονται. Ἡ δὲ τῆς γυναικὸς φυγὴ εἰς τὴν ἔρημον, τὴν τῶν ἐκλεκτῶν φυγὴν σημαίνει, ἣν ἐπὶ παρουσίας[h] τοῦ Ἀντιχρίστου ὑπὸ τοῦ διαβόλου ἐνεργουμένης[i], φεύξονται οἱ κορυφαιότατοι τῆς Ἐκκλησίας, ἐκ[j] τῶν πολιτικῶν θορύβων καὶ κοσμικῶν φεύγοντες[k] ἡδονῶν· φεύξονται δὲ ὅπου σύνηθες αὐτοῖς ἐν θλίψει ὑποχωρεῖν, κατὰ τὸ "Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου." ἡ μνήμη δὲ δι' ἐγκρατείας. "πᾶς γάρ," φησιν, ὁ Παῦλος "ὁ ἀγωνιζόμενος πάντα ἐγκρα-"τεύεται." εἰς τὴν ἔρημον οὖν ὑποστέλλοντες ἑαυτοὺς οἱ τρόφιμοι τῆς Ἐκκλησίας τηνικάδε πάσης ἡδονῆς καὶ κακίας, πάμφορον δὲ πάσης ἀρετῆς καὶ θεοφιλίας[l], ἐκεῖ τὰς προσβολὰς τῶν δαιμόνων διαφεύξονται. εἰκὸς δὲ καὶ τὴν αἰσθητὴν ἔρημον διασώζειν τοὺς ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς καὶ τὴν τοῦ ἀποστά-

[d] ἐνήδρευεν καὶ παρέθηκεν B. [e] Θεοῦ om. B. [f] διωκειμένης B.
[g] Init. Sch. add. e Cod. B. usq. ad ἔσονται. [h] ὑπὸ παρουσίᾳ B.
[i] ἐνεργουμένη B. [j] ἐκ om. B. [k] διαπτύοντες B. [l] θεοφιλείας Cod.

του ἐπιβουλὴν ἑαυτοὺς, ὡς καὶ πρότερον τοὺς Χριστοῦ μάρτυρας. ἐπὶ ἔτη δὲ τρία ἥμισυ, τοῦτο γὰρ αἱ χίλιαι διακόσιαι ἑξήκοντα ἡμέραι χρονικὸν συντελοῦσι διάστημα, [m]ἡ ἀποστασία, καθ' ἣν οἱ ἐναθλοῦντες καρτερικῶς ἕξουσι τὸν ἀναρρήσεως στέφανον, παρὰ τοῦ εἰδότος ἀξίως τῶν πόνων παρέχειν τὰς ἀμοιβὰς ἀγωνοθέτου ἀγαθοῦ Θεοῦ.

Ἡ γυνὴ ἔφυγε σὺν τῷ παιδίῳ. καὶ ἡ μητὴρ διέδρα εἰς ἔρημον τὴν πάσης θεοφιλοῦς ἔρημον ἐργασίας· ἐκεῖ γὰρ ἠφόριστο τόπος αὐτῇ ὑπὸ Θεοῦ ἐκτρέφεσθαι ἡμέρας χιλίας σξ τὸν χρόνον τῆς Ἡρώδου ζωῆς, ὡς καὶ τὸ ἅγιον Εὐαγγέλιον ἀναγράφει.

Ὁ τὴν γυναῖκα παραγραφόμενος, μὴ πρὸς τὴν τοῦ Κυρίου μητέρα καὶ τὴν κατ' αὐτὸν οἰκονομίαν ἔκληψιν ἔχειν ὀρθῶς, ἀλλὰ πρὸς τὴν Ἐκκλησίαν, τῷ πάλαι ταῦτα γενέσθαι· τῶν δὲ ἐσομένων τὴν Ἀποκάλυψιν παρέχειν, οὐ τῶν γεγενημένων, πῶς αὐτὸς ὥσπερ ἐπιλαθόμενος τὸ κατὰ τὸν διάβολον ἐξαρχῆς πτῶμα προφέρεις;

ΚΕΦ. ΛΔ.

Περὶ τοῦ γενομένου πολέμου μεταξὺ τῶν ἁγίων ἀγγέλων, καὶ τῶν πονηρῶν δυνάμεων, καὶ τῆς καταπτώσεως τοῦ δράκοντος.

7 Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ. ὁ Μιχαὴλ καὶ
οἱ Ἄγγελοι αὐτοῦ ἐπολέμησαν μετὰ τοῦ δράκοντος, καὶ
8 ὁ δράκων ἐπολέμησε καὶ οἱ Ἄγγελοι αὐτοῦ, καὶ οὐκ
9 ἴχυσαν, οὐδὲ τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐρανῷ. καὶ
ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος καὶ Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν. καὶ οἱ Ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν.

[n]Ὥσπερ κατ' ἐπανάβασιν ἀεὶ τῆς εἰρημένης ἀρχῆς ἀρχὴν πρεσβυτέραν ἐπινοεῖ ὁ χρηματίζων, ἧς ἐν μέρει καὶ πρόσθεν ἐπεμνήσθη τὰ κατὰ τὸν Ἀντίχριστον ἡμῖν διεξιών. ἀρχὴ γὰρ πρώτη τῶν κατ' αὐτὸν, ἡ ἐξ οὐρανοῦ αὐτοῦ πτῶσις· διὸ καὶ ὁ Κύριός φησι, "ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα."

[m] Hinc usq. ad fin. Cap. add. Cod. B. [n] Hoc Sch. carent Edd.

τί τοῦτο λέγων; τὸ πρὸ πολλοῦ ἔναγχος καὶ καθ' ἑαυτὸν γενέσθαι, οὐχ οὕτως νοεῖν χρὴ, ἀλλ' ἐπεὶ ὁ συνουσιώμενος τῷ κατ' ἄνδρα Θεοῦ Λόγος καὶ Θεὸς καὶ πρὸς μίαν ὑπόστασιν τοῦ Ἰησοῦ Χριστοῦ συντελῶν κατὰ τὴν θείαν φύσιν, ἀνεκφοιτήτως συνῆν τῷ Θεῷ καὶ Πατρὶ καὶ ἀϊδίως, ταύτῃ καὶ τὴν τοῦ διαβόλου πτῶσιν ἐθεᾶτο. εἰ δὲ μὴ ὅτι τῷ παρῳχημένῳ διαστήματι τοῦ ῥήματος ἐχρήσατο, ἐθεώρησα, εἰπὼν, ἀλλ' "ἐθεώρουν," ἀμαθῶς τις ἐπηρεάζειν τῷ ῥητῷ βούλεται, ἴστω ὁ τοιοῦτος ὅτι τὰ θεῖα ἅτε ἀεὶ ὄντα ἐνεργεῖ, διαφοραῖς χρονικαῖς οὐκ ὑποκεῖται, ἵνα μὴ παλαιότητι λανθάνῃ πρὸς ἀνυπαρξίαν χωροῦντα, κατὰ τὸ "πᾶν τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ" σοφὸν λόγιον. τῶν θείων τοίνυν ἀεὶ ἐνεργῶν ὄντων καὶ τὸ ἐνεστὼς ἀδιαλείπτως καταπλουτούντων, εἰκότως καὶ ὁ Κύριος τὸ "ἐθεώρουν" ἔφη, οὐ τὸ ἐθεώρησα· ὁ τότε γὰρ παρὼν θεϊκῶς καὶ νῦν οἰκονομικῶς εἰς μίαν ὑπόστασιν συντελῶν ἀδιάσπαστον, καὶ τὰ θεῖα διὰ τὴν ἄκραν ἕνωσιν καὶ σώματι ἀνθρωπίνῳ αὐτοῦ οἰκειοῖ· διὸ καὶ τὸ "ἐθεώρουν" ἀνυποστόλως καὶ τῷ ἀνθρωπίνῳ προσνέμει. διόπερ ἐπεί φησι, ἐνεργὴς ἡ τοῦ Σατανᾶ τῶν οὐρανίων ἀποριφὴ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν κατὰ τῶν πάλαι κειμένων ἀπραγματεύτως σὺν θάρρει πατεῖν.

[o] Ὁ πόλεμος δὲ ὃν πόλεμόν φησιν ἡ γραφὴ διὰ τὸ τὸν Σατανᾶν τραχηλιάσαι κατὰ τοῦ Θεοῦ, τουτέστι διὰ τὸ σκληρὸν αὐτῷ καὶ ἀγέρωχον ἀντανάτειναι τράχηλον, καὶ πρὸς ἀποστασίαν ὁρμῆσαι· μακροθύμως δὲ τοῦ Θεοῦ τὴν τόλμαν αὐτοῦ φέροντος, ὁ Ἀρχάγγελος Γαβριὴλ ὑποβάσει τῆς θείας καὶ μακαρίας φύσεως, αὐτὴ γὰρ κατὰ τὸ λόγιον οὔτε πράγματα ἔχει, οὔτε ἑτέροις παρέχει· τῷ γὰρ ἀνάρχῳ καὶ ἐξ οὐδενὸς ἔχοντι τὸ εἶναι ὁ τῆς ἐξ οὐκ ὄντων οὐσίας, καὶ τούτῳ [p] μόνῳ τὸ ἀλλοιοῦσθαι κληρωσαμένης ὅτι ἐξ οὐκ ὄντος· διὸ καὶ ὡς ἐξ ἑτέρου εἰς ἕτερον προελθὸν καὶ τὴν ἀλλοίωσιν ἐπιδέχεται τῆς θείας οὐσίας ὡς ὑπερουσίου, καὶ οὐκ ἐχούσης ἀρχὴν οὐδὲ τροπήν· ἡ δὲ ἀλλοίωσιν παρ' ἑαυτῇ ἐμφαινούσης· τί γὰρ τῷ ἀεὶ ὄντι εἰς ἑτεροίωσιν ἐνθεωρηθείη; διάτοι τοῦτο τοιγαροῦν τοῦ θείου τῇ ἀτρεπτότητι αὐτοῦ κεχρημένου, ἡ μετ' ἐκεῖνο τῷ ἐξ οὐκ ὄντων ὑποστῆναι καὶ ἀλλοιοῦσθαι ἀνευρηκυῖα ἧς κατάρχων Μιχαὴλ παρὰ τῆς παλαιᾶς γραφῆς γνωρίζεται, σὺν τῇ ὑπ' αὐτὸν

[o] Et hoc Sch. deest Edd. [p] Cod. τοῦ τῷ.

νοερᾷ στρατιᾷ τῷ στασιώδει Σατανᾷ καὶ τῇ μετ' αὐτοῦ δαιμονικῇ τάξει πολεμικῶς συμβαλὼν, τὸ κράτος κατ' αὐτοῦ ἤρατο, καὶ τοῦ οὐρανίου αὐτὸν ἐνδιαιτήματος ἐξέωσε, τοῦτο γὰρ δηλοῖ τὸ μὴ εὑρεθῆναι τόπον αὐτῷ ἔτι ἐν τῷ οὐρανῷ· καὶ ἐβλήθη κάτω εἰς γῆν. ἢ αἰσθητῶς τοῦτο παθὼν, ἢ ὅτι τοῦ ἀγγελικοῦ καὶ οὐρανίου ἀποστερηθεὶς ἀξιώματος, εἰς γηΐνον κατερίφη φρόνημα· εἶτα ὥσπερ ἀμυνόμενος τὸν Θεὸν διὰ τὴν πτῶσιν, ἐπεὶ μὴ αὐτὸν ἀνταμυνάσθαι οἷός τε ἐστι, τοὺς αὐτοῦ δούλους τοὺς ἀνθρώπους πειρᾷ· ταύτῃ τὸν δεσπότην αὐτῶν οἰόμενος ἀδικεῖν.

Ὁ ἐν τῷ οὐρανῷ πόλεμος, διὰ τὴν πρώτην ἀλαζονείαν καὶ τὸν κατὰ τοῦ Ἀδὰμ φθόνον συνέστη. [p] *οὐκ αὐτοῦ Θεοῦ παραταξαμένου. τὸ γὰρ ὑπερανεστηκέναι πᾶσαν γεννητὴν καὶ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι προβᾶσαν ὑπ' αὐτοῦ φῦσιν. διὸ καὶ τὸ ἀλλοίωτον αὐτῇ διηνεκῶς πρόσεστιν. αὐτὸς ἡ μακαρία τῷ ὄντι εἰ παντὸς οὔτινος οὖν ἀπροσδεὴς ὡς ἵνα τολμηρῶς ἐρεῖν αὐθέδραστος φύσις, διὸ καὶ τοῦ πόθε ** ποῖα ἀπαράδεκτος. τῆς μετ' ἐκείνην οὖν ἀγγελιωτίδος οὐσίας, ἧς Μιχαὴλ κατάρχειν ὁ θεῖος τέτακται, τὸν πόλεμον ἐπανελομένου, καὶ πάλαι μὲν καὶ κατ' ἀρχὰς, τελεώτερον δὲ κατὰ τὸ Χριστοῦ πάθος· διό φησιν αὐτὸς " νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου " κέκριται" ἀντὶ τοῦ τέλεον κατακέκριται· ἄρχειν δὲ καὶ τοῦ ἀέρος τοῦ κόσμου καὶ Παῦλος ὁ θεῖός φησι τὸν διάβολον. τοῦ ἀρχιστρατήγου τοίνυν Μιχαὴλ μὴ φέροντος τὴν τοῦ διαβόλου ἀλαζονείαν, καὶ πολεμικῷ κράτει τῆς οἰκείας ἐνδιατριβῆς ἀπορρίψαντος ἐκεῖνον πάλαι, καθώς φησιν Ἰεζεκιὴλ, ὑπὸ τοῦ Χερουβὶμ ἐκβεβλῆσθαι αὐτὸν ἐκ μέσου λίθων πυρίνων, τῶν ἀγγελικῶν λέγων τάξεων. διὰ τὸ εὑρεθῆναι ἐν αὐτῷ τὰ ἀδικήματα, αὖθις ἐν τῇ τοῦ Χρίστου παρουσίᾳ, ὡς εἴρηται, ὑπὸ τῶν διακονουμένων αὐτῷ τῷ Κυρίῳ Ἀγγέλων, μετὰ τῶν ὑπ' αὐτοῦ πειρασμῶν τοῦ διαβόλου, ὡς ἠτιμωμένον δοῦλον ἀποπεμψαμένων αὐτὸν, ἐκπέπτωκε τελεώτερον.*

[q] Τοῦτο καὶ πατέρων παράδοσις καὶ Παπίου διαδόχου τοῦ Εὐαγγελίστου Ἰωάννου, οὗ καὶ ἡ προκειμένη ἀποκάλυψις, διαβεβαιοῖ· Παπίας δὲ καὶ ἐπ' αὐτῆς λέξεως οὕτως φησι περὶ τοῦ πολέμου, ὅτι " εἰς οὐδὲν συνέβη τελευτῆσαι τὴν τάξιν αὐτῶν" οἱονεὶ τὴν πολεμικὴν ἐγχείρησιν· " ἐβλήθη γὰρ ὁ δράκων, ὁ μέγας, ὁ ὄφις ὁ

[p] Hinc usque ad *τὸν διάβολον*. [q] Huj. Sch. init. deest Edd. usq. ad *διάβολος καλεῖται*.

“ ἀρχαῖος καὶ ὁ Σατανᾶς καὶ διάβολος καλούμενος, καὶ ἐβλήθη “ εἰς τὴν γῆν, αὐτὸς καὶ οἱ ἄγγελοι αὐτοῦ.” διώνυμος δέ ἐστι· Σατανᾶς γὰρ καὶ διάβολος καλεῖται. τινὲς δὲ ταύτην τὴν ἔκπτωσιν τοῦ διαβόλου μετὰ τὸ βάπτισμα καὶ τὸν πειρασμὸν τοῦ Χριστοῦ γεγονέναι λέγουσι, καὶ μετὰ τὸ εἰρηκέναι αὐτῷ τὸν Χριστὸν, “ ὕπαγε Σατανᾶ.” καὶ σφόδρα τοῦτο τοῖς περὶ τῆς θεοτόκου εἰρημένοις ἁρμόζειν δοκεῖ. διώνυμος δὲ καλεῖται· Σατανᾶς μὲν, ὡς ἀντικείμενος τῷ δεσπότῃ[m], διάβολος δὲ, ὡς διαβάλλων Θεὸν ἀνθρώποις, ὡς τῷ Ἀδὰμ, καὶ τὰς ἀρετὰς καὶ τοὺς τῶν ἀρετῶν ἐργάτας.

[n] Ἰστέον δὲ ὅτι οὐ τοπικὴ μετὰ τὴν σταύρωσιν τοῦ Κυρίου ἡ τοῦ διαβόλου γέγονε κατάπτωσις, ὡς ἔστον[o] καὶ αὐτοῦ τῷ θείῳ Ἀντωνίῳ ὁμολογεῖ, “ τοῦ ἐχθροῦ,” φάσκων, “ αἱ ῥομφαίαι ἐξέλιπον εἰς “ τέλος.” ἔκπτωσις γὰρ αὐτοῦ ἡ τῶν πονηρῶν αὐτῶν ἐνεργημάτων ἀθέτησις μετὰ τοῦ τῆς οὐρανίου ἀρχῆς τῆς ἀποβολῆς, ὡς εἴρηται τελεώτερον. εἴρηται δὲ καὶ Ἰουστίνῳ τῷ ἁγίῳ μάρτυρι μετὰ τὴν Χριστοῦ παρουσίαν καὶ τὴν κατ᾽ αὐτοῦ ἐν γεέννῃ ἀπόφασιν, βλάσφημον μάλιστα γενέσθαι τὸν διάβολον, καίπερ μὴ πρότερον οὕτως ἀναιδῶς τὸν Θεὸν βλασφημήσαντα. διὸ καὶ εὐθυβόλως περὶ αὐτοῦ εἰρῆσθαι τὸ “ πέπηγεν ἡ καρδία αὐτοῦ ὡς λίθος” διὰ τὸ τῆς πονηρίας ἀνένδοτον. εἰ δὲ ἡ προσδοκία τῆς κολάσεως πονηρότερον αὐτὸν ἀπειργάσατο, πῶς ἂν κολαζόμενος ἢ αὐτὸς ἢ ἐργάτης τῶν αὐτοῦ κακιῶν διὰ τῆς ἐν τῇ γεέννῃ πυρώσεως τὸν ῥύπον τῆς ἁμαρτίας ἐκπλυθήσονται; οὐ μὴ γενομένου, πῶς πέρας ἕξουσι τῆς κολάσεως κατὰ τοὺς ματαιόφρονας, οἳ καὶ μὴ διὰ μηδὲν ἄλλο, διαγοῦν τὸ ἀμεταμέλητα εἶναι τὰ χαρίσματα τοῦ Θεοῦ ὧν ἓν καὶ ἡ μνήμη τῇ ἀνθρωπίνῃ δευσοποιῶς καὶ εἰς ἀνέκπλυτον μονιμότητα ἐμμολυνθεῖσα ψυχὴ, πῶς ἂν ἐνδελεχῶς αὐτῇ ἐγκειμένη καὶ τῆς ἐκπτώσεως παριστώσης τὸ σκυθρωπὸν, οὐχὶ καὶ πυρὸς αὐτὴν αἰσθητικώτερον δαπανήσει; “ τί γάρ,” φησι τὸ λόγιον; “ τῆξις “ καρδίας, ἔμμονος λογισμός.” εἰ δὲ καὶ τῇ εν * * μακάριοι οἱ ἁμαρτωλοὶ, ἡμεῖς τῇ ἀνυπαρξίᾳ καὶ τῶν ἀρρήτων ἀπαλλαγέντες ἀλγεινῶν ἀλλ᾽ εἰς ἀδιάλυτον ζωὴν, τίς ἔτι τούτων ἐλπίς;

[m] τὸν δεσπότην B. [n] Hoc Sch. carent. Edd. [o] Sic Cod. sed in Andr. Comment. p. 67. καθὼς καὶ αὐτὸς τῷ [μεγάλῳ] Ἀντωνίῳ ὁμολογῶν τὸ ψαλμικὸν ἐπ᾽ αὐτὸν πεπληρῶσθαι λογίον κ.τ.λ.

10 Καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ, λέγου-
σαν· ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ
βασιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ
αὐτοῦ, ὅτι ἐβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ
κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ
11 νυκτός. καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ
ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐκ
12 ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. διὰ τοῦτο
εὐφραίνεσθε οὐρανοὶ, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. οὐαὶ
τῇ γῇ καὶ τῇ θαλάσσῃ, ὅτι κατέβη ὁ διάβολος πρὸς
ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

Τῆς οὐρανίας ἀξιωθεὶς ἀνόδου, ἀφ' οὗ καὶ τὸν πόλεμον ἐθεάσατο, καὶ τὴν κατὰ τοῦ Σατανᾶ καὶ τοῦ διαβόλου τῶν Ἀγγέλων τῶν θείων νίκην, ἀκοῦσαι φησὶ καὶ φωνὴν λέγουσαν, ὡς πολλάκις παρεθέμην, ἀντὶ τοῦ δηλοῦσαν παραλαμβανομένην[n]. τί δὲ δηλοῦσαν; τὴν εὐφροσύνην τῶν Ἀγγέλων ἣν ἔσχον ἐπὶ τῇ νίκῃ τοῦ Σατανᾶ, καὶ τοῦ διαβόλου, ὃν δυσὶ τούτοις ὀνόμασιν ἐτίμησαν ταῖς ἐνεργείαις αὐτοῦ ἰσαρίθμοις. ἐπεὶ καὶ παντὶ ἀντίκειται ἀγαθῷ, καὶ διαβάλλων οὐ παύεται ἐξ ἀρχῆς, ὡς ἤδη εἴρηται. εὐφρόσυνον οὖν ᾄδουσιν ᾠδὴν ἐπὶ τῇ νίκῃ καὶ ἐκβολῇ τούτου. οὐ γάρ ἐστι κοινωνία οὐδὲ καὶ μερὶς πιστῷ μετὰ ἀπίστου. καὶ τίς δὲ ἡ ᾠδή; "ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ βασιλεία καὶ ἡ δύναμις ἡ τοῦ Θεοῦ," καὶ διέλαμψεν ἀκριβέστατα ἡ τούτου δύναμις καὶ ἡ ἐξουσία καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ ἀπῆλθεν ἀφ' ἡμῶν νικηθεὶς τῇ συνεργείᾳ αὐτοῦ ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν. τὸ δὲ "ἄρτι," οὐ τὸ νεαρὸν σημαῖνον ἐνταῦθα παρείληπται, ἀλλὰ τὸ ἐντελὲς καὶ ἀπαραλόγιστον, καὶ ἀναμφίβολον καὶ τῇ ἀρχῇ κατάλληλον. αἱ ἀρχαὶ γὰρ τοῖς τέλεσι δοκιμάζονται, εἰ γὰρ μὴ τοῦτο, οὐκ ἂν οὐδὲ ἀρχὴ λεχθείη· τίνος γὰρ ἂν καὶ εἴη ἀρχὴ τὸ τέλος οὐ φέρουσα;

Τῶν ἀδελφῶν ἡμῶν.

Ἀδελφοὺς Ἄγγελοι τοὺς ἀνθρώπους καλοῦσιν, μιμήσει τοῦ

[n] δηλοῦσα παραλαμβανομένου B.

ἑαυτῶν δεσπότου. αὐτὸς γὰρ διὰ τοῦ προφήτου φησὶν, "ἀπαγ-"γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου." ἀλλὰ καὶ δι' ἑαυτοῦ πρὸς τὴν Μαγδαληνὴν Μαρίαν· "πορεύου πρὸς τοὺς ἀδελφούς μου, "καὶ εἰπὲ αὐτοῖς."

Ἡμέρας δὲ καὶ νυκτὸς.

Τὴν κατηγορίαν τὴν κατὰ τῶν ἀδελφῶν ἡμῶν φησὶ συγκροτεῖν τὸν κατήγορον, τὸ ἐνδελεχὲς, καὶ ἀδιάλειπτον παριστῶν[o] τῆς τοῦ πονηροῦ καθ' ἡμῶν ἐπηρείας. τί γὰρ καὶ ἄλλο εἴη διὰ σπουδῆς τῷ διὰ τὸ ὑπερβάλλον τῆς πλημμελείας εἰς ὄνομα ἀνευρηκότι[p] τὴν ἐμπληξίαν;

Διαβάλλει γὰρ ἀεὶ καὶ Θεὸν πρὸς ἀνθρώπους, ὡς διὰ τοῦ ὄφεως πρὸς τὸν Ἀδὰμ, καὶ ἀνθρώπους πρὸς τὸν Θεὸν, ὡς τὸν Αὐσίτην Ἰώβ.

Καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν, διὰ τὸ αἷμα τοῦ ἀρνίου.

Ἐνίκησαν τοῖς ἴσοις αὐτὸν ἀμυνάμενοι διὰ πολέμου, ὡς καὶ αὐτὸς τοὺς Θεῷ φίλους ἀπηυθαδιάσατο. ἀπῆλθεν γοῦν καὶ καθηρέθη τῆς ἀξίας, οὐκέτι χώραν ἔχων ἑστάναι ἐνώπιον τοῦ Θεοῦ καὶ κατηγορεῖν τῶν ἀνθρώπων ὡς ἐπὶ τοῦ Ἰώβ. ἐνίκησαν οἱ μάρτυρες[q] τὸν δοκοῦντα ἀήττητον εἶναι, ὡς καὶ κατὰ τοῦ Θεοῦ τολμῆσαι, συνεργῷ χρησάμενοι τῷ αἵματι τοῦ ἀρνίου. πῶς; ὥσπερ γὰρ ἐκεῖνος οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν ἔδωκε τὸ ἑαυτοῦ αἷμα, οὗ τύπος καὶ ὁ ἐν τῇ παλαιᾷ τοῦ Πάσχα ἀμνὸς, οὐχ ὑπὲρ ἑαυτοῦ σφαζόμενος, ἀλλ' ὑπὲρ τῶν Ἑβραίων τῆς ἀσφαλείας, τοῦ μὴ τὸν ὀλοθρευτὴν ὑποδύντα τῇ οἰκίᾳ τὸν ὄλεθρον ἐπαρτίσαι τοῖς πρωτοτόκοις. οὕτω καὶ οἱ Χριστοῦ μάρτυρες τῷ ζήλῳ τῆς σφαγῆς τοῦ ἑαυτῶν δεσπότου καὶ τῆς ἑαυτῶν ψυχῆς[r] καὶ τῆς ζωῆς προέκριναν τὴν μίμησιν τοῦ δεσποτικοῦ πάθους. [s]οὗ γενομένου εὐφραίνεσθαι τὸ τέλος παρέχει, τοὺς τοῦ πικροῦ γειτόνηματος[t] τοῦ Σατανᾶ ἀπηλλαγμένους. σκοπεῖν δὲ κἀνταῦθα τὸ χρονικὸν διάστημα τὰ μέλλοντα τῷ παρωχηκότι προσνέμων. τίς γὰρ ἀγνοεῖ ὅτι ταῦτα τὰ νῦν ἐξαγγελλόμενα, οὐ τοῦ παρωχημένου, ἀλλὰ τοῦ μέλλοντος

[o] παριστᾷ B. [p] ἀνευρηκότη. Cod. B. qui ult. hæc solus habet.
[q] οἱ μάρτυρες om. B. [r] τῶν ἑαυτῶν ψυχῶν B. [s] Quæ seq. om. Edd. usq. ad fin. Sch. [t] Cod. γειτωνήματος.

τὴν γνῶσιν παρέχει· τῆς κατὰ τὴν συντέλειαν λέγω διεξόδου; τοῦτο δέ μοι ἐπῆλθεν εἰπεῖν διὰ τὸ τινὰς τῇ τοῦ χρονικοῦ διαφορᾷ διαστήματος τὴν γυναῖκα καὶ τὸν ταύτης τόκου * * ἄρρενα ἀλλοτριοῦν ἐπιχειρῆσαι τῆς περὶ τὴν τοῦ Κυρίου μητέρα ἐκλήψεως.

Καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας.

Λόγον τὸν ζῆλον καὶ τὴν μίμησιν τῆς τοῦ Κυρίου διὰ σταυροῦ μαρτυρίας.

Διὰ τοῦτο εὐφραίνεσθε οὐρανοί.

Τὴν οἰκεῖαν εὐφροσύνην οἱ Ἄγγελοι παραδηλοῦντες, ἣν ἔσχον ἐπὶ τῇ καθαιρέσει τοῦ Σατανᾶ, ἐπινίκιον ᾄδουσιν ᾠδὴν τῷ Θεῷ· ἄρτι λέγοντες, ἐγένετο ἡ σωτηρία καὶ ἡ βασιλεία διέλαμψε, καὶ ἡ ἐξουσία τῆς τοῦ Θεοῦ δυνάμεως, ὅπως ἐστὶ παντοδύναμος. αὐτοῦ γὰρ συνεργείᾳ νενικήκαμεν τὸν ἔχθρον.

Οὐαὶ τῇ γῇ καὶ τῇ θαλάσσῃ.

Οὐ τῇ ἀναισθήτῳ κτίσει τὸ οὐαὶ, ἀλλὰ τοῖς γήϊνα φρονοῦσι καὶ σποδὸς οὖσι, κατὰ τὸ γεγραμμένον, "καὶ ὡς ἡ θάλασσα ἀστα-"τοῦσιν," ἀγομένοις καὶ φερομένοις ἐν τῇ τοῦ βίου κυβείᾳ· κατὰ τούτων γὰρ ὁ κοινὸς ἐχθρὸς στρατευόμενος, τὸ ἑαυτοῦ[s] καταθύμιον ἀνύσει. τοῖς νήφουσι γὰρ καὶ πρὸς Θεὸν ἀνατεινομένοις οὐ μόνον πρὸς βλάβην οὐ καταβήσεται[t], ἀλλὰ καὶ πρὸς ὠφέλειαν, ὡς διαγυμναζομένοις ὡς ὑπὸ παιδοτρίβῃ, καὶ τοῖς πειρασμοῖς δοκιμωτέροις ἀποτελουμένοις. πλείονα δὲ τὸν θυμὸν ἕξειν φησὶ, τὸ ὑπόγυιον[u] τῆς αὐτοῦ πτώσεως λογιζόμενος[x]. πόσος γὰρ ὁ ἀπὸ τῆς καταπτώσεως τοῦ διαβόλου καιρὸς, εἴτε ὁ ἀπ' ἀρχῆς, εἴτε ἀπὸ τῆς Χριστοῦ παρουσίας πρὸς τοὺς ἀτελευτήτους τῆς κολάσεως αὐτοῦ αἰῶνας παραμετρούμενος. θυμὸν οὖν ἔχων μέγαν διώξει, φησι, τὴν γυναῖκα.

ΚΕΦ. ΛΕ.

Ὅπως ὁ δράκων διώκων τὴν Ἐκκλησίαν οὐ παύεται.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν,
14 ἐδίωξε τὴν γυναῖκα ἥτις ἔτεκε τὸν ἄρρενα. καὶ ἐδόθη-
σαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου,

s ἑαυτῷ B. t οὐ καταβήσεται om. B. u ὑπόγυον B. x ὑπολογιζόμενος B.

ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως
τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ
15 προσώπου τοῦ ὄφεως. καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόμα-
τος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμὸν, ἵνα
16 αὐτὴν ποταμοφόρητον ποιήσῃ, καὶ ἐβοήθησεν ἡ γῆ τῇ
γυναικὶ, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε
τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος
17 αὐτοῦ. καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ
ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρ-
ματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ
ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.

[y]Οἱ τὴν γυναῖκα πρὸς τὴν Ἐκκλησίαν μεταλαμβάνοντες, οὕτως περὶ τῆς διώξεως αὐτῆς φησὶν, ὅτι ὅτε εἶδεν ὁ διάβολος τῷ Χριστῷ μετὰ τὸ βάπτισμα προσπαλαίσας ὅτι ἡττήθη, ὡσαύτως καὶ πρὸς αὐτοῦ μαθητὰς τοὺς Ἀποστόλους ὁπλισάμενος ᾐσχυνήθη διὰ θανάτου τοῦ ὑπὲρ Χριστοῦ ζωὴν εὑρομένους, ἑαυτὸν δὲ ὡς ὄφιν εἰς γῆν καταδικασθέντα καὶ γῆν ἐσθίειν, τοὺς γαιώδεις τὸ φρόνημα, καὶ μηδὲν τῆς οὐρανίου κεκτημένους παλινζωΐας τε καὶ διαίτης, ἤρξατο πάλιν φησὶ, τὴν Ἐκκλησίαν διώκειν ἐξ ἧς ὁ ἄρρην τοῦ Κυρίου λαὸς, ὁ μηδὲν θηλυπρεπὲς φέρων τῶν ταῖς ἡδοναῖς πεφυκότων τοῦδε τοῦ βίου ἐκλύειν καὶ μαλακίζειν, ἀλλ' ἐξ ἀρχῆς τῇ πρὸς Θεὸν ἀγάπῃ καὶ τὸν πλησιον συγκροτούμενος, ἔσχεν συνελαφριζούσας καὶ μετεωροποιεῖν ἐκβιαζούσας, λῆψιν ἀπὸ Θεοῦ τὰς δύο πτέρυγας τοῦ ἀετοῦ τοῦ μεγάλου, ὅς ἐστιν "ὁ ἐπιβαίνων "ἐπὶ Χερουβεὶμ πέταται," ὡς τῷ θεοπάτορι Δαβὶδ δοκεῖ. αἱ πτέρυγες δὲ τί ἂν ἄλλο οἴοιντο, ἢ αἱ δύο διαθῆκαι Θεοῦ πρὸς ἡμᾶς τῆς παλαιᾶς καὶ καινῆς. αἵτινες πτέρυγες μετεώρους ἄγουσι πρὸς τὴν ἔρημον πάσης διύγρου ἡδονῆς τοὺς κεχρημένους αὐταῖς γνησίως· ἀεὶ μὲν, μάλιστα δὲ ἐν τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ· ὃν κρατεῖν κατὰ τὸν ἤδη ῥηθέντα χρόνον τῶν τριῶν καὶ ἡμίσεως ἐτῶν· ἐν ᾧ καὶ οἱ κατὰ τὴν αἰσθητὴν ἔρημον ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς κρυπτόμενοι φεύξονται.

Ἄλλως. Οἱ τὴν γυναῖκα εἰς τὴν τοῦ Κυρίου μητέρα ἐξειλη-

[y] Hoc Sch. deest Edd.

φότες ἐπανάληψίν φασι ταῦτα τῶν ἤδη εἰρημένων. οὐ γὰρ τοῦτο λέγει ὅτι μεθ' ὃ εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, εὐθὺς ἐδίωκε τὴν γυναῖκα. ἀλλ' ἐπειδὴ εἶδεν ἑαυτὸν ὁ δράκων ἐν οἷς ὑπῆρχε[x] κακοῖς, καὶ ὅτι ἐκπέπτωκε τῆς ἀγγελικῆς ἀξίας, πικρὸς γέγονε λίαν κατὰ τῶν ἀνθρώπων. [y] καὶ τὴν γυναῖκα τὴν τὸν Σωτῆρα τῶν ἀνθρώπων γεννήσασαν ἐδίωκεν τοῦ ἀπόλεσαι, ἐπεὶ ἔγνω τὸν ἐξ αὐτῆς τεχθησόμενον Σωτῆρα ἔσεσθαι τῶν ἀνθρώπων. μὴ φέρων οὖν τὴν τοσαύτην μεταβολὴν, εἰ αὐτὸς μὲν ἐξ οὐρανοῦ ἐκπέπτωκεν, ἄνθρωποι δὲ εἰς οὐρανοὺς δι' ἀρετῆς ἀναφοιτήσουσι τῇ τοῦ ἐξ αὐτῆς γεννηθησομένου φιλανθρώπῳ δυνάμει καὶ θεϊκῇ ἐξουσίᾳ, τὸ ὅσον ἐφ' ἑαυτῷ οὐκ ἀνῆκεν τὰ ἐμποδοστατοῦντα τεχνάζειν εἰς ἅπαν.

Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου.

Οὐ γέγονεν ἡ γυνή, φησιν, ὑπὸ χεῖρα τοῦ Σατανᾶ, ἀλλὰ ταῖς δοθείσαις δυσὶ πτέρυξιν ἔφυγεν εἰς τὴν ἔρημον. πτέρυγας δύο λέγει, χρηματισμοὺς παρὰ τῶν Ἀγγέλων, ἕνα μὲν τὸν τοὺς Μάγους μὴ ἀνακάμψαι πρὸς Ἡρώδην διαστειλάμενον, ἕτερον δὲ τὸν[z], "φεῦγε εἰς Αἴγυπτον" φάσκοντα, "καὶ ἴσθι ἐκεῖ," ἥτις ἦν ἔρημος θεοσεβείας. ὃ καὶ παράδοξον, ἐν ἀσεβέσι τὸ θεῖον ἐκτραφῆναι. πάντως δὲ ἐπικουρίᾳ πατρῴᾳ τοῦ ἀπ' οὐρανῶν Πατρὸς εἰς γνῶσιν, τοῦ καὶ ἀπὸ τῶν χειρόνων τὰ κρείττω σθενοποιεῖν εἰδότος. ἐρήμου δὲ τῆς Αἰγύπτου καὶ τῆς Ἡρώδου ἐξουσίας. εἴρηται δὲ καὶ τῆς μητρὸς τόπος ἡ ἔρημος ὡς ἁρμοζόντως αὐτῇ τὸ ἀνενόχλητον τόπον ποριζούσης. καιρὸν δὲ καὶ καιροὺς καὶ ἥμισυ καιροῦ, τὴν διατριβὴν τὴν εἰς ἔρημον σχεῖν, ὃ εἰς τρία ἔτη καὶ ἥμισυ συγκεφαλαιοῦται ὁ τῆς ζωῆς Ἡρώδου χρόνος, ἐν ᾧ ἤρξατο κατὰ τῆς Χριστοῦ λυσσήσας ἀπωλείας.

Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ.

Τῆς ἐπιβουλῆς ἀποτυχὼν τῆς κατὰ τῆς παρθένου ὁ ὄφις, ἄλλην ἡμῖν ἐνεκαίνισε[a] κατὰ τῆς παρθένου καὶ τοῦ ταύτης υἱοῦ

[x] ὑπάρχει B. [y] Quæ seq. om. Edd. [z] ἕτερον δὲ τὸν φεύγειν εἰς Αἴγυπτον τῷ Ἰωσὴφ μετὰ τοῦ παιδίου τῆς μητρὸς ἐντειλάμενον. μόνως γὰρ οὕτως Ἡρώδην ἡ μητὴρ καὶ τὸ παιδίον διέφυγεν. εἰς ἔρημον δὲ τὴν Αἴγυπτον, φησιν B.
[a] ἄλλην μέτεισι κατὰ τ. παρθ. B.

δραματουργίαν, τὰ κατὰ τὸν σταυρὸν λέγων, δι' ὧν καὶ τῇ μητρὶ τὴν διὰ τὸ πάθος ἀπιστίαν ἐνεσκεύαζε, καὶ τῷ υἱῷ τὴν διὰ θανάτου ἀπώλειαν. ποταμὸν δὲ ἐκ τοῦ στόματός, φησι, τὸν ὄφιν ἐκβαλεῖν τοὺς πειρασμοὺς, ὡς σύνηθες εἰς ὕδωρ καὶ ποταμοὺς ἀλληγορεῖν τῇ γραφῇ[b]. πῆ μὲν διὰ τοῦ Ἰωνᾶ λέγουσα "ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης καὶ ποταμοὶ ἐκύκλωσάν με." πῆ δὲ διὰ τῆς παραβολῆς αὐτοῦ τοῦ Κυρίου· "κατέβη" φάσκοντος, "ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ οὐκ "ἐδυνήθησαν τὴν ἐπὶ τὴν πέτραν θεμελιωμένην οἰκίαν καταβαλεῖν." ποταμὸν οὖν ἐν τῷ πάθει τοῦ Κυρίου πειρασμὸν τῇ μητρὶ ἐγγινόμενον λέγει. ὃν καὶ Συμεὼν ὁ πρεσβύτης φησὶ τῇ παρθένῳ. "καὶ "σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία[c]." καὶ τὸ αἴτιον, εἰς παράτασιν τοῦ ἀληθῶς αὐτὴν ὠδινῆσαι καὶ τεκεῖν, ἀλλ' οὐ φαντασίᾳ. διὸ καὶ τὰ τῶν ἀληθῶν μητέρων παθεῖν, ὀδυνομένην ἐπὶ τῷ τόκῳ· τοῦτο γὰρ νοοῖτο "ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν "καρδιῶν διαλογισμοί."

Ἐκ τοῦ στόματος αὐτοῦ.

Οἱονεὶ ἐκ προστάγματος αὐτοῦ ὁ πονηρὸς δαίμων ἔβαλεν τοὺς πειρασμούς· "ποταμοφόρητον" δὲ ἀντὶ τοῦ ἀποπνίξει. τότε γὰρ τὰ ἔμψυχα ὑπὸ ποταμῶν ἄγεται καὶ φέρεται, ὅταν ἀποπνιγῇ.

Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί.

Τὸ μὲν καταπιεῖν τὴν γῆν τὸν ποταμὸν, δηλοῖ τὸ διὰ θανάτου τὸν Κύριον δέξασθαι διὰ τοῦ μνήματος. [d]ποταμὸν δὲ αὐτὸν ἐκάλεσεν, ὡς καὶ πειρασμῶν ἔμπλεον. ἀφ' ὧν καὶ θανεῖν ἠνέσχετο καὶ ταφῆναι· καὶ εἰρήνης· ἀφ' οὗ καὶ "ὡς ποταμὸν εἰρήνης" ὁ προφήτης φησί· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν κατὰ Παῦλον τὸν θεῖον "ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ "λύσας·" καταπιοῦσα δὲ τοῦτον ἡ γῆ πάλιν ἀνέδωκεν αὐτόν· ἀνεβίω γὰρ πάλιν τριήμερος, πατήσας τὸν θάνατον, ἐπεὶ κατὰ τὸν θεσπέσιον Πέτρον, "οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπ' αὐτοῦ τὸν "ἄρχοντα τῆς ζωῆς." οὕτως δὲ τὸ ῥητὸν τοῦτο ἀναγνωστέον, τελείαν στιγμὴν τιθέντας εἰς τὸ "ἐβοήθησεν ἡ γῆ τῇ γυναικί·" εἶτα

[b] ἀλληγορῶν τῇ γραφῇ B. τ. γραφ. om. Edd. et quæ seq. usque ad καταβαλεῖν. [c] ῥομφ. διελ. B. [s] Quæ seq. om. Edd. usq. ad ἐρεθίσον.

ὡς ἐξ ἐρωτήσεως τοῦ, τίνα δὲ τρόπον ἐβοήθησεν; ἐπιφέρειν ὡς ἀπόκρισιν τὸ "κατέπιεν ἡ γῆ τὸν ποταμὸν ὃν ὁ δράκων ἔβαλλεν ἐκ "τοῦ στόματος αὐτοῦ·" τούτου δὲ γενομένου πρὸς ὀργὴν τοῦ δράκοντος, ἕτερον πάλιν οὗτος ὁ δράκων ἐνεσκευάσατο πόλεμον. ἀλλ' ἐρεῖ τὶς, ὅτι τὸ καταπιεῖν τὴν γῆν τὸν ποταμὸν εἰκότως παραδεκτέον εἰς τὸν τοῦ Κυρίου θάνατον καὶ τὴν ταφὴν, τὸ δὲ ἀναβιῶναι πόθεν ληπτεὸν μὴ ἐγκειμένου τῇ Ἀποκαλύψει τὸ μοῦ κατάπτωσιν ἐξήμεσεν αὐτὸν, ἤτοι τὸν πειρασμόν. οὕτως γὰρ ἂν ἐνδίκως καὶ τῇ ὀργῇ κατάληπτος ὁ δράκων· τὸ γὰρ καταποθῆναι πρὸς ἡδονῆς μᾶλλον συνετέλει· ἅτε πρὸς ἀφανισμὸν τοῦ μυκομένου τελεώτερον ἀποτελευτῶν. λέγομεν οὖν, ὡς εἰ καὶ μὴ πρόσκειται τὸ ἐξήμεσεν ἢ ἀπέβλυσεν, ἀλλὰ τῇ τοῦ δράκοντος ὀργῇ συναναφαίνεται τὸ ἀποβλύσαι πάλιν τὴν γῆν· δι' οὗ πάλιν ὑφίστασθαι ἔμελλεν τὸ τὴν ὀργὴν ἐρεθίσον. ὁ πόλεμος δὲ πρὸς τοὺς χρηματίσαντας υἱοὺς καὶ ἀδελφοὺς τοῦ Χριστοῦ, καθ' ὃ εἴρηται τὸ, "ἀπαγγελῶ τὸ ὄνομά "σου τοῖς ἀδελφοῖς μου." καὶ αὖθις τὸ "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία "ἅ μοι ἔδωκεν ὁ Κύριος." τούτοις δὲ ἐξ ὀργῆς πολεμεῖν ἔκρινε τοῖς πιστοῖς τοῦ Κυρίου, οἱ τῇ πρὸς αὐτὸν εἰλικρινεῖ πίστει καὶ διαθέσει καὶ εἰς συγγένειαν αὐτοῦ[c] ἀνελήφθησαν, καθώς ἐστιν αὐτοῦ ἀκοῦσαι, "μήτηρ μου καὶ ἀδελφοί μου οὗτοι εἰσὶν οἱ "ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς."

[d]Δραματικῶς μέτεισι τὰ προκείμενα ὁ χρηματίζων τῷ Ἀποστόλῳ, ὡς ἔμψυχον ζῶον εἰσάγων τὴν γῆν. στόμα ἔχουσαν ἀνοιγόμενον καὶ καταπώσει ἐξαφανίζουσαν· ἐξαφανίζειν δὲ τῇ καταπώσει διὰ ταπεινοφροσύνης τῶν πρὸς οὓς οἱ πειρασμοί· οἱ καὶ λέγουσι καὶ ἡγοῦνται ἑαυτοὺς γῆν εἶναι καὶ σποδόν· καὶ ταύτῃ τῇ ταπεινώσει τὸ ἀλαζονικὸν ὕψος τοῦ πολεμοῦντος αὐτοῖς διαβόλου ὡσπερεὶ καταπώσει τινι ἐξαφανίζοντες τε καὶ καθαιροῦντες· ὡς τῷ θείῳ Ἀντωνίῳ εἴρηκεν ὁ Ἄγγελος. Ὀργισθεὶς δὲ ὁ δράκων ἐπὶ τῇ γυναικὶ ἤτοι τῇ Ἐκκλησίᾳ διὰ τὸ ὑπὸ τῆς ταπεινοφροσύνης τὰς μηχανὰς αὐτοῦ καταπαλαισθῆναι, ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν περιλοίπων τῶν ἀπὸ τῆς Ἀποστολικῆς διαδοχῆς, ὡς ἀπὸ σπέρματος ταύτης ἐκβλαστησάντων ἀνδρῶν καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ. διὰ τῶν ἐγκρίτων τῆς Ἐκκλησίας διδασκά-

[c] αὐτῷ B. Hoc Sch. carent Edd.

λων καὶ τῶν τῆς γῆς ὑπερορώντων, καὶ πρὸς τὴν ἔρημον μεθισταμένων καὶ τὴν ἐν αὐτῇ ταλαιπωρίαν· εἰ τούτων φησι, διαμάρτοι ὁ διάβολος ἐκ καταπώσεως τῆς ταπεινοφροσύνης, κατὰ τῶν ἐν κόσμῳ στρατευομένων Χριστῷ ἐξοίσει, ὅπως καθάπερ κόνει τραχυνούσῃ τὸ ἔλαιον καὶ τὴν τούτου λειότητα ταῖς τοῦ βίου πραγματείαις εὐαλώτους τούτους εὑρὼν τροπώσηται· εἰ καὶ πολλοὶ τοῦτον διὰ τὸ γνήσιον τῆς πρὸς Χριστὸν ἀγάπης ὥσπερ στρουθίου ἀσθενοῦς καταπαίζουσι.

ΚΕΦ. ΛϚ.

Περὶ τοῦ θηρίου τοῦ ἔχοντος κέρατα δέκα καὶ κεφαλὰς ἑπτά. ὧν μίαν ὡς ἐσφαγμένην ἔφη.

1 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης, καὶ εἶδον
ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον ἔχον κέρατα δέκα
καὶ κεφαλὰς ἑπτὰ, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα
διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὀνόματα βλα-
2 σφημίας. καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει.
καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς
στόμα λέοντος, καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύνα-
μιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν με-
γάλην.

'Επὶ τῆς ἄμμου στάσις τὸ ἀπαγὲς βούλεται σημαίνειν τῶν δεικνυμένων ὡς συμβολικῶς. ἀλλ' οὐκ ἐπ' αὐτῶν ἐναποκαθημένων τῶν ἐρωμένων. 'Εν μὲν τῇ πρὸ ταύτης θεωρίᾳ, δράκων πυρρὸς ἐν τῷ οὐρανῷ ὁρᾶται, νῦν δὲ ἐκ τῆς θαλάσσης ἀναβαίνων[e]. ὁ μὲν οὖν ἀπ' οὐρανοῦ δράκων, τὸν κατ' ἀρχὰς τῆς οὐρανίου δόξης ἐκπεπτωκότα σημαίνει. ὁ νῦν δὲ πάλιν, τὸν αὐτὸν ἐκ τῆς θαλάσσης ἀναβαίνοντα[f], θάλασσαν τὸν ἄστατον τοῦτον καὶ ἀειτάραχον[g] παριστῶν βίον, ἀφ' ἧς[h] καὶ ἀναβαίνει τὸ θηρίον, τὰς τῶν ἀνθρώπων[i] πλημμελεῖς καὶ ἀστηρίκτους ἐπὶ τοῖς ἀγαθοῖς πράξεις λαβὼν εἰς ἐμφάνειαν. ὃ οὐκ ἄλλο, ἢ ὁ Ἀντίχριστος ἐπὶ τῷ πρώτῳ καὶ

[f] ἀναβαίνειν B. [g] Male ἀτάραχον Edd. [h] ἀφ' ἧς om. B.
[i] Edd. ἄλλους.

δευτέρῳ[j] Σατανᾶ, τρίτος αὐτὸς προϊών. τὸ δεύτερον δὲ καὶ μέσον, ὃ καὶ νῦν πρόκειται εἰς θεωρίαν, δύναμίς τις τυγχάνει, τῷ ἀποστάτῃ Σατανᾷ συνεκπεπτωκυία, ἐκείνου μὲν ἧττον, τῶν δὲ λοιπῶν εἰς[k] κακίαν προύχουσα. ὅς ἐστιν ὁ Ἀντίχριστος, ὁ κατ' ἐνέργειαν τοῦ Σατανᾶ καὶ τῶν συγκαταβεβλημένων αὐτῷ[l] δαιμονικῶν δυνάμεων προεχόμενος, εἴ τι Μεθοδίῳ καὶ Ἱππολύτῳ καὶ τοῖς ἁγίοις πείθεσθαι πατράσιν[m]. ὁ γὰρ Σατανᾶς, εἰ καὶ λέγεται παρὰ τῇ γραφῇ τὴν θάλασσαν οἰκεῖν καὶ τὸν τάρταρον, ἀλλὰ τροπικῶς αὐτοῦ γάρ ἐστιν ἀκοῦσαι πρὸς Θεὸν ἐπὶ τοῦ Ἰὼβ φάσκοντος βίβλῳ· "ἐμπεριπατήσας τὴν γῆν καὶ τὴν ὑπούρανον πάρειμι·" ἀφ' οὗ δῆλον ὡς τῇ περιγείῳ ἐνασχολεῖται κτίσει, ἐπιβούλως τοῖς ἀνθρώποις διαγινόμενος· τοῖς μὲν ὡς τάρταρος κρυερὸς ἐπιβουλεύων καὶ τὴν προσοῦσαν ἀνθρώποις θερμότητα προσαποσβεννύειν πειρώμενος. ἔστι δὲ ὅτε θαλαττίῳ τρόπῳ ἐξιὼν καὶ φόβον ἐμποιῶν παλιρροίαις τῶν κοσμικῶν περιστάσεων, ὑποχειρίους ἔχει λαβὼν ἀλλ' ἀϊστῶς διητάτω ἐν τῇ θαλάσσῃ. πῶς ἐν τῇ πρὸ ταύτης θεωρίᾳ ἀναγέγραπται πολλὰ κατὰ Κυρίου καὶ κατὰ τῆς αὐτοῦ μηχανήσασθαι μητρός· οὗτος οὖν ὁ νῦν εἰς θεωρίαν κείμενος ὁ Ἀντίχριστος κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἤδη εἴρηται, ὃν καὶ ὡς * * τος περιέπειν οὐ κατολιγωρεῖ[n]· τοῦτο γὰρ ὡς πρός τινος πολυωρίας ἠξιωμένοι τὸ ὄνομα ἐνδιαθέτως λαμβάνουσιν, ὡς καὶ Χριστός φησι τοῖς μιαιφόνοις Ἑβραίοις· "ὑμεῖς ἐκ τοῦ πατρὸς "τοῦ διαβόλου ἐστέ·" πατέρα τοῦ διαβόλου τοῦτον καλῶν τὸν συναποστάτην αὐτοῦ, ὡς ἤδη εἴρηται· οὗ κατ' ἐνέργειαν ὁ Ἀντίχριστος, ὥσπερ καὶ Ἀβραὰμ πολλῶν ἐθνῶν πατὴρ ἀναγέγραπται τῶν ὅσοι κατὰ ζῆλον ἐκείνου τῆς οἰκείας ἀ * δήσαντες ἐγγενοῦς πλάνης τῆς εὐσεβείας ἀντεποιήθησαν. Ἰστέον δὲ ὡς τῷ τοῦ Εὐαγγελίου ῥητῷ "ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ," οὕτως τινὲς ὑπέστησαν τῇ στιγμῇ· καὶ τῇ ἐνυποκρίτῳ τοῦ ῥητοῦ προφορᾷ τὸ ἄπορον ἀπολυόμενοι· εἰπόντων γὰρ τῶν Ἑβραίων "ὅτι ἐκ πορνείας οὐ γεγεν-"νήμεθα, πατέρα ἔχομεν τὸν Θεόν·" πρὸς τοῦτο χλευαστικῶς αὐτοῖς

[j] καὶ δευτ. om. B. [k] τὰ εἰς κακ. B. [l] Hic Edd. add. ἀγγελικῶν μὲν τὸ πρὶν ὑπαρχουσῶν δυνάμεων, ὕστερον δὲ ἐκδιαβεβλημένης προαιρέσεως, πρὸς τὴν τῶν δαιμόνων μετασχηματισθεισῶν ζόφωσιν. Omnia autem quæ seq. ded. e Cod. B. usq. ad ὁ Ἀντίχρ. γεν. τοῖς ἀνθρ. [m] Suppl. δεῖ. [n] κατολιγορεῖ Cod.

χρησάμενος ὁ Χριστὸς, οὕτω φησιν ἐνυποκρίτῳ προφορᾷ "ὑμεῖς ἐκ "τοῦ πατρός; τοῦ διαβόλου ἐστέ·" τουτέστιν, ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστὲ τοῦ Πατρὸς, ἐξ οὗ πᾶσα πατριὰ ὀνομάζεται; οὐδαμῶς· οὐκ ἐστὲ γὰρ ἐκ τοῦ τῷ ὄντι Πατρὸς, ὡς οὐδὲ τοῦ Ἀβραὰμ ἐστὲ κατὰ γένος οὕτως καὶ τοὺς θεοσεβεῖς τρόπους· τὸ μὲν γὰρ κατὰ γένος κοινὸν καὶ τῶν λοιπῶν ζώων, τὸ δὲ κατὰ θεοσέβειαν, μόνων τῶν τῷ ὄντι ἐμφρόνων ἀνδρῶν. καὶ περὶ μὲν τούτων οὕτως. Ἐκ τῆς θαλάσσης δὲ τοῦτο ἀναβαίνειν τὸ θηρίον φησι· ὅτε διὰ τὸ ὑπερβάλλον τοῦ κόσμου ἐκ κακίας πολυτάραχον εὐπαράδεκτος ὁ Ἀντίχριστος γένηται τοῖς ἀνθρώποις. τὰ κέρατα δὲ τὰ δέκα, τὸ τέλειον τῶν εἰς κακίαν συντελούντων προσεῖναι τῷ Ἀντιχρίστῳ παραδηλοῖ, ἐξ ὧν καὶ δόξα αὐτῷ παρομαρτεῖ, διότι[o] τὸ κέρας, τὴν δόξαν ἔθος σημαίνειν. ἀλλὰ καὶ ἐκ τούτων τινὲς[p] εἰρήκασιν εἰς δέκα τότε βασιλείας διῃρῆσθαι τὴν οἰκουμένην. τὰς δὲ ἑπτὰ κεφαλὰς, τῷ[q] τὰς βασιλείας ἐν τῷδε τῷ συστοίχῳ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ κόσμῳ ὑπάρξαι, συγκαταλυομένῳ ὡς αἰσθητῷ τῇ κατὰ σάρκα βιώσει, ἀνατέλλοντος δὲ τοῦ ἀφθάρτου τε καὶ διαιωνίζοντος, ἐν ᾧ καὶ ἡ βασιλεία διαιωνίζουσά τε καὶ ἀδιάδοχος.

Καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει.

[r]Ἢ τὸ ἅμα τῇ ἀρχῇ τῶν βλασφημῶν ἔχεσθαι, ἢ κατὰ τῆς κεφαλῆς ἑαυτοῦ τὸν Θεὸν βλασφημῶν τὸ κακὸν καθ' ἑαυτοῦ ἐπισωρεύειν.

Ὀνόματα βλασφημίας ἐπὶ τὰς κεφαλὰς τοῦ ἀνιόντος θηρίου ἔστιν ὁ Ἀντίχριστος. αἱ βλάσφημοι ὀνομάσιαι προσέσονται φησι· τί τοῦτο λέγων; τὸ ἐκ τῆς θαλάσσης ἤγουν τοῦ φιλοταράχου τοῦδε καὶ πολυκύμονος βίου ἐξερχόμενον θήριον. ἄνθρωπος γὰρ ἔσται ὁ Ἀντίχριστος προοιμίοις χρησάμενος τοῖς Ἑλληνίζουσιν ἄρχουσι, καὶ δὴ καὶ τοῖς μετὰ Κωνσταντῖνον τὸν μέγαν, ὧν ἐστιν Ἰουλιανὸς καὶ Οὐάλης, καὶ πάντες οἱ καθ' ἑξῆς αἱρετίζοντες βασιλεῖς. τότε καὶ αὐτὸς ἐπιστήσεται εἰς δέκα πρὸ μικροῦ τῆς αὐτοῦ ἀφίξεως μερισθείσης τῆς Ῥωμαϊκῆς ἀρχῆς, ἀρκούντως βεβλασφημένης[s] τῆς τῶν Χριστιανῶν πίστεως. ὡς ἔστι μαθεῖν τοῖς βουλο-

[o] παρομαρτήσει, ὅτι B. [p] καὶ τοῦτο τινὲς B. [q] τὸ B.
[r] Quæ seq. om. Edd. usq. ad ἄρχουσι. [s] μεταβεβλασφ. Edd.

μένοις ἀπὸ τῶν τὰς παλαιὰς ἱστορίας ἀναγραφομένων βιβλίων, καὶ τῶν τὰς ὑπογύους. περὶ τοῦ ἀριθμοῦ δὲ τοῦ δέκα καὶ ἑπτὰ εἴρηται. ὁποῖον δὲ τὸ θηρίον, ὅμοιόν φησι παρδάλεως, καὶ οἱ πόδες ὡς ἄρκτου, καὶ τὸ στόμα ὡς λέοντος, διὰ μὲν τῆς παρδάλεως τὴν Ῥωμαίων σημαίνων ἀρχὴν, ὡς ταχυεργῆ, καθ' ὧν ἂν τὴν ὁρμὴν σχῇ, καὶ καρτερικὴν μέχρις ἂν πρὸς τέλος τοῦ ἐνάρξασθαι φθάσῃ, ὃ καὶ διὰ τῶν τῆς ἄρκτου ποδῶν δηλοῖ. ἀναφέρονται δὲ καὶ εἰς τὴν Περσῶν βασιλείαν, ἄχρι νῦν οὐκ ἀποκαρτερήσασαν τῆς ὅλης ἀντέχεσθαι· διὰ δὲ τοῦ στόματος ἡ Βαβυλωνίων, ἣν ἄν τις ἀπαραλογίστως τὴν τῶν Σαρρακηνῶν ἐκδέξεται, καθ' ὅτι καὶ ἐν Βαβυλῶνι νῦν ἐστι τὸ ἀρχεῖον αὐτῶν, ὧν δὴ ὁ[r] Ἀντίχριστος ὡς Ῥωμαίων βασιλεὺς κρατήσει. [s]εἰς τοῦτο γὰρ καὶ ἀφίξεται ὡς καὶ ταύτην καθαιρήσων, ὅταν τοὺς ὀστρακίνους τῶν ποδῶν δακτύλους θεάσηται· δι' ὧν εἰς δέκα δηλοῦται ἡ διαίρεσις αὐτῆς ἀσθενεῖς καὶ εὐθρύπτους ἀρχὰς, ἃς καὶ αὐτὸν * θος ὁ ἄνευ ἀνδρὸς ὑποστὰς τὴν ἀνθρωπίνην ὑπόστασιν συνεργείας ἐξόρους τοῦ πατρικοῦ καὶ θείου ὕψους ὁρμημένος γέγονε τὸ καθ' ἡμᾶς γενόμενος μεθ' ἡμῶν· καὶ πατάξας καὶ λεπτύνας εἰς ἅπαν ὡς ἀπὸ ἁ * * νος θερινῆς τὰς βασιλείας, καὶ αὐτὸν τὸν Ἀντίχριστον δεσμοῖς παραπέμψας διαιωνίζουσιν, αὐτὸς τὸ ἀθάνατον καὶ ἀκατάλυτον ἀνεδήσατο κράτος.

Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ.

Δώσει γὰρ τῷ Ἀντιχρίστῳ ὁ Σατανᾶς ὁ νοητὸς δράκων, πᾶσαν ἐξουσίαν ἐν σημείοις καὶ τέρασι καὶ ψευδέσι πρὸς ἐξαπάτην ὅμως τῶν ἀστηρίκτων. τὸν θρόνον δὲ τί νοητέον, εἰ μὴ τὴν ἐξουσίαν τοῦ σκότους τοῦ ἀέρος τούτου, ἣν καὶ αὐτὸς ἔσχε τῆς οὐρανίου δόξης ἐκπεπτωκώς;

3 Καὶ εἶδον μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ, ὡσεὶ ἐσφα-
γμένην εἰς θάνατον. καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ
ἐθεραπεύθη, καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου.
4 καὶ προσεκύνησαν τῷ δράκοντι τῷ δεδωκότι τὴν ἐξου-
σίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τῷ θηρίῳ, λέγοντες,

[r] ὧν δὴ βασιλέων κρα σει ὁ Ἀντιχρ. ὡς Ῥωμ. βασ. B. [s] Hinc usq. ad Sch. fin. om. dd.

τίς ὅμοιος τῷ θηρίῳ; τίς δυνατὸς πολεμῆσαι μετ'
5 αὐτοῦ; καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ
βλασφημίαν. καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι
6 μῆνας τεσσαρακονταδύο. καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς
βλασφημίαν πρὸς τὸν Θεὸν, βλασφημῆσαι τὸ ὄνομα
αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ
7 σκηνοῦντας. καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον μετὰ τῶν
ἁγίων, καὶ νικῆσαι αὐτούς.

Τοῦτο διαφόρως ἐκληπτέον. [t]Ἡ γὰρ τὸν Ἰσραὴλ θεοσεβὲς ὂν ἔθνος, ὅτι καὶ πατέρων τοιούτων προφάσει λιμοῦ τὴν Αἴγυπτον καταλα**τα μετὰ τοῦ πατρὸς αὐτοῦ Ἰακὼβ, καὶ ἐπὶ τίνα μὲν μόνον ἕως ζῶντες παρη*ν οἱ πρόγονοι ἐχόμενοι τῆς πατρίου θεοσεβείας· ἐκείνων δὲ θανάτῳ ἐκλελοιπότων καὶ τῆς θεοσεβείας τοῖς ἀπογόνοις τῆς πατρῴας ἐκλελοιπυίας ταῖς Αἰγυπτίαις ὑπήχθησαν εἰδωλολατρείαις, ὃ ὑπὸ Ἰησοῦ τοῦ υἱοῦ τοῦ Ναυῆ τῇ κατ' αὐτὸν ὀνειδίζονται βίβλῳ· ἀφ' ἧς εἰδωλομανίας ὑπὸ Μωϋσέως καὶ τῆς Αἰγύπτου ἠλλοτριώθησαν πρὸς θεοσέβειαν αὖθις ἐπαναχθέντες· ταύτην σφαγὴν μιᾶς τῶν κεφαλῶν καλεῖ· κεφαλαὶ γὰρ τὰ ὑπ' αὐτοῦ τοῦ Σατανᾶ πεπλανημένα ἔθνη· ὧν ἡ ἐπαγωγὴ ἡ πρὸς εὐσέβειαν, σφαγὴ εἰς θάνατον ἐνομίσθη[u]. καὶ ὅτι οὐ κυρίως σφαγὴ ἀλλ' ἴσον σφαγῇ[v]. τὸ ῥητὸν παριστᾷ, οὐκ ἐσφαγμένην, ἀλλ' ὡς ἐσφαγμένην φάσκον[w], καὶ, τῷ "ὡς" ὁμοιωματικῷ μορίῳ χρησάμενον· ταύτῃ γοῦν πάλιν τῇ εἰς θεογνωσίαν ἐπαναστροφῇ, ἡ πρὸς τὴν[x] ἐξ ἀρχῆς πρὸς ἀσέβειαν ἐπαναδρομὴ, θεραπεία ὠνόμασται πληγῆς. ἥτις πληγὴ καὶ οἱονεὶ ἀπώλεια αὐτῷ ἡ πρὸς Θεὸν ἡμῶν σωτήριος ἐπιστροφή. εἰ δέ τις ἐπηρεάζων τῇ ἀναπτύξει τοῦ ῥητοῦ τὸ πρὸ πολλοῦ αὖτα πέπραχθαι χρόνου[y] πρὸς συνηγορίαν, μελλόντων δὲ τὴν Ἀποκάλυψιν ἐκφάντορα οὐ τῶν ἤδη γεγεννημένων εἶναι· ἐκεῖνο ἀκουσάτω, ὡς τὰ χρονικὰ διαστήματα τότε τὸ ἀσφαλὲς ἔχει, ὅτε καὶ πρὸς ἐφημέρους ἐμφαίνει τὴν πραγματείαν· ὅτε δὲ περὶ ἀϊδίων καὶ οὔποτε ληγόντων τῆς ἐνεργείας, ἀλλὰ τὰ ἤδη γεγεννημένα δι' ὁμοιότητος

[t] Quæ seq. om. Edd. usq. ad ἐνομίσθη. [u] ἐλογίσθη Edd. [v] ὡς σφαγὴν Edd. [w] φάσκον om. B. [x] τὸν Edd. [y] Cod. χρῶορυ.

τῶν αὖθις τελουμένων ἀναβιωσκόντων, οὐδὲν εἰς ἀθέτησιν ἐχυρὰν ἕξει τῶν προβαλλομένων· ἢ τοίνυν οὕτως τὰ τῆς ἀναπτύξεως τοῦ ῥητοῦ, ἢ καὶ οὕτως. κεφαλὴν ὡς ἐσφαγμένην, εἴτέ τινα τῶν ἀρχόντων αὐτοῦ τεθανατῶσθαι καὶ ὑπ' αὐτοῦ διὰ γοητείας ἀπατηλῶς ἀνίστασθαι δόξαι· ὥσπερ καὶ Σίμων τοιαῦτα ποιῶν, ὑπὸ Πέτρου ἠλέγχετο τοῦ κορυφαίου τῶν Ἀποστόλων· ἢ τὴν Ῥωμαίων ἀρχὴν ἀπολλυμένην διὰ τῆς εἰς πολλὰ διαιρέσεως σφαγῆς τρόπον νομισθῆναι. αὐτοῦ δὲ τοῦ Ἀντιχρίστου ταύτας καταλελυκότος, τὴν καλάλυσιν θεραπείαν λογισθῆναι[z], εἰς εἰκόνα Αὐγούστου Καίσαρος, ὃς καὶ αὐτὸς Λέπιδον καὶ Ἀντώνιον παρελόμενος τῆς ἐξουσίας, εἰς μοναρχίαν δὲ περιστήσαντος, ἡ συντήρησις τῆς μοναρχίας ἀϊδίῳ δόξῃ αὐτὸν κατεφαίδρυνεν.

Καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου.

Ἀντὶ τοῦ θάμβους ἐπλήσθη, ὥσπερ προηγουμένου τοῦ θηρίου διὰ τῶν τεράτων, αὐτῶν δὲ ἐξόπισθεν ἐπακολουθούντων τῇ συγκαταθέσει. διὰ τὸ μὴ ἔχειν διακριτικὴν ἕξιν ἀληθείας καὶ ψεύδους· τὸ δὲ ὅλη ἡ γῆ[a], ἀντὶ τοῦ πᾶς[b] ἄνθρωπος εἴρηται[c], μετωνυμικῷ τῷ τρόπῳ, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. ὡς καὶ ἐπὶ τοῦ "πᾶσα ἡ γῆ ἠρίστα."

Καὶ προσεκύνησαν τῷ δράκοντι.

Τὸ ὑπὸ τοῦ Ἀντιχρίστου θαῦμα, εἰς τὸν δι' αὐτοῦ ἐνεργούμενον διάβολον τὴν ἀναφορὰν ἕξει· δι' ἐκείνου γὰρ ὁ δράκων προσκυνηθήσεται· διόπερ ὡς τούτου ὄντος τῆς προσκυνήσεως λέγω τοῦ δράκοντος. ἀπὸ τῶν ὑπὸ τοῦ Ἀντιχρίστου τερατουργουμένων εἰς τὸν δι' αὐτοῦ ἐνεργοῦντα παραπεμπομένης, μετὰ τὴν τοῦ δράκοντος προσκύνησιν ἐπήνεγκεν ἀνεπισημάντως, μὴ ἐπενέγκας τὸ καὶ μετὰ τὴν προσκύνησιν τοῦ δράκοντος προσεκύνησαν καὶ τῷ θηρίῳ· ὡς δὲ κοινῆς προσκυνήσεως οὔσης τοῦ δράκοντος καὶ τοῦ θηρίου. διὰ δὲ τὸ μὴ οὕτως αὐτοπρόσωπον τῷ δράκοντι τὴν προσκύνησιν ἐνεργῆσαι ὡσπερεὶ σαφηνίζων τὸ προσεκυνήθη, ὁ μὴ παρὼν εἰ μὴ ἐνεργείᾳ, προστίθησι τὸ "καὶ προσηκύνησαν τῷ θηρίῳ," ὡς τῆς τοῦ δράκοντος προσκυνήσεως αἰτίαν λαμβανούσης, εἰ καὶ μὴ αὐτοπροσώπως, ὡς

[z] Ult. hæc om. Edd. [a] ὅλην τὴν γῆν B. [b] πᾶς φησιν ἀνθρ. B. [c] εἴρηται om. B.

εἴρηται, ἀλλ' ὡς διαβαινούσης εἰς τὸν αἴτιον τοῦ ὑπουργοῦντος τῆς προσκυνήσεως.

Τίς ὅμοιος τῷ θηρίῳ.

Τίς ὅμοιος πολεμῆσαι τῷ θηρίῳ; λυσσώντων οἱ λόγοι, καὶ διεφθορότων τὸν ἀνθρωπινὸν λογισμόν.

Καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν.

Διττὸν τὸ "ἐδόθη[d]." ἢ γὰρ τῆς ἀνεκφράστου τοῦ Θεοῦ ἀνοχῆς τοῦτο μόνον ἡμῶν καταλαμβανόντων ὡς γυμνασίας χάριν καὶ δοκιμῆς τῆς πρὸς αὐτὸν ἡμῶν διαθέσεως, ἀνεχομένου τὰ τοιαῦτα. ἢ τὸ, ἐδόθη, ὑπὸ τῶν ἠπατημένων προσκυνησάντων αὐτῷ ἀνθρώπων. τὸ δὲ μεγάλα λαλεῖν, τὸ ὑπερηφανίας μεστὰ ῥήματα προφέρειν. [e]οὐδὲν γὰρ τῶν ἐχομένων κακίας ἐνάμιλλον καὶ ὑπερηφανίας· διὸ καὶ Σολομῶν ἐν Παροιμίαις φησι· "Κύριος ὑπερηφαν * * * ἄλλου ἱκανοῦ ἀντενεχθῆναι ὄντος ἢ μόνου Θεοῦ. τῷ μεγαλείῳ οὖν τοῦ στόματος ἐκ τῆς ἄγαν ὑπερηφανίας συγκροτουμένῳ· καὶ ἡ βλασφημία ἀκόλουθος κατὰ παντὸς ἀφειδῶς χωροῦσα· διὸ καὶ Δαβὶδ περὶ τῶν τοιούτων φησι· "ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ "γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς." ἀλλὰ καὶ Ἡσαΐας τὸ πρὸς οὐδὲν τῶν κακῶν ἔχειν τὴν παραβολὴν τὴν ὑπερηφανίαν· διὸ καὶ κατὰ Θεοῦ ἀνυποστόλως χωρῆσαι· ὃν οὐκ ἄλλον ἢ τὸν ἀποστάτην εἶναι τοῦτον ὑπὸ Σενναχειρὴμ τοῦ προσώπου συσκιαζόμενον, ἐν οἷς φησι, "ἀναβήσομαι εἰς τὸν οὐρανὸν, ἐπάνω τῶν ἄστρων τοῦ "οὐρανοῦ θήσω τὸν θρόνον μου. καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ·" ταῦτα γὰρ θνητῇ φύσει πῶς ἂν ἐξὸν ἐρεῖν τῇ φθορᾷ συμπεπλεγμένῃ καὶ ἐν αὐτῷ τῷ ζῆν τὸ ἀλλοιωτὸν δυστυχούσῃ; οὕτως καὶ διὰ τοῦ προφήτου Ἡσαΐου τῆς μεγαλοφώνου βλασφημίας ὑπὸ προσώπου τοῦ Ἀσσυρίου κωμῳδηθέντος τοῦ Ἀντιχρίστου καὶ τούτῳ τὰ βλάσφημα προσνεμηθέντα· ἀκόλουθον καὶ τοῖς ἑξῆς τοῦ προκειμένου τῇ θεωρίᾳ Θεοῦ συνεπιρρώσει ἐνασχολεῖσθαι οὕτως ἔχουσι.

[d] λέγειν Edd. [e] Quæ seq. om. Edd. usq. ad fin. Sch.

Βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ.

[e] Κατὰ θείαν ἀνοχὴν, ὡς ἔφθημεν θέπαραμενο, γ̅ς̅ ἔτη ἕξει τὴν παρρησίαν· τήν τε πρὸς τὸν Θεὸν βλαφημίαν ἐνστῆσαι καὶ τὴν πρὸς τοὺς οὐρανίους, οὓς καὶ σκηνὴν ὀνομάζει, ἤτοι τοὺς ἁγίους Ἀγγέλους. ἢ τοὺς ἀγγελομιμήτως τὸν ἑαυτῶν διεξαγόντων βίον· καθὸ καὶ τὸ "ἐσκήνωσα ἐν αὐτοῖς" εἴρηται. σκηνὴ δὲ Θεοῦ καὶ ἡ ἐν σαρκὶ τοῦ Θεοῦ Λόγου ἤτουν ἐνανθρώπησις καθ᾽ ὧν ἁπάντων εἰς βλασφημίαν τραπήσεται. ὁ πόλεμος δὲ ὁ πρὸς τοὺς ἁγίους καὶ ἡ νίκη· ἁγίους ἐνταῦθα ἀκουστέον καὶ πάντας τοὺς κεκλημένους, καθὸ καὶ εἴρηται καὶ ἐν τῇ παλαιᾷ, τὸν ὀλοθρεύοντα ἄρξασθαι ἀπὸ τῶν ἁγίων. ἐπεὶ δὲ κατὰ τὴν τοῦ Κυρίου φωνὴν, "πολλοὶ μὲν κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί·" εἰκὸς ἐκείνους νικηθῆναι, τοὺς μὴ τοῖς ὀλίγοις συντεταγμένους· ὧν ἡ κλῆσις οὐ διὰ βάθους ἦλθεν καρδίας, ἀλλ᾽ ἀκροθιγῶς καὶ ὅσον Χριστιανοῖς ἐναριθμηθῆναι.

Καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ λαὸν
8 καὶ γλῶσσαν καὶ ἔθνος, καὶ προσκυνήσουσιν αὐτὸν
πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ
ὀνόματα ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφα-
9 γμένου ἀπὸ καταβολῆς κόσμου. εἴ τις ἔχει οὖς, ἀκου-
10 σάτω. εἴ τις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν
ὑπάγει. εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μα-
χαίρᾳ ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις
τῶν ἁγίων.

Ἐν τοῖς φθάσασιν εἴρηται, ὡς ὁ τῆς ἐπιδημίας τοῦ Ἀντιχρίστου καιρὸς καὶ τῆς ἀπατηλῆς αὐτοῦ ἐξουσίας, εἰς τρία ἥμισυ ἔτη συντελεῖται. τοῦτο γὰρ οἱ τεσσαρακονταδύο μῆνες, χρονικὸν διάστημα συνάγουσιν.

Καὶ ἐδόθη αὐτῷ ἐξουσία κατὰ πᾶσαν φυλήν.

[f] Τὸ ἀναπολόγητον αὐτῷ περιποιῶν· κατὰ πᾶσαν φυλὴν καὶ λαὸν καὶ γλῶσσαν καὶ ἔθνος ἐνεξουσιάσαι ἐφεῖται· τοῦ μὴ προ-

[e] Hoc Sch. carent Edd. [f] Edd. deest hoc Sch.

φασείσασθαι ὡσεὶ τούτους ἐπείρασα, ἐνίκησα ἄν. ὃ καὶ ἐπὶ τοῦ Ἰὼβ ἀπαυθαδιασάμενος διὰ τοῦ "περιέφραξας αὐτοῦ τὰ ἐντὸς καὶ "τὰ ἐκτὸς," ἔλαβεν τὰ τοῦ δικαίου κατ' ὁλοκληρίαν ἄγειν καὶ φέρειν ὡς ἂν αὐτὸ θυμῆρες· ἡμάρτανε δὲ τοῦ σκοποῦ. φυλὴ δὲ καὶ λαὸς καὶ γλῶσσα καὶ ἔθνος, τούτῳ διαφέρουσι. φυλὴ μὲν γὰρ ἡ φατρία ἤτουν συγγένεια κατὰ ἐξιδίωσιν τοῦ σύγκλυδος ὄχλου ἀντιδιαιρουμένη, ὃν λαὸν καλεῖ· γλῶσσα δὲ καὶ ἔθνος τούτῳ διαστέλλονται τὸ μὴ τῇ προφορᾷ τῆς λεκτικῆς χρείας χαρακτηρίζεσθαι τὸ ἔθνος· οὐ γάρ τι κωλύει ἕνα ἄνδρα διαφόρων ἐθνῶν χρῆσθαι τῇ λεκτικῇ φωνῇ. διάτοι τοῦτο ἐξακριβῶν τὸ ὑπὸ τὴν ἐξουσίαν πλῆθος δοθὲν παντὸς τοῦ διαφορὰν εἰωθότος ποιεῖν συλληπτικῶς διέξεισι, τοῦ μήτι ὑποπτευθῆναι ἀνθρώπου γένους τῆς ἐξουσίας ὑποσταλέν.

Καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς.

Περιληπτικὴν ἔννοιαν ἐπισυρομένου τοῦ πᾶς, μορίου, ἵνα[e] μὴ κἀνταῦθα τοῦτο παραληφθὲν εἰς παντὸς ἀνθρωπίνου γένους σχεῖν τὸν Ἀντίχριστον ἐννοηθῇ τὴν προσκύνησιν. ἵνα οὖν μὴ τοῦτο συμβῇ γνώρισμα παρέσχε τῶν προσκυνούντων τούτῳ, ἐκείνους λέγων προσκυνῆσαι, τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, οὓς καὶ Ἡσαΐας πεσεῖσθαι μελῳδεῖ, οὐ πεσούμεθα φάσκων, ἀλλὰ "πεσοῦνται οἱ "ἐνοικοῦντες ἐπὶ τῆς γῆς," τουτέστιν, οἱ μηδὲν τῶν οὐρανίων καὶ τῆς ἐκεῖ δόξης πεφροντικότες, ἀλλὰ τῇ γηΐνῃ ἑστίᾳ καὶ τῇ κατ' αὐτὴν χοιρώδει βιώσει προσαρμοζόμενοι. διὸ καὶ τῆς[f] τοῦ βιβλίου τῆς ζωῆς διημαρτήκασιν ἐγγραφῆς.

Τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.

Ἐν ὑπερβατῷ ἀκουστέον τὸ, "ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐν "τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου." ἐπεὶ ὧν γέγραπται, ἀπὸ καταβολῆς κόσμου γέγραπται. οὕτω γὰρ δεῖ νοεῖν, οὐχ ὡς ἡ γραφὴ ἔχει, ὅτι μηδὲ ἀπὸ καταβολῆς κόσμου ἡ τοῦ ἀρνίου σφαγή. τίνων δὲ τὰ ὀνόματα μὴ προσκυνησάντων τῷ δράκοντι, διὸ καὶ ἐν τῇ βίβλῳ τοῦ ἀρνίου ἐγράφησαν; ἐκ τῶν ἐθνῶν[g] φέρε

[e] ἐπεὶ B. [f] τοῖς Edd. [g] οἱ τοιοῦτοι Edd.

εἰπεῖν, ὡς ὁ Ἰὼβ καὶ οἱ τέσσαρες αὐτοῦ φίλοι, καὶ ἐκ τοῦ Ἰσραὴλ, οἱ ἅγιοι προφῆται καὶ πάντες[h] οἱ δι' εὐσέβειαν μαρτυρούμενοι ἐν τῇ παλαιᾷ. τούτου τοῦ βιβλίου καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ Λουκᾶς φησὶν ἐν τῷ Εὐαγγελίῳ μνημονεῦσαι, ἡνίκα λέγει, "χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς."

Εἴ τις ἔχει οὖς, ἀκουσάτω.

"Εἴ τις," φησὶν, "ἔχει οὖς," τῷ ἡγεμόνι νῷ παραπέμπων τὴν διὰ τῶν ῥημάτων ἐκφερομένην[i] ἔννοιαν, ἀκουσάτω τῶν εἰρημένων, καὶ γνώτω, ὅτι ὁ περὶ τὸ αἰχμαλωτίζειν ἑτέρους πρόχειρος, δέξεται τὰ ἐπίχειρα τῶν πεπραγμένων αὐτῷ. τοῦτο γὰρ βούλεται παριστᾷν τὸ ὑπάγει, οἱονεὶ, οὓς τῇ αἰχμαλωσίᾳ ὑπάγει ἀντὶ τοῦ ὑποβάλλει[k], τοῦ καὶ αὐτὸν αἰχμαλωτισθῆναι ὑπὸ τοῦ θηρίου, μηδεμιᾶς ἀναλήψεως τυγχάνων ὑπὸ τοῦ Θεοῦ τοῦ μὴ ἀπαχθῆναι. εἴτις φονικὸς τὸν τρόπον, ἀποκτανθήσεται καὶ αὐτὸς τὸν νοητὸν καὶ ψυχικὸν θάνατον ὑπὸ τοῦ Σατανᾶ διὰ τῆς εἰς αὐτὸν προσκυνήσεως. ᾧ γὰρ δι' ἔργων ἡττήθησαν ἀπαγωγαῖς καὶ φόνοις ἐνασχολούμενοι τοῖς πρὸς ἡδονῆς τοῦ ἀντικειμένου, τούτῳ καὶ δουλωθέντες, τὰ τῆς δουλείας ἀποίσονται δυσχερῆ. ὧδε ἐνορᾶται ἡ ὑπομονὴ τοῦ μὴ διὰ τὰς θλίψεις τὰς ὑπὸ τοῦ Σατανᾶ ἐγγινομένας τοῖς εὐσεβέσι[l] [m]ἐνδοῦναι· τούτῳ τὸ ἀπὸ τῆς πίστεως ἐπιβραβευθήσεται τῶν ἁγίων, ὅτι καὶ αὐτοὶ πίστει κατώρθωσαν τὰ ἐπαινετὰ πάντα· εἴτι Παύλῳ πιστέον Ἑβραίοις οὕτως διεξίοντι. ταῦτα πλατύτερον παρετέθη πρὸς σαφήνειαν τοῦ συντετμημένου λόγου.

[n]Ἐν γὰρ τῇ ὑπομονῇ ἡ τῶν ψυχῶν περιγίνεται κτῆσις, ἤτουν σωτηρία, ὡς ἔστιν αὐτοῦ Κυρίου ἀκοῦσαι "ἐν τῇ ὑπομονῇ ὑμῶν," φάσκοντος, "κτήσασθε τὰς ψυχὰς ὑμῶν."

[h] πάντες om. B. [i] ἐκφαινομένην B. [k] οἱονεὶ εἰς ἀνέκτισιν ἑαυτῷ τὸν μόχθον καταβάλλει Edd. [l] εὐσεβοῦσιν B. [m] Sic Edd. καρτερικώτατα διαβεβηκότων, καὶ διὰ τῆς πίστεως δεδοκιμασμένων ἁγίων, ὅτι καὶ αὐτοὶ πίστει κατώρθωσαν τὰ ἐπαινετὰ πάντα, εἴγε Παύλῳ πειστέον Ἑβραίοις οὕτω διεξιόντι ταῦτα πλατύτερον. [n] Hoc Sch. carent Edd.

ΚΕΦ. ΛΖ.

Περὶ ἑτέρου θηρίου δύο κέρατα ἔχοντος, καὶ τῷ πρώτῳ τοὺς ἀνθρώπους προσάγοντος.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ
εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει ὡς δράκων.
12 καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ
ἐνώπιον αὐτοῦ. καὶ ἐποίει τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ
κατοικοῦντας ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον,
13 οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ ποιεῖ
σημεῖα μεγάλα καὶ πῦρ, ἵνα ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ
14 ἐπὶ τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. καὶ πλανᾷ τοὺς
ἐμοὺς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα ἃ
ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου.

Πολλὰς ἐκδρομὰς ποιησάμενος ἐκ τῶνδε τῶν ἀρχῶν, εἰς προγενεστέρας ἀρχὰς ἀναβὰς, ἔφθασεν εἰς τὸ σπουδαζόμενον. ὅπερ οὐκ ἄλλο, ἢ τὸ διηγήσασθαι τὰ περὶ τῆς παρουσίας τοῦ Ἀντιχρίστου. καὶ ὅρα τί φησι περὶ αὐτοῦ, ἐκ τῆς γῆς δηλαδὴ ἀναβαίνειν αὐτὸν, ὅθεν καὶ πᾶσιν ἀνθρώποις ἡ γένεσις. ἄνθρωπος γὰρ καὶ αὐτὸς κατ' ἐνέργειαν τοῦ Σατανᾶ, ὡς καὶ Παύλῳ τῷ θείῳ δοκεῖ. τὰ κέρατα δὲ οὐκ ἀρνίου, ἀλλ' ὅμοια ἀρνίῳ, ἐπειδὴ φαντάζει ἑαυτὸν ἐπιεικῆ ὡς ὁ Χριστὸς, ἵνα πλανᾷ. διὰ τοῦτο ἡ ὁμοιότης τῶν κεράτων, ἤγουν τῆς δόξης. καὶ ὡς δράκων λαλεῖ οὐκ ὢν δράκων. οὐ γὰρ ὁ Σατανᾶς ἐστὶν αὐτόχρημα, ἀλλ' ὡς ἐκεῖνος ἐνεξουσιάζων, τουτέστι, διάδοχος γίνεται τῆς ἐξουσίας τοῦ διαβόλου. "ἐνώπιον" δὲ, οἱονεὶ ἀκολούθως ἐκείνῳ, ἐχομένως ἐκείνῳ κατ' οὐδὲν παραλλάττων[o] τῆς παρουσίας τοῦ πρώτου Σατανᾶ. [p]ἐξ ὧν καὶ παρασκευάζει πάντας οἷς οὐδὲν πλέον τῶν γηΐνων εἰς φρόντησιν ἀλλὰ τῇ κατοικίᾳ συνδιαφέρουσι καὶ τὴν βιοτὴν προσκυνῆσαι τὸ πρῶτον θήριον· καὶ πῶς τοῦτο μὴ αἰσθητῶς οἷόν τε φανῆναι τοῦ διαβόλου; ἵνα πρὸς αὐτὸν περαίνηται ἡ προσκύνησις ἐναργῶς. πρὸς αὐτὸν μὲν παρρησιαστικῶς οὔ· ἀλλ' ὥσπερ εἴρηται ἤδη ἡ

[o] παραλλᾶττον B. [p] Hinc usque ad fin. Sch. add. Cod. B.

διὰ τῆς συνεργείας τοῦ Σατανᾶ προσκύνησις τῷ Ἀντιχρίστῳ ἐπ' αὐτὸν διαβαίνει τὸν συνεργόν. καὶ ὅτι τοῦτο καὶ τὰ τῶν συνεργῶν τοῖς συνεργουμένοις οὐ λογίζεται, ἀλλὰ τοῦ ὡς δι' ὀργάνου ἐνδεικνυμένου τὸ ἑαυτοῦ, ἄκουσον τί φησι Παῦλος· πολλοῖς προσπάλαισας δυσχερέσι τὴν νίκην οὐχ ἑαυτῷ ἀλλὰ τῷ[n] διὰ τοῦ ἠγαπηκότος αὐτὸν προσνέμει· "ἐν πᾶσι," λέγων, "ὑπερ-"νικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς." ὡσαύτως δὲ καὶ ὅταν φάσκῃ τὸ "οὐκ ἐγὼ δὲ ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί·" ἀλλὰ καὶ τὸ ἐνώπιον τοῦ θηρίου τὴν ἐξουσίαν πᾶσαν ποιεῖν τὸν Ἀντίχριστον μὴ παρόντος αἰσθητῶς τοῦ Σατανᾶ, τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον τῷ Θεῷ καὶ Πατρὶ περὶ τῶν μαθητῶν αὐτοῦ τὸ "ναὶ ὁ Πατὴρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου." ἱκανὸν παραστῆσαι, ὡς τὰ πρὸς εὐαρέστησιν τινὶ ἐκτελούμενα καὶ μὴ παρόντι ἐνώπιον τοῦ εὐαρεστουμένου λογίζεται ἐνεργεῖσθαι.

Ἀντὶ τοῦ ἐχομένως προοδοποιῶν τῷ πρώτῳ θηρίῳ τὴν προσκύνησιν.

Οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.

Ἐν τοῖς φθάσασιν εἴρηται περὶ τούτου πλατύτερον· νῦν δὲ ὅσον μόνον παραστῆσαι ὑπεσημήνατο. ἐπειδὴ γὰρ εἶπεν τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖται ἐνώπιον αὐτοῦ, (πρῶτον δὲ πάντων εἴρηκε τὸν δράκοντα τὸν πυρρὸν, ὃν ἔδειξεν ἐν τῷ οὐρανῷ γεγραμμένον ἡ ὀπτασία[o],) ἵνα μή τις νομίσῃ νῦν λέγειν αὐτὸν περὶ ἐκείνου, ὃς τὴν ἐξουσίαν ἔλαβε τοῦ πρώτου θηρίου, οὐ περὶ ἐκείνου φησὶ τοῦ πρώτου λέγω, ἀλλὰ τοῦ μετ' ἐκεῖνον μὲν, πρὸ δὲ τοῦ[p] Ἀντιχρίστου, ὃν ἡ ὀπτασία ἔδειξεν ἐκ τῆς θαλάσσης ἀναβαίνειν, ὅμοιον ὄντα παρδάλει. τούτου γὰρ ἡ πληγὴ ἰάθη κατὰ τὸ πρότερον εἰρημένον[q]. σημεῖα γὰρ καὶ τέρατα αὐτὸν ποιεῖν κατ' ἐνέργειαν τοῦ διαβόλου, ὡς καὶ Παύλῳ τῷ θείῳ, ὡς ἔφθημεν εἰρηκότες, δοκεῖ. τὰ δὲ σημεῖα πυρὸς ἀπ' οὐρανοῦ καταφορὰ, ὃ καὶ ἐπὶ τοῦ Ἰὼβ, ἀφ' οὗ καὶ τοῦ δικαίου τὰ κτήνη διέφθειρε καὶ ἕτερά τινα τοιαῦτα μεγάλα, ὡς τῇ μεγαλειότητι ἐκστήσαντα λαβεῖν καὶ τοὺς ἤδη πιστούς. τοῦτο γὰρ διὰ τοῦ

[n] τὸ Cod. [o] ἐν τῇ ὀπτασίᾳ Edd. [p] πρώτῳ δὲ τοῦ Ἀντ. B.
[q] τὰ προτ. εἰρημένα B.

εἰπεῖν καὶ "πλανᾷ[r] τοὺς ἐμοὺς" σημαίνει. ὡς καὶ ἐν Εὐαγγελίῳ φησὶν ὁ Χριστός· "ὥστε εἰ δυνατὸν πλανηθῆναι καὶ τοὺς "ἐκλεκτούς." ἵνα δὲ παραστήσῃ τίνας πλανήσῃ τῶν Χριστοῦ πιστῶν, ἐπήγαγε τὸ γνώρισμα τούτων, τοὺς κατοικοῦντας προσθεὶς ἐπὶ τῆς γῆς, οὐ διαστέλλων Ἀγγέλους ἀνθρώπων. τίνα γὰρ ἕξουσιν ἀπατᾶν τῶν Ἀγγέλων[s] οἷς ἡ φυσικὴ καθαριότης οὐδὲν εἰς ἐπίκρυψιν ἀληθείας ἐμποδὼν γίνεσθαι ἐᾷ[t]; ἐκείνους δὲ τοὺς ἐπὶ γῆς ἀνθρώπους οὗτος ἐκστήσει οἷς ἡ κατοικία γνώρισμα τῆς προθέσεως· οὐδὲν μετάρσιον ἔχουσιν ἐνθέου καὶ οὐρανίου φρονήματος, ἀλλὰ περὶ γῆν καὶ τὰ κατὰ γῆν ἶσα κτήνεσι ἰλυσπᾶσθαι πεφροντικότες.

Ἐνώπιον τῶν ἀνθρώπων.

Ποιεῖ μεγάλα σημεῖα κλέπτων τοὺς ὀφθαλμοὺς τῶν ὁρώντων, [u]ὥσπερ καὶ οἱ Αἰγύπτιοι φαρμακοὶ κατενώπιον τοῦ Φαραὼ, καὶ Σίμων ὁ Μάγος ἐν Ῥώμῃ ἐξανιστῶν τὸν νεκρὸν κἀν ὑπὸ Πέτρου ἠλέγχθη· πάντα οὖν πράξει, φησὶν, ὁ τοῦ Ἀντιχρίστου πρόδρομος διὰ γοητείας, πρὸς τὸ νομισθῆναι τὸν Ἀντίχριστον Χριστὸν, ὡς ὑπὸ τοιούτου τερατουργοῦ μαρτυρούμενον καὶ ἀναμφισβήτητον τὴν δόξαν λαμβάνοντα, κατὰ μίμησιν τοῦ βαπτιστοῦ Ἰωάννου, τῷ Σωτῆρι Χριστῷ μαρτυροῦντος, καὶ τούτῳ[v] προάγοντος. δεινὸν γὰρ τὸ ψεῦδος ἀπάτῃ μιμεῖσθαι πρὸς ὄλεθρον τῶν πειθομένων τὴν ἀλήθειαν.

Ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου.

[w]Τὸ ἐνώπιον δύναται καὶ τὸ ὑπὸ παρουσίᾳ δηλοῦν. δύναται καὶ τὸ κατ' ἀξίαν καὶ ἀκολούθως, ὡς ἔχει καὶ τὸ "λατρεύειν αὐτῷ "ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ." ἀντὶ γὰρ τοῦ κατ' ἀξίαν τῆς θεϊκῆς ἁγιότητος καὶ δικαιοσύνης ἐντεῦθεν λατρευτέον· οὕτως οὖν καὶ νῦν τὸ ἐνώπιον ἐκληπτέον. ἵνα ᾖ, τὰ σημεῖα δὲ ἐχωρήθη αὐτῷ ποιήσας οὐκ ἀληθείας ἐχόμενα ἀλλ' ἀπάτης κατ' ἀξίαν τοῦ ἐνεργοῦντος ἀπατεῶνος[x].

Λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ εἶχε πληγὴν καὶ ἔζησεν ἀπὸ τῆς μαχαίρας.

[r] πλανᾷ om. B. [s] ἀπάτην Ἄγγελοι B. [t] δύναται σχεῖν B.
[u] Quæ seq. add. B. usque ad πάντα οὖν πράξει. [v] τούτου Edd.
[w] Hoc Sch. carent Edd. [x] ἀπαταιῶνος Cod.

15 *καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι τῇ εἰκόνι τοῦ θηρίου,*
ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ ὅσοι
ἐὰν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίου ἵνα ἀπο-
16 *κτανθῶσιν. καὶ ποιεῖ πάντας τοὺς μικροὺς καὶ τοὺς*
μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς, καὶ
τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσωσιν αὐτοῖς
χαράγματα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τὸ
17 *μέτωπον αὐτῶν, καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ*
πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα.

[x]Ἀκριβῶς ἄγαν τοῖς ἐπὶ γῆς κατοικοῦσι τὸ πρόσταγμα, οὓς καὶ πεπεῖσθαι Ἡσαΐας ἐν ᾠδῇ φησι, οὐ πεσούμεθα, ἀλλὰ "πεσοῦνται "οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς." τούτοις οὖν καὶ νῦν οὐ τοῖς τὸ πολίτευμα ἔχουσιν ἐν οὐρανοῖς ἡ τῆς εἰκόνος ἐντέλλεται ποίησις· ἀπέγνωσται γὰρ τούτων τὸ ἀπατᾶσθαι κατησφαλισμένων ἀκριβῶς τῇ προαναφωνήσει τῆς τοῦ θηρίου ἐλεύσεως· ἡ προφώνησις δὲ τοῦ "εἴτις ἔχει οὖς, ἀκουσάτω." περὶ τοῦ θηρίου, ὃ εἶχε πληγὴν καὶ ἔζησε, προπαρατεθεῖται.

Ἐπειδὴ, δὲ καὶ ἡ εἰκὼν ἀνεστυλώθη τῷ θηρίῳ, ἐδόθη καὶ πνεῦμα δοῦναι τῇ εἰκόνι, ἵνα δῆθεν λαλήσῃ ἡ εἰκών. τοῦτο δὲ πρὸς τὰ ἀγάλματα λογιστέον, ἃ πολλὰ καὶ ἱδροῦντα καὶ λαλοῦντα[y] ἱστόρηται τοῖς Ἑλληνικοῖς χρόνοις ἐνεργείᾳ διαβολικῇ. ἡ δὲ σύνταξις τοῦ ῥητοῦ οὕτως. κατὰ κοινοῦ δὲ τὸ, "ἵνα," ληπτέον, ὡς ἂν ᾖ οὕτως. ἵνα καὶ λαλήσῃ, ἵνα καὶ ποιήσῃ, ὅσοι μὴ προσκυνήσουσι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ οὗτοι ἀποκτανθῶσιν. ὅτι δὲ τὰ ἀγάλματα, ὡς εἴρηται, ἐλάλει, ἐξ ἱστορίας μαθεῖν ἔνεστιν, ὡς διὰ γοητείας ἱστόρηται καὶ δένδρα καὶ ὕδατα λαλῆσαι, διά τε Ἀπολλωνίου καὶ ἑτέρων γοήτων[z]. ἀλλὰ καὶ Σίμωνα τὸν Μαγὸν νεκρὸν ἀναστῆσαι φαντάσαντα, ὡς φθάνομεν εἰρηκότες, παρουσίᾳ Πέτρου· ὑφ' οὗ καὶ ἠλέγχθη Σίμων ὡς φαντασία ἡ ἀνέγερσις· αὐτοῦ Πέτρου ἀληθινῇ ἐγέρσει τὸ ἀπατηλὸν καταργήσαντος.

Οὕτως τὸν ὑπασπίστην τοῦ Ἀντιχρίστου ἀποκαμόντα ταῖς ἀπατηλαῖς φαντασίαις ποιῆσαι εἰκόνα τῷ θηρίῳ προστάξαι καὶ

[x] Hoc Sch. carent Edd. [y] ἱδροῦν κ. λαλεῖν B. [z] ποιητῶν Edd.

δεῖξαι ταύτην, καὶ παρασκευάσαι τοὺς μὴ προσκυνοῦντας ἀποκτανθῆναι.

Καὶ ποιεῖ πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ ἑξῆς.

Ἰδιωτικωτέρα ἡ σύνταξις, διὸ καὶ ἀνόητος. πότερον γὰρ λέγει τοὺς μικροὺς καὶ τοὺς μεγάλους λαβεῖν, ἢ δοῦναι; διὸ προσθήκῃ τῆς "εἰς" προθέσεως, τὸ ἀνόητον[a] ἐπανορθωθείη ἂν πρὸς σύνεσιν οὕτω· καὶ ποιεῖ εἰς πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς ἐφ' ἑξῆς, ἵνα δώσωσιν αὐτοῖς χαράγματα ἐπὶ τῆς δεξιᾶς χειρὸς, ἢ ἐπὶ τοῦ μετώπου. τοῦτο δὲ εἰς γνώρισμα φησὶ τοῦ ἐμπορευτέου καὶ μή. κἀνταῦθα δὲ ὁ "καὶ" σύνδεσμος παρέλκει. λέγω δὴ ἐπὶ τοῦ "καὶ ἵνα μήτις δύναται ἀγοράσαι ἢ πωλῆσαι" περιττὸς γὰρ ὁ σύνδεσμος ὁ "καί·" οὐ γὰρ ἀναίρεσις ἢ μετάβασις τῆς προκειμένης ἐννοίας, ὃ ἐπαγγέλλεσθαι ὁ σύνδεσμος πέφυκεν οὗτος. μᾶλλον μὲν οὖν καὶ παράστασιν αἰτίας ὁ αἰτιολογικὸς σύνδεσμος τῶν ἄνω εἰρημένων ἐμφαίνει ἐπὶ τῇ δόσει τοῦ σημείου· τοῦ διατί δέδοται τὸ σημεῖον. δέδοται γὰρ τοῦ μὴ ἄνευ τούτου τῆς ἐπιγνώσεως τὴν ἐμπορείαν τελεῖσθαι ἐξεῖναι.

Ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς.

Ἐπὶ χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ μετώπου τὸ γνώρισμα. ἀντίθετος γὰρ τῶν ἀγαθῶν[b] ἡ τοῦ ὀλεθρίου ὀνόματος ἐγχάραξις. ἐν μὲν ταῖς δεξιαῖς, ἵνα τῶν ἀγαθῶν ἔργων ἐκκόψῃ τὴν ἐνέργειαν· ἐν δὲ τοῖς μετώποις, ἵνα τὸ τοῖς ὀφθαλμοῖς ἐπικείμενον μέρος προσληφθὲν[c], σκοτασμὸν ἐμποιήσῃ τοῖς ἀπατωμένοις, τοῦ [d] μὴ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως[e] ἀντέχεσθαι τῆς εὐσεβείας. ἀλλ' οὐ δέξονται τοῦτο οἱ τὰ πρόσωπα σημειωθέντες τῷ θείῳ τοῦ προσώπου φωτί.

ΚΕΦ. ΛΗ.

Περὶ τοῦ ὀνόματος τοῦ θηρίου.

Ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων νοῦν, ψηφισάτω τὸν

[a] ἀδιανόητον B. [b] τὸ γνωρ. ἀντιθέτως τῶν ἀγαθῶν B. [c] προληφθὲν B. [d] τοῦ om. B. [e] τοῦ εὐσχήμονος B.

ἀριθμὸν τοῦ θηρίου. ἀριθμὸς γὰρ ἀνθρώπου ἐστὶν, καὶ ὁ ἀριθμὸς αὐτοῦ χξϛ΄.

Καὶ τί τὸ χάραγμα, ἐπιφέρει, τὸ ὄνομα τοῦ θηρίου. διττὴ δὲ τούτου ἡ γνῶσις, ἢ διὰ προφορᾶς αὐτοῦ τοῦ ὀνόματος, ἢ διὰ ψήφου. καὶ τὴν ψῆφον δὲ τοῦ ὀνόματος τοῦ θηρίου, πανταχοῦ πλατύναι ἐπιτηδεύσει[f], ἔντε πράσεσι καὶ ὠναῖς, ἵν᾽ ὁ μὴ τοῦτο ἐπιφερόμενος, ἐν ταῖς τῶν ἀναγκαίων ἐνδείαις τελευτήσῃ. ἀριθμὸν δὲ ἀνθρώπου τὸ ὄνομα εἶναι, ἀντὶ τοῦ οὐ[g] ξένον οὐδὲ ἀήθη καὶ ἐπικεκρυμμένον καὶ διπλόης ἐχόμενον, ἀλλὰ ψῆφον ἐντριβῆ καὶ ἐγνωσμένην ἀνθρώποις. ἀριθμὸς δὲ τοῦ ὀνόματος τοῦ ψήφου, χξϛ΄. σαφῶς γὰρ[h] αὐτὸ τὸ ὄνομα οὐ παρέθετο, ἢ διὰ τὸ ἀνάξιον βιβλίῳ ἐγγραφῆναι. ἢ διὰ τὸ μὴ προδήλου ὄντος πολλοὺς σφετεριζομένους τῶν κακουργούντων πράγματα παρέχειν τοῖς εὐσεβέσι τὸ προαρπάζειν τὴν γνῶσιν τῆς παρουσίας, καὶ ἐν ἀώρῳ τὴν ἔκβασιν τιθεμένους τοῦ ὡρίμου καθάπαξ ὑστερεῖν. διόπερ γυμνασίας χάριν ἐπανελέσθαι οὐκ ἄκαιρον, τὰ τὴν ψῆφον ἐπιφερόμενα[i] ὀνόματα κύριά τε καὶ προσηγορικά. κύρια μὲν οἷον Λαμπέτις[k], Τειτᾶν· καὶ ἀπὸ τοῦ τενῶ μέλλοντος, ὥσπερ καὶ ἀπὸ τοῦ σπερῶ, σπόρος· Λατεῖνος ὁμοίως διὰ διφθόγγου· Βενέδικτος ὃ μᾶλλον ἐκείνων ἐπιτευκτικώτερον, τὸ εὐλογημένος ἀπὸ τῆς Ἰταλῶν γλωσσῆς ἀναπτυσσόμενον ἐμφαίνων, καὶ διὰ τοῦτο ἐπίδρομον τῷ ἀποστάτῃ ἐσόμενον ἅτε καὶ τῷ ἀληθινῷ ἐναρμοσθέντος Χριστῷ. προσηγορικὰ δὲ, ὁ νικητής. ἴσως γὰρ οὕτως ἑαυτὸν ὀνομάσει, καὶ κακὸς ὁδηγὸς, καὶ ἀληθὴς βλαβερὸς, καὶ πάλαι βάσκανος, καὶ ἀμνὸς ἄδικος, ἃ ἐκ τῶν ἐναντίων αὐτῷ ἐπικληθήσεται, τὴν οἰκείαν δόξαν ἐν τῇ αἰσχύνῃ καρπούμενος.

Ἐκ τῶν τοῦ Ἀνδρέου. Τὴν μὲν ἀκρίβειαν τῆς ψήφου, ὡς καὶ τὰ λοιπὰ περὶ αὐτοῦ γεγραμμένα, ὁ χρόνος ἀποκαλύψει καὶ ἡ πεῖρα τοῖς νήφουσιν. εἰ γὰρ ἔδει, καθώς φασι τινὲς τῶν διδασκάλων, σαφῶς γνωσθῆναι τὸ τοιοῦτον ὄνομα, ὁ τεθεαμένος αὐτὸ ἂν ἀπεκάλυψεν. ἀλλ᾽ οὐκ ηὐδόκησεν ἡ θεία χάρις ἐν θείᾳ βίβλῳ τὸ τοῦ λυμεῶνος ταγῆναι ὄνομα. ὡς δὲ ἐν γυμνασίας

f ἐπετηδεύθη Edd. g οὐ om. Edd. h δὲ B. i ἐπιφέροντα B.
k Λαμπέτης B.

λόγῳ, πολλά ἐστιν εὑρεῖν, κατὰ τὸν μακάριον Ἱππόλυτον καὶ ἑτέρους πολλοὺς, ὀνόματα τὸν ἀριθμὸν τοῦτον περιέχοντα προσηγορικά τε καὶ κύρια.

ΚΕΦ. ΛΘ.

Περὶ τῶν ρμδʹ χιλιάδων τῶν σὺν τῷ ἀρνίῳ ἑστώτων ἐν ὄρει Σιών.

1 Καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος
Σιὼν, καὶ μετ᾽ αὐτοῦ ἀριθμὸς ρμδʹ χιλιάδες, ἔχουσαι τὸ
ὄνομα αὐτοῦ, καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμ-
2 μένον ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ
τοῦ οὐρανοῦ, ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν
βροντῆς μεγάλης. καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς κιθαρῳδῶν
3 κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. καὶ ᾄδουσιν ᾠδὴν
καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων
ζώων καὶ τῶν πρεσβυτέρων. καὶ οὐδεὶς ἐδύνατο μαθεῖν
τὴν ᾠδὴν εἰ μὴ αἱ ρμδʹ χιλιάδες οἱ ἠγορασμένοι ἀπὸ
τῆς γῆς.

Ἐπὶ τὸ ὄρος Σιών.

Οὐ τῆς παλαιᾶς, ὅτι μηδὲ αὐτὴ ὑπήκοος τῷ ἀρνίῳ, ὅς ἐστιν ὁ Χριστὸς, ἀφ᾽ οὗ καὶ ἐλέχθη τοῖς ἀπειθοῦσι τὸ "ἰδοὺ ἀφίεται "ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος." οὐκ ἐπὶ τῆς παλαιᾶς οὖν Σιὼν ἡ στάσις τῷ ἀρνίῳ, αὕτη γὰρ ὑπὸ τῶν Ῥωμαϊκῶν κατέλυτο χειρῶν, καὶ ὁ ναὸς δὲ ἐνέπρηστο, ἁλούσης τῆς πολέως ὑπὸ Τίτου τοῦ υἱοῦ Οὐεσπασιανοῦ· οὐκ ἐπὶ τῆς παλαιᾶς οὖν Σιὼν ἀλλ᾽ ἐπὶ τῆς νέας, ἥτις ἐστὶ πόλις Θεοῦ ζῶντος, ἧς νῦν δείκνυται ἐπιβεβηκὸς τὸ ἀρνίον τὴν ἐπ᾽ ἐσχάτων ἐπιστροφὴν, παραδηλούσης τῆς ὀπτασίας τοῦ Ἰσραήλ[l]. ἣν καὶ Παῦλος ὁ θεῖος ᾐνίξατο[m] δι᾽ ὧν φησιν, "ὅτε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται, "οἰκειωθεὶς τῷ Χριστῷ." τοῦτο γὰρ αὐτοὺς καὶ Ἡσαΐας εὐηγγελίσατο διὰ τοῦ, "ἰδοὺ ἥξει ἕνεκεν Σιὼν ὀρυόμενος, καὶ ἀποστρέψει "ἀσεβείας ἀπὸ Ἰακὼβ εἶπεν Κύριος."

[l] τοῦ Ἰσρ. παραδ. τ. ὀπτ. B. [m] ἐσήμανε B.

Καὶ μετ' αὐτοῦ ἀριθμὸς ρμδ' χιλιάδες.

Μετὰ τοῦ ἀρνίου δηλαδή. ὁ ἀριθμὸς δὲ τῶν χιλιάδων οὐχ ὁ αὐτὸς τῶν ἀφ' ἑκάστης φυλῆς προειρημένων πεπιστευκέναι τῷ Χριστῷ. ἢ γὰρ ἂν μετὰ τοῦ ἄρθρου προήνεγκεν, αἱ ρμδ' χιλιάδες, εἰπών. ἀλλ' ἐπειδὴ ἀσυνάρθρως, λείπεται τοὺς ἀπὸ τῶν ἐθνῶν νοεῖν αὐτὸν εἰρηκέναι, τῆς ἐν ἑκάστῳ χάριτος τοῦ θείου σπόρου καὶ Ἀποστολικοῦ δωδεκάκις χιλιοστὸν ἀπεργαζομένης, τέλειον τὸν καρπὸν τῆς τῶν σωζομένων πίστεως, οἷς καὶ παρθενίαν κατωρθωκέναι προσμαρτυρεῖ, ὅση σαρκὸς, ὅση ψυχῆς· ὃ σπάνιον παρ' Ἑβραίοις. τὸ δὲ ἔχειν τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ γεγραμμένον καὶ τοῦ Υἱοῦ[m] ἐπὶ τῷ μετώπῳ αὐτῶν ἐγγεγράφθαι, δηλοῖ, ὡς τῷ θείῳ φωτὶ τοῦ προσώπου αὐτοῦ τοῦ θείου σφραγίζονται, δι' οὗ τοῖς ἀντιμίμοις ἐπὶ τούτου ὀλεθρίοις δαίμοσι φοβεροὶ γίνονται.

Ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης.

Ἡ τῶν ὑδάτων καὶ τῶν βροντῶν[n] καὶ τῆς κιθάρας φωνὴ, τὸ διαπρύσιον δηλοῖ τῆς τῶν ἁγίων ὑμνῳδίας καὶ τῆς ἐμμελοῦς αὐτῶν καὶ εὐήχου καὶ συμφώνου ᾠδῆς, τῆς πᾶσαν περιηχούσης τὴν τῶν ἐν οὐρανοῖς ἀπογεγραμμένων Ἐκκλησίαν πρωτοτόκων καὶ πανήγυριν, οἷς ἡ πρωτότοκος ἐπιφημίζεται κλῆσις. φέρουσα δόξαν παρὰ τοῖς πάλαι· ἅτε τοῦτο δεικνύσης τοὺς τεκόντας ὅπερ ἐκεῖνοι τοὺς φύσαντας τὸν κοινὸν ἔρανον τῇ φύσει ἀντεισάγοντες. ταύτης τῆς συμφωνίας τῶν ἁγίων ἀπηχουμένης, ἣν τῇ νεκρώσει τοῦ σώματος καὶ τῶν τούτου ἐπιθυμιῶν κατορθοῦν ἐξεγένετο, οὐδενὶ τὸ μαθεῖν ἑτέρῳ περιελέλειπτο πλὴν αὐτῶν. διότι τῷ μέτρῳ τῆς πολιτείας καὶ ἡ γνῶσις συμπαρεκτείνεται, καθάπερ καὶ τοῖς τῶν ἀνθρώπων δούλοις ἀναλόγως τῇ δουλείᾳ καὶ ἡ τῶν μυστικῶν φανέρωσις γίνεται. ἐγὼ δὲ οἶμαι, ὅτι[o] οὐδὲ ἀκοῦσαί τις δύναται τὰ τῆς καινῆς[p] ᾠδῆς μυστήρια, εἰ μὴ οἱ τοῦ ᾄδειν αὐτὰ ἠξιωμένοι. ἑκάστῳ γὰρ ἡ γνῶσις κατὰ τὴν ἀναλογίαν τῆς καθαρότητος. οὐ γὰρ βάλλουσι τὸν τοῦ Κυρίου νέον οἶνον εἰς ἀσκοὺς παλαιούς[q]· οὐδὲ ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱμάτιον διεφθαρμένον[r].

[m] καὶ αὐτοῦ ἐπὶ μετώπων Edd. [n] τῆς βροντῆς B. [o] ὅτι om. B. [p] νέας B. [q] παλαίου Cod. B. qui hæc solus habet. [r] διεφ. Cod.

Οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.

[8]Τούτοις καὶ Παῦλος ὁ θεῖος ἐπιπληκτικώτερον ἐπιστέλλων. "ἠγοράσθητε," φάσκει, "τιμῆς·" διόπερ ὡς ἠγορασμένοι ἀνυπερθέτως τὴν διὸ ἠγοράσθητε λειτουργίαν μετιέναι μὴ ὀλιγώρως σχῆτε· καὶ τίς ἡ τιμὴ, αὐτὸς καὶ ταύτην παριστᾷ, "τιμίῳ" λέγων "αἵματι τοῦ ἀσπίλου ἀμνοῦ, ὅς ἐστι Χριστός." κἀκεῖνος μὲν οὕτως. ἡ δὲ προκειμένη θεωρία τοὺς ἠγορασμένους ἀπὸ τῆς γῆς, φησι, καὶ τίνος χάριν τῆς ἐνεγκαμένης ἡ δήλωσις· ἵνα καὶ τοῦ ὠνησαμένου τὸ φιλάγαθον παραστήσῃ, ὡς οὐ δι' ἔνδειαν ἡ ὠνή· τίς γὰρ ἔνδεια γηϊνῶν τῷ ἐπουρανίῳ; ἀλλ' ἀγαθότητος ἔργον καὶ φιλανθρωπίας καὶ τῶν ταπεινῶν, εἰ καὶ παραξίαν τῆς σωτηρίας. οὕτως ἀντεχομένου ὡς καὶ σπονδαῖς τοῦ ἑαυτοῦ αἵματος τὴν τιμὴν καταβαλεῖν. καὶ ταύτῃ μὲν τοῦ ὠνησαμένου. τίς δὲ ἡ τῶν ἠγορασμένων δήλωσις τῆς ἐνεγκαμένης; εἰς παράστασιν καὶ τούτων τῆς ἀγνωμοσύνης, ὡς οὐκ ἀξίως τῆς κλήσεως διαγενομένων· ἢ γὰρ ἂν παγκληρῶς αὐτοῖς ἡ τῆς ᾠδῆς μάθησις ὑπῆρξεν, ἀλλ' οὐκ ἀριθμῷ ὑποβαλλομένη.

4 Οὗτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν.
παρθένοι γάρ εἰσιν. οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ
ἀρνίῳ ὅπου ἐὰν ὑπάγῃ. οὗτοι ὑπὸ Ἰησοῦ ἠγοράσθησαν
5 ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ, καὶ
οὐχ εὑρέθη ἐν τῷ στόματι αὐτῶν ψεῦδος. ἄμωμοι γάρ
εἰσιν. οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ.

Οὐκ ἀτιμουμένου τοῦ γάμου τὰ παρόντα. τίμιος γὰρ ὁ γάμος. καὶ οὐ τῷ ἀξιεπαίνῳ τῆς παρθενίας ὁ γάμος ὑποδύεται τὸ ἀνάξιον, ἀλλ' ἐπειδὴ καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ, τούτους μετὰ τοὺς εἰκοσιτέσσαρας πρεσβυτέρους τῶν λοιπῶν εἶναι ἡγούμεθα προὔχοντας, διά τε τὴν παρθενίαν καὶ τὸ ἐν γλώσσῃ τε καὶ ἐν χερσὶν ἄμωμον· μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν κτωμένους τὴν ἐν ἀρεταῖς λαμπρότητα, δι' ἧς καὶ τὴν καινὴν ᾠδὴν διδάσκονται, τοῖς πολλοῖς, οὐ μόνον κατὰ τὸν παρόντα βίον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἄγνωστον.

[8] Hoc Sch. carent Edd.

Εἰ γὰρ καὶ τὸ τέλειον τῆς γνώσεως ἐκεῖ, κατὰ τὸν Ἀπόστολον, ἀλλὰ ἀναλόγως τῇ[r] ἑαυτοῦ καθάρσει ἑκάστῳ ἐφαπλουμένης τῆς γνώσεως. [s]τί γάρ φησι Παῦλος "τότε ἐπιγνώσομαι καθὼς καὶ "ἐπεγνώσθην·" γνῶσιν οὐ τὴν κατάληψιν φάσκων, ἀλλὰ τὴν ἐξ ἀγάπης οἰκείωσιν. ἀναλόγως οὖν τῆς ἐξ ἀρετῆς ἡμῶν πρὸς τὸ θεῖον οἰκειώσεως, καὶ ἡ γνῶσις εὐπορηθήσεται, τῆς μερικῆς γνώσεως τῷ φθαρτῷ τούτῳ βίῳ συναποσβεσθείσης. καὶ ὅτι κἀκεῖ οὐ μία καὶ πᾶσιν ἰσότιμος ἡ δόξα, ἀλλὰ διαφόροις τοῖς κόποις ἐπιμετρουμένη τῆς ἀρετῆς ἀκούειν ἐστὶ τοῦ λέγοντος· "ἕκαστος "τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον." καὶ τῷ Χριστῷ, "παρὰ τῷ Πατρί μου μοναὶ πολλαί εἰσι·" τοῦ πολλαὶ τὸ διάφορον εἰσηγουμένου· ἐκεῖνα γὰρ ὑποβάλλεται ἀριθμῷ, ὅσα κατά τι τὸ διάφορον πρὸς τὰ ἄλλα παρέχεται.

Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ.

Οὐ διαφορὰν παριστῶντος τοῦ ἀρνίου πρὸς τὸν Χριστὸν, ἀλλὰ τὸ πρὸς ἀρετὴν διάφορον δηλοῦντος τῶν[t] τῆς μαθήσεως τῆς ᾠδῆς κατευτυχησάντων. οἱ μὲν γὰρ ἁπλότητι ψυχῆς καὶ ἀκακίᾳ περικροτούμενοι[u], ἀκολουθεῖν τῷ ἀρνίῳ ἐπιτήδειοι γεγόνασιν. οἱ δὲ ἀνδρικώτερον διακείμενοι καὶ λελογισμένῃ διαθέσει περιστοιχούμενοι, τῷ ἀνδρωθέντι Χριστῷ ἀνδρικῶς[x] προσηνέχθησαν, πρός τε τὰ πάθη, πρός τε τοὺς τυράννους τὸ νικητήριον ἀνελόμενοι κράτος. οἳ δὲ διὰ τὸ μιμήσασθαι, τοὺς μὲν τὴν ἀκακίαν Χριστοῦ τοῦ διδασκάλου, τοὺς δὲ τὸ ἀρνικὸν, πρὸς τὴν ὑπὲρ αὐτοῦ τοῦ διδασκάλου τοῦ ἰδίου αἵματος ἔκχυσιν, οὕτω τῆς ἀπ' αὐτοῦ κτήσεως ἔτυχον. ἀλλ' ἐρεῖ τις· εἰ ἐξ οἵων πόνων τῶν κατορθωσάντων ἀντιμισθία ἡ ᾠδὴ, πῶς ἠγοράσθαι λέγονται; ἀκουσάτω οὖν ὡς οὐ μάτην ἡ ἀγορά· οὐ γὰρ ἄνευ θείας συναντιλήψεως ἀνθρώποις τὸ κατορθοῦν. ἀλλὰ τὸ μὲν ἐπανελέσθαι τῆς ἐξουσίας τοῦ ἐπαναιρουμένου· τὸ δὲ πρὸς πέρας ἀφικνεῖσθαι τοῦ συνεργοῦντος Θεοῦ. διὸ καὶ εἴρηται τὸ "οὐ τοῦ θέλοντος οὐδὲ τοῦ "τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ." ὡς οὖν τοῦ παντὸς ὄντος τοῦ κατορθώματος ἐκ Θεοῦ, εὐλόγως καὶ παρ' αὐτοῦ ἡ καταβολὴ

[r] συμμέτρως τῆς ἑαυτ. ἑκασ. καθάρσεως B. [s] Quæ seq. usque ad fin. Sch. om. Edd. [t] τὸν Edd. [u] περικρατούμενοι Edd. [x] ἀνδρικῶς om. Edd.

τῆς ὠνῆς. ὥσπερ δὲ τῆς δόξης αἱ μοναὶ διάφοροι, οὕτω καὶ κολάσεως. διὸ καὶ εἴρηται τὸ "ἕκαστον τὸν ἑαυτοῦ μισθὸν λήψεσθαι "κατὰ τὸν ἴδιον κόπον."

ΚΕΦ. Μ.

Περὶ Ἀγγέλου προαγορεύοντος τὴν ἐγγύτητα τῆς κρίσεως τῆς μελλούσης.

6 Καὶ εἶδον Ἄγγελον πετόμενον ἐν μεσουρανήματι,
ἔχοντα Εὐαγγέλιον αἰώνιον εὐαγγελίσαι τοὺς καθη-
μένους ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος, καὶ φυλὴν, καὶ
7 γλῶσσαν, καὶ λαὸν, λέγων ἐν φωνῇ μεγάλῃ, φοβήθητε
τὸν Κύριον, καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς
κρίσεως αὐτοῦ. καὶ προσκυνήσατε αὐτὸν, τὸν ποιή-
σαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν,
καὶ πηγὰς ὑδάτων.

Τὸ μεσουράνημα, διττὴν νόησιν ἐμποιεῖ. καὶ γὰρ τὸ[y] ὑψηλὸν καὶ μετέωρον καὶ ἀπ' οὐρανοῦ, τό, τε[z] εὐαγγελιζόμενον ὑπ' αὐτοῦ, καὶ αὐτὸς ὁ ὑπὸ Θεοῦ ἀποσταλεὶς, καὶ ὅτι ἤγγικεν[a] ἤδη τὸ ἀπ' αἰῶνος ἐλπιζόμενον κριτήριον. καὶ ἐπειδὴ[b] σωτήριον τοῦτο τοῖς ἐκ παντὸς μέρους τῆς γῆς καὶ ἐκ παντὸς ἔθνους τὰ εὐάρεστα διαπραξαμένοις Θεῷ, ἀλλὰ καὶ ἔμφοβον δαίμοσι καὶ ἁμαρτωλοῖς. ἀμφότερα δὲ ὑπῃνίξατο ἡ φωνὴ[c], τοῖς μὲν ἀγαθοῖς διὰ τοῦ μεγάλου, τὸ καταθύμιον εἶναι τὴν τοῦ δικαίου κριτοῦ παρουσίαν, καὶ ὅτι[d] ἀποκαταστήσει αὐτοὺς πρὸς τὸν δι' ὃν ἐναθλεῖν αὐτοὺς ὑπῆρξε, τῷ μοχθηρῷ τούτῳ βίῳ τῶν προσταγμάτων αὐτοῦ ἀντεχομένοις· διὰ δὲ τοῦ φοβεῖσθαι τῆς ἐπισκήψεως οὐ μόνον δικαίοις ψυχαγωγεῖσθαι τῷ τοῦ Θεοῦ φόβῳ τὰς σαρκὰς καθηλωμένας, μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, οὐ γὰρ καὶ τὴν ψυχὴν οἱούς τε ἀποκτεῖναι. τοῦτο δὲ οὐ μάτην τῇ ἐπισκήψει ἐνθεωρεῖσθαι· ἀλλ' ἐπειδὴ καὶ πρὸ τῆς τοῦ Ἀντιχρίστου παρουσίας βασάνοις διὰ Χριστὸν ὑπεβλήθησαν οἱ πιστοί· καὶ κατ' αὐτὴν τὴν παρουσίαν τοῦ Ἀντιχρίστου ἑκατέροις πρὸς ἀσφάλειαν ὁ φόβος παρείληπται. τοῖς δαίμοσι δὲ καὶ τοῖς ὑπ' αὐτῶν ἐκβακχευθεῖσιν ἀνθρώποις φόβον, οὐ πρὸς ἀσφάλειαν, ἀλλ' ἐκ

[y] ὅτι τε ὑψ. B. [z] τότε B. [a] ἔγγιον B. [b] εἰ καὶ Edd.
[c] ἡ φωνὴ om. Edd. [d] ἤτι καὶ B.

προσδοκίας τῶν ἔργων ὧν ἔπραξαν, διὸ καὶ ὁ προφήτης φησίν. " ἰδοὺ Κύριος ἔρχεται, καὶ τίς ὑποστήσει ἡμέραν εἰσόδου αὐτοῦ;" ἐπεὶ οὖν ἡ παρουσία ὅσον οὔπω ἐφέστηκε τοῦ δικαίου κριτοῦ· εἰκότως ἑκατέροις περιστήσασθαι φόβον τοῖς μὲν πρὸς ἀσφάλειαν, τοῖς δὲ διὰ τιμωρίαν αἰώνιον.

Καὶ προσκυνήσατε αὐτόν.

Ἐνδίκως τὸ μὲν προσκυνεῖν, ὡς ποιητὴν οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. διὰ μὲν γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ θαλάσσης, ἡ ὁρωμένη δηλοῦται κτίσις, διὰ δὲ τῶν πηγῶν, ἡ ὑποχθόνιος. ἄδηλον γὰρ ὁπόθεν ταῖς πηγαῖς ἡ ἀνάδοσις, ὥσπερ καὶ τὰ ὑπὸ γῆν. εἰ δὲ τούτῳ ἐπαξίας ὡς παραιτίῳ τούτων ἡ δουλικὴ ὑπόπτωσις, ἐνδίκως ἂν καὶ τῷ ἀλιτηρίῳ διαβόλῳ ἡ ἀτιμία καὶ ἐξουδένωσις[f].

ΚΕΦ. ΜΑ.

Περὶ δευτέρου Ἀγγέλου, τὴν πτῶσιν Βαβυλῶνος κηρύσσοντος.

8 Καὶ ἄλλος δεύτερος Ἄγγελος ἠκολούθησε λέγων, ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη.

Τὸ δεύτερον οὐχ ἁπλῶς εἴρηται[g]. ἀλλ' εἰς δήλωσιν τοῦ ἐναρξαμένου[h] τῶν τιμωρητικῶν ἀπειλῶν. ἐχομένως τούτων τῶν ἀπειλῶν, ἄλλος Ἄγγελος τὰς αὐτὰς ἐπιρρωννύων συμφορὰς παραγέγονε. τοῦτο γὰρ παρεμφαίνει τὸ ἀκολουθῆσαι. καὶ τί τὸ ἀκόλουθον τοῦ χρηματισμοῦ; "ἔπεσε Βαβυλὼν ἡ μεγάλη." ὑπὸ[i] γὰρ τῇ ἐκβάσει τῶν προεπηγγελμένων[k] οὐδὲν πρὸς ὑστέρησιν τὸ μὴ πᾶσαν τὴν τοῦ παρόντος βίου σύγχυσιν πτώσει ὑποβληθῆναι, ἤτουν ἀφανισθῆναι. τί γὰρ ἂν ἄλλο ἡ πτῶσις παραστήσῃ; ὥσπερ οὐδὲ ἡ Βαβυλὼν οὐδὲν ἕτερον εἰ μὴ τὴν σύγχυσιν. καὶ τίς ἡ Βαβυλών; οὐκ ἄλλη, ἢ οὗτος ὁ φθαρτὸς κόσμος, ἐν ᾧ οὐδὲν ἄκρατον τοῦ ἀντικειμένου, καλὸν δὲ συμπέφυρται κακῷ, ταύτης δηλαδὴ τῆς Βαβυλῶνος[l] ὅσον οὔπω[m] κατασεισθείσης, οὐκ ἀλλόθεν

[f] Hoc Sch. caret B. [g] εἴρηται (λ π) B. [h] ἐναρξαμένων B. [i] ἐπὶ Edd. [k] ἀπηγγελμένων Edd. [l] δηλ. τῆς Βαβ. om. B. [m] οὐκ ἄλλοθεν πόθεν κατασ. Edd.

πόθεν [n] ἡ τοῦ ἐξιστᾶν εἰδότος τῶν σοφρονικῶν ἁπάντων ἀπαγαγοῦσα λογισμοῦ, ὃν εἰς οἶνον μετείληφε ὑπὸ ἀνεπιστρόφῳ ὁρμῇ βακχευόμενον· τοιοῦτον γὰρ ὁ θυμός. ἀφ' οὗ καὶ τὸ παντὸς ἐξηνδραποδίσθαι περιγίνεται ἀγαθοῦ. πορνείαν δὲ οὐ μόνον οἶδεν ἡ γραφὴ τὴν πρὸς τὸ θῆλυ τοῦ ἄρρενος ἀσελγῆ συνδρομὴν, ἀλλὰ καὶ πᾶσαν τὴν [o] ἀπὸ τοῦ ἀγαθοῦ ἔκκλισιν, εἴγε πιστὸν τὸ "ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ." [p] ἐκ τούτων οὖν αὐτή τε κατασεισθεῖσα μεθ' ὧν πεπότικε· καὶ γὰρ τῇ ὁρωμένῃ κτίσει, καὶ οἱ ἐνοικοῦντες αὐτὴν ἅτε τῷ ἐφημέρῳ ταύτης κάλλει δελεασθέντες, συνοίχονται οὐκ εἰς ἀνυπαρξίαν παντελῆ· τίς γὰρ ὁ λόγος; πρὸς ἀνακαινισμὸν δὲ, ὅν φησιν καὶ Δαβὶδ διὰ τοῦ "ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς." ἀνακαινισμὸς θεοφιλῶς μὲν βεβιωκόσιν εὐφρόσυνος, ἁμαρτωλοῖς δὲ καὶ διαβόλῳ καὶ δαίμοσιν ὀλέθριος, διαιωνιζούσῃ παρατάσει συνεκτεινόμενος. καὶ ὅτι μὲν εἰς Βαβυλῶνα ὁ κόσμος οὗτος μετείληπται, δηλοῖ τὸ μεγάλη προστιθέμενον [q]. οὐ πρὸς ἀντιδιαστολὴν γὰρ μικρᾶς τὸ μεγάλη, ἀλλ' αὐτὸ τὸ ὂν εἰσηγούμενον [r]. εἰ δὲ καὶ πρὸς τὴν Χαλδαίαν Βαβυλῶνά τις κατευθύνειν ἐθέλει [s] τὸν λόγον, οὐδὲν διοίσει τῷ κατὰ ζῆλον ἐκείνης ματαιωθέντι κόσμῳ τοσαῦτα συνηντηκότα, αὐτὴν ἐκείνην [t] τὴν ἀρχέτυπον ὑποστῆναι, εἴπερ πρὸς τὸ αἴτιον πᾶν τὸ ἐπ' [u] ἐκείνου συμβαῖνον ἀναφέρεται.

ΚΕΦ. ΜΒ.

Περὶ τρίτου Ἀγγέλου ἀσφαλιζομένου τὸν τοῦ Κυρίου λαὸν, μὴ δέξασθαι τὸν Ἀντίχριστον.

9 Καὶ τρίτος Ἄγγελος ἠκολούθησεν αὐτοῖς λέγων ἐν
φωνῇ μεγάλῃ, εἴ τις προσκυνεῖ τὸ θηρίον καὶ τὴν εἰκόνα
αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ
10 ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ
θυμοῦ τοῦ Θεοῦ τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ πο-

[n] οὐκ ἀλλ. ποθ. om. Edd. usq. ad ἀγαθοῦ. [o] τὴν om. B. [p] Om. Edd. quæ seq. usq. ad συνεκτεινόμενος. [q] διὰ τὸ μεγ. παρίσταται B. [r] εἰσηγουμένου B. [s] ἐθέλοι B. [t] ἐκείνην ὀνηθῆναι B. [u] πᾶν τὸ τοῖς ἐπ' ἐκ. B.

*τηρίῳ τῆς ὀργῆς αὐτοῦ. βασανισθήσεται ἐν πυρὶ καὶ
θειῳ ἐνώπιον τῶν ἁγίων Ἀγγέλων, καὶ ἐνώπιον τοῦ
11 ἀρνίου. καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτοῦ εἰς αἰῶνα
αἰώνων ἀναβαίνει, καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας
καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα
αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος
αὐτοῦ.*

Τὸ ἀκολουθεῖν εἴρηκεν[v], ὡς τὸ συνεχὲς καὶ ἀδιάσπαστον[x] καὶ ἀνένδοτον βουλόμενος παριστᾶν. ἡ δὲ μεγάλη φωνὴ τὸ ἐκπληκτικὸν καὶ τὸ διὰ πάσης χωρεῖν ἀκοῆς τὰ δηλούμενα σημαίνει[y]. ἡ δὲ τοῦ θηρίου προσκύνησις καὶ τὸ λαβεῖν αὐτοῦ τὴν σφραγῖδα, τὸ τὸν Ἀντίχριστον ἡγήσασθαι Θεὸν ὑποπτωτικῶς αὐτῷ προσανέχων, καὶ ἢ λόγῳ ἢ ἔργῳ τὰ καταθύμια τούτῳ διεξιέναι καὶ κηρύσσειν[z]. τοῦτο γὰρ τὸ ἐπὶ τοῦ[a] μετώπου καὶ τῆς χειρὸς χάραγμα σημαίνει[b], ἀντὶ τοῦ λόγου τοῦ μετώπου[c], καὶ ἀντὶ τοῦ ἔργου[d] τῆς χειρὸς παραληφθέντων. εἰκόνα δὲ τὴν δυσσεβῆ πολιτείαν καλεῖ, ἣν οἱ μετερχόμενοι ἔνδικον ἀποίσονται τὴν ἀντιμισθίαν. καὶ τίνα τὸ πιεῖν ἐκ τοῦ οἴνου τοῦ θυμοῦ; οἶνον τὴν ὀργὴν, οὐκ ἀπὸ τῆς εὐφροσύνης ἔφασκεν[e], ἀλλ' ἐκ[f] τῆς σκοτώσεως καὶ τῆς παραφορᾶς· τοιοῦτο[g] γὰρ καὶ ὁ θυμός. ὃν ἄκρατον κέκρασθαί φησιν· τὸ ἄκρατον διὰ τὸ ἐν τῷ ᾅδη σχολάζειν μετάνοιαν. κεκράσθαι δὲ, ἀντὶ τοῦ ἐκχεῖσθαι[h] ἢ ἐπιδίδοσθαι. εἴρηται δὲ οὕτω καθ' ὅτι ἐκ κεράτων[i] παρὰ τοῖς παλαιοῖς τὰ ποτήρια. [j]ἐπεὶ δέ τινες ἐδοκίμασαν τῷ κεκραμένῳ τῷ ἀκράτῳ συμβιβάζοντες. τὸ ἄκρατον θυμοῦ τῇ ἀνυπερβλήτῳ φιλανθρωπίᾳ τοῦ Θεοῦ μετριάζεσθαι εἰπόντες, κατὰ τὸ "ἐὰν ἀνομίας παρατηρήσῃ, "Κύριε, τίς ὑποστήσεται;" ἐκ τούτου γὰρ λαμβάνειν τῷ μὴ ἀκράτῳ θυμῷ Θεὸν χρῆσθαι τοῖς ἁμαρτάνουσι, καλῶς αὐτοῖς ἔχει τὸ ἐνθύμημα ἐν τῷ διαμειβομένῳ τοῦτο συντελούμενον αἰῶνι· ἐν

[v] εἴρηται B. [x] ἀδιάσπαστον om. B. [y] σημαίνει om. B. [z] διεξιὼν καὶ κηρύσσων B. [a] τοῦ om. B. [b] σῆμα σημαίνει B. [c] τὸ μέτωπον B. [d] τοῦ om. Edd. [e] φάσκων B. [f] ἀπὸ B. [g] τοιοῦτον B. [h] ἐγχεῖσθαι B. [i] Male ἑκάτερα Edd. [j] Quæ seq. om. Edd. usq. ad κόπου.

ἐκείνῳ δὲ τῷ ἀκηράτῳ τε καὶ ἀδιαμείπτῳ κωφὸν, ἑκάστου τὸν μισθὸν λαμβάνοντος ἰσορρεπῆ τοῦ αὐτοῦ κόπου.

Οἶνος δὲ θυμοῦ εἴρηται, ὡς καὶ εὐφραίνων οἶνος. ὡς γὰρ ὁ εὐφραίνων οἶνος λήθην ἐμποιεῖ τῶν δυσχερῶν, καθὸ καὶ εἴρηται τὸ "οἶνος ἐν λύπῃ," οὕτω καὶ νῦν οἶνος θυμοῦ εἴρηται ἡ κόλασις, ἐπακολούθημα τοῦ τῆς ἀσεβείας οἴνου· ὃς ἐξιστῶν τῶν συμφρονικῶν τοῦ ἀμέτρως χρωμένου ἐπὶ πᾶν βοσκηματῶδες ἀκρατῶς πάθος ἐλαύνει.

Τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς.

Ἐπιτευκτικῶς[j] *τὸ ἄκρατον τοῦ θυμοῦ, οἴνῳ ἀπείκασεν ἀκράτῳ κεκερασμένῳ ἐν τῷ ποτηρίῳ. ἄκρατος γὰρ οἶνος μεθύσκειν δύναται πλεῖον τοῦ κεκραμένου, ἐπεὶ καὶ κατὰ τὸν μέλλοντα αἰῶνα οἱ ἀνταποδιδόμενοι τῶν βεβιωμένων μισθοὶ, ἄκρατοι καὶ ἀμιγεῖς τοῦ ἐναντίου ἐλέου*[k]*, καὶ ἀγαθῶν ἔργων ἀειμνηστίας*[l]*, ὅτι καὶ ὁ ἐκεῖ βίος ἀληθὴς καὶ παντὸς ἁγνεύων τοῦ προσποιητοῦ καὶ ἐπιπλάστου. ἀλλ' εἰ τοιοῦτος, πῶς κεκέρασται ἐν τῷ ποτηρίῳ; ἢ δῆλον ὡς τὸ κεκερᾶσθαι οὐκ ἐπιμιξίαν τινὰ σημαίνει, ἀλλ' ἐπίδοσιν; ὡς ἂν οὕτω νοοῖτο. τοῦ κεκερασμένου, τουτέστι*[m] *τοῦ ἐπιδοθέντος ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς, τίς γὰρ καὶ φειδὼ ἐν ὀργῇ; δι' ὅπερ ἀκολούθως τῇ ὀργῇ, καὶ ἡ βάσανος ἐκ πυρὸς καὶ θείου ἀμφοῖν καυστικωτάτοιν, πυρὸς μὲν, φλέγειν πεφυκότος, τοῦ θείου δὲ ἀνερεθίζειν διαρκῶς εἰωθότος. τὸ δὲ ἐνώπιον τῶν ἁγίων Ἀγγέλων καὶ τοῦ ἀρνίου, τοῦτο βούλεται παριστᾷν, διὰ μὲν τῶν Ἀγγέλων, τὸ ἀδυσώπητον τὸ πρὸς τὴν βάσανον,* [n]*ἐπεὶ μηδὲ οὗτοι ἁμαρτίαις ὑπεύθυνοι· οἷς δέ τις ἀνάλωτος, οὐδὲ τὸ εὐμενὲς ἔχων ὀφθείη πρὸς τούτους οἵπερ ἕτοιμοι πρὸς τὸ τοῖς μεμισημένοις αὐτὸς ὑπάρξαι ὑπεύθυνος· διὰ μὲν οὖν τῶν Ἀγγέλων οὕτως· διὰ δὲ τοῦ ἀρνίου, ἀνάμνησιν φέροντος τῆς ὑπὲρ σωτηρίας ἀνθρώπων αὐτοῦ σφαγῆς, ὅπως αὐτὸν μὲν*[o] *διὰ πυρὸς ἀγαπήσας ἐκδέδωκεν ἑαυτὸν, αὐτοὶ δὲ τῆς ἑαυτῶν ἀπαλλαγῆναι ἀπωλείας οὐδ' ἥντινα φροντίδα πεποίηνται*[p]*. καπνὸν δὲ τοῦ βασανισμοῦ, ἢ τὴν πρὸς πάντας δήλωσιν τοῦ διὰ πυρὸς ἐκτελεῖσθαι τὴν τιμωρίαν, κάπνος γὰρ πυρὸς τεκμήριον, ἢ τῶν ἀπὸ τοῦ*

[j] *ἔτι ἐπιτ.* B. [k] *ἐλ. φημὶ* B. [l] *ἀμνηστίας* B. [m] *τοῦ κεκ. τουτέστι* om. B. [n] Quæ seq. om. Edd. usq. ad *οὕτως*. [o] *μὲν οὕτως* B. [p] *οὐκ ἐβουλήθησαν* Edd.

ἄσθματος κολαζομένων ἀναπεμπόμενον καὶ τῆς οἰμωγῆς οἱονεὶ νέφος, οὐ πρὸς ὀλίγον ἀλλ' αἰωνίως ἀναβαῖνον· [q]ὃ καὶ Ἡσαΐας ὑπέφηνε, διὰ τοῦ ἀτελευτήτου σκώληκος καὶ τοῦ ἀσβέστου πυρός. τὸ δὲ ἀϊδίως τοῦτο ἐκτελεῖσθαι διὰ τοῦ ἀδιαπαύτου τῆς ἐνεργείας τοῦ ἐν τῷ νυκτερινῷ καταστήματι καὶ ἡμερινῷ ᾐνίξατο, οὐκ ὄντων τούτων ἐκεῖ· τίς γὰρ καὶ χρεία ἡλιακῶν μεταβάσεων ἐν τῷ ἀφθάρτῳ βίῳ, ἐν ᾧ οὐχ ὕπνου χρεία, οὐ καιρῶν ἐπιδημία, σπόρου καὶ θέρους καὶ καρπῶν συγκομιδῆς; ὅτι μηδὲ ἄνθρωποι τούτων ἐπιδεεῖς, ἃ τὴν παροῦσαν οἶδεν φθαρτὴν συγκροτεῖν βιοτήν.

12 Ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστὶν, οἱ τηροῦντες τὰς
13 ἐντολὰς τοῦ Θεοῦ, καὶ τὴν πίστιν Ἰησοῦ. καὶ ἤκουσα
φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης, γράψον, μακάριοι οἱ
νεκροὶ, οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι. ναὶ λέγει τὸ
Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ
ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.

Ἐν τούτῳ φησὶ τῷ καιρῷ τῷ τοῦ Ἀντιχρίστου ἡ ὑπομονὴ τῶν ἁγίων δείκνυται. εἶτα ὡς ἐξ ἐρωτήσεως λόγος ἐσχημάτισται. καὶ τίνες, φησὶν, οὓς λέγεις ἁγίους ὑπομονητικούς; εἶτα ὡς ἀποκρινόμενος, οἱ τηροῦντες, φησὶ, τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν πίστιν Ἰησοῦ. οὗτοι[r] γὰρ καὶ πειρασμῶν παρόντων καὶ θανάτου, πάντα δεύτερα θήσονται τῆς τοῦ Θεοῦ ἀγάπης καὶ τῆς πίστεως Ἰησοῦ. οὐ διαιρῶν δὲ καὶ ἀποδιϊστῶν τὴν εἰς Θεὸν πίστιν τῆς τοῦ Κυρίου πίστεως τοῦτο φησὶν, ἀλλ' εἰσαγωγικώτερον τῷ λόγῳ χωρῶν οὕτω πρόεισιν. ἐπεὶ[s] γὰρ μόνοις Ἰουδαίοις ἡ τοῦ[t] θείου εὐσεβὴς ὑπόληψις ἐνορᾶτο, ἀπὸ τῶν πολλῶν καὶ ματαίων θεῶν εἰς ἕνα Θεὸν περιϊστᾶσα τὸ σέβασμα· ὁ δὲ Χριστὸς διὰ τὸ ἄνθρωπος ὁρᾶσθαι καὶ χρηματίζειν, οὔπω τοῖς πολλοῖς ἐδόκει θείας φύσεως εἶναι θησαυρὸς ὑπερουσίως ἡνωμένος τῷ ὑπερουσίῳ[u]. διὰ τοῦτο διακριτικώτερον ταῖς ἐντολαῖς τοῦ Θεοῦ, τοῦ Ἰησοῦ πίστιν ὑπέστησεν. πλήν ἐστιν εἰπεῖν, ὡς μᾶλλον ἐντεῦθεν ἡ κατὰ Χριστὸν θεολογία κρατύνεται. εἰ γὰρ ταῖς ἐντολαῖς τοῦ Θεοῦ καὶ ἡ κατὰ Ἰησοῦν πίστις παρομαρτεῖ, τίς ἡ ἀνάγκη ἀνταναιρεῖν τῶν θείων ἐντολῶν

[q] His carent Edd. usq. ad fin. Schol. [r] οἱ γὰρ τοιοῦτοι B. [s] ἐπὶ Edd. [t] περὶ τοῦ θ. B. [u] Ult. om. Edd.

τῶν τοῦ Ἰησοῦ τὸ ὁρώμενον[v]; *μᾶλλον ἐκ τούτου τῶν ἐντολ ὧντὸ κράτος οἰκειουμένων· δι' ἃς κατολιγωρουμένας, καὶ τὴν ἀνθρώπου εὐτελῆ φύσιν οὐκ ἀπηξίωσεν ὑποδύναι. ὡς ἂν δι' ἑαυτοῦ ὑποδείξῃ, ὡς τῆς ἀνθρωπίνης οὐσίας οὐκ*[w] *ἀδυνατούσης πρὸς ἔργον ἀγαγεῖν τὰς ἐντολὰς*[x], *ταύτῃ ἑαυτὸν ἥνωσεν ἐνανθρωπήσας.* [y]*ἀλλά γε δὴ καὶ τὸ "ὧδε ἡ ὑπομονὴ" οὐκ ἀκαίρως παρείληπται· τὸ ἔντονον δὲ ἐπιρωννύων τῶν ὑπομένειν ἑλομένων ὡς ἐν τῷδε τῷ ῥέοντι καὶ βραχεῖ χρόνῳ τῆς ὑπομονῆς κροτηθείσης, αἰωνίας καὶ ἀκαταλύτου τῆς ἀντιδόσεως τεύξεται χαρᾶς καὶ εὐφροσύνης, οὐδ' ἥτις οὐδ' ὅση ἱκανοῦ παραστῆσαι θνητοῦ λόγου.*

Ἡ ἀνενδεὴς σύνταξις τοῦ προκειμένου ῥητοῦ οὕτως. ὧδε ἡ ὑπομονὴ ἡ τῶν ἁγίων ἐστίν· ἵνα οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ τὴν πίστιν Ἰησοῦ τηρήσωσι.

Μακάριοι *οἱ νεκροὶ, οἱ ἐν* Κυρίῳ *ἀποθνήσκοντες.*

Ἡ ἐξ οὐρανοῦ φωνὴ, οὐ πάντας μακαρίζει τοὺς νεκροὺς, ἀλλὰ τοὺς ἐν Κυρίῳ *ἀποθανόντας, "τοὺς νεκρωθέντας τῷ κόσμῳ, καὶ τὴν "νέκρωσιν τοῦ* Κυρίου *Ἰησοῦ ἐν τῷ σώματι περιφέροντας." ἐκείνοις γὰρ τῷ ὄντι ἡ τοῦ σώματος ἔξοδος καὶ ἀνάπαυσις κόπων ἀπαλλάττουσα. ἡ δὲ τῶν ἔργων ἀκολούθησις στεφάνων ἀμαράντων καὶ βραβείων δόξης ὑπόθεσις, πολλῷ τῷ μέτρῳ ὑπερνικώντων τῶν ἐπάθλων τοὺς ἄθλους. διὸ καὶ* Παῦλος *ὁ θεῖός φησι, "οὐκ ἄξια "τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκα- "λύπτεσθαι εἰς ἡμᾶς."*

Ναὶ *λέγει τὸ* Πνεῦμα.

Ἡ σύνταξις οὕτως. τὸ Πνεῦμα *λέγει, γράψον ἀπάρτι, ναὶ γράψον, οἱονεὶ ὑπολιχνεύων τοὺς ἀθλοῦντας τῇ ἐπαγγελίᾳ, τῆς ἐκλείψεως μὲν τῶν ἐπιμόχθων αὐτοῖς, ἐντυχίας*[z] *δὲ τῶν ἀναπαυστικῶν ἀγαθῶν. ἅμα γὰρ τῷ ἀφανισμῷ τῶν κόπων, ἐπεισαχθήσεται ἡ διὰ τῶν ἔργων*[a] *ἀντίδοσις. ὅτι μηδὲ ἄδικος ὁ Θεὸς λήθῃ παραπέμψαι τοὺς ἐναρέτους πόνους*[b].

[v] *τὸ ὁρωμ.* om. Edd. [w] *οὐκ* om. Edd. [x] *οὐκ ἀδυνάτους πρὸς ἔργον τὰς ἐντολάς* B. [y] Quæ seq. om. Edd. [z] *ἐντυχίαις* B. [a] *τὰ ἔργα* B. [b] Ult. om. Edd.

ΚΕΦ. ΜΓ.

Ὅτι ὁ ἐν τῇ νεφέλῃ καθήμενος, τῷ δρεπάνῳ συντελεῖ τὰ ἐκ τῆς γῆς βλαστάνοντα.

14 Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέ-
λην καθήμενον ὅμοιον υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κε-
φαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ
15 δρέπανον ὀξύ. καὶ ἄλλος Ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ
κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης,
πέμψον τὸ δρέπανόν σου καὶ θέρισον, ὅτι ἦλθεν ἡ ὥρα
16 θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. καὶ ἔβαλεν
ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ
τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.

[c]Ὅπερ ἤδη εἰρήκαμεν καὶ νῦν ὅτι μὴ τοῖς χρονικοῖς προσέχοντες διαστήμασι τὰ νῦν χρηματιζόμενα οὕτω νοῶμεν, ἢ ὡς ἄρτι ἀρχὴν λαμβάνοντα, ἢ εἶτα ἤδη γεγονότα εἰς μέλλοντα ἀφορίζει. οὐδὲν γὰρ περὶ τούτων σμικρολογητέον ἐκεῖνο προειληφόσιν, ὡς τὸ πάντως ἐσόμενον ὡς ἤδη γεγονὸς ὑποβάλλεται· ἢ νῦν τελούμενον ὡς οὕτως ὀφεῖλον καὶ περανθῆναι· διὸ καὶ νῦν οὕτω προῆκται τοῖς ἄρτι δεικνυμένοις τὰ μέλλοντα προβιβάζων. Νεφέλην οὖν λευκὴν ἑωρακέναι φησὶν, ἢ κατὰ τὴν ὑπολαβοῦσαν αὐτὸν ἀπὸ τῶν Ἀποστολικῶν ὀφθαλμῶν ἐν τῇ πρὸς τὸν Πατέρα αὐτοῦ ἀνόδῳ· ἢ ὡς τούτου ὄντος ὀχήματος Θεοῦ, καθὸ καὶ εἴρηται, ὑπὸ Δαβὶδ μὲν, "νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ·" ὑπὸ Ἡσαΐου δὲ, "ἰδοὺ "Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον· ἣν νεφέλην εἰς Μαρίαν τὴν ἀειπάρθενον ἐξειλήφασιν οἱ θεῖοι πατέρες, ἐκ γῆς μὲν οἷον ἐξατμισθεῖσαν, τουτέστι, τῆς περιγείου παχύτητος ἀποδράσασαν. κουφότης δὲ ταῖς οὐρανοδρόμοις ἀρεταῖς κατηρτισμένην[d] ἀποδίδοται[e] τῷ δι' αὐτῆς ἐνδημῆσαι τὸν τοῦ Θεοῦ Υἱὸν εὐμοιρῆσαι[f]. ἢ νεφέλην ἀγγελικήν τινα δύναμιν διὰ τὸ καθάριον[g] καὶ μετέωρον[h] τῆς ἀγγελικῆς φύσεως, παρὰ τὸ καὶ

[c] Hæc om. Edd. usque ad Αἴγυπτον. [d] κατητισμένη Edd. [e] ἀποδίδοται om. B. [f] εὐμοιρήσαντα Edd. [g] κορίνθιον Edd. [h] μετεωρότερον Edd.

λευκὴν[i] εἶναι. [k]ἐπεὶ καὶ ὁ ψαλμῳδός φησι· “ἐπέβη ἐπὶ Χερου-“βὶμ καὶ ἐπετάσθη[l] ἐπὶ πτερύγων ἀνέμων.” ἐντεῦθεν καὶ ὁ Ἀκύλας τὴν νεφέλην πάχος ἐλαφρὸν ἐκδέδωκε· πάχος μὲν διὰ τὸ ὄχημα. τί γὰρ ἂν ἔσηται καὶ ὄχημα, μὴ παχύτητι τὸ ἑδραῖον παρέχον; ἐλαφρὸν δὲ, διὰ τὸ μηδεμιᾷ καταφορτίζεσθαι ἁμαρτίᾳ· εἰ δέ τις τὸ πάχος ἀνάξιον εἰς ὑπόληψιν ἀγγελικῆς οἰόμενος οὐσίας, ἄστοχον τὴν περὶ τούτου ἔκληψιν θῆται αγν * * * * * τούτων πρὸς τὴν παντοκράτορα καὶ θείαν φύσιν, ἥτις μόγις καὶ νῷ μόνῳ ληπτή. * * * * * * καὶ πάχος αὐτῇ προσλογίζεσθαι ἐπὶ τῇ τοιαύτῃ νεφέλῃ· καὶ ὅμοιον υἱῷ ἀνθρώπου ἐποχεῖσθαι * * * * * * * * *

Ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν.

Ὁ στέφανος τὸν Κύριον Ἰησοῦν βασιλέα αἰνίττεται. βασιλεὺς γὰρ τῶν νοητῶν τε καὶ αἰσθητῶν ὁ Χριστός. χρυσοῦν δὲ τὸν στέφανον λέγει, ἐκ τῶν παρ᾽ ἡμῖν τιμίων τὸ ἔνδοξον ὑπογράφων. τὸ δὲ ἐν τῇ χειρὶ δρέπανον ἔχειν, τὸν ἐν τῇ ἐξουσίᾳ αὐτοῦ κεῖσθαι τὴν τοῦ αἰῶνος τούτου συντέλειαν παραδηλοῖ. [m]Αὐτὸς ὁ Κύριος θερισμὸν τὴν τοῦ κόσμου συντέλειαν ἐκάλεσε. τί δ᾽ ἂν ἄλλο δρέπανον παρέξει εἰ μὴ θερισμόν; ἀλλ᾽ ἐκεῖ μὲν ἐν τῷ Εὐαγγελίῳ τὴν τῶν πιστῶν συλλογὴν ἐδήλουτο, ἐνταῦθα δὲ τὴν συντέλειαν τῶν ἀνθρώπων, ἵνα εἴ τι μὲν εἴη ἐν αὐτοῖς ἀχυρῶδες καὶ ἀτελεσφόρον πυρὸς ἄξιον, πυρὶ παραδοθῇ[n]. εἴ τι δὲ σιτῶδες, ταῖς θείαις ἀποθήκαις ταμειευθείη· δρεπάνου δὲ ὀξύτης ἢ τὸ ἀπαραίτητον καὶ ἀδυσώπητον δηλοῖ τῆς ὀργῆς, ἢ τὴν ταχυτῆτα τῆς ἐφόδου.

Καὶ ἄλλος Ἄγγελος ἐξῆλθεν κράζων.

Διὰ τί δὲ ἐξῆλθεν οὗτος ὁ Ἄγγελος κράζων; περιφραστικῶς διὰ τούτων δηλοῦται ἡ ἱκεσία τῶν[o] ἐπουρανίων δυνάμεων, ἐφιεμένων μὲν τὴν τῶν δικαίων τιμὴν, ὧν μιμησαμένων αὐτὰς ἐν τῇ προσκαίρῳ ζωῇ ἑαυτῶν, δίο καὶ φιλίως αὐτοῖς διετέθησαν· οὐκ ἀπαναινομένων δὲ τὴν τῶν ἀπεναντίων αὐτοῖς βεβιωκότων ἐκδικίαν θεάσα-

[i] λευκὸν Edd. [k] Om. Edd. quæ seq. usque ad fin. Schol. sed in quibusdam evan. est script. Cod. B. [l] Cod. bis habet ἐπετάσθη. [m] Hæc om. Edd. usque ad δηλοῖ τῆς ὀργῆς cujus vice male habent διὰ τῆς ὀργ. [n] παραδοθεῖ Cod. [o] πασῶν B.

σθαι. διὸ καὶ εἴρηται "ἕως ποτε, Κύριε, ἁμαρτωλοὶ καυχήσονται;" διὸ ἐπισπεύδουσιν, ἐφ' ᾧ παύσασθαι μὲν τὰ κινούμενά τε καὶ ἀλλοιούμενα, φανερωθῆναι δὲ τὰ ἀναλλοίωτα καὶ ἀκίνητα. [p] ἐπιδημησάσης οὖν τῆς ὥρας τοῦ θερισμοῦ καθ' ἅπαν τὸ σπαρὲν τοποῦ ἔτυχεν ἀκμῆς φησι παραθεωρεῖν κομιδὴν καὶ * * * * * * * * * τῆς εὐσεβείας γεώργι * * εἰς λ καὶ ξ καὶ ρ τὴν καρποφορίαν τῷ γεωργῷ παρεχόμενον· λμ * * * κατὰ Μωυσέως νόμον εὐδοκιμηκότων χρόνων, ξ δὲ κατὰ τὸ διπλάσιον τῶν κατὰ τὸ * * * * * εἰσαγωγικώτερον μὲν τοῦ κατὰ Χριστὸν μυστηρίου τελεώτερον καὶ κατὰ διπλάσιον τῆς * * δοκομίας[q]· ρ δὲ κατὰ τὸ τελεώτατον τῆς Χριστιανικῆς ἀκριβείας· καθ' ἣν ἀγῶνε * * ταύτην πολιτευσαμένοις καὶ τ * * θην ὑπερτείνοντες ἐξηνύσθησαν φύσιν.

Ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.

Τὸ ξηρανθῆναι τὸν θερισμὸν οὐκ ἄλλο δηλοῖ, ἢ τὸ ἐπιστῆναι τὸν τῆς συντελείας καιρὸν, ὅτε πεπανθεὶς, ὡς σίτος ὥριμος, ὁ τῶν ἀνθρώπων σπόρος, ὁ μέν τοι εὐσεβείᾳ φυτοκομισθεὶς[r], τῶν θείων ταμιείων τῆς ἀποθέσεως ἀξιωθείη. ὁ δὲ ὑλομανήσας, καὶ οὐδὲν σιτῶδες καὶ τρόφιμον καὶ τοῦ θείου ἐπάξιον σπόρου ἀπενεγκάμενος, τῷ αἰωνίῳ πυρὶ ὑποβληθῇ. τί γάρ φησι τὸ ἱερὸν γράμμα; "ἕκαστος τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον."

ΚΕΦ. ΜΔ.

Περὶ ἑτέρου Ἀγγέλου τρυγῶντος τὴν τῆς πικρίας ἄμπελον.

17 Καὶ ἄλλος Ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ
οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. καὶ ἄλλος Ἄγ-
18 γελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ
τοῦ πυρὸς, καὶ ἐφώνησεν ἐν κραυγῇ μεγάλῃ τῷ ἔχοντι
τὸ δρέπανον τὸ ὀξὺ λέγων, πέμψον σου τὸ δρέπανον
τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς
19 γῆς, ὅτι ἤκμασεν ἡ σταφυλὴ τῆς γῆς. καὶ ἐξέβαλεν ὁ

[p] Quæ seq. om. Edd. usq. ad fin. Schol. [q] Sic. [r] φοιτοκομισθεὶς B.

῎Αγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε
τὴν ἄμπελον τῆς γῆς. καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ
20 θυμοῦ τοῦ Θεοῦ τὸν μέγαν. καὶ ἐπατήθη ἡ ληνὸς ἔξωθεν
τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν
χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων αχʹ.

Οὐ μάτην τὸ γνώρισμα τοῦ ἀποσταλέντος Ἀγγέλου, ὡς ἀπὸ τοῦ οὐρανίου ναοῦ[s] ἀπέσταλται, περὶ τοῦ πρὸ αὐτοῦ οὐδενὸς τοιούτου ἐπισημανθέντος, εἰ μὴ ὅτι μόνον ἀπὸ τοῦ ναοῦ ἀπεστάλη· ἐνταῦθα δὲ καὶ τοῦ τόπου[t] παραληφθέντος, ἐν ᾧ ὁ ναός. φαμὲν οὖν ὡς ἐπειδὴ διάφοροι λατρεῖαι τῷ παντοκράτορι Θεῷ ὑπὸ τῶν ἀσωμάτων αὐτοῦ λειτουργῶν ἐκτελοῦνται. ὧν οἱ μὲν τῶν[u] κατὰ γῆν θυσιαστηρίων[x] ἔφοροι ἐκληρώθησαν, ἀφ᾿ οὗ θεοσέβεια τοῖς ἐπὶ γῆς κατηγγέλθη, ὃ δὴ[y] ἀπὸ Ἀβραὰμ καὶ Μωϋσέως μέχρι τῆς Χριστοῦ παρουσίας, καὶ ἐπ᾿ αὐτῆς παρατείνεται τὸ τοῦ παρόντος αἰῶνος συντελείας. εἰκότως ἐπ᾿ ἐκείνου μὲν, οὐδενὸς τοιούτου γέγονε μνεία, εἰ μήτις καὶ ἐπ᾿ ἐκείνου γνώρισμα λογίζοιτο τὴν τοῦ ἀρνίου μνείαν, οὗ χάριν τῆς ἐπὶ γῆς παρουσίας καὶ χρηματισμὸς Ἀγγέλων πρὸς ἀνθρώπους ὑπῆρξε, καὶ προκαταγγελία θεοφόρων ἀνδρῶν περὶ τὸ ἐπὶ γῆς ἐλεύσεως αὐτοῦ· ὡς ἂν οὖν ἐκδηλότερον γένηται, ὡς οὐ μόνον ἐπὶ γῆς λατρεῖαι, ἀλλὰ καὶ ἐν οὐρανῷ τῷ παντοκράτορι προσάγονται Θεῷ, ἀναγκαίως ἐπὶ τούτου τοῦ Ἀγγέλου καὶ τοῦ τόπου τῆς προεδρίας αὐτοῦ μνεία γέγονεν[z]. ὀξεῖ δὲ[a] δρεπάνῳ καὶ τοῦτον καθοπλίσθαι λέγει, τὸ σύντομον τῆς ἐκβάσεως ἐπισημαίνων.

῎Εχον ἐξουσίαν ἐπὶ τοῦ πυρός.

Τοῦτον ἐπὶ τῆς κολάσεως νόει τῶν ἀσεβῶν τετάχθαι. ἐξ οὗ μανθάνομεν ὡς πᾶσι τοῖς κτίσμασιν, ἀγγελικαὶ δυνάμεις ἐπιστατοῦσιν, ὕδατος, ἀέρος, καὶ ἄλλοις τισὶ μέρεσι. τοῦτον δὲ πυρὸς, τιμωρητικοῦ μέντοι, καὶ τῶν ὑπερτέρων Ἀγγέλων[b] ὄντα.

[s] θυσιαστηρίου B. [t] ὁ τοῦ τόπου παρελήφθη B. [u] τοῖς B. [x] θυσιαστηρίοις B. [y] ἥτις B. [z] μν. γέγονεν om. B. [a] ὀξεῖ δὲ καὶ οὗτος δρεπ. καθώπλισται B. [b] ἀγγελ. om. Edd.

[c]Ἐφώνησεν ἐν κραυγῇ μεγάλῃ τῷ δρέπανον ἔχοντι.

Οὐ φωνῇ μεγάλῃ ἀλλὰ "κραυγῇ." ὡς τῆς μὲν φωνῆς τὸ ἁπλῶς αἰσθητὸν τῇ ἀκοῇ ἐνεργεῖν ἐχούσης, τῆς δὲ κραυγῆς καὶ ὁρμὴν ἐντιθείσης ζηλωτὴν τῇ ἐπιχειρήσει· οὕτως ἡ τῶν Σοδόμων κραυγὴ ἀπαθέστατον Θεὸν ὀργίλως αὐτοῖς διατεθῆναι παρέσχεν· καὶ οὐδὲ τῇ τοῦ Ἀβραὰμ ἐπὶ τὸ εὐμενέστερον ἀποκλῖναι ἐντεύξει· οὕτως ἡ ἐπὶ Στεφάνῳ τῷ Διακόνῳ τῶν κυριοκτόνων κραυγὴ ᾠδήν τινα πραΰτητα ἐπιδέξασθαι τῷ ὑπερευχομένῳ τὴν ἐπ' αὐτῷ αὐτῶν ἁμαρτίαν ἐν τῷ μηδαμῶς θέσθαι· κατὰ τὸν τοιγαροῦν τοῦτον κραυγῆς εἰλημμένης νοεῖν δίδωσιν ἐπισπεύδοντός ἐστι καὶ ἐπιρωννύντος πρὸς τὴν πρᾶξιν τὸν πρὸς ὃν ὁ λόγος, ἀλλὰ μὴ ἀναβοωμένως ἐπιχειρεῖν·

Καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς.

Ἡ τρύγησις[d] τῶν σταφυλῶν, τοὺς λίαν ἀνόμους αἰνίττεται, ἀφ' ὧν τὸ ἐν τῇ χειρὶ Κυρίου ποτήριον μεθύσκεται[e], τουτέστι, πληροῦται. οὐ πρὸς εὐφρόσυνον δὲ μέθην, ἣν ὁ τῶν ἀγαθῶν ταμίας ἐθίμως ἐπιδίδωσι, ἀλλὰ πρὸς τιμωριαν· διὸ καὶ πίεσθαι φησὶ πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. διὸ καὶ εἴρηται, "καὶ τὸ ποτήριόν σου "μεθύσκον με θήσει κράτιστον," οὐ πρὸς εὐφρόσυνον οὖν μέθη ἡ πλήρωσις. καὶ ὅτι τοῦτο ἡ ὀπτασία διαζωγραφεῖν βούλεται, δῆλον ἐξ οὗ οὔτε ὁ Κύριος αὐτὸς ἀξιοῖ τὴν συλλογὴν ποιήσασθαι, ὡς περὶ τῶν πρώτων, οὔτε τὸ μὲν εἰς τὰς ἀποθήκας, τὸ δὲ εἰς τὸ ἀτελεύτητον παραπέμπει πῦρ· ἀλλά τις τῶν Ἀγγέλων ὃς καὶ διὰ τὸ ὑπερβάλλον τῆς ἀσελγείας αὐτῶν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ εὐθέως ἐμβάλλει, μηδὲ ἀπολογίας ἀξιῶν μηδὲ ἐρωτήσεως. [f]τῷ καταγόμῳ τῶν αὐτῶν ἀνομιῶν, εἰς τοῦτο τὴν τιμωρητικὴν τοῦ ἀγαθοῦ ἐπίδοσιν ἐμπαρέσχον.

Καὶ ἐξέβαλεν ὁ Ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν.

Εἰς τὴν γῆν τὸ δρέπανον βάλλεται τὸ ὑπὸ τοῦ Ἀγγέλου φερό-

[c] Hoc Sch. deest Edd. [d] τρύγη B. [e] ἐκμηεύσκεται B.
[f] Hæc om. Edd.

μενον, τουτέστι, τὸ τιμωρητικὸν θέρος ἐκείνων ποιῆσαι τῶν περὶ γῆν ἰλυσπωμένων, ὅσα καὶ χοῖροι τὰ βορβορώδη ῥοφῶντες ἔργα. [g]Ὥσπερ ἐν τοῖς Εὐαγγελίοις ὁ δίκαιος κρίτης, οὓς τὸ πρὸς τοὺς πένητας ἀκοινώνητον εἰς πῦρ ἀπεπέμψατο τὸ διαιωνίζον τῇ δικαίου κριτοῦ ἀποφάσει.

Καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς.

[h]Ἐμφαντικώτερον τὴν ἄμπελον, ἥτις ἡ προσθήκη τῆς γῆς παριστᾷ, καὶ ὅτι ἀπεναντίας αὕτη ἡ ἄμπελος τῆς ἀπ' Αἰγύπτου παρὰ τῷ θεοπάτορι μετεωρουμένης[i]. [k]καὶ τῆς ἀληθινῆς ἀμπέλου ἣν ἑαυτὸν εἶναι ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς οὐκ ἀπηξίωσε καλέσαι, κλήματα τοὺς Ἀποστολοὺς ἔχουσαν. ἀπεναντίας δὲ πῶς; ὅτι ὥσπερ ἡ ἀπ' Αἰγύπτου μεταρθεῖσα τῇ τῶν κλημάτων αὐτῆς ἐκτάσει γῆν ἅπασαν ἐπέσχεν καὶ θάλασσαν, καὶ τῇ σκιᾷ αὐτῆς τὰ ὄρη ἐκάλυψε, τουτέστι τὰ πρὸ αὐτῆς θεοσεβείας ὕψει τῶν χαμαιζήλων ἐθνῶν ἐνῳκισμένα, φημὶ δὲ τοὺς ἀπὸ Ἐνὼς ἕλκοντας τὴν κατὰ σάρκα φατρίαν ἣ καὶ μέχρι διεσώθη τοῦ ἐπὶ τοῦ κατακλυσμοῦ Νῶε· καὶ ἀπὸ τούτου πάλιν μέχρι Φαλὲκ διαρκέσασαν· οὐκ ἔστιν ὅσον εὑρεῖν ὑπερεχούσης τῆς ἀπ' Αἰγύπτου διὰ Μωϋσέως καὶ Ἀβραμιαίας γενεᾶς ἐξελκυσθείσης καὶ πρὸς θεοσέβειαν ὑπ' αὐτοῦ κατηρτισμένης· ἧς ἀμπέλου, ὡς ἔφθημεν εἰπόντες, ἀπεναντίας τὴν κεχωρηκυίαν[l] ἄμπελον τῇ δυσσεβείᾳ τοὺς πρὸ αὐτῆς ἅπαντας καλύψασαν ἀσελγεῖς, ἅτε καὶ ὑπ' αὐτοῦ τοῦ υἱοῦ τῆς ἀπωλείας Ἀντιχρίστου ἐκβακχευθέντας, ἀφειδῶς τρυγῆσαι κελεύεται ὁ Ἄγγελος. καὶ ἀποτόμως ἡ ἐπιχείρησις ὑπῆρξε.

Ἡ ἀπὸ τῆς ληνοῦ ἔκροια εἰς αἷμα ἐλέχθη· κατὰ μὲν τὸ πρόχειρον οὕτως τοῦ ἀπὸ τῆς σταφυλῆς ἐκθλιβομένου ὑγροῦ καλουμένου, ὡς ἐπὶ τοῦ "αἷμα σταφυλῆς ἔπινον οἶνον·" κατὰ δὲ τὸ μετὰ συνέσεως καλυπτόμενον, αἷμα καὶ ὁ φόνος εἴρηται, ὡς τὸ "φωνὴ "αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ·" εἴρηται δὲ καὶ τιμωρία, ὡς ἐν τῷ "οὐκ ἐπιστήσεις ἐφ' αἵματι τοῦ πλησίον."

[g] His carent Edd. [h] Hoc Sch. initium abest Edd. usque ad ἀπεναν. [i] θεοπάτωρι μεταιρομένης B. [k] Quæ seq. desunt Edd. [l] κεχαρηκυίαν Edd.

Καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ.

Ἀνθρωπινώτερον προβαίνει τῷ λόγῳ, τὸ ὑπερβάλλον πρὸς ἀσέλγειαν τῶν κατ᾽ ἐκεῖνο καιροῦ παραστῆσαι βουλόμενος. ἐπεὶ, τίς ἡ πίστις τὴν μακαρίαν καὶ ἀναλλοίωτον φύσιν πάθεσιν ἁλίσκεσθαι παραχωροῦσα[m]; τὸ[n] δὲ ἔξω τῆς πόλεως[o] πατηθῆναι τοὺς βότρυας, πόλιν, τῶν κατὰ τὸν ἐνεστῶτα βίον ἐμπορικὸν πολίτευμα καλεῖ. ἐν ᾧ οὐδ᾽ ἔστιν ἐρεῖν ὅση διάθεσις τῶν ὠνίων καλῶν, ἀνταμειβομένων κακῶν καὶ κακῶν ἀγαθῶν. καὶ ἐπειδὴ μετὰ τὴν σύντέλειαν τούτου, ἡ τῷ ὄντι ἀμοιβὴ τῶν πεπραγματευμένων ἀνθρώποις, εἰκότι λόγῳ ἔξω τῆς πόλεως εἴρηκε. ἐκ δὲ τοῦ λέγειν ὅτι ἐκ τῆς ληνοῦ αἷμα[p] τῇ συμπατήσει τῶν βοτρύων ἀπορρεῖ, βότρυας, τοὺς ἁμαρτωλοὺς περιλείπεται νοεῖν. διὸ καὶ τὸ αἷμα, εἰς τὰς πονηρὰς αὐτῶν πράξεις τροπολογεῖ[q], τῆς δικαίας ἐπ᾽ αὐταῖς ἐκδικίας σαφοῦς ἅπασι γινομένης. καὶ οὕτω δικαία ὡς μηδὲ τοῖς ἄνωθεν εἰς ἐποψίαν ταχθεῖσιν Ἀγγέλοις[r] ὑπακοῦσαι, κωλύουσιν ὡς τισὶ χαλινοῖς ταῖς ἑαυτῶν συνεργίαις τοὺς ἀνθρώπους ἀπὸ τῶν θεομισῶν πράξεων. οἱ καὶ τοσοῦτον ἐξώστρησαν ὡς μὴ μόνον τὰς φυσικὰς ἐπ᾽ ἀγαθῶν κτήσει παρεσχημένας ὑπὸ τοῦ πλάστου ἐννοίας ἀτιμάσαι, ἀλλά γε δὴ καὶ τὰς ἀπὸ τῶν θείων Ἀγγέλων, οὓς ἵππους ἐθίμως καλεῖν φησιν, ὡς Ἀμβακοὺμ ὁ προφήτης· "ἐπέβης" φάσκων "ἐπὶ τοὺς ἵππους σου." τοιγαροῦν καὶ πρὸς τοὺς θείους συνεργοὺς τοῦ δυσηνίου ἐπιδεδειγμένου[s], ἐκ πολλοῦ νῦν τοῦ περιόντος πρόφαντος ἅπασιν ἡ τούτων ἐξ ἀπειθείας μάστιξ καθίσταται. [t]καὶ ὅτι ἡ τῶν ἁγίων Ἀγγέλων ἐποψία οὐκ ἄρτι ἀλλ᾽ ἐξαρχῆς κτίσεως κόσμου, ὡς καὶ Μωυσῆς "ἔστησε" φάσκων, "ὅρια ἐθνῶν, "κατὰ ἀριθμὸν Ἀγγέλων" ἐμπεδοῖ. διὰ τοῦτο νῦν ὁ χαλινὸς τῶν ἵππων ἀπὸ σταδίων ͵αχ γινώσκεται. τοῦ σταδίου οὐ διαστήματος νοουμένου, ἀλλ᾽ ἐποχῆς· ἥτις ἐποχὴ τῷ χ´ ἔτει τῆς ζωῆς Νῶε διὰ κατακλυσμοῦ ἐγνωρίσθη· τὴν τελεωτάτην καθάρας ἁμαρτίαν ἣν ὡς τελεωτάτην ὁ ἐν ἀριθμοῖς τελεῖ δεκάδος ἑκατοστῆς συνηγμένος ὁ χιλιοστός. ἐλήφθη δὲ καὶ νῦν ὡς ἀπ᾽ ἐκείνης τῆς καθαιρέσεως

[m] παραχωρεῖν B. [n] τῷ Edd. [o] τῆς πόλεως ἔξω B. [p] τὸ δὲ ἐκ τῆς ληνοῦ αἷμα ὃ B. [q] τροπολογεῖν ἐστι B. [r] ὡς ἂν ἀνθρώπους ἐπέχοιεν ὥς τισι χαλινοῖς σ. ἑαυτ. συνεργ. B. [s] τὸ δυσήνιον ἐπιδεδειγμένοι B.
[t] Hæc absunt Edd. usque ad fin. Sch.

δευτέρου κόσμου ἀρξαμένου· ὃς [διὰ πυρὸς] ἕξει τὴν καθαίρεσιν. δι' ὕδατος ὁ πρῶτος κατὰ τὸ ὑπὸ τοὺς η * * θεωρημένον.

ΚΕΦ. ΜΕ.

Περὶ τῶν ἑπτὰ Ἀγγέλων τῶν ἐπαγόντων τοῖς ἀνθρώποις τὰς πληγὰς πρὸ τῆς συντελείας. καὶ περὶ τῆς ὑαλίνης θαλάσσης, ἐν ᾗ τοὺς ἁγίους ἐθεάσατο.

1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ
θαυμαστόν. Ἀγγέλους ἑπτὰ, ἔχοντας πληγὰς ἑπτὰ τὰς
2 ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ. καὶ
εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρὶ, καὶ τοὺς
νικῶντας ἐκ τοῦ θηρίου, καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ, καὶ ἐκ
τοῦ χαράγματος αὐτοῦ, καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος
αὐτοῦ, ἑστῶτας ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας
3 τὰς κιθάρας τοῦ Θεοῦ, καὶ ᾄδουσι τὴν ᾠδὴν Μωσέως
δούλου τοῦ Θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες·
μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παν-
τοκράτωρ. δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς
4 τῶν ἐθνῶν. τίς οὐ μὴ φοβηθῇ σε Κύριε, καὶ δοξάσει τὸ
ὄνομά σου; ὅτι μόνος ὅσιος· ὅτι πάντως τὰ ἔθνη
ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώ-
ματά σου ἐφανερώθησαν.

Καὶ πῶς οὐ μέγα τὴν παγκόσμιον σημαῖνον καθαίρεσιν; πῶς δὲ οὐ θαυμαστὸν, Ἀγγέλοις ἰσαρίθμοις τὸν ἐξ ἑβδομάδος ἡμερῶν ἐναρξάμενον[u] συντελεῖσθαι κόσμον, καὶ εἰς τὸν αὐτὸν ἀριθμὸν ἀποτελευτᾶν, τοῖς τε τὸ καθαίρειν Ἀγγέλοις λαχοῦσι καὶ εἰς τὸ καθαίρειν ἔχουσι πληγάς; ἑπτὰ δὲ αἱ πληγαί, θάλασσα ὑαλίνη[x] πῦρ, εἰκὼν τοῦ θηρίου[y], καὶ τὸ θηρίον αὐτὸ[z], καὶ χάραγμα αὐτοῦ, καὶ ἀριθμὸς αὐτοῦ τοῦ ὀνόματος[a], αὗται μὲν αἱ πληγαὶ, δι' ὧν ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ. ἔσχαται δὲ, ὡς τοῖς νικῶσιν αὐτὰς

[u] ἐναρξαμένους B. [x] ὕαλοι Edd. [y] εἰκὼν, θήριον Edd. [z] καὶ τὸ θηρίον αὐτὸ om. Edd. [a] ὀνομ. αὐτ. B.

οὐκ ἔτι περιλειπομένου ἑτέρου ἀγῶνος. οἵ τε γὰρ τὸ ἀστάθμητον[b] τοῦ βίου τούτου, ὃ τοῖς πολλοῖς δι' ἁλμυρίαν ξηραίνειν[c] οἶδε τὸ ἀναψύχον, πᾶν νενικηκότες τῇ καρτερίᾳ, οἵτε λαμπρότησι καὶ ταῖς εὐδοξίαις τοῦ εὐθραύστου καὶ[d] κατὰ τὸ ὕαλον τοῦ[e] συντρίβεσθαι κεκληρωμένου κόσμου κατ' οὐδὲν κεχειρωμένοι, οὐχ οἱ τοῦ πυρὸς τὴν καυστικὴν δύναμιν, ἀλλὰ τὴν φωτιστικὴν πεπορισμένοι, οὐχ οἱ τὴν εἰκόνα τοῦ θηρίου, ἢ τὸ θηρίον αὐτὸ, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ καταπαλαῖσαι[f] δεδυστυχηκότες, ἀλλ' ἀνδρικῶς νενικηκότες, οὗτοι τηνικάδε ἑστῶτες ἐπὶ τὴν ὑαλίνην θάλασσαν, σύμβολον ἐπιφερόμενοι τῆς ἑαυτῶν ἐν τῷ βίῳ[g] νεκρώσεως κατὰ τὸ ἀνενέργητον[h] τῶν ἐν αὐτῷ ἡδέων διαβιῶναι, ᾄδουσιν ὅσα εἰκὸς τοὺς νενικηκότας τῶν τοιούτων ᾄδειν.

Ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας.

Τὸ ἑπτὰ, οὐκ ἐπ' αὐτοῦ[i] τοῦ ἑβδοματικοῦ ἀριθμοῦ ἀκουστέον, ἀλλ' ἐπὶ τοῦ πολλαπλασίου τέτακται· ὡς ὅταν λέγῃ "ἀπόδος "τοῖς γείτοσι ἡμῶν ἑπταπλασίονα," ἀντὶ τοῦ πολλαπλασίονα· οὕτως οὖν καὶ νῦν τὰς πολλὰς οὖν κατὰ τῶν ἁμαρτωλῶν κολάσεις[k] ἠυτρεπισμένας παρείληπται[l], δι' ὧν ὁ θυμὸς τοῦ Θεοῦ πέρας λαμβάνει. αἵ τινες καὶ ἔσχαται ἐλέχθησαν. θυμὸν δὲ ἀκούων Θεοῦ, μὴ ὡς ἐμπαθοῦς ἄκουε τοῦ θείου, ἀλλ' ὡς ἤδη εἴρηται, ὅτι ἀνθρωπίνως ἐχρήσατο τῷ λόγῳ· ἀλλ' ἐπεὶ οὐκ εἶχεν ἄλλως[m] πως ὑποφῆναι[n] τὴν ὑπερβολὴν τῶν κατὰ ἀσέλγειαν τῶν ἁμαρτωλῶν ἔργων, ἅτε καὶ τὴν ἀπαθῆ φύσιν οἵων τε ὄντων κινεῖν, ἀνθρωπίνως ἐχρήσατο τῷ λόγῳ. ἡ ὑαλίνη δὲ θάλασσα, οὐκ ἂν ἄλλο σημαίνειν δοκοῖ, ἢ τὸ πολὺ μὲν, διὰ τοῦ θάλασσα, διὰ δὲ τοῦ ὑαλίνη, τὸ στιλπνὸν τε καὶ καθαρὸν τῶν τῆς ἐκεῖ μακαριότητος τοῦ βίου ἠξιωμένων. [o]διὸ καὶ ἐκλάμψουσιν ὡς ὁ ἥλιος ταῖς ἀρεταῖς ἑαυτῶν· σύγκρατον δὲ πυρὶ τὴν τοιαύτην θάλασσαν, ἐπειδὴ κατὰ Παῦλον τὸν θεῖον αἱ ἐποικοδομαὶ τῶν ἐπὶ τὸν θεμέλιον ὃν αὐτὸς τέθεικεν ** διὰ πυρὸς ἀποίσονται τὸ δοκίμιον. αἱ μὲν ξυλώδεις καὶ χόρτῳ

[b] τὴν ἀσταθμήτου B. [c] ὃ ξηρ. B. [d] εὐθράστου Cod. B. qui solus hæc habet. [e] τὸ B. [f] καταπ. αὐτοὺς B. [g] θνητῷ βίῳ B. [h] ἀνενεργήτως B. [i] οὐ τὸν αὐτὸν ἀριθμὸν σημαίνει B. [k] κολάσεις om. B. [l] αἰνίττεται Edd. [m] ἀλλ' ἐπεὶ οὐκ εἶχεν ἄλλως om. B. [n] ἐμφῆναι βουλόμενος B. [o] Hæc om. Edd.

παραβαλλόμεναι καὶ καλάμῳ οἷαι αἱ τῶν ἁμαρτωλῶν πρὸς ἀφανισμὸν χωρῆσαι παντελῆ· αἱ δὲ χρυσῷ καὶ ἀργύρῳ καὶ λίθοις τιμίοις· αἱ τῷ χρυσῷ μὲν καὶ ἀργύρῳ ἀπεικασθεῖσαι πρὸς τῷ μονίμῳ καὶ στίλβοντι τὸ ἀξιέπαινον σχοῖεν καὶ ἀποδεκτον· αἱ δὲ πρὸς τιμαλφεῖς λίθους ἀπενεχθεῖσαι, οὐκ ἂν εἶεν ἄλλαι, ἢ αἱ κόπῳ μὲν καὶ ἱδρῶτι ἐξανυθεῖσαι θεοφιλῶς. τοῦ ἐπιδεκτικοῦ δὲ μὴ ἀστοχοῦσαι τὸ στίλβον ἀμαυρωθεῖσαι· εἰκὸς δὲ διὰ τοῦ πυρὸς καὶ τὴν θείαν καὶ τὴν τοῦ θείου Πνεύματος δόσιν σημαίνεσθαι. ἐν πυρὶ γὰρ ὤφθη Μωϋσεῖ, καὶ τοῖς Ἀποστόλοις ἐν εἴδει γλωσσῶν ἐπεφοίτησε πυρίνων.

Ἔχοντας τὰς κιθάρας τοῦ Θεοῦ, καὶ ᾄδουσι τὴν ᾠδὴν Μωσέως.

Διὰ τοῦ εἰπεῖν[p] τὰς κιθάρας, τὴν τῶν ἐπὶ γῆς μελῶν αἰνίττεται[q] νέκρωσιν. Θεοῦ δὲ αὐτὰς εἶναι, καθότι οὐδεὶς τῶν σπουδαίων ἀνθρώπων τῆς θείας συμμαχίας χηρεύων[r] κατορθοῦται. [s]διὸ καὶ Δαβὶδ φησι, "ἐκράτησας πρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ "βουλῇ σου ὡδήγησάς με·" ἀλλὰ καὶ Παῦλος "τὴν νέκρωσιν τοῦ "Ἰησοῦ σώματι περιφέρειν" τοὺς πιστοὺς ἀσφαλιζόμενος, τί ἂν ἄλλο ἢ τὸ πρὸς ζῆλον τοῦ διδασκάλου τοὺς νεκροὺς ἑαυτοὺς τῇ ἁμαρτίᾳ κατηρτικότας οὕτως νομίζεσθαι τὸ εὐάρεστον αὐτῷ ἐκτελεῖν. ζηλῶν τινὰ τὰ πρὸς ἀρετὴν οὐχὶ καὶ συνεργὸν ἕξει τοῦ κατορθώματος· κἀκεῖνον ἐξευμενεῖ εὐάρεστον ἀνυποστόλως διαπραγματεύεται. τῆς τῶν μελῶν τοίνυν νεκρώσεως διὰ τῶν ** ῶν σημαινομένης ἀκολούθως καὶ ἡ ἐμμελὴς ὑπάρξει ζωὴ ἐν συμφωνίᾳ τῶν ἀρετῶν κρουομένη τῷ πλήκτρῳ τοῦ Πνεύματος· "καὶ ᾄδουσι τὴν "ᾠδὴν Μωϋσέως δούλου Κυρίου·" ἐκείνην πάντας εἰκός ἐστι νοῆσαι, ἣν ᾖσεν ἐπὶ[t] τῇ καταποντώσει Φαραὼ καὶ τῶν Αἰγυπτίων. ὡς γὰρ τῷ Μωϋσεῖ καὶ τοῖς μετ' αὐτοῦ ἀπηλλάχθαι δουλείας τῶν Αἰγυπτίων ἡ καταπόντωσις παρέσχεν, οὕτω καὶ τοῖς νενικηκόσι τὸ θηρίον καὶ τὴν κατ' αὐτὸ πραγματείαν τῶν μὲν πρὸ νόμου καὶ ἐν τῷ νόμῳ νικηφόρων ἡ ᾠδὴ, ὡς εἴρηται, ἐκ τῶν διὰ Μωϋσέως προστάγματι Θεοῦ ἐνηργημένων νοεῖται. ἡ δὲ τοῦ ἀρνίου ᾠδὴ τίς ἂν ἄλλη, εἰ μὴ ὑπ' αὐτοῦ τοῦ χρηματίζοντος συντεθειμένη; ἣν καὶ

[p] διὰ τ. εἰπεῖν τ. κιθ. om. B. [q] αἰνίττεσθαι φαμεν. B. [r] χηρεῦον B. [s] ἐκείνη δὲ πάντως ἣν ᾖσε B. [t] ἐπὶ om. B.

ᾄσουσιν οἱ ἀπὸ Χριστοῦ καὶ μετὰ Χριστὸν ὁσίως[u] πολιτευσάμενοι, τὴν ἀκατάπαυστον ἐν χάριτι[x], τὸ μεγαλεῖον ἐξαγγέλλοντες τῷ ἀρνίῳ, ἤτοι τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ, ᾠκονομημένης σωτηρίως ἡμῖν τῆς παντοκρατορικῆς δικαίας καὶ ἀληθινῆς ὁδηγίας. ἅπερ ὡς βασιλεὺς βάσις ὢν ἐλέους, πρὸς τὸ ἑαυτοῦ πλάσμα διὰ τῶν αὐτοῦ Ἀποστόλων εἰργάσατο. [y]καὶ εἴρηται τῷ Ἡσαΐᾳ, "ἔσται ἡ "ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη "ἐλπίσουσι." τούτου χάριν καὶ ὁ χρηματισμὸς βασιλέα τε αὐτόν φησι τῶν ἐθνῶν, καὶ πάντα τὰ ἔθνη ἥξειν καὶ προσκυνήσειν ἐνώπιον αὐτοῦ.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς
6 τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ, καὶ ἐξῆλθον οἱ ἑπτὰ
Ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πληγάς. οἳ ἦσαν ἐνδε-
δυμένοι λίνον καθαρὸν λαμπρὸν, καὶ περιεζωσμένοι περὶ
7 τὰ στήθη ζώνας χρυσᾶς. καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων
ἔδωκε τοῖς ἑπτὰ Ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γεμού-
σας τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας
8 τῶν αἰώνων. καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ ἐκ
τῆς δόξης τοῦ Θεοῦ, καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ, καὶ
οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελεσθῶσιν
αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ Ἀγγέλων.

Σκηνὴν ἐνταῦθα[z], τὴν ἐν οὐρανοῖς[a] λέγει, ἧς καθ' ὁμοίωσιν καὶ ὁ Μωϋσῆς[b] πῆξαι τὴν σκηνὴν τὴν κάτω προστάσσεται. "ὅρα, φησὶ, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ "ὄρει." ἐκ τούτου τοῦ ναοῦ ἀνοιχθέντος ἐξελεύσεσθαι τοὺς ζ'[c] Ἀγγέλους. [d]τέως μὲν γὰρ κατὰ τὸ πρὸς αὐτὸν ἐπὶ γῆς διατυπωθὲν ὑπὸ Μωϋσέως καὶ τὸ ἐν οὐρανοῖς ἀρχέτυπον σκῆνος ἀδύτου τρόπῳ πάντοθεν κατησφαλισμένον ἀπρόσοδον ἐχρημάτιζεν· ἐπεὶ δὲ καιρὸς καὶ τὰ τέως ἀθέατα ὁραθῆναι, καὶ πᾶσιν ἐντεθῆναι γνῶσιν ὅτι Κύριος **ματα ποιῶν ἐν τοῖς ἑκάστου τῶν χειρῶν

[u] αἰσίως Edd. [x] εὐχαριστίαν B. [y] Quæ seq. om. Edd.
[z] ἐντ. φησιν B. [a] ἐν οὐρ. τοῦ μαρτυρίου B. [b] τῷ Μωυσεῖ πῆξαι τὴν κάτω ὁ Θεὸς ἐχρημάτισεν B. [c] ζ' om. Edd. [d] Quæ seq. usque ad τίμωροι om. Edd.

ἔργοις ἀκολουθεῖ καὶ ἡ πρὸς ἀξίαν σύλληψις. ἐξωρμημένοι ἐκ τῶν οὐρανίων ἀδύτων ὡς ἐκ βαλβῖδος οἱ τίμωροι. [e]πρὸ γὰρ τῆς τοῦ Χριστοῦ συγκαταβατικῆς πρὸς ἡμᾶς αὐτοῦ παρουσίας, ἡ γνῶσις τῶν προκειμένων ἀσυμφανὴς καὶ ἀνεπινόητος ἀνθρώποις. διὸ καὶ πρὸς ἐναργεστέραν τούτων πίστιν, ἐν τῷ τοῦ Κυρίου πάθει καὶ τὸ τοῦ ἐπὶ γῆς ναοῦ καταπέτασμα διαρρήγνυται ἄνωθεν ἕως κάτω, οἱονεὶ τὰ ἀπὸ καταβολῆς κόσμου κρυφιότητι συνεπτυγμένα θεῖα μυστήρια, τὸ ἀπὸ τοῦδε ἐκφανῆ πᾶσιν καὶ ἐνώπια κατέστη, οὐχ ἑνὶ ἔθνει θησαυριζόμενα, ἀλλὰ πᾶσιν ἔθνεσιν ἐκπομπευόμενα. μαρτυρίου δὲ σκηνὴ οὐ τῷ τυχόντι εἴρηται, ἀλλ' ὅτι ἐκεῖθεν ὁ χρηματίζων Θεὸς τοῖς κατὰ νόμον ἱερεῦσι διεστέλλετο τὰ ποιητέα καὶ μὴ, μετὰ ἀκριβοῦς καὶ ἀνυποστόλου παραγγελίας, οὐκ ἀπὸ τοῦ νομικοῦ μαρτυρίου, ἀλλὰ τοῦ ἀρχετύπου καὶ ἀνθρωπείου.

[f]Καὶ ἐξῆλθον οἱ ἑπτὰ Ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πληγάς.

"Ἑπτὰ" ἀντὶ τοῦ πολλαὶ παρελήφθησαν· πολλὰ γὰρ κατὰ τὸν τῆς συντελείας καιρὸν, ὡς ὁ Κύριος ἐν Εὐαγγελίοις εἴρηκεν, γενήσεται δεινὰ λιμῶν καὶ λοιμῶν καὶ σεισμῶν, καὶ τὰ πρὸς τούτοις ακόλουθα.

Οἳ ἦσαν ἐνδεδυμένοι λίνον καθαρόν.

[g]Ἐνδεδυμένοι λίνον καινὸν ἢ λίθον, καὶ γὰρ καὶ τοῦτον τινὰ τῶν ἀντιγράφων ἔχουσι. λίνον μὲν, διὰ τὸ μηδὲν ζωώδους ἐπάγεσθαι προσπαθείας, ἃ τὸ λαμπρὸν τῆς ζωῆς πέφυκεν ἀμαυροῦν. [h]λίθον δὲ, δεῖγμα τῆς καθαρᾶς αὐτῶν καὶ φωτεινῆς καὶ πρὸς τὸ καλὸν αὐτῶν πλαγίως ἐχούσης φύσεως· καθὼς καὶ ὁ Χριστὸς παρὰ τῷ Ἀμὼς Ἡσαΐᾳ, "λίθος ἐμβεβλῆσθαι εἴρηται τῷ θεμελίῳ "Σιών" καὶ παρὰ τῷ Δαβὶδ, "ὁ αὐτὸς οὗτος εἰς κεφαλὴν "γωνίας ὑπάρξαι· κἂν ὑπὸ τῶν οἰκοδομούντων ἀποδεδοκίμασται" ἐπεὶ καὶ θεμέλιος τῆς εὐσεβοῦς πίστεως ὁ Χριστὸς, καὶ συνεκτικὸς καὶ συναρμολογῶν τοὺς δύο λαοὺς τῶν ἐξ Ἰουδαίων καὶ ἐξ ἐθνῶν εἰς ἑνὸς Θεοῦ ζῶντος κατοικίας συμπλήρωσιν. τῇ οὖν πρὸς τοῦτον τὸν λίθον ἐγγύτητι καὶ τῶν ἀρετῶν τῇ λαμπρότητι

[e] Quæ seq. om. B. usque ad fin. Schol. [f] Hoc Sch. deest Edd.
[g] Sic Edd. λίνῳ φησὶν ἐνδεδύσθαι τοὺς ἁγίους διὰ τὸ μηδὲν ζῶδες ἐπάγεσθαι.
[h] Quæ seq. usque ad λαμπραῖς om. Edd.

εἰκότως ὤφθησαν καὶ οἱ διακονοῦντες λίθοις περιεσταλμένοι λαμπροῖς. οἱ δὲ αὐτοὶ οὗτοι καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς τὸ ἐπιθυμητικὸν τοῦ σώματος μέρος, περὶ ὃ ἡ τοῦ ἐπιθυμητικοῦ κατάρχουσα καρδία κατῴκισται, οὐκ ἄνετον τοῦτο δηλαδὴ ἔχοντες τὸ μέρος καὶ μηδενὶ σωφροσύνης περισφιγγόμενον ζωστῆρι, ἀλλὰ σεμνῷ μάλα καὶ τιμίῳ ἀναστελλόμενον σφιγκτῆρι. τοιοῦτο γὰρ καὶ ὁ χρυσὸς, τῶν κατὰ γῆν ὑλῶν τὸ περισπούδαστόν τε καὶ τιμαλφέστερον ἀνθρώποις.

[i]*Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων.*

Τὸ ἐκ τῶν τεσσάρων ζώων ἑνὸς ὧν ἔμπροσθεν πολὺς ὁ λόγος λαβεῖν τοὺς ζ´ Ἀγγέλους τὰς χρυσᾶς φιάλας. τοῦτο καὶ ἐν τῷ Ἰεζεκιὴλ φησι δηλοῦται, τὸ ἐκ τῶν πρώτων ἀεὶ εἰς τὰ δεύτερα γνῶσιν τῶν πρακτέων ἀφικνεῖσθαι· καὶ παρὰ τῷ θείῳ Διονυσίῳ ἐστὶν εὑρεῖν.

Ἑπτὰ φιάλας χρυσᾶς γεμούσας τοῦ θυμοῦ τοῦ Θεοῦ.

Καλῶς εἴρηκε χρυσᾶς φιάλας, τῆς τοῦ Θεοῦ ὀργῆς ἐμπεπλῆσθαι. τιμία γὰρ ἡ ὀργὴ[j] *τὸ ἀγαθὸν καὶ συμφέρον ἐν αὐτῇ φέρουσα μᾶλλον ἢ τὸ δίκαιον, κᾂν ἀνιῶνται οἱ κολαζόμενοι.*[k] *ὁ δὲ τοῦ Θεοῦ θυμὸς οὐκ ἐμπαθὴς, ὥσπερ πολλαχῶς ἡμῖν εἴρηται, δίκαιος δὲ, ὅτι καὶ ἀπαθὴς ὁ ἀφ᾽ οὗ. ὅθεν καὶ ζῶν εἴρηται πρὸς ἀντιδιαστολὴν τῶν παρὰ τοῖς ἔθνεσι νεκρῶν καὶ ἐμπαθῶν θεῶν.*

Καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ.

Ὁ καπνὸς θείας ὀργῆς δεῖγμα, καθὸ καὶ τὸ, “ἀνέβη καπνὸς “ἐν ὀργῇ αὐτοῦ,” εἴρηται. κᾂν γὰρ μὴ καπνοῦ μνεία καὶ ἐνταῦθα, ἀλλὰ καὶ συνεκδοχικῷ τρόπῳ καὶ ὁ καπνὸς παρείληπται· οὔτε γὰρ καπνὸς[l] *ἄνευ πυρὸς ὑφίσταται, οὔτε πῦρ*[m] *καπνοῦ δίχα. ἐντεῦθεν παρὰ τῷ Ἡσαΐᾳ ὁ παρὰ τῆς κραυγῆς τῶν Σεραφεὶμ καπνὸς τὸν οἶκον ἐμπλήσας ὀργῆς ἐστιν **σις τῆς κατὰ Ἱερουσαλὴμ ἀπὸ τῶν πυρίνων δορυφόρων ἐκθυμιώμενος, τῷ τοῦ ἐπόχου ζήλῳ φλεγόμενος. ὑπ᾽ αὐτὸ δὲ ἐκ τῆς δόξης Θεοῦ καὶ τῆς δυνάμεως*

[i] Hoc. Sch. carent Edd. [j] *ὀργὴ τοῦ Θεοῦ* B. [k] Hæc inserit B. *ὅπερ δὴ πολλαχοῦ ὑπεμνήσαμεν ἀποπαθῶς εἴρηται καὶ νῦν τῆς ἀλήπτου φύσεως πάθεσιν. ὅτι μήδ᾽ ἄλλως ἦν παραστῆσαι τὸ προ*** [l] *ὡς οὔτε καπνοῦ* B. et mox *ὑφισταμένου.* [m] *οὐ πυρὸς ἄνευ καπνοῦ* B.

γενέσθαι τὸν καπνὸν περίφρασιν ἔχει τινα. οὐ γὰρ διαστολὴ Θεοῦ καὶ τῆς δυνάμεως αὐτοῦ, αὐτοδύναμις γὰρ καὶ αὐτοδόξα ὁ Θεός.

Καὶ οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναόν.

Ἢ κατὰ τὸ γεγραμμένον αὐτὸ νοητέον, ἵν' ᾖ, ἐκτελούμενος οὐδεὶς ἐν ὑποστήματι Κυρίου. εἰ γὰρ τοῦτο, σχολῇ γ' ἂν ὑπενεγκοίη τὴν τούτου ὀργήν. ἢ τὸ μηδαμῶς τοὺς ἁγίους τῆς ἄνω Ἱερουσαλὴμ τυχεῖν λήξεως, καὶ τῆς ἐν τῷ ἐκεῖσε ναῷ ἱερουργίας, πρὶν ἢ τυχεῖν τοὺς ἀξίους τὰ διὰ μαρτυρίας ἐπίχειρα. τὰς δὲ ἑπτὰ πληγὰς ὁ τοῖς ἐπὶ συντελείᾳ τοῦ κόσμου εὑρισκομένοις προσαρμόττων, οὐκ ἂν ἁμάρτῃ[n] τοῦ πρέποντος. [o]φιλάνθρωπος γὰρ ὢν ὁ Θεὸς ὁλοκλήρου τιμωρίας μετριάζων τὴν κάκωσιν, κἀντεῦθεν τοῖς ἀξίοις ἐπαχθῆναι συγχωρήσει, διάτε Ἐνὼχ καὶ Ἠλιοῦ προφητῶν τὰς τιμωρητικὰς πληγάς. τῷ μὴ ἐξ ὁλοκλήρου, ὡς ἔφθημεν εἰρηκότες τοῖς ἀτελευτήτοις τοῦ μέλλοντος αἰῶνος διαστήμασιν ὑπέχειν τὴν βάσανον. ὅπερ οὐ τῆς ἀνυπερβλήτου περὶ ἡμᾶς φιλανθρωπίας Θεοῦ, τίς λογισμὸς Κυρίου ἀρνηθείη; "ἐπεί, "καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ," θεοφορούμενα χείλη ἀνύμνησε.

ΚΕΦ. Μϛ.

Ὅπως τῆς πρώτης φιάλης ἐκχυθείσης, ἕλκος κατὰ τῶν ἀποστατῶν γίνεται.

1 Καὶ ἤκουσα μεγάλης φωνῆς λεγούσης τοῖς ἑπτὰ
Ἀγγέλοις, ὑπάγετε καὶ ἐκχέατε τὰς ἑπτὰ φιάλας τοῦ
2 θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν. καὶ ἀπῆλθεν ὁ πρῶτος
καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν· καὶ ἐγένετο
ἕλκος κακὸν καὶ πονηρὸν ἐπὶ τοὺς ἀνθρώπους τοὺς
ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ.

Μεγάλη φωνὴ[p], οὐ τῇ ἀπηχήσει. (τίς γὰρ καὶ αἴσθησις τοῖς οὐδὲν αἰσθητοῦ προσδεομένοις;) ἀλλὰ μεγάλης[q] τῇ ἀνυποίστῳ

[n] ἁμάρτοι B. [o] Quæ seq. om. Edd. [p] φωνὴ om. B. [q] μεγάλοις Edd.

σχεδὸν ταλαιπωρίᾳ[r] τῶν τιμωρουμένων. τὸ δὲ τὴν φωνὴν λέγειν, ἀντὶ τοῦ σημαίνειν εἴρηται[s].

Ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν.

Φιάλην ἐνταῦθα καθάπερ ποτήριον, τὴν κολαστικὴν ἐνέργειαν ἐκληπτέον, ἧς ἐκχεθείσης, ἕλκος φησὶ πονηρὸν συμβῆναι· ἕλκος, τὴν ἐν καρδίᾳ σφύζουσαν ὀδύνην ἀλληγορῶν. ἐπὶ τὴν γῆν δὲ χεθῆναι, "γῆν," τοὺς τῇ ματαιότητι τῶν γηΐνων περισπωμένους ἀποκαλῶν. διὸ καὶ ἐπιφέρει πρὸς σαφήνειαν, τὸ, ἐπὶ τοὺς πονηροὺς ἀνθρώπους. πονηροὶ δὲ τίνες ἂν εἶεν, ἢ οἱ τὸ χάραγμα ἐπιφερόμενοι τοῦ θηρίου, ἐκ τοῦ ἀποστῆναι μὲν ἀπὸ Θεοῦ ζῶντος, τῷ Ἀντιχρίστῳ δὲ προσρυῆναι; [t]κἂν εἰ μηδεμιᾶς τυγχάνοιεν πᾶν τοῦ θεοποιηθέντος αὐτοῖς σωτηρίας. χάραγμα δὲ, ὡς ἔφθημεν παραθέμενοι, τὸ γνώρισμα λέγει· ὥσπερ καὶ ἐπὶ χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ καλούμενα νομίσματα εἰς γνῶσιν τῶν ὧ*** εἰσὶ βασιλέων τὰ ἐκτυπώματα τούτων ἐνσεσήμανται. εἰκόνα δὲ τοῦ θηρίου, τὸν Ἀντίχριστον λέγει, τουτέστι, τοῦ διαβόλου. ἐκ παραζηλώσεως εἰ καὶ ἀπατηλῆς τοῦ Κυρίου Ἰησοῦ πᾶν τὸ πλήρωμα τῆς θεότητος οὐσιωδῶς κατοικεῖ· τοῦτο γὰρ βούλεται δηλοῦν τὸ "σωματικῶς," καθὸ καὶ τὸ διάφορον ἔσχε τῶν πρὸ αὐτοῦ προφητῶν ἢ πνευματοφόρων ἀνδρῶν, οἷς κατ' ἔμπνευσιν θείαν ἢ ἔλλαμψιν τὸ θεοφορεῖν περιγέγονεν. οὕτω καὶ τῷ Ἀντιχριστῷ πᾶν τὸ πλήρωμα τῆς Σατανικῆς οὐσιώσεως προσγεννήσεται, πλέον μάντεων καὶ προδεικτῶν καὶ τῆς τοιαύτης ἀπατηλῆς συμμορίας. ἑλκοῦσθαι δὲ τὸν καιρὸν τῆς συντελείας τοὺς ἐφ' οὓς ἡ φιάλη ἐκχεθείη καὶ σωματικαῖς μάστιξιν, ἃς καὶ αὐτὸς ὁ * * Χριστὸς πρὸ τῆς συντελείας συμβῆναι τοῖς Ἀποστόλοις αὐτοῦ προηγόρευσε· δι' ὧν φησι, "μελλήσετε ἀκούειν πολέμους καὶ "ἀκοὰς πολέμων" καὶ τὰ ἑξῆς τούτων· ὧν μετ' ὀλίγον καὶ ταῦτα ἐπιφέρει, "ἔσται τότε θλίψις μεγάλη, οἷα οὐ γέγονεν ἀπ' ἀρχῆς "κόσμου ἕως τοῦ νῦν, οὐ δὲ μὴ γένηται." πρὸς γὰρ τῷ * * κλόνῳ ὑποσμύχοντι[u] τοὺς ἀνθρώπους διὰ τῆς ἀκοῆς, ἔτι καὶ σωματικαὶ ὀδύναι ταλαιπωρεῖν **ονται τοὺς πονηρούς.

[r] τῆς ταλαιπωρίας B. [s] σημαίνειν εἴληπται εἴρηται ἤδη. B. [t] Quæ seq. om. Edd. [u] ὑποσμοίχοντι Cod.

ΚΕΦ. ΜΖ.

Πληγὴ δευτέρα κατὰ τῶν ἐν θαλάσσῃ ἐπιτιμωμένων.

3 Καὶ ὁ δεύτερος Ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ.

Θάλασσαν, εἴτε τὸ ἄστατόν τις[x] τοῦ παρόντος αἰῶνος ἐκδέχεσθαι βούλεται, καθ' ὃν[y] τὸ τηνικαῦτα ἔθνους ἐπ' ἔθνος πολεμίως ἐγειρομένου καὶ ναυμαχιῶν συγροτουμένων καὶ πεζομαχιῶν θαλάσσᾳ καὶ γῇ, τῶν ἀποκτεινυμένων καὶ ποταμοὶ φοινίσσονται αἵματι, οὐδὲν ἀπεικὸς εἴτε καὶ θείᾳ δυνάμει πρὸς ἔλεγχον τῶν ἀπατωμένων τῆς εὐκολίας ὑπὸ τῶν ἁγίων προφητῶν Ἐνὼχ καὶ Ἡλία μεταβολὴ γένοιτο ὑδάτων εἰς αἷμα, καὶ ἐν Αἰγύπτῳ ὑπὸ Μωϋσέως ὁ ποταμός· ὃ καὶ μᾶλλον τυχεῖν[z] ἡ ἐπιφορὰ τοῦ ῥητοῦ δίδωσιν, αἷμα φάσκοντος, οὐχὶ νεκροῦ, ἀλλ' "ὡς νεκροῦ," τοῦ "ὡς" μορίου οὐκ ἐνέργειαν, ἀλλ' ὁμοιότητα ὡς ἐπίπαν παριστῶντος, οὐκ ἀποτυχόντως ἂν εἴη τοῦ σκοποῦ. "νεκροῦ" δὲ τοῦ ἐσφαγμένου.

Εἴ τις τὴν ἀνάπτυξιν αἰσθητὴν ἐκλήψεσθαι οἴοιτο, οὐδὲν διοιστέον. ταῦτα δὲ συμβαίνειν μέλλεσθαι εἰς ἔνδειξιν τοῦ * * ἂν καὶ οἱ βέβαιοι τὴν πίστιν ταῖς παραδοξοσημείαις νευρωθεῖεν καὶ ἀστήρικτοι φοβηθεῖεν τὴν κτίσιν ἀντιτασ[σο]μένην τῇ παρουσίᾳ τοῦ Ἀντιχρίστου ὁρῶντες. τοὺς πολέμους δὲ καὶ σφαγὰς διὰ τούτων εἰκὸς σημαίνεσθαι, τοῦ Γὼγ φημὶ καὶ Μαγὼγ, καταλλήλων κινουμένων ἐν τοῖς τέτρασι μέρεσι τῆς γῆς, κατὰ βασιλέων βασιλεῖς καὶ ἐθνῶν ἐπὶ ἔθνη, ἀφ' ὧν καὶ αἱ ναυμαχίαι καὶ αἱ πεζομαχίαι τῷ λύθρῳ τῶν αἱμάτων ἐπίσχωσι.

[a]Πᾶσα ψυχὴ ζῶσα.

"Ψυχὴ," ἡ τῷ ψυχικῷ βίῳ συγκροτουμένη, ἥτις καὶ ἀνεπίδεκτος τῶν τοῦ Πνεύματος τοῦ Θεοῦ διατελοῦσα, ἐπιμωρίας τραχηλιάζεται, ὡς καὶ τῷ θείῳ Παύλῳ δοκεῖ, τῷ θεοπειθεῖ **ρ οὐ θάνατος ὁ παρὼν, ἀλλὰ ζωὴ πρὸς ἀνεπίμοχθον παραπέμπων καὶ ἀταλαίπωρον ζωήν.

[x] ἀστάθμητον τοῦ Edd. [y] ἐν Edd. [z] στοιχεῖν B. [a] Hoc Sch. carent Edd.

ΚΕΦ. ΜΗ.

Ὅπως διὰ τῆς τρίτης, οἱ ποταμοὶ εἰς αἷμα μετακιρνῶνται.

4 Καὶ ὁ τρίτος ἐξέχεε φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς
5 καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων, καὶ ἐγένετο αἷμα. καὶ
ἤκουσα τοῦ Ἀγγέλου τῶν ὑδάτων λέγοντος, Δίκαιος εἶ
6 ὁ ὢν καὶ ὁ ἦν ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας, ὅτι αἷμα
ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας
7 πιεῖν· ἄξιοι γάρ εἰσιν. καὶ ἤκουσα ἄλλου ἐκ τοῦ
θυσιαστηρίου λέγοντος, Ναὶ Κύριε ὁ Θεὸς ὁ παντο-
κράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

[b]Κἀντεῦθεν δείκνυται τοῖς στοιχείοις ἐπιτετάχθαι Ἀγγέλους. ὧν ἕνα τὸν ἐπὶ τῶν ὑδάτων ὑμνεῖν φησὶ τὸν Θεὸν, ἐπὶ τῇ κατ' ἀξίαν καταδίκῃ τῶν παραβεβηκότων, οἳ τὰς χεῖρας τοῖς αἵμασιν ἐμόλυναν τῶν ἁγίων. καὶ πρὶν μὲν, μάλιστα δὲ τὸ τηνικαῦτα ἐν τῷ τοῦ Ἀντιχρίστου καιρῷ, ἀνθ' ὧν τῇ τῶν αἱμάτων διαφόρῳ δίψῃ τοὺς τολμῶντας ἐκάλεσε. διαφθαρέντων γὰρ ποταμῶν καὶ συστημάτων τῶν πηγαίων, πόθεν ἂν ἄλλοθεν τὴν δίψαν ἀκέσαιντο;

Καὶ ἤκουσα τοῦ Ἀγγέλου τῶν ὑδάτων.

Οὐ μόνον ἔφοροι τῶν ἐθνῶν κατὰ τὸν νομοθέτην Μωϋσῆν αἱ θεῖαι δυνάμεις, ἀλλὰ καὶ τῶν κοσμικῶν στοιχείων, ὥσπερ ἡμῖν διὰ τῶν παρόντων ἡ θεόθεν αὕτη Ἀποκάλυψις εἰσηγεῖται. [c]ἀπὸ τῶν αὐτῶν νοερῶν καὶ θείων πνευμάτων εἶναι μανθάνομεν ἐφόρους. παντοδύναμος γὰρ ὢν ὁ Θεὸς καὶ προνοῶν τῶν αὐτοῦ κτισμάτων ἀνενδεῶς, οὐ γὰρ τὸ θελῆσαι μόνον ἔργον ἐστὶ παριστάμενον, καὶ οὗ τῇ ὁρμῇ τοῦ βουλήματος οὐσιώθη τὸ πᾶν, πῶς ἂν ὁ τοιοῦτος δεηθείη τοῦ συνεργοῦ, καὶ προστὰς εὐεργεσίας συλληψομένου; ἀλλ' ἐπειδὴ ὁ ἕτερον εὐεργετῶν ἀνενδεὴς ᾖ, οὐ τοσοῦτον ἐκεῖνον ὅσον ἑαυτὸν ὠφελεῖ. ἔταξεν ὁ Θεὸς τῆς νοερᾶς αὐτοῦ διακοσμήσεως ὑπουργούς· ἀνενδεεῖς μὲν καὶ αὐτοὺς, ἅτε τὸ εἶναι καὶ αὐτοὺς τῷ πρὸς τὸ θεῖον ἐγγύτητι τὸ ἀνενδεὲς καταπλουτοῦντας, τῶν ἐπιγείων ἐνδείᾳ πιεζομένων ἀγαθωσύνης προνοητάς. ὃ καὶ

[b] Hoc Sch. deest Cod. B. [c] Quæ seq. om. Edd.

Δανιὴλ ἐκδιδάσκει, τὸν Μιχαὴλ εἰσάγων τὸν Ἀρχάγγελον ἔφορον τοῦ Ἰουδαίων φύλου. ὥσπερ καὶ νῦν ἡ Ἀποκάλυψις **στη τὸν ἐπὶ τῶν ὑδάτων Ἄγγελον τεταγμένον. ἐκ δʹ γὰρ στοιχείων τῆς ἐπιγείου κτίσεως ἐμπεπηγυίας, ἀέρος, πυρὸς, γῆς τε καὶ ὕδατος· τὰ γὰρ οὐράνιά τινες εἰς πέμπτην φυσιν σώματος ἔταξαν διὰ τὴν κυκλοφορίαν· ἀὴρ γὰρ καὶ πῦρ καὶ ὕδωρ, τὴν κατ' εὐθυωρίαν εἴληχε κίνησιν. τὰ μὲν οὖν τρία τῶν στοιχείων πῦρ καὶ γῆ καὶ ἀὴρ ἄφθονα, ἀὴρ εἰς ἀναπνόην, πῦρ εἰς θάλψιν, γῆ πρὸς τροφὴν ἅτε μητὴρ, καὶ πρὸς ταφήν· καὶ ἐπειδὴ καὶ ταῦτα, εἰ καὶ στοιχεῖα, πλὴν οὐχ ἁπλότητος ἐπειλημμένα, ὡς δῆλον ἀφ' ὧν καὶ ἐξ ἀέρος ἀποθλιβομένου τῷ συγκρουσμῷ τῶν στερεωτέρων ὑλῶν καὶ ἀποθλίψει πῦρ ἀποπάλλεται· ἤδη δὲ καὶ ἐξ ὕδατος ἐν σκεύεσιν ὑάλου στεγομένου ἕλκεται πῦρ, ὅταν πρὸς ἥλιον μάλιστα ἀνίσχοντα ἀντιπρόσωπα γένωνται· ἀλλὰ τούτων μὲν ἀφθονία πολλὴ τῆς χρήσεως. μόνου δὲ τοῦ ποτίμου οὐ πάρεστιν ἐν πηγαῖς τε καὶ κρήναις καὶ φρέασι καὶ ποταμοῖς· καὶ τοῦ ἀερίου ὃ ταῖς νεφέλαις μετεωριζόμενον εὔκαιρον ἐκ θείου προστάγματος δίδωσιν ἡμῖν ὑετὸν, ὃ τρέφει πᾶν ζῶον. καὶ ἐπειδὴ οὐκ ἄφθονος τούτου ἡ παροχὴ, τέτακταί τις τῶν θείων Ἀγγέλων οἷα ταμιοῦχος, ὡς ἀνενδεῶς τε τοῦτο καὶ σύμμετρον τῇ χρείᾳ παρέχῃ δεομένοις· διὸ πολλάκις ταῖς κακίαις ἡμῶν πρὸς ἀξίαν, ἢ ὑπερβλύζον κατακλυσμοῖς, ἢ *πτόμενον αὐχμοῖς καὶ λιμοῖς ἐπιφέρει τὴν κάκωσιν, τούτου, φησι, τοῦ Ἀγγέλου τοῦ ἐπὶ τῶν ὑδάτων, ἤκουσα ὅσα ἡ ἑξῆς ἀναπτύξει γραφή.

Δίκαιος εἶ ὁ ὢν καὶ ὁ ἦν ὁ ὅσιος.

Τὸ μὲν, "δίκαιος," τὸ πρὸς ἀξίαν βραβεύειν δηλοῖ, τὸ δὲ "ὢν," τὸ ἀτελεύτητον, τὸ δὲ "ἦν," τὸ ἄναρχον, τὸ δὲ "ὅσιος," τὸν[d] ὑπεξῃρημένον πάσης προσπαθείας θνητῆς. διὸ καὶ ταῦτα ἔκρινεν, ἵνα οἱ ἐκχέαντες αἵματα ἁγίων, αἷμα πίωσιν. ἁγίων δὲ τῶν ὑπὸ τῶν ὑπασπιστῶν τοῦ Ἀντιχρίστου κεκακωμένων. προφητῶν δὲ, Ἐνὼχ καὶ Ἠλία, ἐπεὶ καὶ αὐτοὺς ἀποκτενοῦσι. πῶς δὲ αἷμα πίωσιν; ἐξ ἀναγκαίου γὰρ οἱ ἐν πολέμοις παρὰ ποταμοὺς ἐστρατοπεδευκότες, μεμολυσμένον πολλάκις[e] αἵματι ὕδωρ πίνουσιν[f] ἐκ τῆς τῶν θνησκόντων ἀναιρέσεως.

[d] τὸ B. [e] πολλάκις om. B. [f] πίωνται B.

Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου.

Σύμφωνον τῷ Ἀγγέλῳ τῷ ἐπὶ τῶν ὑδάτων, ὁ ἐπὶ τοῦ θυσιαστηρίου[g]. τοῦτον δὲ, ἔστι μὲν νοεῖν καὶ αὐτὸν τὸν Χριστὸν, ὡς καὶ ἐν αὐτῷ καὶ δι' αὐτοῦ προσφερομένων τῷ Θεῷ καὶ πατρὶ, τῶν λογικῶν ὁλοκαρπώσεων καὶ τῶν ζωσῶν θυσιῶν, ἃ προσφέρειν ἐκ τοῦ Ἀποστόλου ἐμάθομεν. ἔνι δὲ νοεῖν καὶ εἰς τὰς ἀγγελικὰς δυνάμεις ὡς ἀναγωγικὰς τῶν ἡμετέρων προσευχῶν καὶ τῶν πνευματικῶν ὁλοκαρπωμάτων. εἰρῆσθαι δὲ θυσιαστήριον ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον συνεκδοχικῷ τῷ τρόπῳ. ἐκ τούτου τοίνυν τοῦ λογικοῦ καὶ λειτουργικοῦ θυσιαστηρίου, τὴν φωνήν φησιν ἐνεχθῆναι, δικαιοῦσαν τὰ τοῦ Θεοῦ κρίματα πάντα λόγον καὶ νοῦν ὑπερβαίνοντα. [h]ἐπεὶ τοίνυν χαίρειν εἰκὸς καὶ ἑορτάζειν τὰς νοερὰς δυνάμεις, καὶ ἐπὶ τῇ ἀνταμοιβῇ τῶν ἑκάστῳ βεβιωμένων, καὶ ἐπὶ τῇ σωτηρίῳ ἐπιστροφῇ τῶν διὰ μετανοίας ἀναπαλαισάντων. ἀλλὰ καὶ ἐπ' αὐτοῖς τοῖς διὰ τῆς παρούσης κολάσεως μετριωτέραν ἕξειν τὴν μέλλουσαν φιλανθρωπίαν Θεοῦ ἀπεκδεχομένοις· οὐ γὰρ τάξει Κύριος δὶς ἐπὶ τὸ αὐτό· σπουδῇ τὸ ἀπὸ τοῦδε τὴν σωτηρίαν ἐπεργασώμεθα.

[i]Ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

"Ἀληθιναὶ," οὐ γὰρ ματαιότητι ἐπαγγελιῶν ἐκταράττουσαι ἢ ἐνηδύνουσαι ἐπὶ ψιλῶν ἀτελευτῶσι ῥημάτων, ἀλλὰ καὶ ἔργοις ἀπροσπάθεσι τὸ ἔμπρακτον ἀποφέρονται. "κρίσεις" οὐ τὸ αὐτοκράτως ἐπελθὸν εἰς ἔκβασιν ἐπιφέρονται· τῷ λελογισμένῳ δὲ ἐξακριβούμενα τὸ ἀμεμφὲς ἐγκολπίζονται.

ΚΕΦ. ΜΘ.

Ὅπως διὰ τῆς τετάρτης, καυματίζονται οἱ ἄνθρωποι.

8 Καὶ ὁ τέταρτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν
ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματίσαι ἐν πυρὶ τοὺς ἀνθρώ-
9 πους· καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα,
καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸ ὄνομα τοῦ Θεοῦ

[g] τὸ θυσιαστήριον B. [h] Om. Edd. ad fin. Schol. [i] Hoc. Sch. carent Edd.

τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας. καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

Ταῦτα ὁποτέρως ἄν τις ἐκλάβοι, ἀλληγορίας λόγοις φημὶ, ἢ καὶ ἐνεργείᾳ πραγμάτων, οὐκ ἔξω τοῦ εἰκότος ἀπενεχθείη. εἴτε γὰρ ἥλιον τὸν τῆς ἡμέρας οἰηθείη δρόμον, καθ' ὃν ἑκάστοτε τὰ δυσχερῆ καὶ κατάγχοντα τοὺς ἀσελγαίνοντας πρὸς ἐπιστροφὴν καταλήψεται· καθὸ καὶ εἴρηται "ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας "αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρός σε." ἢ καὶ αὐτὸν τὸν ἥλιον αὐχμῷ καὶ συνοχῇ καὶ ἀπορίᾳ τῶν κατὰ πόλεμον χαλεπῶν τῷ παρ' αὐτοῦ φλογμῷ δραστικώτερον καυματίσαντα, ὅτι καὶ ὁ αὐτὸς μαστίζει ἐπιστροφὴν αὐτοῖς μνώμενος, οὐδὲν διοίσει ἀφ' ἑκατέρας ἐκδοχῆς πρὸς ἓν καὶ τὸ αὐτὸ κατάλυμα τῆς ἐννοίας αὐλίζεσθαι. τῷ γοῦν μηδὲν ἐκ τούτων τῆς ἀξίας τῶν τοιούτων μαστίγων πρὸς ἐπιστροφὴν ἀπιδεῖν, ἀλλὰ διαφοροῦντας περί τε τὰς εὐεργεσίας, περί τε τὰς πρὸς ἐπιστροφὴν κολάσεις. ἀσεβὴς γὰρ ἐμπεσὼν εἰς βάθος κακῶν καταφωνεῖ, ἐπήνεγκε πρὸς τὸ ἀνεπιστρόφῳ ἀνομίᾳ ἐπ' ἀνομίᾳ προστιθέντες, τὸν Θεὸν ἐβλασφήμησαν· τοῦτο καὶ νῦν ὁρᾶν ἐστι. τοῖς γὰρ περισχοῦσιν ἡμᾶς ἐκ βαρβαρικῶν ἐφόδων κακοῖς ἀνοηταίνοντες, οὐ μόνον ἀπὸ τῶν πονηρῶν ἡμῶν ἐπιτηδευμάτων οὐκ ἐκκλίνομεν, ἀλλὰ καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ αἰτιώμεθα, ὡς ἡμῖν ταμιευσάσης τὰς τοιαύτας κακώσεις.

Τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας.

"Ὄνομα" τὴν ὑπόληψιν καλεῖ· "ὡς θαυμαστὸν τὸ ὄνομά σου." καὶ πῶς ἐβλασφημήθη τὸ τοιοῦτον; ἐκ παραλογισμοῦ καταφρονήσας τῶν ἀσεβῶν· οὐκ ἂν γὰρ ἔμειναν τοῖς πονηροῖς αὐτῶν ἐπιτηδεύμασι, εἴγε τις ἐνυπῆλθεν αὐτοῖς φόβος κολάσεως ἀνταμοιβῇ τῶν ἀσελγῶν ἔργων· ἀλλὰ ταχέως τῶν πονηρῶν αὐτῶν * * * ἔργων ταῖς ἐντολαῖς ταῖς σωτηρίοις ἑαυτοῖς μεταπλαττόμενοι· οὐ γὰρ φόβος ἐντολῶν τηρη**. "Ἐξουσίαν," τὴν τοῦ Κυρίου καλεῖ παρουσίαν, ὃς ἐπὶ τοῦτο τὴν δευτέραν αὐτοῦ παρουσίαν ποιεῖται, πρὸς τὸ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ποῖα ἔργα; ὧν τὴν ὑποθήκην αὐτὸς ἐν τῇ πρώτῃ αὐτοῦ παρουσίᾳ εἰσηγήσατο, καὶ δι' ἑαυτοῦ καὶ διὰ τῶν ἁγίων αὐτοῦ Ἀποστόλων καὶ μαθητῶν.

ΚΕΦ. Ν.

Ὅπως διὰ τῆς πέμπτης πληγῆς, ἡ βασιλεία τοῦ θηρίου σκοτίζεται.

10 Καὶ ὁ πέμπτος Ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
ἐπὶ τὸν θρόνον τοῦ θηρίου, καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ
11 ἐσκοτωμένη, καὶ ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ
πόνου, καὶ ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ ἐκ
τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ
μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

[k]"Φιάλην," τὴν ὀργὴν καλεῖ. εἰώθαμεν γὰρ ἐν τοῖς συμποσίοις φιάλαις δεξιοῦσθαι ἀλλήλους, τῷ ἐν αὐταῖς[l] τεθησαυρισμένῳ οἴνῳ τὴν εὐωχίαν κρατύνοντες· οὗ ἀπεναντίας ἡ παροῦσα[m] φιάλη ἐκχεθεῖσα[n] προξενεῖ, (θυμοῦ γὰρ πλῆρες Θεοῦ τὸ ἐκχυθὲν[o] ποτήριον,) ἐπὶ τὴν βασιλείαν τοῦ θηρίου. θρόνον γὰρ τὴν βασιλείαν φησί. ὡς τὸ τοῦ "ὁ θρόνος σου ὁ Θεὸς," ἀντὶ τοῦ ἡ βασιλεία σου αἰώνιος. θηρίον δὲ τὸν Ἀντίχριστον. ἐσκοτισμένην[p] δὲ τὴν βασιλείαν αὐτοῦ φησιν[q], ἣν ἡ τῆς φιάλης ἔκχυσις ἐποίησε, τῇ ὑπερβολῇ τῆς ὀδύνης. [r]ἐπεὶ καὶ πέφυκε τοῦτο συμβαίνειν τοῖς ἄγαν θλιβομένοις, ὡς ἐν σκότῳ δοκεῖν διάγειν· διὸ καὶ ὡς ἔκφρονές τινες τῶν ἑαυτῶν μελῶν τοῖς ὀδοῦσι σίνεσθαι, βραχιόνων, ἢ δακτύλων, ἢ καὶ γλωσσῶν ὡς νῦν· γλωσσῶν δὲ νῦν ὡς ὑ * * γουσῶν βλασφημίας. αἱ βλασφημίαι δὲ οὐ τὴν ἔκχυσιν αἰτιάσονται. οὐ γὰρ ἵνα βλασφημῶσιν ἡ ἔκχυσις, ἀλλ' ἵνα τιμωρηθέντες ἀξίως τῶν ἑαυτῶν ἀσελγειῶν πρὸς ἐπιστροφὴν ἀποκλίνωσιν. οἱ τοὐναντίον ἐπιμανέστερον ἐξεβακχεύθησαν, μάλιστα ὅτι τὴν κατὰ τῇ ἀναμφιβόλως ἐγνω * * * τοῦ ὑπ' αὐτῶν θεοποιηθέντος Ἀντιχρίστου. ὅτι πρὸς ἐπιστροφὴν οὐ πρὸς τιμωρίαν ἡ τῶν μαστίγων αὐτοῖς τῶν τοιούτων ἐπιφορὰ, τὰ ἑξῆς τοῦ προκειμένου παραστήσει. δύναιο δ' ἂν καὶ βασιλείαν νοῆσαι, τοὺς ὑπὲρ τὴν βασιλείαν τοῦ Ἀντιχρίστου τεταγμένους[s].

[k] Schol. Cod. B. ita inc. τὰ μὲν γὰρ ἐν τοῖς συμποσίοις. [l] αὐτῷ τε B. [m] Edd. male παρὰ σοῦ. [n] ἐκτεθεῖσα B. [o] ἐκ θεοῦ Edd. [p] ἐσκοτωμένην B. [q] φησιν om. B. [r] Quæ seq. usque ad παραστήσει om. Edd. [s] Hoc om. B.

Ἔνθεν δῆλον ὡς πρὸς μετάνοιαν, οὐ πρὸς τιμωρίαν ἡ τῶν ἀλγεινῶν ἔνεξις.

ΚΕΦ. ΝΑ.

Ὅπως διὰ τῆς ἕκτης, ἡ ὁδὸς διὰ τοῦ Εὐφράτου τοῖς ἀπὸ ἀνατολῶν ἡλίου βασιλεῦσιν ἀνοίγεται.

12 Καὶ ὁ ἕκτος Ἄγγελος ἐξέχεεν αὐτοῦ τὴν φιάλην ἐπὶ
τὸν ποταμὸν τὸν μέγαν Εὐφράτην, καὶ ἐξηράνθη τὸ
ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν
13 ἀπὸ ἀνατολῆς ἡλίου. καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ
δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ
στόματος τοῦ ψευδοπροφήτου, πνεύματα ἀκάθαρτα τρία
14 ὡς βατράχους. εἰσὶ γὰρ πνεύματα δαιμονίων ποιοῦντα
σημεῖα.

Ὀλιγωθῆναι φησὶ τὸν Εὐφράτην ποταμὸν[t], πρὸς πάροδον τῶν βασιλέων τῆς γῆς, εἰς τὸν κατάλληλον[u] πόλεμον. "ἐγερθήσεται "γάρ," φησιν ὁ Κύριος ἐν Εὐαγγελίοις[x] "ἔθνος ἐπὶ ἔθνος, καὶ βα"σιλεία ἐπὶ βασιλείαν." τούτους δὲ ἐκ τῶν Σκυθικῶν μερῶν εἶναι τοῦ Γὼγ καὶ Μαγὼγ εἰκὸς, κατὰ τὸ μικρὸν κατόπιν ἐν ταύτῃ τῇ Ἀποκαλύψει φερόμενον. οὐκ ἀπογνωστέον δὲ καὶ τὸν Ἀντίχριστον ἐκ τῶν Ἀνατολικῶν μερῶν τῆς Περσίδος ὁρμᾶσθαι, ἔνθα ἡ φυλὴ τοῦ Δὰν ἐκ ῥίζης Ἑβραίων, ἅμα καὶ ἑτέροις βασιλεῦσιν ἢ μεγιστᾶσιν· ἐπεὶ καὶ κατὰ τούτων τὸ βασιλικὸν ἔσθ' ὅτε τάττεται ὄνομα, ὡς ἐν τῷ[y], "παρέστησαν οἱ βασιλεῖς τῆς γῆς," οὐκ ὄντος[z] μέν τοι βασιλέως τοῦ Πιλάτου. περαιοῦσθαι δὲ τὸν Εὐφράτην, ἢ ψυχικὸν ἢ σωματικὸν ἐπάξοντας θάνατον φησί· ψυχικὸν, διὰ τὸ ἐνεργείᾳ δαιμόνων καὶ παραχωρήσει Θεοῦ, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ Θεοῦ εἰς δοκίμιον τῶν ἑαυτοῦ θεραπόντων, οὐχ ὡς ἀγνοοῦντος, ἀλλ' εἰς φανέρωσιν τοῖς ἄλλοις[a] τῶν ἑαυτῷ προσανεχόντων, ἢ μὴ, ἐξάγοντος τὰ τοιαῦτα συμβαίνειν[b]. σωματικὸν δὲ τῶν ἐκ γῆς

[t] Εὐφρ. ποτ. ὀλιγ. φη. B. [u] καταλλήλων B. [x] ἐν εὐαγγ. om. B. [y] ὄντως B. [z] οὐκ ὄντ. μέντοι βασ. τ. Πιλ. om. B. [a] τοῖς ἄλλοις om. B. [b] ἐξαγ. τὰ τοιαῦτ. συμβ. om. B.

ζώντων ἀξίων διαλελοιπέναι, ὡς μὴ καὶ αὐτὴν τοῖς μιαροῖς ἔργοις αὐτῶν ἐξαχρειοῦν, ἔργον οὖσαν ἀγαθοῦ ποιητοῦ καὶ χωρίον ἀνεπηρέαστον τοῖς ἐναμίλλως τοῦ πεποιηκότος βιοῦν ἡτοιμασμένοις.

Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἑξῆς. πνεύματα ἀκάθαρτα τρία.

[c]Προσυπακουστέον τὸ, ἐξιόντα, ἵν' ᾖ, εἶδον ἐκ τοῦ στόματος τῶν τριῶν, ἐξιόντα πνεύματα ἀκάθαρτα τρία, ὡς βατράχους. ἐκ τούτων δείκνυται, τὸν μὲν διάβολον, ὡς δράκοντα ἐν τῷ ἰδίῳ προσώπῳ δείκνυσθαι, τὸν Ἀντίχριστον δὲ ὡς θηρίον, τὸν ψευδοπροφήτην δὲ ἕτερον παρὰ τὸν Ἀντίχριστον. καὶ δράκοντα μὲν τὸν διάβολον, [d]παρόσον τὰ θεῖα λόγια τοῦτον ἀρχὴν ἔφασαν πλάσματος Κυρίου ἐγκαταπαίζεσθαι ὑπὸ τῶν Ἀγγέλων αὐτοῦ. τί τούτου δηλοῦν βουλομένου; εἰς τελεωτάτην αἰσχύνην· ὡς μηδὲν τῇ πρωτουργῷ ὑποστάσει ὠφελημένου, ἀλλὰ τῷ δημιουργῷ ἀγαθοδότως παρισχημένῳ αὐτῷ πρὸς ἀφομοίωσιν τοῦ πεποιηκότος, φημὶ δὲ τῷ αὐθαιρέτῳ, οὐχ ὡς ἐχρῆν, εἰ μὴ κακοσχόλως παραχρησαμένῳ ἀφ' οὗ καὶ δράκων ὠνόμασται· ἅτε σχολίοις τοῖς κινήμασι κεχρῆσθαι τοῖς καθ' ὑπόστασιν ἀφορμημένος, ὥσπερ καὶ διάβολος ὡς διαβεβλημένως χρησάμενος πρὸς τὸν Ἀδὰμ τῷ Θεῷ διὰ τὸ κεχρῆσθαι σκολίοις τοῖς κινήμασιν. θηρίον δὲ τὸν Ἀντίχριστον. οὐ γὰρ ἀνθρωπίνως τὴν ἀνθρωπείαν ὑποδὺς[e] πρόεισι φύσιν, θηριωδῶς δέ. τὸν ψευδοπροφήτην δὲ, αὐτὸ τοῦτο ὅπέρ ἐστι, "ψεύδεα," κατὰ τὸν ποιητὴν[f] εἰπεῖν, "εἰδότα ἐτύμοισιν ὁμοία." τούτων ἑκάστου τῶν στομάτων, ἰσάριθμα φησὶν ἀποβλύζεσθαι ἀκάθαρτα πνεύματα βατράχοις ὅμοια, ἀλλ' οὐ βατράχους[g]. πρῶτον, ὡς τῆς τραχείας τούτων βοῆς οὐ πρόστινα εἰς Θεὸν ὕμνον οἵας τε οὔσης παραλαμβάνεσθαι, ἀλλὰ ταραχὰς καὶ θορύβους[h] προσποριζούσης, ὡς ἔθος[i] ἀεὶ τῶν δαιμονίων καὶ τῶν ἁμαρτωλῶν τῷ βορβορώδει βίῳ καὶ διύγρῳ καὶ ἰλυώδει ἐμφιλοχωρούντων, ὥσπερ ἀπ' ἐναντίας τῶν Θεῷ φίλων τῷ σκλήρῳ[k] χαιρόντων καὶ τῷ καρτερικῷ τῆς ψυχῆς, ὕμνοις καὶ ᾠδαῖς[l] καὶ ἐξομολογήσεσι μεγαλύνειν τὸν Θεόν. τῷ

[c] Quæ seq. usque ad βατράχους om. B. [d] Om. Edd. quæ seq. usq. ad τῷ Θεῷ. [e] ἡδὺς Edd. [f] τὸ ποιητικὸν B. [g] βάτραχοι B. [h] θρήνους B. [i] εἶτα καὶ ὡς ἀεὶ B. [k] κλήρῳ Edd. [l] ὕμν. κ, ᾠδ. κ. ἐξομ. μεγαλ. τ. Θεόν om. B.

τριαδικῷ δὲ ἀριθμῷ καὶ οἱ φθορεῖς καὶ τὰ ἀπὸ τῶν στομάτων αὐτῶν ἐξοχετευόμενα δαιμόνια, ἵνα[m] τῷ ἀριθμῷ τούτῳ ἀπατῶσι[n], ὡς[o] τῇ πανυμνήτῳ ἁγίᾳ τριάδι εὐαρεστεῖσθαι.

Ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰκουμένης
ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς ἡμέρας
15 ἐκείνης τῆς μεγάλης τοῦ Θεοῦ τοῦ παντοκράτορος. ἰδοὺ
ἔρχομαι ὡς κλέπτης. μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν
τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι
16 τὴν ἀσχημοσύνην αὐτοῦ. καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν
τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἑρμαγεδών.

Ἐκπορεύεται πρὸς τὸ κατάλληλον[p] συγκροτῆσαι πόλεμον. τὰ δὲ διὰ τῶν δαιμόνων, φησὶν, ἐνεργούμενα σημεῖα, τοῦ εἰς οἶστρον πολεμικὸν ἐμβάλλειν τοὺς βασιλεῖς[q], σκοπὸν ἐμφαίνει τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης, ἥτις οὐκ ἄλλη, εἰ μὴ ἡ δευτέρα τοῦ Κυρίου παρουσία. περὶ ἧς καὶ Ἰωὴλ ὁ προφήτης φησὶ, "πρὶν "ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ." καὶ πῶς οὐ μεγάλη[r], ἡ τὰ ἑκάστῳ πεπραγμένα ἐκπέμπουσα[s] εἰς φῶς; οὐ πρὸς τὴν ἡμέραν δὲ ὁ πόλεμος, (τίς γὰρ πόλεμος ἀνθρώποις πρὸς ἡλιακοῦ δρόμου ἐπιστασίαν;) ἀλλὰ πρὸς τούτους, τὸν πόλεμον ποιεῖσθαι οἳ τῆς ἡμέρας ταύτης τῷ φόβῳ διηνεκῶς συγκροτούμενοι, τῆς τοῦ Θεοῦ μοίρας γεγόνασιν, ἐξ οὗ καὶ ἱμάτια σωτηρίας[t] ἐνεδύσαντο, καὶ χιτῶνα εὐφροσύνης, ἅτινα οὐκ ἄλλο ἢ αἱ θεοπρεπεῖς ἀρεταὶ, τῇ ἐκφανεῖ περιλάμψει, τὸν ἐντὸς[u] κατευφραίνουσαι ἄνθρωπον. διὸ καὶ τὸ "φήμη ἀγαθὴ πιαίνει ὀστᾶ," εἴρηται, οἱονεὶ τῆς κατὰ Θεὸν ζωῆς ἐκστατικὰς δυνάμεις ἀναθάλλειν παρέχει εὐφρόσυνον ἀναψύχουσα τὰ ἐπιμόχθοις καμάτοις τοῖς διὰ Θεὸν ἐκπιεσμένα· ψυχὴν δ᾽ ὅτι καὶ τὴν ζωὴν ἐσθ᾽ ὅτε καλοῦμεν, ἐκεῖνος ἀγνοεῖ, ὃς καὶ τὸ, πάντα ὅσα ἔχει ἄνθρωπος δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ. ἀλλ᾽ ὅτι οὐχὶ τὴν ζωὴν ὑπολαμβ. * *.

[m] ὥς om. B. [n] ἀπατῶσιν B. [o] ὡς om. B. [p] καταλλήλων B. [q] τοὺς βασ. om. B. [r] καὶ γὰρ ὄντως μεγ. B. [s] ἐκπομπεύουσα B. om. εἰς φῶς. [t] σωτηρίου B. [u] ἐκτὸς Edd.

[x]Ἰδοὺ ἔρχομαι ὡς κλέπτης.

Κλέπτην ἠνέσχετο ἑαυτὸν ὀνομασθῆναι, διὰ τὸ ἄδηλον καὶ ἀπροσδόκητον τῆς ἐπελεύσεως τοῦ κρίνειν ἐρχομένου.

Μακάριος ὁ γρηγορῶν, καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ.

Ἐπέμεινε τῇ τροπῇ τοῦ κλέπτου. διὸ καὶ φυλακὴν καὶ ἐγρήγορσιν εἴρηκε γίνεσθαι τῶν ἱματίων, ὅπως μὴ ἀπόλωνται διὰ κενοδοξίας. ἱμάτια γὰρ τὰς ἀρετὰς καλεῖ, ἵνα μὴ τῇ τούτων ἀποβολῇ, γυμνοὶ εὑρεθέντες ἢ καὶ ῥυπῶντες, ἀνάξιοι κριθῶμεν τοῦ θείου γάμου. [y]ἣ τῆς ἀνθρωπίνης εὐτελοῦς εἰδεχθείας ἀπροσόδους ἡμᾶς τῶν θείων ἐπ * * λεων ποιούσης, ἢ καὶ τοῦ ῥυπῶντος τῆς εὐτελοῦς ἡμῶν φύσεως τῆς μετὰ τῶν Ἀγγέλων καὶ τῶν ἰσαγγέλως βεβιωκότων τῆς λαμπροφορίας πόρων ἡμᾶς ἀπελάσει.

Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον.

Τὰ πονηρὰ λέγει πνεύματα ἔν τινι τόπῳ συμφορῆσαι τοὺς τηνικάδε ὑπ᾽ αὐτῶν ἀπατηθέντας. τόπον γὰρ νῦν, τὸν καιρὸν ἀκουστέον. [z]ὥσπερ καὶ ὅταν λέγῃ, "οὐ σαλευθήσεται εἰς τὸν "αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ." τὸν γὰρ οὕτω παρεσκευασμένον, ὡς κατὰ τὸν πάντα τῆς ἐπικαίρου ζωῆς χρόνον τῶν περιγείων ἁπάντων ἀνῳκισμένον, ὡς ἄλλην Ἱερουσαλὴμ κατοικεῖν τὸν κατ᾽ ἐκεῖνο χρόνου καιρόν· ἵν᾽ ὥσπερ ἡ Ἱερουσαλὴμ ὄρεσι περιστοιχίζεται κύκλῳ, οὕτω καὶ αὐτὸς ὑψηλοῖς καὶ οὐρανοβάμοσιν ἐννοίαις περικροτούμενος, ἀδιαλείπτως τὰ ἄνω φρονεῖ· "οὗ," κατὰ Παῦλον εἰπεῖν, "ὁ Χριστός ἐστιν." τῷ καιρῷ τοίνυν τούτῳ οἱ ὑπὸ πονηρῶν πνευμάτων ἀπατηθέντες καταλαμβανόμενοι, τεύξονται διακοπῆς. τοῦτο γὰρ Ἑρμαγεδὼν[a] ἡ Ἑβραϊκὴ λέξις εἰς τὴν Ἑλλάδα[b] διαπορθμευομένη νοεῖν παρέχει. καὶ τίς ἡ διακοπή; ἡ τοῦ θείου διαίρεσις χαρίσματος, ὅπερ ἀνθρώπῳ παντὶ παρὰ πᾶσαν τὴν παροῦσαν ζωὴν ἀναποβλήτως συμπαρεδρεῦον, ἐπίρρωσιν παρέχει ταῖς πρὸς τὰ κρείττω ἡμῶν ἀπονεύσεσιν. ἐπειδὰν δὲ ἡ ἀπὸ τῶν ἐνθένδε μετάβασις ἐπὶ τὰ ὄντως ἀληθῆ καὶ αἰώνια καὶ ἄμοχθα[c]

[x] Hæc om. Edd. usq. ad fin. Sch. [y] Hoc Sch. om. Edd.
[z] Om. Edd. usque ad Χριστός ἐστιν. [a] ὁ Μαγεδὼν ut et in sacro text. Cod. B. [b] εἰς Ἕλληνα B. [c] Om. Edd.

ἐπιστῇ κατὰ τὸν τοῦ θανάτου καιρὸν, ἐν οἷς ἀργὸν τὸ θεῖον χαρίσμα τῶν δι' ἃ δέδοται εὑρεθῇ, διαιρεῖται τὸ ἀπὸ τοῦδε ἀφ' οὗ λαβεῖν ἀξιωθέντος, νωθεία ἐργασίας τὴν ἀφαίρεσιν προεξένησεν, καὶ κατὰ τὴν εὐαγγελικὴν ἀποτομίαν, τὸ μέρος τοῦ καταδίκου μετὰ τῶν ὑποκριτῶν, ἤτουν μετὰ τῶν οὐδὲν ὃ βλέπονται χρηματιζόντων, τίθεται. [d]ἐπεὶ καὶ αὐτὸς ἐν ὄψει τὸ εἶναι οὐκ ἀλήθειαν εὐμοίρησεν, διόπερ ὡς ἀφαιρεθεὶς τοῦ συναντιλήπτορος ἀργὴν τὴν καθ' ᾅδου ζωὴν δυστυχεῖ· ἐξ οὗ καὶ Δαβὶδ φησι, "οὐκ ἔστιν ἐν "τῷ θανάτῳ ὁ μνημονεύων σου. ἐν δὲ τῷ ᾅδῃ τις ἐξομολογήσεταί "σοι;" οὐ μνημονεύων οὗ μηδὲ ζῶν ἔσχε φροντίδα· πῶς δαὶ ὁ * αὐτὸς καὶ ἐξομολογήσεται οὗτος; μὴ μικροῦ, μὴ μεγάλου ἀξιωμένος ἀγαθοῦ, οἷς ἡ δόσις οἶδεν ἐπιβραβεύεσθαι φιλοτίμως.

Ἐξομολόγησις αἴνου διαφέρει, καθὸ ὁ μὲν αἶνος δόξαν εὐχάριστον ἐμφαίνει Θεοῦ, τοῦ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος ἡμᾶς, καὶ πᾶσαν τὴν νοητὴν κτίσιν καὶ αἰσθητήν. ἐξομολόγησις δὲ χαριστηρίους φωνὰς ἀνθ' ὧν δυσχερῶν ἐρρύσθη. ἐν οἷς οὖν ἐν τῷ ᾅδῃ μετὰ τὴν ἀποβίωσιν οὐκ ἔστιν ἐργασίας καιρὸς, εἰκότως ἀργὸς πᾶσα ἡ περὶ τὰ τοιαῦτα πραγματεία.

ΚΕΦ. ΝΒ.

Ὅπως διὰ τῆς ἑβδόμης, χάλαζα καὶ σεισμὸς κατὰ τῶν ἀνθρώπων γίνεται.

17 Καὶ ὁ ἕβδομος Ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ
ἐπὶ τὸν ἀέρα. καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ
18 τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου λέγουσα, γέγονε. καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναὶ καὶ σεισμὸς μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ
19 τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας. καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον.

Ἐπὶ τὸν ἀέρα οὗτος ἐξέχεεν, ὡς πάσης λοιμώδους διαφθορᾶς ἐκ τοῦ ἀέρος ὑφισταμένης, καὶ ἐν τούτῳ[e] ἀστραπῶν σελαγιζομένων

[d] Seqq. om. Edd. usq. ad fin. Cap. [e] περὶ αὐτὸν B.

καὶ βροντῶν ἀπηχουμένων. ἀπὸ τοῦ οὐρανίου[f] δὲ ναοῦ ἡ φωνὴ γέγονε [g]οὗ ἀντίτυπος ὁ ὑπὸ Μωϋσέως ἐν τῷ Σινᾶ ὄρει προστασσόμενος, καθ' ὃ ὄρος καὶ τότε ἀστραπαὶ καὶ βρονταὶ καὶ φωνὴ σάλπιγγος ἠχούσης.

"Μεγάλη·" ὅτι μηδὲ τῷ τυχόντι πραγματεύεται ταῦτα, ἀλλ' εἰς ὁλόκληρον ἔθνος καὶ ἀπαραιτήτοις προστάγμασι· τοῦτο οὖν καὶ νῦν ἡ μεγάλη φωνὴ διατυποῦν βούλεται, ἡ ἀπὸ τοῦ οὐρανίου νάου, τουτέστιν, ἀπὸ τῶν θειοτέρως μυσταγωγουμένων, ὧν οὐκ ἄλλος κατάρχει, ἢ μόνος ὁ ὑπερουσίως ἁπάντων ὑπερκείμενος γενετάρχης Θεός. τοῦτο γὰρ ὁ θρόνος βούλεται παριστᾷν. καὶ τί φησιν ἡ φωνή; "γέγονεν·" ἐξ αὐτῆς γὰρ προσταξέως τὰ θεῖα τὴν συντέλειαν κατευμεγεθεῖ.

Καὶ ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναὶ καὶ σεισμός.

Ἀστραπαὶ καὶ βρονταὶ, ἀπ' οὐρανοῦ. φωναὶ δὲ τῶν ἐπὶ γῆς ἀπὸ τοῦ δέους τῶν καταπληκτικῶν[h] γινομένων. σεισμὸς δὲ, κλόνος τῆς γῆς, ἐπεὶ καὶ τοῦτο ἐν τοῖς σημείοις τοῦ τέλους περιέχεται. ἢ σεισμὸν λέγει, τὴν μεταποίησιν καὶ μεταβολὴν τῶν φθαρτῶν ἐπὶ τὸ ἄφθαρτον, ὃ ἔσται ἀπὸ τῆς δευτέρας Χριστοῦ παρουσίας. τὸ δὲ, οἷος οὐ γέγονεν. οὐδέπω γὰρ τοιαύτη μεταλλαγὴ γέγονε φθαρτοῦ κόσμου ἐπὶ τὸ ἄφθαρτον καὶ διαιωνίζον. [i]τούτου δὲ σεισμοῦ καὶ Ἀγγαῖος μέμνηται ὁ προφήτης, δι' ὧν φησι, "ἔτι ἅπαξ "σείσω οὐ μόνον τὸν οὐρανὸν ἀλλὰ καὶ τὴν γῆν καὶ τὴν θάλασσαν "καὶ τὴν ξηρὰν, καὶ συσσείσω πάντα τὰ ἔθνη." διὸ καὶ ἐπισημαίνεται καὶ αὕτη ἡ Ἀποκάλυψις, ὅτι τοιοῦτος σεισμὸς μέγας οὐκ ἐγένετο ἐπὶ τῆς γῆς μέγας καὶ τηλικοῦτος, οὐκ ἐπὶ τοῦ κατακλυσμοῦ, οὐκ ἐπὶ τῆς Μωϋσέως νομοθεσίας, οὐκ ἐπὶ τῆς Χριστοῦ παρουσίας. ἐθῶν γὰρ μόνον ἐναλλαγὴ ἐπὶ τούτων, ἀλλ' οὐχὶ καὶ οὐσιῶν καὶ ὑποστάσεων ἄμειψις ἀπὸ τοῦ φθαρτοῦ καὶ προσκαίρου ἐπὶ τὸ ἄφθαρτον καὶ διαιωίζον.

Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη.

Περὶ τῆς Ἱερουσαλὴμ εἰρῆσθαι τινὲς ἐξεδέξαντο ταῦτα, οὐχ

[f] φωνὴ δὲ μεγάλη ἀπ. τ. οὐρ. ναοῦ B. [g] Om. Edd. usque ad τουτέστιν. [h] καταπληκτικῶς B. [i] Om. quæ seq. Edd. ad fin. Sch.

οὕτω πλήθει ἀνθρώπων καὶ κτισμάτων μεγαλοπρεπῶν τῷ μεγαλείῳ αὐχούσῃ, ὡς[k] τοῖς Χριστοῦ πάθεσι καὶ τῇ κατὰ Χριστὸν ἐπιδημίᾳ, καὶ τῇ περὶ αὐτὴν τῶν θεοπρεπῶν αὐτοῦ ἔργων πραγματείᾳ. δι' ἃ καὶ ἀντιδιαστέλλεται τῶν λοιπῶν πόλεων, ἃς καὶ ἐθνικὰς τῇ γραφῇ ἔθος[l] καλεῖν. τοῦ γὰρ Ἰσραὴλ χωρὶς, τοὺς ἄλλους ἀνθρώπους ἔθνη εἴωθε[m] προσαγορεύειν. ταύτης δὲ ἡ εἰς τρία μέρη διαίρεσις τὸ τῶν ἐν αὐτῇ κατοικούντων σημαίνειν διάφορον βούλεται, Χριστιανῶν, Ἰουδαίων, Σαμαρειτῶν. ἢ Χριστιανῶν βεβαιοπίστων καὶ τῶν κατεσχηματισμένων φόβῳ τῶν εὐσεβῶν βασιλέων τὴν Χριστιανῶν κλῆσιν ἐπισπωμένων· καὶ Ἰουδαίων τῶν μηδόλως τὴν Χριστώνυμον κλῆσιν ἀνασχομένων, ἀλλ' αὐθαιρέτῳ ὁρμῇ τῇ οἰκείᾳ πλάνῃ παρρησιαζομένων· οὓς ὁποῖος ἕκαστος καὶ τῶν ἀληθῶν καὶ τῶν παρεσχηματισμένων ἤλεγξε μὲν καὶ ἡ κατὰ τοὺς Ἑλληνικοὺς χρόνους Χριστιανοῖς ἐπομβρηθεῖσα ἐπήρεια. ἐλέγξει δὲ τηλαυγέστερον ὁ κατὰ τὸν τοῦ Ἀντιχρίστου τῆς παρουσίας χρόνος, πολὺν χειμῶνα κατὰ Χριστιανῶν ἀναριπίζων. οὐκ ἄκαιρον δὲ καὶ πόλιν μεγάλην τὸν παρόντα κόσμον ὑπολαμβάνειν εἰς τρία μέρη ἀφοριζόμενον· ὃν ἀπὸ τῆς Χριστοῦ παρουσίας εἰς τὸν τῆς Ἑλληνικῆς ἐπικρατείας καιρὸν εἰς τὴν τῆς ὑπὸ Χριστιανῶν βασιλέων ἐξουσίας, καὶ εἰς τὸν ὑπὸ τοῦ Ἀντιχρίστου ἐπιδημίας. πόλεις δὲ τῶν ἐθνῶν αἱ πίπτουσαι, ἤτοι αἱ διάφοροι περὶ τὴν εὐσεβῆ πίστιν ὑπολήψεις τῇ διαφωνίᾳ τὸ εὔπτωτον κληρούμεναι. ἢ καὶ αὐταὶ αἱ πόλεις· τῆς γὰρ γῆς μεταποιουμένης κατὰ τὸν ἀνακαινισμὸν, πῶς οἷόν τε τὰς ἐν αὐτῇ πόλεις ἑστάναι μεμολυσμένας τῇ τῶν ἁμαρτωλῶν οἰκήσει;

Καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ,
δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς
20 αὐτοῦ· καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν.
21 καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ
οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ
ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι
μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

Τί διάφορος αὕτη καὶ ἑτέρα τῆς ἔναγχος εἰρημένης, δῆλον ἀπὸ

k ὅσον B. l τῷ τῆς γραφῆς ἔθει B. m ἔθνη φησι B.

τε τοῦ ὡς ἐπεισόδιον παραβυσθῆναι τῷ λόγῳ. ἢ γὰρ ἂν ὡς ἐχομένως τῷ λόγῳ οὕτως προήχθη, καὶ ἡ αὐτὴ Βαβυλών· ἀλλ' οὕτως. ὡς δὲ περὶ ἑτέρας καὶ ἐπιλελησμένης τῷ "ἐμνήσθη" ἐχρήσατο· τῆς γὰρ μνήμης χρεία τῆς ὑπὸ γλῶσσαν ἐπικειμένης καὶ τῇ ἀπηχήσει ἐνστρεφομένης. Οὐκ ἀεὶ μνήμην ἐπ' ἀγαθοῖς, ὡς ἐπὶ τοῦ "ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ" ἀλλὰ καὶ ἐπὶ κακοῖς· ὡς ἐπὶ τοῦ "μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδώμ." καθὸ καὶ ἡ νῦν σημαινόμενον εἴληπται ἡ μνήμη.

Βαβυλῶνα, αὐτὴν[n] Ῥώμην λέγει τὴν παλαιὰν διὰ τὸ ἐν αὐτῇ κατὰ τοὺς Ἑλληνικοὺς χρόνους πολλοὺς τῶν ἁγίων μαρτύρων παθεῖν τὰ ἀνήκεστα, οὐ τὸν ἅπαντα κόσμον, κἂν ἔχῃ τινὰ ἀποδοχὴν οὗτος ὁ λόγος. εἰρῆσθαι γὰρ αὐτὸν Βαβυλῶνα καὶ μεγάλην ἅτε ἐκ τῶν τοῦ βίου[o] περισπασμῶν εἰκαίων τὸ μεγαλεῖον ἐσχηκότα. εἰ γὰρ ὁ κόσμος διὰ τῆς Βαβυλῶνος ὑπεσημάνθη, τίς ἡ διαστολὴ τῶν νήσων ἀπὸ τοῦ κόσμου, μέρος οὐσῶν τοῦ κόσμου καὶ αὐτῶν; λείπεται οὖν ἑτέραν[p] ὑπονοεῖν Βαβυλῶνα εἰκότι λόγῳ. καὶ τίς αὕτη; οὐκ ἄλλη, ἢ ἡ Κωνσταντίνου, ἐν ᾗ πάλαι μὲν δικαιοσύνη ἐκοσμήθη[q], νῦν δὲ ἐν αὐτῇ[r] φονευταὶ, ἐκ παραλλήλου ἁμίλλης, τῶν πολιτικῶν τοῖς ἐκκλησιαστικοῖς ἐξισωθῆναι σπευδόντων[s], μᾶλλον δὲ οὐκ ἰσωθῆναι, εἰ μήτις ἐξ αὐτῶν ἄρῃ τὸ ἀριστεῖον εἰς μείζονα[t] θείου θυμοῦ ἄναψιν. διὸ καὶ ἡ ἀπαθὴς φύσις παθαίνεσθαι ὑπωπτεύθη, ὡς καὶ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τῇ Βαβυλῶνι δοθῆναι. τίνες δὲ καὶ αἱ νῆσοι, τοῦ θείου τῶν λόγων ἀκούειν ἐστὶ, τὰς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας ἄρτι καθισταμένας καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακύπτουσας πῆξιν, φάσκοντος, λαμβανούσας. καὶ τίς ἡ φυγή; οὐκ ἄλλη εἰ μὴ ἡ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν καὶ ψυγῆναι τὴν ἀγάπην γενομένη. ἥτις ἀγάπη διὰ Θεὸν συνδήσασα τοὺς πιστοὺς, καὶ τῆς τῶν ἀπίστων ἀφελκύσασα συναυλίας, τῆς ἀγάπης ἐπινήχεσθαι παρέσχε θαλάσσῃ. ἧς ἐκλελοιπυίας, ἀνάγκη καὶ τὰς νήσους τοῦ εἶναι νήσους ἀποδιδράσκειν, ὑπὸ τῆς ἁλμυρᾶς ἀπιστίας τὸ ὑποβρύχιοι γενέσθαι δυστυχήσασαι. αἷς καὶ τὰ ὄρη τῶν ἐν αὐταῖς ἀπὸ τῶν περιγείων

[n] οὐ τὴν Edd. [o] τῶν τ. βίου om. B. [p] ἑτέρῳ Edd. [q] ἐκοιμήθη B. [r] ἐν αὐτῇ om. B. [s] κατασπευδόντων B. [t] μείζονος B.

μετεωρισθέντα φρονημάτων[u] ἀνθρωπίνων συνηφανίσθησαν τῇ τῶν συνοίκων παραζηλώσει, τῶν τὸ χαμερπὲς δυστυχούντων, καὶ τὸ ὑψηλὸν καὶ οὐράνιον φρόνημα ἀπολωλεκότων.

Καὶ χάλαζα μεγάλη καταβαίνει ἐκ τοῦ οὐρανοῦ.

*Τὴν χάλαζαν οὐρανόθεν κατερράχθαί[x] φησιν ὡς θεήλατον ὀργήν. τὸ δὲ ταλαντιαῖον, τὸ τέλειον, διὰ τὴν ἐν ταῖς ἁμαρτίαις ἀκρότητα, ᾗ[y] ἐνάμιλλον καὶ ἡ τιμωρία πρὸς ἐπιστροφὴν ἐκκαλουμένη. [z]Οἱ δὲ σκληροκαρδιώτεροι καὶ τοῦ φ * * ω ἀπηλέγχθησαν· * περ ἐκεῖνος ποσῶς πληγαῖς μαλασσό[μενος] τὴν οἰκείαν ὡμο[λό]γει ἀσθένειαν καὶ ἀ[σέ]βειαν· οἱ δὲ καὶ ἐν τῷ [μαστ]ιγοῦσθαι ἐβλασ[φήμη]σαν. Τὰ χρονικὰ δὲ κἀνταῦθα διασημαινόμενα ἐκ παρῳχημένου διαστήματος ἐπὶ ἐνεστῶτα μετεγγιζόμενα. ἀπὸ γὰρ τοῦ οὐχ εὑρέθησαν ἐπὶ τὸ καταβαίνει ἀπέκλινεν· ἐκεῖνο βουλομένου παριστᾶν, ὡς τούτου συμβαίνοντος, ἀνάγκη τοῦτο ἐπακολουθῆσαι· οἱ δὲ καὶ τῇ φοβερᾷ ταύτῃ καὶ πρὸς ἐπιστροφὴν κακώσει ἀναντιρρήτως βλασφημήσουσι. τοῦτο γὰρ ἡ τοῦ παρῳχημένου ἔννοια παριστᾷ· τὸ πάντως ἐσόμενον ὡς γεγενημένον προφέρουσα.*

ΚΕΦ. ΝΓ.

Περὶ τοῦ ἑνὸς τῶν ἑπτὰ Ἀγγέλων δεικνύντος τῷ εὐαγγελιστῇ τὴν τῆς πόρνης πόλεως καθαίρεσιν· καὶ περὶ τῶν ἑπτὰ κεφαλῶν, καὶ τῶν δέκα κεράτων.

1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ Ἀγγέλων τῶν ἐχόντων τὰς
ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ λέγων, δεῦρο δείξω
σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης
2 ἐπὶ τῶν ὑδάτων πολλῶν, μεθ᾽ ἧς ἐπόρνευσαν οἱ βασι-
λεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν
3 ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. καὶ ἀπήνεγκέ με εἰς
ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ
θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κε-
φαλὰς ἑπτὰ, καὶ κέρατα δέκα.

[u] *μετεωρισθέντων φροντισμάτων* B. [x] *κατέρχεσθαι* B. [y] *ἧς* B.
[z] Hinc om. Edd. ad fin. Sch.

Ἐπειδὴ ἐδεῖτο τῶν οἱ * * μένων αὐτῷ σύνεσιν, εὑρίσκει οὐκ ἄλλον ἢ τῶν ὑπουργούντων ἕνα τοῖς φρικτοῖς θεάμασιν, φησὶν αὐτῷ, "δεῦρο δείξω σοι·" τὸ δεῦρο τῆς Ἑλληνικῆς τεχνολογίας ἐπὶ τῆς χρονικῆς ἡμᾶς ἐξακριβούσης τῶν κατὰ παρακέλευσιν εἰσαγομένων ὑπάρχειν μόριον· ἐνταῦθα κλήσεως εἴληπται χρείαν ἐπέχειν· ἐπείτοι, ὡς ἔφθημεν εἰρηκότες, ἐπ' ἐλάχιστον μέλον τῆς τοιαύτης ἀκριβείας τοῖς τὸ πᾶν σπούδασμα τῆς ψυχικῆς σωτηρίας ποιουμένοις· καθὸ καὶ νῦν ἡ τοῦ λόγου πρόεισι δ[ιήγη]σις.

Κρίμα τὴν διαγωγὴν, τὴν διεξαγωγὴν καὶ τὴν διοίκησιν καλεῖ. πόρνην δὲ οὐχ οὕτω τὴν παλαιὰν Ῥώμην ἐπιτευκτικῶς χρὴ ἀκούειν, ὡς τὸν παρόντα κόσμον, ὃς καὶ αἵμασιν ἀμυθήτοις καὶ βασιλεῦσι πλείοσι Ῥώμης ἐνευθηνεῖται, ὡς ἐξ ἀρχῆς κεκρικόσι[a] πορνικῶς διακεῖσθαι, πορνείας οὐ τῆς αἰσχρᾶς συμπλοκῆς τῶν σωμάτων μόνης νοουμένης, ἀλλὰ καὶ πάσης ἀπὸ Θεοῦ[b] ἐκκλίσεως. [c]καθὰ καὶ εἴρηται τὸ "ἐξωλοθρεύσας πάντα τὸν πορνεύοντα "ἀπὸ σοῦ," καὶ τὸ "ἐπόρνευσαν τοῖς ἐπιτηδεύμασιν αὐτῶν." ὅτι δὲ ἐξ ἀρχῆς οὗτος ὁ κόσμος πρόεισι, τίς ἀμφιβάλλει, ἐξ οὗ καὶ μεγάλη πόρνη ὡς ἐπὶ μεγάλοις ἀτοπήμασιν ἐνστρεφομένη εἴρηται· καὶ ἐπὶ τῶν ὑδάτων καθημένη, καὶ τοῦτο καὶ ἀπ' αὐτοῦ τοῦ πράγματος ὁρᾶται· διὸ καὶ τὸ ψαλμικόν φησι λόγιον, "αὐτὸς ἐπὶ "θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν." τοῦ "ἡτοίμασεν" ἀντὶ τοῦ ἕδρασεν νοουμένου· ἐπεὶ γὰρ τῇ ὑγρᾷ οὐσίᾳ οὐχ οἷόν τε καθ' ἑαυτὴν διαμένειν, μήτινος αὐτὴν κάτωθεν ὑπολαμβάνοντος καὶ ἀνέχοντος· τοῦτο παραστῆσαι βουλόμενος ὁ λόγος ἐπὶ θαλασσῶν φησι τεθεμελιῶσθαι τὴν γῆν· περὶ ἣν τὸ ἐνδιαίτημα τῷ φθαρτῷ τούτῳ βίῳ· ἅτε γὰρ θησαυρὸς οὖσα τῆς ὑγρᾶς οὐσίας, καὶ πᾶσαν τὴν ὑποστάθμην αὐτῆς ὑποδεχομένη, καὶ ἐξαυτῆς δίδωσιν ἔχειν τὸ εἶναι. τούτου δὲ ἔχοντος οὕτως, εἰκότως ἐπ' αὐτὴν ἡδρᾶσθαι τὸ λόγιον φησι καὶ τεθεμελιῶσθαι, ὡς τοῦ θεμελίου τὸ εἶναι παρέχοντος, ὅπερ ἀπὸ τῶν ὑδάτων αὐτὴ χορηγεῖται, αν * κτίσις τις τοῦ θησαυρίσματος τὸ ἀπὸ τῆς ὑποστάθμης τῆς ὑγρᾶς οὐσίας τρόπον τινὰ τὸ εἶναι λαμβανούσης. καὶ ὅτι τοῦτο οὕτως, ἀκούειν ἐστὶ καὶ Μωϋσέως ἐν τῇ κοσμοποιΐᾳ

[a] κεκρικῶς B. κεκρικότα Edd. [b] κρειττόνων ἀποστασίας B. [c] Quæ seq. usque ad βίος μεστός solus habet Cod. B.

εἰσάγοντος τὸν Θεὸν λέγοντα, "συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά." οἱονεὶ γὰρ διηθήσεως τοῦ παχυτέρου τῶν ὑδάτων γενομένης καὶ πρὸς μίαν ὑπόστασιν χωρησάσης, αὐτῶν τε τῶν ὑδάτων γίνεται θησαυρὸς ἡ ξηρά· καὶ ὅτι ἐκ τῆς τούτων ὑποστάθμης τὸ εἶναι αὐτ. * * * * * * * καὶ κατὰ μὲν τὸν φυσικὸν λόγον οὕτως τὸ ἐπὶ ὑδάτων καθῆσθαι τὴν πόρνην· κατὰ δὲ τὸν θεωρητικόν τε καὶ τροπικὸν, ὃν καὶ μᾶλλον παραδεκτέον ἐνταῦθα· ὕδατα τὴν ὑγρὰν ἀκουστέον καὶ οὐδὲν σταθερὸν ἔχουσαν βιοτῆς, ἀλλὰ ταῖς ἀκαθάρτοις παλιρροίας διηνεκῶς δονουμένην, ὧν ὁ παρὼν βίος μεστός.

Ἕτεροι δέ τινες τῶν τὴν προσκειμένην Ἀποκάλυψιν ἐπισκεψαμένων[d], πόρνην τὴν παλαιὰν ὑπειλήφασιν Ῥώμην, ἢ τὴν καθ' ὅλου βασιλείαν μέχρι τῆς δευτέρας παρατείνουσαν τοῦ Κυρίου παρουσίας. ὕδατα δὲ τὰ ἔθνη, ὧν ἄρχει τε καὶ ἄρξει, ἐπ' αὐτῶν τοῦ ἱδρύσθαι τὸ κράτος ἔχουσα. ἀλλ' εἰ καὶ διά τε τὸ παλαιὸν αὐτῆς κράτος ἀποβαλεῖν δυσχερὲς τοῦτο ὑπονοεῖν· οὐδὲν ἐμποδῶν ἐκ τούτου πολλῶν καὶ ἄλλων πόλεων εἰς τὸ ἀρχαῖον ἀξίωμα ἀναστρεψασῶν. ὅτι δὲ τὰ ὕδατα εἰς ἔθνη ἡ θεῖα γραφὴ οἶδεν ὑποβάλλειν[e], ἄκουσον τοῦ θεοπάτορος, τὸ, "ἀπὸ φωνῶν ὑδάτων πολλῶν," εἰς ἔθνος[f] ἐκλαμβάνοντος. [g]ἐπεὶ γὰρ βασιλεῦσαι τὸν Κύριον φάσκει εὐπρέπειαν ἐνδεδυμένον· ὅτι μηδὲ τῷ περιόντι τῆς ἐξουσίας τυραννικῶς οἶδεν χρῆσθαι, ἀλλὰ βασιλικῶς ἐπ' εὐεργεσίᾳ, διὸ καὶ περιεζῶσθαί φησιν αὐτὸν, τουτέστι τὸ στεκτὸν τῆς δυνάμεως αὐτοῦ κάθοσον οἷόν τε φέρειν θνητὴν νόησιν περιστείλαντα. ἀφ' οὗ καὶ στερεωθῆναι τὴν οἰκουμένην περιγέγονε· "τίς γὰρ ἱκανὸς τὸ κράτος ὑποδῦναι τῆς ὀργῆς αὐτοῦ;" Ἡ μὲν τοῦ Κυρίου βασιλεία τοιαύτη. τί δὲ ἡ τῶν "πολλῶν;" ὑπερεπηρμένων· διό φησιν, "ἐπῆραν ποταμοὶ φωνὰς," ποταμοὺς τοὺς καταρξάντας φάσκων, ὥσπερ Ἡσαΐας τὸν Ἀσσύριον ποταμὸν ὀνομάζει, ὁπηνίκα τὸν ποταμὸν λέγει τὸν μέγαν ἀνάγειν κατὰ τῆς Ἱερουσαλήμ. φωνὰς δὲ τὰς ὑπερηφάνους αὐτῶν καυχήσεις * τρίψεις δὲ τὰς συμ * * ρὰς τὰς λεηλασίας ἐπενέγκαιεν ἡ μεθ' ὑπερηφανίας τῶν πολλῶν ὑδάτων ἤτοι ἐθνῶν ἐπιδρομή.

[d] Ῥώμην τινες τῶν τὴν προκ. ἀποκαλ. ἐπισκεψ. B. [e] ἔθνη λογιστέον Edd. [f] ἔθνη B. [g] Hinc usque ad fin. Sch. om. Edd.

Μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς.

Οἱ βασιλεῖς τῆς γῆς οὗτοί εἰσιν οἱ γηΐνοις φρονήμασι πρὸς τὸ συρφετὸν τοῦ παρόντος βίου κατακυλισθέντες. οἱ δ' αὐτοὶ καὶ ἐμεθύσθησαν, τῷ μὴ ἐκ μικρᾶς καὶ τῆς τυχούσης χρήσεως, ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος[h], ἐμφορηθῆναι τῆς ἀσεβείας. τὸ μὲν ἀπ' αὐτῆς κατασπευσάσης, τὸ δὲ καὶ αὐτοὶ τῇ τοῦ βίου ἡδυπαθείᾳ ἐκτραχηλισθέντες.

Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι.

Τὴν ἐσομένην ἐν τοῖς πνευματικοῖς ἐρήμωσιν ἡ θεωρία αἰνίττεται, ἣν ὡς γυναῖκα[i] ἰδεῖν φησι διατεθηλυμένην καὶ ὡς πόρνην καὶ ἄνανδρον, μηδὲν ἔχουσαν σωφροσύνης γνώρισμα, ἀλλ' ἔρημον παντὸς ἀγαθοῦ. τὸ δὲ ἐν πνεύματι ἀπενεχθῆναι, τί ἂν ἄλλο σημαίνοιεν, ἢ τὸ μὴ πραγματικῶς κατ' ἐνέργειαν ταῦτα ὁρᾷν, ἀλλὰ θεωρητικῶς ἠξιῶσθαι; ἀφ' οὗ καὶ ἄλλης γυναικὸς ἴνδαλμα χρηματισθῆναι ἐπὶ θηρίον κόκκινον καθημένην, γυναῖκα τὸν καιρὸν καθ' ὃν ταῦτα διεξάγεται παριστῶν, καθ' ὃν τῷ διαβόλῳ τῷ φονίῳ καὶ αἱμοχαρεῖ, (τοῦτο γὰρ τὸ κόκκινον χρῶμα δηλοῦν βούλεται) ὁ διὰ πονηρῶν πράξεων ἐνεργούμενος[k] ἐπαναπαύεται, τῆς καθέδρας τοῦτο νοεῖν ὑποβαλλομένης. δι' ὧν ἐνεργῶν ἀποστάτης ἐν ταῖς κατὰ Θεοῦ βλασφημίαις τὸ κράτος ἀποφέρεται. ὀνόματα δὲ βλασφημίας, τὸ τῷ Θεῷ πρέπον σέβας, τῷ διαβόλῳ ἀνατιθέναι[l] παριστᾷ. οὓς διάβολος διὰ τῶν υἱῶν τῆς ἀπειθείας ἑαυτῷ προσπορίζει.

4 Καὶ ἡ γυνὴ ἦν περιβεβλημένη προφύραν καὶ κόκκι-
νον, κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρί-
ταις, ἔχουσα ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς γέμον
βδελυγμάτων, καὶ τῶν ἀκαθάρτων τῆς πορνείας τῆς γῆς·
5 καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον, Μυστή-
ριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνειῶν καὶ
6 τῶν βδελυγμάτων τῆς γῆς. καὶ εἶδον τὴν γυναῖκα
μεθύουσαν τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος

[h] περιόντος om. B. [i] πόρνην γυναῖκα B. [k] ἐνεργούμενος om. B.
[l] ἐπανατιθέναι B.

τῶν μαρτύρων Ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα
7 *μέγα. καὶ εἶπέ μοι ὁ Ἄγγελος, διὰ τί ἐθαύμασας;*

Πορφύραν, διὰ τὸ κατ' ἐξουσίαν ὡς ὑπὸ βασιλίδι πάντα τολμᾶσθαι. κόκκινον, διὰ τὸ πολλῶν ἁγίων αἵματα ἐκχεῖσθαι. κεχρυσωμένην δὲ, καὶ χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ὅτι, ὡς βασιλίδα ὁ λόγος ταύτην κοσμεῖ κόσμῳ βασιλείῳ. μεταξὺ γὰρ τῶν ἀπηνῶν καὶ ἐνεξουσιαζομένων ἐστὶν ἐνορᾷν τοῖς ἐπηρεαζομένοις ὡς[m] χρυσίον μὲν ἀκίβδηλον ἐπανθοῦσαν τὴν κατὰ Χριστὸν πίστιν. ὡς λίθον δὲ τιμαλφῆ τῇ διαφανείᾳ τὸ στερρὸν ἑαυτοῦ[n] ἐκπομπεύοντα τοῖς ἀγνοοῦσιν. ὡς μαργαρίτας δὲ, τῷ ἐκ τῆς πολυκύμονος τοῦ βίου[o] τῶν πειρασμῶν θαλάσσης ἀναδῦναι, καὶ τῷ βασιλείῳ Χριστοῦ διαστήματι ἐναρμοσθῆναι. τὸ δὲ "χρυσοῦν ποτήριον," χρυσοῦν μὲν διὰ τὸ τὸν καιρὸν ὡς βασιλείῳ κρατεῖσθαι[p] δυνάμει. ἐν τῇ χειρὶ δὲ, διὰ τὸ ἐνεργὸν τῶν ὑποτιθεμένων. ποτήριον δὲ, [q]ὥς φησι περὶ τοῦ Ἰὼβ "πίνων μυκτηρισμὸν ἶσα ποτῷ·" ἴσως[r] εἰς ἔνδειξιν, ὅτι οὐ κατὰ κόρον, ἀλλ' ἐν δίψῃ[s] τῆς ἑαυτῶν ἀπωλείας τὴν κακίαν μετέρχονται. ὡς Δαβίδ φησι, "ἔδραμον ἐν δίψει." διὸ τὰ βδελύγματα ἑαυτῆς, τουτέστι, τὰ βδελυκτὰ τῷ Θεῷ ἐπιτηδεύματα ἐπλήθυναν, οἷς ἡ φιλαμαρτήμων πληθὺς ποτίζεται, ὡς ἡδὺ πόμα[t] σπῶσα τὴν βδελυκτὴν τῆς ἁμαρτίας μέθην καὶ τῆς ἐκ Θεοῦ πορνείας τὴν βεβήλωσιν.

Καὶ τῶν ἀκαθάρτων τῆς γῆς.

Πορνεία γῆς, οἱ τοῖς γηΐνοις προστετηκότες. οὐ γὰρ πορνεύειν ἔδωκεν ἡ φύσις γῇ τῷ ἀψύχῳ καὶ ἀναισθήτῳ δημιουργήματι. τὸ δὲ ἐπὶ τὸ μέτωπον γεγράφθαι ὄνομα, τὸ ἀπηρυθριασμένως δηλοῖ πράττειν[u] τὰ ἀπαίσια. [x]διὸ καὶ ὡς μυστηρίου ἐκπομπὴν γίνεσθαι διὰ τὴν σύγχυσιν τῶν πραγμάτων τοῖς θεωρητικωτέροις ὡς Βαβυλῶνα δεῖ καλεῖσθαι, εἴτε τὸν καιρὸν καθὸν ταῦτα τελεῖται, ἢ καὶ αὐτὴν τὴν Ῥωμὴν τὴν παλαιὰν, ὡς καὶ Πέτρῳ τῷ θείῳ Ἀποστόλῳ δοκεῖ· καθ' ἣν καὶ αἵματα πολλὰ μαρτύρων Χριστοῦ ἐχέθη· ἢ καὶ τὴν νέαν· ἐπεὶ καὶ ἐν αὐτῇ τῇ νέᾳ ἐν τοῖς καιροῖς τῶν

[m] τοῖς μὲν ὡς χρ. B. [n] ἑαυτῶν ἐκπομπεύοντας B. [o] τοῦδε B. mox πειρασμῶν τοῦ βίου. [p] κατακρατεῖσθαι B. [q] Hanc citat om. Edd. [r] ἴσως om. B. [s] δίψει B. [t] πῶμα B. [u] πράττειν om. B.
[x] Hinc usque ad τ. ὀρθοδοξ. ἐχέθη om. Edd.

Ἀρειανῶν πολλὰ αἵματα τῶν ὀρθοδόξων ἐχέθη. μητέρα δὲ τῶν πορνῶν καλῶν, διότι ὡς τὸ κράτος ἀναδεδεγμένην τῶν ἄλλων πόλεων, ἣν ἂν βούλῃ[y] πάλιν, εἴτε τὴν παλαιὰν Ῥώμην[z], εἴτε τὴν νέαν, εἴτε τὸν καιρὸν τῆς ἐπιδημίας τοῦ Ἀντιχρίστου, οὐκ ἂν ἁμάρτῃς[a] τοῦ ἀληθοῦς· [b]ἐν πάσαις γὰρ αἵματα μαρτύρων ἐρύη, ὡς παρεθέμην, καὶ δῆγε ἐν ταῖς ὑπ' αὐτὰς τεκνωθείσαις· ὡς καὶ ἐπ' αὐταῖς τὸ προφητικὸν ἐναρμόττειν τὸ "ὡς μητὴρ καὶ θυγάτηρ," ὡς γὰρ τῇ μητρὶ τὰ ἐπιτηδεύματα, οὕτως καὶ τὰ ἐξ αὐτῆς.

Τὴν γυναῖκα, ἣν ἂν καὶ βούλῃ ὡς προτεθεώρηται, εἴτε τὴν παλαιὰν Ῥώμην, εἴτε τὴν νέαν, εἴτε τὴν ὡς ἑνὶ σώματι [σαρ]κικῶς ἐκληφθεῖσαν βασιλείαν· ἐν ἑκάστῃ γὰρ τούτων οὐ μόνον κορέσθη τοῖς αἵμασι τῶν ἁγίων, ἀλλ' ὡς ἐκμ** καὶ ἀποβλύσαι αὐτῇ π[ερι]γέγονε· καὶ πρὶν μὲν ἀπὸ Ἄβελ μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ, δαψιλέστερον δὲ ἀπὸ τῆς παρουσίας Χριστοῦ· ἥτις ἀρχὴ ἑστήσατο τὴν τῶν νηπίων μιαιφονίαν. διόπερ καὶ διεσταλμένως ἐξήγγειλε τοῦ αἵματος τῶν ἁγίων καὶ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ· ἃ καὶ τὴν μέθην ἐνειργάσαντο τῷ ὡς κατεπ**σιν ῥυῆναι, Διοκλητιανοῦ μάλιστα καὶ τῶν ὁμοτρόπων αὐτῷ μιαιφονούντων.

Καὶ ἐθαύμασα ἰδών.

Εἰκὸς ἦν[c] ἀγαθὸν ἄνδρα καὶ χρηστὸν καὶ πραΰτητι οὐδ' ὅσῃ εἰπεῖν συγκροτούμενον, ἀγριότητα ὁρῶντα θηριωδῶν ἀνθρώπων, μὴ ὑπερβαλλούσῃ ἐκπλήξει κατάσχετον[d] γενέσθαι. τοῦτο γὰρ τὸ μέγα θαῦμα ἐμφαίνει. ὅτι δὲ ἁπλοϊκὸς τὸ ἦθος ὁ μακάριος οὗτος Ἰωάννης ὁ θεολόγος, ἡ περὶ αὐτοῦ ἱστορία διδάσκει.

Τοιαύτῃ ἐκπλήξει ἐλήφθη, ὡς καὶ αὐτὸς μὲν μὴ οἷός τε [γεν]έσθαι τὸ συμβὰν αὐτῷ ἐξαγγεῖλαι, ἀλλὰ τὸν ταῦτα παραδεικνύντα.

[y] καὶ βούλει om. πάλιν B. [z] Ῥώμην νοεῖν B. [a] ἁμάρτοις B.
[b] Quæ seq. usque ad μιαιφονούντων om. Edd. [c] ἐπεὶ καὶ εἰκὸς B.
[d] κατασχ. ἐκπληξ. B.

ΚΕΦ. ΝΔ.

Ὅπως ὁ Ἄγγελος τὸ ὁραθὲν αὐτῷ μυστήριον ἡρμήνευσεν.

Ἐγὼ ἐρῶ σοι τὸ μυστήριον τῆς γυναικὸς, καὶ τοῦ
θηρίου τοῦ βαστάζοντος αὐτὴν, τοῦ ἔχοντος τὰς ἑπτὰ
8 κεφαλὰς καὶ τὰ δέκα κέρατα. τὸ θηρίον ὃ εἶδες ἦν καὶ
οὐκ ἔστιν, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ
εἰς ἀπώλειαν ὑπάγει. καὶ θαυμάσονται οἱ κατοικοῦντες
ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ
βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλέποντες
9 ὅτι ἦν τὸ θηρίον καὶ οὐκ ἔστι, καὶ παρέσται. ὧδε ὁ
νοῦς ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ ἑπτὰ ὄρη εἰσὶν,
10 ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν, καὶ βασιλεῖς εἰσὶν
ἑπτά. οἱ πέντε ἔπεσον, ὁ εἷς ἐστὶν, ὁ ἄλλος οὔπω ἦλθε.
11 καὶ ὅταν ἔλθῃ, ὀλίγον δεῖ αὐτὸν μεῖναι. καὶ τὸ θηρίον
ὃ ἦν καὶ οὐκ ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν
ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει.

"Μυστήριον" ὅτι μυστικῶς δηλοῖ ταῦτα, τὰ ὡς ἐν εἰκόνι γραφόμενά σοι διὰ τῆς Ἀποκαλύψεως. ὡς πίνακι γὰρ προδιαγράφει τὰ μέλλοντα εἰρῆσθαι, σαφήνειαν τῷ λόγῳ περιποιῶν.

Θηρίον ὁ διάβολος, ἤρξατο κατὰ τὰ[e] ὥσπερ ὑπὸ πίνακι προεκτεθειμένα ἐντελῶς διεξιέναι. διό, φησιν, ἦν τὸ θηρίον, οὐ νῦν ὑφιστάμενον. ἀφ' οὗ δῆλον, ὡς ὁ διάβολός ἐστιν. ἀρχὴ γὰρ πλασμάτων[f] τοῦ Κυρίου, κατὰ τὸ εἰρημένον. οὐκ ἔστι δὲ νῦν[g], ὅτι ἀποκτανθεὶς τὰς ἐνεργείας τῇ τοῦ Χριστοῦ ἐπιδημίᾳ. οὐ γὰρ ὡς πρὸ ταύτης ἐνήργει υἱοὺς ἀνθρώπων καὶ θυγατέρας τοῖς ἑαυτοῦ δαίμοσι διὰ θυσιῶν παρασκευάζεσθαι, οὕτως ἤδη ταῦτα καὶ μετὰ τὴν Χριστοῦ παρουσίαν οἷός τε ἐνεργεῖν. διὸ καὶ προκεχρησμῴδηται "τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαίαι εἰς τέλος" ῥομφαίας τὰς ἐνεργείας καλῶν ὡς τιτρωσκούσας ὀλεθρίως τοὺς ἀνθρώπους. [h]ἀνα-

[e] καὶ οὐκ ἔστιν Edd. [f] πλάσματος κατὰ τὸ εἰρημ. B. [g] οὐκ ἔστι δὲ ἀποκτ. B. [h] Quæ seq. om. Edd. usque ad αἰωνίῳ πυρί.

*βαίνει δὲ ἐκ τῆς ἀβύσσου, εἰς ἣν μὴ ἀποπεμφθῆναι μὲν ἡ δέησις τῶν θερ***των αὐτοῦ δαιμόνων· ἅτε καὶ τοῦ κατάρχοντος αὐτῶν διαβόλου αὐτῷ τάγματι συγκατα**μένου, ἀλλ' εἰς τὴν ἀγέλην τῶν χοίρων· οὗ καὶ γενομένου, καὶ τῆς ἀγέλης εἰς θάλασσαν ὑπ' αὐ[τῶν] ἐκτιναχθείσης ἐναργὲς ἐφάνη, ὡς ὑποβρύχιοι γεγόνασιν ἀφανισθέντες τοῦ βίου· εἰ** αὐτοὶ τελεον· εἰς γὰρ γυμνάσιον τῶν ἀγωνιζομένων περιελείφθη τις τούτων μοῖρα τοῖς [περι]γείοις. αὐτὸς δ' ὁ κατάρχων εἰς κρίμα ζόφου περιελείφθη, κατὰ Πέτρον τὸν μέγαν Ἀπόστολον **μένου τῷ αἰωνίῳ πυρί. τῇ ἐπιδημίᾳ τοῦ Ἀντιχρίστου. [i]ὡς γὰρ οἱ οἰκειωθέντες ἀχώριστοι Χριστοῦ χρηματίζουσι, καθὸ καὶ εἴρηται πρὸς Φιλιππησίους τῷ ἁγίῳ Παύλῳ **** ἐν Φιλίπποις ὄντας καλῶν τοὺς ἁγίους διὰ τὸ ἐν Χριστῷ εἶναι, οὕτω καὶ ὁ Ἀντίχριστος κατ' ἐνέργειαν ἐπιδημῶν τοῦ Σατανᾶ, συναναφέρεσθαι τούτῳ νοεῖται ὁ Σατανᾶς. ἔνθεν γὰρ ὁ Ἀντίχριστος τὸν Σατανᾶν ταῖς ἐνεργείαις αὐτοῦ ἐξιστῶν καὶ ἀπατῶν ἀνθρώπους φέρει ἐπ' ὀλέθρῳ καὶ ἀπωλείᾳ καὶ ἑαυτοῦ καὶ τοῦ δι' αὐτοῦ ἐνεργοῦντος καὶ τῶν ὀπαδῶν αὐτοῖς.*

Καὶ εἰς ἀπώλειαν ὑπάγει.

Ἀπώλειαν εἰς ἣν ἀπιέναι μέλλει, οὐ τὴν εἰς τὸ μὴ εἶναι λέγει· ἀλλὰ τὴν διὸ γέγονε· γέγονε δὲ τὸ εἰς δόξαν τοῦ πεποιηκότος τελεῖν· "ἔπλασε γὰρ" ὁ Ἐκκλησιάστης φησὶ, "Κύριος τὸν ἄνθρωπον εὐθῆ, καὶ αὐτοὶ ἐζήτησαν λόγους πονηρίας." ἀπώλειαν, οὐ τὴν ἀνυπαρξίαν, ἀλλὰ τὴν ἐν γεέννῃ κατάκρισιν λέγει. ὡς καὶ ὁ Κύριος αὐτός φησι "φοβήθητε δὲ τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ."

Καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς.

Θαυμάσονται τὴν τοῦ θηρίου παρουσίαν, οὐ μόνον ὅτι ἀπόλωλε καὶ πῶς ζῇ, ἀλλὰ καὶ ὅτι παραγέγονεν ἐν τέρασιν ἀπάτης. τίνες δὲ "θαυμάσονται;" οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς. περὶ ὧν καὶ Ἡσαΐας φησίν. "οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς." τοιοῦτοι δὲ οἱ ἀστήρικτον ἔχοντες τὴν βάσιν, ἅτε μὴ ἐπὶ τὴν πέτραν Χριστὸν τεθεμελιωμένοι. θαυμάσονται οὖν καὶ νῦν οὗτοι οἳ διὰ τὸ χαμερπὲς οὐδὲ[k] τῇ βίβλῳ τῶν ζώντων

[i] Quæ seq. non hab. Edd. [k] ἐπὶ τῇ β. Edd.

ἐγράφησαν. ἐκ τούτου νοεῖν ἐστι τῷ εἰρηκέναι ἀπὸ καταβολῆς κόσμου αἰτίαν παριστᾶν τῆς Μωϋσέως ἐν τῇ γενέσει ἱστορίας· τοὺς μὲν ἀπὸ Σὴθ γενεαλογήσαντος, τοὺς ἀπὸ τοῦ Καῒν δὲ οὔ. θαυμάσονται οὖν, ὡς ἤδη εἴρηται, οἱ μὴ διὰ τὸ χαμερπὲς προστοιχειωθέντες ἀσφαλῶς ταῖς τοῦ Χριστοῦ περὶ αὐτοῦ προρρήσεσι, λογιζόμενοι πῶς τὴν ἀρχαίαν δυναστείαν καὶ ἀπέλαβε καὶ ἀνέλαβε. διὰ τοῦτο πλήρωμα τῆς ἀσεβείας αὐτοῦ ἔνοικον ἔχοντος Ἀντιχρίστου αὖθις τέλος ἄξιον λήψεται. ᾧ τινι δὲ ὁ νοῦς πνευματικῶν ὄντων τῶν ἑρμηνευομένων πνευματικῆς τῷ χρεία σοφίας τοῦ γνῶναι πῶς ἦν καὶ οὐκ ἔστι καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου. καὶ γὰρ τὸ τοῦ ὄντος χωρῆσαι εἰς τὸ μὴ ὄν, ἐναντίον εἶναι δοκεῖ τῷ μέλλειν ἀναβαίνειν ἐκ τῆς ἀβύσσου πάλιν, εἰ μήτι οὕτω νοηθεῖ[l] ὥσπερ καὶ εἴρηται.

Ὁ ἔχων σοφίαν πνευματικὴν γνώτω πνευματικῶς τὰ λεγόμενα.

Αἱ ἑπτὰ κεφαλαὶ ἑπτὰ ὄρη εἰσίν.

Ἐλέγομεν ἤδη γυναῖκα κατὰ μὲν τὸν δημιουργικὸν λόγον τὴν γῆν νοεῖσθαι, ἐφ' ᾗ τῷ κόσμῳ τούτῳ πᾶσα πραγματεία. κατὰ μὲν οὖν τὸν δημιουργικὸν λόγον, ἐξ ὑδάτων καὶ ἐν ὕδασιν ἔχει τὸ εἶναι ἡ γῆ οὖν ἔχουσα καὶ αὐτὴ τὰ ὕδατα. κατὰ δὲ τὸν θεωρητικὸν καὶ τροπικὸν ὁ φθαρτὸς οὗτος ἐστὶ κοσμὸς, διύγροις πράξεσι καὶ ἀστάτοις διεξαγόμενος καὶ τῷ ἑβδοματικῷ ἀριθμῷ ἐξαρχῆς εἰληχὼς τὸ συγκροτεῖσθαι ταύτῃ. καὶ νῦν τὰ ἑπτὰ ὄρη ἐφ' ἃ λέγεται καθῆσθαι ἑπτάκις χιλιοστίαν **ωμεθα συντελεσθῆναι τῇ φθαρτῇ ταύτῃ διαρκοῦντα ζωῇ· τὴν μὲν οὖν πέμπτην χιλιετίαν συντελεσθῆναι ἤδη, τὴν ἕκτην δὲ ἐπιστῆναι, καθ' ἣν καὶ ταῦτα ἡ προκειμένη διατρανοῖ Ἀποκάλυψις. ὄρη δὲ καὶ κεφαλὰς ἑπτὰ τόπους ἡγούμεθα ἐν ὑπεροχῇ καὶ δυναστείᾳ κοσμικῇ τοὺς λοιποὺς ἐξέχοντας, ἐφ' οὓς κατὰ καιροὺς τὴν τοῦ κόσμου βασιλείαν ἐστηρίχθαι ἔγνωμεν. ὡς πρῶτον ἐν Νινευῇ τὴν τῶν Ἀσσυρίων ἀρχήν. δεύτερον ἐν Ἐκβατάνοις τὴν Μήδων δυναστείαν, ἀπὸ Ἀρβάκου κρατήσασαν τῶν Ἀσσυρίων, ὧν τὸν βασιλέα Σαρδανάπαλον κρατήσας ὁ Ἀρβάκης καθεῖλε. μετὰ τούτους ἐν Βαβυλῶνι τὸ Χαλδαίων κράτος ὑπερεῖχεν[m], ὧν Ναβουχοδονόσορ ὁ βασιλεὺς

[l] Sic. [m] ὑπερεῖχεν om. B.

ἐβασίλευσεν. εἶτα μετὰ τὴν τούτων καὶ τῶν Μήδων[n] κατάλυσιν, ἐν Σούσοις[o] ὑπὸ Κύρου τῆς Περσῶν βασιλείας καθισταμένης[p]· μετὰ δὲ τὴν ταύτης ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν ἡ τῶν Μακεδόνων ὑπεισῆλθεν ἀρχή. ἐκ τούτων ἡ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τῶν Ῥωμαίων ἀρχὴ καὶ ἰσχὺς, ἐπὶ μὲν Αὐγούστου Καίσαρος μετὰ τοὺς πρώην βασιλεῖς αὐτῆς καὶ ὑπάτους μοναρχήσασα, ὑπὸ δὲ ἀσεβῶν μέχρι Κωνσταντίνου κατασχεθεῖσα. ὧν μετὰ τὴν κατάλυσιν εἰς τὴν νέαν Ῥώμην τὰ τῶν φιλοχρίστων βασιλέων μετηνέχθη βασιλεία. κατὰ δὲ τὴν αὐτὴν ἔννοιαν, καὶ τοὺς ἑπτὰ βασιλεῖς ἐκδεκτέον τῆς ἐναλλαγῆς τῶν γενῶν, ἀρσενικοῦ λέγω καὶ θηλυκοῦ, μηδὲν παρεμποδιζούσης τῆς διανοίας τὴν ταυτότητα[q], εἰ ἐκεῖ μὲν θηλυκῶς τὰς κεφαλὰς, καὶ ἑπτὰ ὄρη οὐδετέρως, ἐνταῦθα δὲ βασιλεῖς ἑπτὰ ἐσήμανεν. οὐδὲν γὰρ ἡ γραφὴ περὶ τούτων εἴωθε μικρολογεῖσθαι. ἐπεὶ καὶ τὸν Ἐφραὶμ, ποτὲ μὲν ὡς παροιστρῶσαν δάμαλιν εἰσάγει· ποτὲ δὲ ὡς ἄνουν περι**σκει, ἃ εὐόδως πορεύεται· τράγος καὶ ἀλεκτρύων καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνεσι. διατί νῦν κεφαλῶν θηλυκῶς; πόλεις δηλοῖ· διὰ δὲ τῶν ὀρέων ἀναστήματα οὐδετέρως τοπικῶς τῆς λοιπῆς ὑπερανέχοντα γῆς, ἀλλὰ καιρικῶς δόξης ὑψώματι· καὶ βασιλεῖς δὲ ὁμοίως ἢ τοὺς δοξασθέντας τόπους τῇ βασιλικῇ προεδρείᾳ, ἢ τοὺς πρώτως ἐν ταῖς εἰρημέναις πόλεσι βασιλεύσαντας, ἑκάστου ἀντὶ πάσης τῆς ἀρχῆς λαμβανομένου· οἷον Νίνου τῆς[r] * * *

12 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵ
τινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασι-
13 λεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου. οὗτοι
μίαν ἔχουσι γνώμην καὶ τὴν δύναμιν καὶ ἐξουσίαν αὐτῶν
14 τῷ θηρίῳ διδόασιν. οὗτοι μετὰ τοῦ ἀρνίου πολεμή-
σουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς, ὅτι Κύριος κυρίων
ἐστὶ, καὶ Βασιλεὺς βασιλέων. καὶ οἱ μετ' αὐτοῦ κλητοὶ
15 καὶ ἐκλεκτοὶ καὶ πιστοί. καὶ λέγει μοι, τὰ ὕδατα ἃ

[n] δὲ κ. τ. Μηδ. om. B. [o] Σούσαις Edd. [p] τὴν Περσ. ἡγεμονίαν κτηθῆναι B. [q] ταυτότητι B. [r] Hic intervenit lacuna in Cod. B. a v. 10. cap. xvii. ad v. 8. cap. xviii.

εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ, καὶ ἔθνη καὶ γλῶσσαι.

Τὰ δέκα κέρατα, δέκα βασιλεῖς εἶναι φασὶν ἐκ τῆς Ῥωμαίων ἀρχῆς ἀναστησομένους ἐν τοῖς ἐσχάτοις καιροῖς, ὧν ἐν μέσῳ ὁ Ἀντίχριστος ἀναστήσεται. τὸ δὲ μὴ τὸ λαβεῖν αὐτοὺς βασιλείαν ἀλλ᾽ ἐξουσίαν ὡς βασιλεῖς καὶ μίαν ὥραν, τὸ μὲν ὡς βασιλεῖς διὰ τὸ ἀνέδραστον καὶ σκιῶδες τῆς βασιλείας αὐτῶν φησι, τὸ δὲ μίαν ὥραν μετὰ τοῦ θηρίου, ὥραν, τὸ βραχὺ τοῦ χρόνου παριστᾷν βούλεται, ἤτοι δι᾽ οὗ ἡ τοῦ ἐνιαυτοῦ ὥρα συντελεῖται, καθ᾽ ἣν τῷ Ἀντιχρίστῳ τῷ ὑπερέχοντι ὑποταγήσονται. ἢ καὶ ὥραν, τὸν ἀπολαυστικὸν βίον νοητέον.

Καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς, καὶ τὰ ἑξῆς.

Εἰκότως ὡς καὶ Κύριος κυρίων, καὶ Βασιλεὺς βασιλέων, καὶ ὑπασπισταὶ αὐτοῦ κλητοὶ, τὴν κλῆσιν οὐ κατὰ τὸ ἐπιτυχὸν ἔχοντες, ἀλλὰ κατὰ τὸ καίριον καὶ διηκριβωμένον καὶ ἀμετάθετον. διὸ καὶ πιστοὶ, ὅτι ὁ πιστὸς ἑνὶ προσανέχει δεσπότῃ, οὐ δυνάμενος δυσὶ κυρίοις δουλεύειν.

Τὰ ὕδατα ἃ εἶδες.

Προείρηται ἡμῖν περὶ τούτων, τροπικῶς καὶ φυσικῶς τὴν γῆν εἶναι ἐξ ὑδάτων, καὶ ἐν ὕδασι διατελοῦσαν, ἐν ᾗ ὁ φθαρτὸς οὗτος καὶ διύγροις ἡδοναῖς διαγόμενος ἥδρασται κόσμος. πάντως δὲ οὐκ ἄλλως ἢ οὕτως παρὰ τὰ ἀνθρωπίνα γένη νοεῖται. ἅπερ ἔθνη εἰσὶ τῇ διαφόρῳ φωνῇ διαστελλόμενα, πρὸς δὲ τούτοις καὶ τὰ βασιλέων κράτη συντηρούμενα. τοῦτο γὰρ τὸ κέρας δηλοῦν βούλεται, ἀπὸ τῶν κερασφόρων ζώων λαβὼν τὴν χρῆσιν, ὅτι κᾀκεῖνα τοῖς κέρασιν ἑαυτῶν συντηρεῖται, εἴπου δεήσει πρὸς ἕτερα ζῶα διεξάγεσθαι. ὥσπερ καὶ ἔθνεσι πρὸς ἔθνη αἱ τῶν βασιλέων διαταγαὶ τὸ καθ᾽ ἑαυτὰ διαμένειν παρέχουσι μὴ πρὸς ἐκφύλους κυριαρχίας σκεδάζεσθαι.

16 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες ἐπὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημμωμένην ποιήσουσιν αὐτὴν, καὶ γυμνὴν ποιήσουσιν αὐτὴν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί.

17 ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν
γνώμην αὐτοῦ. καὶ ποιῆσαι γνώμην μίαν, καὶ δοῦναι
τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ ἄχρι τελεσθῶσιν οἱ
18 λόγοι τοῦ Θεοῦ. καὶ ἡ γυνὴ ἣν εἶδες, ἐστὶν ἡ πόλις
ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων
τῆς γῆς.

Τὰ μὲν κέρατα τί δηλοῦν ἐθέλει, εἴρηται δή· θηρίον δὲ τὸν διάβολον. ἀδιαφορεῖ γὰρ κατὰ τὸ σημαινόμενον τοῦ θηρίου, πῆ μὲν, τὸν Ἀντίχριστον ὀνομάζων οὕτως, ἔσθ' ὅτε δὲ τὸν Σατανᾶν. οἱ βασιλεῖς οὖν, φησὶν, οἱ τέως κατ' ἐνέργειαν τοῦ Σατανᾶ φονίως τῷ ἀρνίῳ διατεθέντες, Θεοῦ ὑποθημοσύνῃ, μισήσουσι τὴν πόρνην, τὴν ἐν τῷ βίῳ ἀπολαυστικὴν δίαιταν, ἐρημώσουσι δὲ καὶ εἰδωλολατρείαν καὶ τεμενῶν καὶ μαντείων ἀλλοτριώσουσιν, καὶ τὰς σάρκας αὐτῆς τὰ πρὸς θυσίαν ἀναφερόμενα τῶν εἰδώλων ζῶα ἑαυτοῖς ταμιεύσουσι, καὶ πᾶσαν τὴν περὶ τὰ μάταια σπουδὴν ἀφανίσουσι, καὶ οὕτως ὥστε ὑπὸ πυρὸς δαπανηθεῖσαν νομίζεσθαι. καὶ πάντας κράζειν, ποῦ νῦν οἱ τῆς τότε ἐπὶ τὰ μάταια ἐπιμελείας ἐχόμενοι; ταῦτα δὲ πάντα, ὡς ἔφημεν παραθέμενοι, οὐκ ἂν ἀθεεὶ συμβῆναι φασὶν, ἀλλ' ἐκ θείας ἐπισκοπῆς καὶ προνοίας.

Καὶ ποιῆσαι γνώμην μίαν.

Εἰ καὶ σύνδρομος ἡ τούτων γνώμη τῇ τοῦ Θεοῦ, ἀλλ' ὡς Θεῷ μεμελημένη, κατὰ δὲ τὸ ἀνεξερεύνητον βάθος τῆς προνοίας αὐτοῦ συμβαίνουσα τοῖς συντελουμένοις. οὕτω τοιγαροῦν κατὰ τοιαύτην ὁμογνωμοσύνην τούτοις δοθεῖσαν ὑπὸ Θεοῦ, τῆς ἐξουσίας ἁπάσης παρασχεθείσης τῷ θηρίῳ, διατελήσει κρατοῦν τὸ θηρίον εἰς ὅπερ ἂν αἱ κατάλληλοι κρίσεις ἀπάξουσιν, αἳ διὰ τῶν λόγων ὑπεσημάνθησαν, δι' ὧν λέγει, "ἄχρι τελεσθῶσιν οἱ λόγοι τοῦ Θεοῦ."

Καὶ ἡ γυνὴ ἣν εἶδες ἐστὶν ἡ πόλις ἡ μεγάλη.

Σαφέστερον τὴν γυναῖκα παριστῶν, ἀναλαμβάνει περὶ αὐτῆς λόγον, καὶ φησιν ἐκείνην εἶναι τὴν ἔχουσαν τὸ κράτος ἐπὶ τῶν τοῖς γηΐνοις προσανακειμένων. οὐ γὰρ καὶ πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς ἤδη καὶ τοῖς γηΐνοις προσδιαφθείρονται.

ΚΕΦ. ΝΕ.

Περὶ ἑτέρου Ἀγγέλου τὴν πτῶσιν Βαβυλῶνος δηλοῦντος, καὶ οὐρανίου φωνῆς τὴν ἐκ τῆς πόλεως φυγὴν ἐντελλομένης, καὶ περὶ τῆς ἀποβολῆς τῶν τερπνῶν ὧν τὸ πρὶν ἐνέκτητο.

1 Μετὰ ταῦτα εἶδον Ἄγγελον ἄλλον καταβαίνοντα ἐκ
τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην. καὶ ἡ γῆ ἐφω-
2 τίσθη ἐκ τῆς δόξης αὐτοῦ, καὶ ἔκραξεν ἰσχυρᾷ φωνῇ
λέγων, Ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοι-
κητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκα-
3 θάρτου καὶ μεμισημένου, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς
πορνείας αὐτῆς πεπώκασι πάντα τὰ ἔθνη. καὶ οἱ βασι-
λεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς
γῆς ἐκ τῆς δυναμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.
4 καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν,
Ἔξελθε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε
ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ
5 λάβητε, ὅτι ἐκολλήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ
οὐρανοῦ. καὶ ἐμνημόνευσε ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς.

Καὶ ἡ γῆ ἐφωτίσθη.

Κἀντεῦθεν τῶν θείων δυνάμεων τὸ λαμπρὸν καὶ φωτιστικὸν πολλῷ τῷ μέτρῳ τὸ ἀστρῷον σέλας ὑπερνικῶν ἔστι νοεῖν μετὰ τὸ παρελθεῖν τὰ ἀμαυρὰ τοῦ φθαρτοῦ κόσμου παρρησιαζόμενον. Μεγάλην φησὶ τὴν τοῦ φωστῆρος εἶναι ἐξουσίαν, καὶ φωτίζειν τὴν περίγειον ἐκ τῆς δόξης αὐτοῦ. παραβαλλόμενα γὰρ τὰ οὐράνια καὶ ἄφθαρτα τοῖς γηΐνοις καὶ φθαρτοῖς, ὅσον τὸ ὑπερβάλλον τῆς δόξης παρίστησιν· ἰσχυρὰν δὲ τὴν φωνὴν ἐμπεδοῖ τὸ ἔμπρακτον ἐμφαίνων τῶν δηλουμένων καὶ ἀπαράβατον. καὶ τί τοῦτο; "ἔπεσε Βαβυλὼν ἡ μεγάλη," Βαβυλῶνα τὴν διέξοδον τοῦ φθαρτοῦ τούτου βίου λέγων.

Καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου καὶ μεμισημένου.

Εἰς ὄρνεα μεταλαμβάνει τοὺς δαίμονας διὰ τὸ ἄδηλον τῆς

ἐφόδου αὐτῶν τῆς κατὰ τῶν ἀνθρώπων, ἐπεὶ καὶ τῶν ὀρνέων ἡ ἔφοδος ἐξ ἀδήλου εἴωθεν ἐπιφοιτᾶν προσδοκίας. μεμισημένου δὲ εἴρηται οὐκ ἀλόγως. τίς γὰρ σωφρονῶν οὐ βδελύττεται τὴν μετὰ τῶν δαιμόνων ἀναστροφήν; δι' ἣν καὶ βδελύγματα ὠνομάσθησαν.

Ἔξελθε ἐξ αὐτῆς ὁ λαός μου.

Ἐξελθεῖν παρακελεύεται ἡ φωνὴ, οὓς ἔγνω Κύριος αὐτοῦ. ἐξελθεῖν δὲ, τὸ μὴ συναπολέσθαι δικαίους μετὰ ἀσεβῶν. ὡς γὰρ ἐπὶ τοῦ Λὼτ, τὸ, "σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν," ἀνυπερθέτως μέχρις ἂν τοῦ ὄρους, ἐπὶ γῆς οὐδαμοῦ ἠρεμῶν, ὁ Θεὸς αὐτῷ ἐνετείλατο, οὕτω κἀνταῦθα.

Καὶ ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς.

Ἀνθρωπίνως διασκευάζεται ταῦτα. ἐπὶ γὰρ Θεοῦ τῆς μακαρίας φύσεως καὶ πάθεσιν ἀπροσίτου, τὰ τοιαῦτα κἂν ἐννοεῖν περιττόν. ἐκεῖ γὰρ μνήμη, ὅπου καὶ λήθη. λήθη δὲ τοῦ δυνάμει παρεῖναι τὸ πραχθὲν, οὐκ ἔτι δὲ καὶ ἐνεργείᾳ σημαντικόν. Θεῷ δὲ οὐδὲν πρόσεστι δυνάμει, ἀλλ' ἐνεργείᾳ.

6 Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν· καὶ
διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ
7 ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν. ὅσα ἐδό-
ξασεν ἑαυτὴν, καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ
βασανισμὸν καὶ πένθος. ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει,
ὅτι κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ πένθος
8 οὐ μὴ ἴδω. διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ
αὐτῆς, θάνατος, καὶ πένθος, καὶ λιμός. καὶ ἐν πυρὶ
κατακαυθήσεται. ὅτι ἰσχυρὸς Κύριος ὁ κρίνων αὐτήν.

Ἀνεπισήμαντον, παρὰ τίνος τὸ πρόσταγμα ἢ ὁ λόγος πρόεισιν. εἴη δ' ἂν παρὰ τῶν δικαίων καὶ μαρτύρων τῶν κατ' ἐκεῖνο καιροῦ, τῆς τοῦ Ἀντιχρίστου δηλαδὴ ἐπιδημίας ὑπὲρ Χριστοῦ ἐναθλησάντων, τοσαύτῃ ὠμότητι καὶ θηριαδίᾳ ὑπὸ τῶν τηνικαῦτα τῷ βίῳ ἐμπολιτευομένων ὑπουργῶν τοῦ Ἀντιχρίστου παραδοθέντων, ὥστε καὶ αὐτοὺς κἂν εἰ θεομιμήτως προείλοντο ζῆν, ἀλλ' οὖν διὰ τὸ ὑπερβάλλον τῶν κακώσεων ἐκνικηθῆναι ταῦτα προφέρειν. εἰρήκαμεν δὲ γυναῖκα τὸν ἐπὶ τοῦ Ἀντιχρίστου καιρὸν, οὐ πόλιν τινὰ

σημαίνειν. καὶ ποτήριον δὲ τὴν προαίρεσιν τῶν ἐμπολιτευομένων τῷ τότε βίῳ, οἳ τῇ δυναστείᾳ τοῦ Σατανᾶ γαυριῶντες, ἀμέτρῳ τῇ τῶν δεινῶν εὐθηνίᾳ, κατὰ τῶν ἀντικειμένων κατεχρήσαντο. καθὼς οὖν ἐποίησεν, ἀποδοθήτω αὐτῇ.

Ἀπόδοτε αὐτῇ διπλοῦν.

Οὐ τὸ διπλάσιον βούλεται τὸ διπλοῦν, ἀλλ' ὅτι φιλάνθρωπος ὢν ὁ Θεὸς καὶ ἀγαθὸς καὶ πολὺ καταδεέστερον κολάζων, διπλᾶ οἴεται ἀποδεδωκέναι, καὶ ὅταν μέρος ἀποδῷ, καὶ οὐ μόνον διπλᾶ, ἀλλὰ καὶ ἑπταπλάσια· εἰ μή που τοῦτο οἰητέον ὡς οὐ Θεοῦ ἀπειλῆς. πῶς γὰρ ὁ λέγων, οὐκ ἐκδικήσει Κύριος δὶς ἐπὶ τὸ αὐτὸ, νῦν διπλάσια καὶ ἑπταπλάσια φησὶν ἐκδικεῖν; εἰ οὖν τὸ διπλοῦν καὶ ἑπταπλάσιον, οὐ τὸ κατ' ἀξίαν σημαίνειν ὑποληπτέον, ἀλλὰ τὸ μετριώτερον, ἴσως ἄτοπον οὐδέν.

Ὅσα ἐδόξασεν ἑαυτὴν, καὶ ἐστρηνίασε.

Καθώς, φησι, δοξασθεῖσα καὶ κατασπαταλήσασα τοῦ παρόντος βίου, πρόνοιαν οὐ πεποίηται τοῦ θείου θελήματος, οὕτως ἀπόδοτε αὐτῇ. λέγει γὰρ, οὐκ ἔσομαι τοῦ βασιλεύειν ἐστερημένη.

Ἐν τῇ καρδίᾳ αὐτῆς.

Καρδίαν, τὸν ἔμμονον φησὶ τῶν τότε τὸν βίον συμπληρούντων, οὓς καὶ εἰς γυναῖκα ἐμυθοποίησε μαχλῶσαν.

Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς.

* * [s]βιστῶν φησιν ὡς καὶ ὁ Κύριος δι' ὧν λέγει τὴν ἡμέραν ὡς κλέπτην ἔρχεσθαι λαθραίως καὶ ἀφάνως. ἢ οὖν ἀδόκητον δηλῶν καὶ ὀλίγον τοῦ καιροῦ, ᾧ ταῦτα συμβήσεται, ὥς τινες ἐν τῇ παλαιᾷ Ῥώμῃ· ἢ καὶ αὐτῆς [ἡμ]έρας τὸν δρόμον ἐν ᾗ ταῦτα συμβήσεται. μετὰ γὰρ τὸ ἐγκρατεῖς αὐτῆς γενέσθαι τοὺς ἐχθροὺς, ἐξαρκεῖ καὶ μία ἡμέρα πᾶσαν κόλασιν ἐπαγαγεῖν τοῖς ἡττηθεῖσι[t], καὶ πολυειδεῖς θανάτου τρόπους· δυνατοῦ ὄντος τοῦ Κυρίου, ὥσπερ τοῖς εὐαρεστοῦσιν αὐτῷ τὰ θυμήρη προσνέμειν, οὕτω καὶ κολάζειν ἀνεπιστρόφως ἐξαμαρτάνοντας. [u]καὶ οἱ μὲν πρὸς Ῥώμην τὴν παλαιὰν ἐναρμόζοντες τὴν θεωρίαν οὕτως· ἐπιτευκτικώτερον δὲ τῷ κόσμῳ τούτῳ συμβιβάζειν αὐτὰ πρόδρομα ἐσόμενα τὰς ἡμέρας

[s] Quæ seq. post lac. supra not. habet Cod. B. [t] τῇ ἡττηθείσῃ Edd. [u] Seq. om. Edd.

τοῦ Ἀντιχρίστου, τῆς ἐσχάτης αὐτοῦ συντελείας, καθ' ἣν καὶ μόνος Κύριος τῇ ἀπερινοη τοῦ δυναστεία ἰσχύρως ἐπεξιέναι καὶ δαίμοσι τοῖς κατὰ βασιλικὴν ἐξουσίαν ἐνυβρίσαι ἐνεστῶτι αἰῶνι, καὶ ἀνθρώποις ἀκρατῶς ἐνασελγαίνουσιν αὐτῷ κατὰ βασιλικὴν ἀκρότητα καὶ ἄσχετον σπατάλην **κὴν ὑπερτείνουσ[ιν] εὐφροσύνην.*

9 Καὶ κλαύσουσι καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασιλεῖς
τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες,
10 ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, ἀπὸ
μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ
αὐτῆς, λέγοντες, Οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη Βαβυλὼν,
ἡ πόλις ἡ ἰσχυρὰ, ὅτι ἐν μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου.
11 καὶ οἱ ἔμποροι τῆς γῆς κλαύσουσι καὶ πενθήσουσιν ἐπ'
αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράσει ἔτι. οὐκ ἔτι
12 γόμον χρυσοῦ καὶ ἀργύρου, καὶ λίθου τιμίου καὶ μαρ-
γαρίτου, καὶ βυσσίνου, καὶ πορφυροῦ, καὶ σηρικοῦ, καὶ
κοκκίνου. καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλε-
φάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου, καὶ
13 χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου. καὶ κινάμωμον,
καὶ θυμιάματα, καὶ μῦρον, καὶ λίβανον, καὶ ἔλαιον, καὶ
οἶνον, καὶ σεμίδαλιν, καὶ σῖτον, καὶ πρόβατα, καὶ κτήνη,
καὶ ἵππων καὶ ῥαιδῶν καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώ-
14 πων. καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλ-
θεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ
ἀπώλετο ἀπὸ σοῦ, καὶ οὐκ ἔτι οὐ μὴ εὕρῃς αὐτά.

Ἐπιμένει τῇ τροπολογίᾳ ὡς ἐκφαντικωτέραν γενέσθαι ἀπὸ τῆς πορνικῆς ἀκαθαρσίας τὴν πλημμέλειαν. τοὺς δαίμονας δὲ εἶναι τούτους ἔφαμεν καὶ μακρόθεν ἑστηκότας. αὐτοὶ γὰρ ἅτε Νόες, καὶ πρὸ τῆς πείρας[v] τὴν διέκβασιν εἰδέναι οἷοί τε εἰσὶ, καὶ ὡς ἀπὸ καπνοῦ τοῦ πυρὸς τὴν ὑπόστασιν συνιέναι. [x]ἀλλ' ἐρεῖ τις, εἰ καὶ αὐτοὶ οἱ ἐξοιστρήσαντες τοὺς ἀνθρώπους ἐπὶ τὰ ἀσχήμονα

[v] *ἱκανοὶ τὴν ἔκβασιν εἰδέναι* B. [x] Quæ seq. om. Edd.

κοινωνοὶ καὶ τῶν διὰ ταῦτα τιμωριῶν γενόμενοι, πῶς ἐλεύθεροι τούτων εἰσάγονται θρῆνον συνείροντες; ἐροῦμεν ὡς οὐδὲν ἄπορον μετόχους ὄντας βασάνων τινὰς προεγνωκότας ὅποι προάγει τὰ συνεργούμενα τῶν ἀγνοούντων προληπτικῶς ὀλοφύρεσθαι. τὸ δὲ οὐαὶ[y], θρηνῶδες ἐστὶν ἐπίφθεγμα, εἰωθὸς ἐπὶ συμφοραῖς ἐνεργουμέναις ἐκφωνεῖσθαι[z]. διὸ καὶ νῦν μάλιστα τῷ παγκοσμίῳ καὶ ἀθρόῳ συμπτώματι μετακεχείρισται[a]. ἰσχυρὰν δὲ πόλιν αὐτήν φησιν, ὡς ἐξ ἀπείρου σχεδὸν χρόνου τὸ εἶναι διαλαβοῦσαν εἰς ἀδιάρρηκτον σύνδεσμον καὶ οὔποτε ἐλπισθέντα διαλυθῆναι.

ʹΗλθεν ἡ κρίσις σου.

[b]Κρίσιν τὴν κατάκρισίν φησιν, τὸ ἀνταπόδωμα, ἰσοστάσιον τῶν πεπραγμένων, ἐπάξιον τετολμημένων.

Καὶ οἱ ἔμποροι τῆς γῆς κλαύσουσι.

Ἐντεῦθεν ἀπαραγράπτως ἐκληπτέον τὰ χρησμῳδούμενα, οὐ περὶ Βαβυλῶνος, οὐ Ῥώμης τῆς παλαιᾶς, οὐ τῆς νέας, οὐκ ἄλλης τινὸς μιᾶς πόλεως, ἀλλὰ τοῦ σύμπαντος[c] τούτου φθαρτοῦ κόσμου, καθʼ ὃν οἱ τὰ πρόσκαιρα ἐμπορευόμενοι κλαυθμῷ καὶ πένθει ἁλώσονται, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράσει[d]. γόμον δὲ τὰ ἐπιτηδεύματα λέγει, περὶ ἃ εἰώθασιν οἱ ἄνθρωποι κατατρίβεσθαι. [e]λυθέντος γὰρ τοῦδε τοῦ αἰσθητοῦ συγκρίματος ἐν δικαίοις καὶ ἀδίκοις τὸ διαπονεῖσθαι ὑπῆρξε πρὸς ἐπηρείαν βελτιόνων καὶ χειρόνων· βελτιόνων μὲν τῶν βελτίστων· χειρόνων δὲ τῶν χειρίστων. ἐξ ἑκατέρων τούτων τῶν [ἐμ]πόρων πένθος ἐνστῆναι φησιν, τῶν μὲν βελτίστων, ὅτι μὴ ἐπιπλέον τὸ γυμνάσιον πρού** εἰς μείζονος ἀντίδοσιν ἀγαθῆς ἐργασίας καὶ ἀμοιβήν· τῶν δὲ χειρίστων, ὅτι παρέστη ἄθροον ἡ καταξίαν τῶν ἀτόπων αὐτοῖς πράξεων ἀνταμοιβή.

Οὐκ ἔτι γόμον χρυσοῦ, καὶ τὰ ἑξῆς.

Εἰς γόμον τὰ ἐπιτηδεύματα φέρει, ὧν τῆς ἐπικαίρου ταύτης διαρρυείσης βιοτῆς, καθʼ ἣν καὶ ἡ ἐμπορία[f] τῶν ἐπιτηδευμάτων τὸ ἔμπρακτον ἀποφέρεται, οὐκ ἀπεικὸς τὸ πένθος ἐπεισιέναι.

[y] "οὐαὶ, οὐαὶ, ἡ πόλις ἡ μεγάλη." B. [z] ἀναφωνεῖσθαι B. [a] μετακεχείρεσθαι B. [b] Hoc Sch. carent Edd. [c] συμπ. εἶναι φθ. B. [d] ἀγοράζει B. [e] Quæ seq. om. Edd. usq. ad fin. Sch. [f] ἐμπορεία B.

[g] εἰς χρυσὸν μὲν καὶ ἄργυρον ἐκεῖνα τῶν ἐπιτηδευμάτων ἀφομοιούμενα, ἃ τῷ διαιωνίζοντι πυρὶ, εἰ ἀνάλωτα διατηρηθείη, σκοπεῖται· εἰς λίθους δὲ τιμίους, ὅσα τὸ λαμπρὸν *υροῦσθαι δυστυχεῖ τῷ μὴ καθαρεύειν ἐπιδεικτικῆς ἀχρηστίας· εἰς μαργαρίτας δὲ, ὧν καὶ λαμπρὸν μετὰ τοῦ εἶναι εἰς ἀνυπαρξίαν χωρεῖ. πορφύρα δὲ καὶ βύσσος καὶ Σηρῶν νήματα [κόκ]κῳ δεδευμένα καὶ κόχλῳ ἐκεῖνα τῶν ἐπιτηδευμάτων αἰνίττεσθαι, ὅσα τῷ εὐτελεῖ *κοῦντι τῆς κτήσεως τὸ μακάριον οἶδεν περιποιεῖν. εἰς ξύλον δὲ θύϊνον καὶ ἐλέφαν[τα] τούτων ἀναφερομένων, ὧν δυσπόρητος μὲν ἡ εὐπορία, φέρουσα δὲ κλέος τῶν κεκτημένων.

Ἰστέον δὲ ὅτι καὶ νῦν τὰ τῆς συντάξεως τοῦ λόγου ἡμαρτημένως κατὰ τὴν Ἑλλήνων συνήθειαν φέρεται· γομὸν γὰρ εἰπὼν χρυσοῦ καὶ ἀργυροῦ καὶ λίθου τιμίου καὶ μαργαρίτου καὶ βυσσίνου καὶ πορφυροῦ καὶ σηρικοῦ καὶ κοκκίνου, οἷον εἰπεῖν κατὰ ἀκόλουθον ὁμοιόπτωτον γενικὴν, οὐ τοῦτο μὲν, ἀλλ' εἰς εὐθεῖαν ἀνέδραμεν, οὐκ αὐτῷ μέλον Ἑλληνικῆς εὐρυθμίας τῷ εἰς τὴν ὠφέλειαν δηλώσεως ἀσχολουμένῳ, οὐ περὶ τὸ εὔ[ρυθ]μον τοῦ ἤχου θορυ[βου]μένου· τὸ μὲν γὰρ ἀναγκαῖον, τὸ δὲ περίττον. [h] τιμίαις δὲ ὕλαις ταῖς ἐν τῷ κόσμῳ, τοὺς ἐμβιοῦντας αὐτῷ ἐξομοιοῖ, ἀργύρῳ μὲν καὶ χρυσῷ, τοὺς διαρκεῖ τῇ καρτερίᾳ τοὺς πειρασμοὺς ὑποφέροντας τοῦ βίου, καὶ αὐτοὺς εἰς πῦρ εἰωθότας δαπανᾶν, εἰ καὶ κρειττόνων ἐλπίδι ἐναθλοῦντες τὸ ἀλώβητον ἔχουσι. τοιοῦτο γὰρ καὶ ὁ χρυσὸς καὶ ὁ ἄργυρος πρὸς τὸ ἔνυλον ἀποφαίνονται πῦρ. λίθῳ δὲ τιμίῳ καὶ μαργαρίταις, τοὺς ἐπιδεικτικῶς τῇ κατ' ἀρετὴν κτήσει ἀποχρωμένους, οἳ τῇ τῶν περιστάσεων ἐφόδῳ τὸ λαμπρὸν ἀπημβλύνθησαν. βύσσῳ δὲ καὶ πορφύρᾳ καὶ τοῖς ἀπὸ Σηρῶν νήμασι, τοὺς ἐπὶ Χριστῷ τῷ ἄνθει τῶν ἐπαινουμένων καλλυνομένους. ξυλίνοις δὲ σκεύεσι καὶ τοῖς ἐκ ξύλου τοῦ τιμιωτάτου θυΐνου καὶ ἐλέφαντος καὶ κιναμώμου, τοὺς ἀποξενωμένῃ τῇ τοῦ βίου ἀσκήσει καὶ τοῖς πολλοῖς ἀνεπιφάντῳ χρησαμένους, φανερωθέντος δὲ τοῦ ἡδίστου ἀτμοῦ τῶν κατορθωμάτων, εὐφροσύνην οὐδ' ὅσην εἰπεῖν καταλαβόντας πνευματικὴν, μετὰ τοῦ μηδὲ πυρὶ φθόνου ἁλῶναι οἵους τε εἶναι, ὡς οὐδὲ πυρὶ τῷ ἐνύλῳ κινάμωμον.

[g] Quæ seq. usque ad περιττὸν sic constituit Cod. B. [h] Quæ seq. usque ad τὸ δοκίμιον παρεχόμενα dedi ex Edd.

χαλκῷ δὲ καὶ σιδήρῳ καὶ μαρμάρῳ, τοὺς χρυσοειδεῖς μὲν, νόθῳ δὲ χρωμένους τῷ πλούτῳ, ὡς καὶ σίδηρος τὸ στιλπνὸν, καὶ μάρμαρον τὸ στερρὸν, ὧν ἁπάντων τὸ πῦρ δοκιμαστικόν. καὶ οὕτω μὲν τὰ διὰ πυρὸς τὸ δοκίμιον παρεχόμενα. ἐλαίῳ δὲ καὶ οἴνῳ καὶ σεμιδάλει καὶ σίτῳ, τοὺς ἐν ἱλαρότητι καὶ εὔφρονι καταστήματι ψυχῆς τὸ τοῦ βίου πέλαγος διανηχομένους, οὐδὲν προσποιουμένους τῆς τῶν κακεντρεχῶν πολυπραγμοσύνης, ἄντε καὶ πολυτελεστέρα περιτυγχάνοιεν διαί[τῃ] ἄντε καὶ χυδαιοτέρᾳ[i]. προβάτοις δὲ καὶ κτήνεσι παραβληθεῖεν οἱ τῷ τοῦ Θεοῦ ἀπειροπληθεῖ ἐλέῳ, ᾗ φησιν ὁ Δαβὶδ, σωζόμενοι. ἵπποις δὲ καὶ τοῖς διὰ τούτων ὀχήμασι[k], ἃ ἡ παλαιὰ μὲν φωνὴ ἀγγάρους, ἡ δὲ τῶν Ἑλλήνων δημοσίους ἱπποστάθμους, ἡ δὲ τῶν Ῥωμαίων ῥαίδη, ἀφ' οὗ καὶ τὸ ῥαιδάριος[l] τέτριπται, διὸ κἀνταῦθα τὸ ῥαιδῶν παρείληπται, ἐκείνους δηλοῦν βούλεται, οἳ τὴν ὁδὸν τῶν ἐντολῶν σου δραμόντες πρακτικῶς ᾀσματίζουσιν[m].

Καὶ πᾶν σκεῦος ἐκ ξύλου.

[n]Οὐ πρὸς σολοικισμὸν τρεπόμενος ἀπὸ τῆς γενικῆς πτώσεως εἰς εὐθεῖαν μετέβη. ἀλλ' ἐπειδὴ τοῖς σκεύεσιν ἔκ τινος εἰς τὸ εἶναι συμβαίνει λαμβάνειν, εἰπὼν πρῶτον τὰ ἔκ τινῶν τοῖς σκεύεσι πρόσεστι τὸ εἶναι, ἐπιφέρει μετὰ τοῦτο καὶ αὐτὰ τὰ ἐξ ὧν ἡ ὕπαρξις τοῖς σκεύεσι· τουτέστιν ἡ φυσικὴ τούτων **ότης. ἤτοι τῷ περισπουδάστῳ κατηρτισμένη, ἢ τῷ ἀπεναντίας ὀλιγωρουμένη, ἢ καὶ παντάπασιν ἀποστυγουμένη, ὡς χρυσὸς, ἄργυρος χαλκὸς, σίδηρος. χρυσὸς μὲν γὰρ καὶ ἄργυρος ἀνθρώποις περισπούδαστα, ὡσαύτως καὶ κιννάμωμον καὶ θυμίαμα καὶ λίβανον καὶ ἔλαιον καὶ οἶνος καὶ σεμίδαλις καὶ σῖτος. χαλκὸς δὲ καὶ σίδηρος καὶ μάρμαρον καὶ ἧττω τούτων ζήλωτα· πρόβατα δὲ καὶ κτήνη ὀλίγοις πρὸς κτῆσιν πεφρόντισται.

Χαλκῷ καὶ σιδήρῳ καὶ μαρμάρῳ τὸ εὐπόριστον παρεβλήθη τῶν ἐπιτηδευμάτων. ἃ τῇ δυνάμει τῶν ἐκπονούντων παραμετρηθέντα τὸ εἶναι λαμπρὰ ἐκληρώσατο. ὡσαύτως καὶ ὅσα εὐώδεσιν ἀτμοῖς τοῖς σωζομένοις καὶ ἀπολλυμένοις, ὡς καὶ Παύλῳ τῷ θείῳ δοκεῖ,

[i] Cod. B. unde hæc dedi χυδεωτέρα. [k] σχήμασιν B. [l] ὁ βεραιδάριος B. [m] ἔδραμον πρακτικῷ ᾄσματι ζῶσιν B. [n] Quæ seq. dedi e Cod. B.

τὸ πρόσφορον ἀπονέμει. πρὸς τούτοις καὶ τὰ πρὸς ἔλαιον ἱλαρότητι, καὶ πρὸς οἶνον τῇ εὐφροσύνῃ, καὶ σεμιδάλει καὶ σίτῳ ἀπεικαζομένοις, πολυτελεστέρῳ τὸ ζῆν καὶ κοινωτέρῳ κατὰ ἀρετὴν ἐκπορίζουσι, καὶ τοῖς προβατωδῶς καὶ κτηνωδῶς σωτήρια μετιοῦσι· περὶ ὧν καὶ εἴρηται τὸ "ἀνθρώπους καὶ κτήνη σώσεις Κύριε." ἵπποις δὲ καὶ τοῖς διὰ τῶν ἵππων ῥαίδοις συντελουμένοις. σημαίνει δὲ τὸ ῥαίδων τὰ ὀχήματα Ῥωμαικῇ λέξει. γλώσσῃ ῥαιδιοὺμ γὰρ οὗτοι τὸ ὄχημά φασι. οὗ ἡ πληθυντικὴ γενικὴ κατὰ συγκοπὴν ῥαίδων γέγονεν. ἵπποις τοίνυν καὶ ῥαίδοις ἀναφέρει τούτους, οἱ τῷ πλατυσμῷ τῶν τοῦ Θεοῦ ἐντολῶν, οἱονεὶ τῷ ἀστενοχωρήτῳ καὶ τῇ λειότητι τοῖς ἀπὸ Θεοῦ ῥοπῆς τῇ ἀνθρωπίνῃ καρδίᾳ ἐντυπουμένοις· δι' ὧν ἵππων ἡ τῶν ἐντολῶν τοῦ Θεοῦ ὁδὸς ἐξανύεται. διὰ δὲ τὸ προσθεῖναι σώματα καὶ ψυχὰς ἀνθρώπων τὴν ἐνάργειαν παρεχομένου ἐστὶ τοῦ μὴ πρὸς μίαν πόλιν καὶ ταῦτα ἀφορίζεσθαι, ἀλλὰ περὶ τὴν πᾶσαν κτίσιν ἐν τῇ μετασκευάσει τῆς ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν αὐτῆς ἐσομένης.

Ἵππων, ἀντὶ τοῦ ὀχημάτων, ἵπποι εἰς ὀχήματα ἐπιτήδειοι καὶ σωμάτων καὶ ψυχῶν· τουτέστι κέ**οντες εἰς ἀναβάτας πεποιημένοι.

Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας.

Ὀπώραν καὶ τὸν καιρὸν οἶδε καλεῖν ἡ συνήθεια. ἐπεὶ τοίνυν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν μεταχωρεῖ τὰ ἀνθρώπινα ἀπαραλογίστως, ἄρα[o] καὶ τὰ πρὸς φθορὰν ἀποκλίνοντα συνεκλείψει ἀφανισθέντα εἰς ἅπαν. τοῦτο δὲ ἐπὶ πόλεως ἔτι ἐν τῷ ἐνεστῶτι ἐνθεωρουμένης συμβῆναι ἀδύνατον. κατὰ μὲν γὰρ τὸ μᾶλλον καὶ ἧττον[p], οὐδεὶς ἀντείποι μὴ συμβῆναι, κατὰ δὲ τὸ εἰς ἅπαν, οὔ. ὥστε ἐκ περιουσίας ἀναιρεῖται ὁ πρὸς μίαν πόλιν συμβαίνειν βουλόμενος προκείμενον ἄλογος· ὁ δὲ πρὸς πᾶσαν τὴν κτίσιν ἀφορῶν τὸ κράτος ἀποφέρεται.

Καὶ ψυχὰς ἀνθρώπων.

Καταδουλοῦσά φησι, τοὺς ἐλευθέρους, ἄνθρωποι γὰρ ἀπὸ γενέσεως τῆς κατὰ πρόθεσιν ἁμαρτί[ας] δούλωτοι ὄντες· ποίας γὰρ οἱ μήπω τοῦ πολυμόχθου βίου τούτου μεταλαχόντες; διὸ οὔτε τῶν

[o] ἄρα om. B. [p] καὶ πλέον καὶ ἔλαττον B.

λιπαρῶν αὐτοῦ οἱονεὶ τῶν ἀπολαυστικῶν αὐτοῦ καὶ ἐνηδόνων μετέσχον. πῶς ὁ μήπω ὢν τῶν ἐνυπαρχόντων ἐν χρήσει γενήσεται; ἐπεὶ οὖν τὸ φθαρτὸν τοῦτο τοῦ νῦν κόσμου εἰς ἀφθαρσίαν μετεσκευάσθη, τίς ἔτι λόγος λείψανά τινα τῆς φθορᾶς ἐνθεωρ[εῖσθαι] τῇ ἀφθαρσίᾳ;

15 Οἱ ἔμποροι τούτων, οἱ πλουτήσαντες ἀπ' αὐτῆς, ἀπὸ
μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ
16 αὐτῆς κλαίοντες, καὶ πενθοῦντες καὶ λέγοντες, Οὐαὶ οὐαὶ
ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορ-
φυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ
τιμίῳ καὶ μαργαρίταις, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦ-
17 τος πλοῦτος. καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τῶν
πλοίων πλέων, καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν
18 ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν, καὶ ἔκραζον, βλέ-
ποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες, Τίς
19 ὁμοία τῇ πόλει τῇ μεγάλῃ; καὶ ἔβαλον χοῦν ἐπὶ τὰς
κεφαλὰς αὐτῶν, καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες
καὶ λέγοντες, Οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλού-
τησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς
τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.

Ἐμπόρους δυνάμεις θείας, ἢ δαίμονας νοητέον, οἳ συνεργοὶ τοῖς οὐρανοῖς, πρὸς ὅπερ ἑκατέρους τὸ καταθύμιον. πόρρωθεν δὲ τούτοις ἑκατέρα ἡ στάσις, φησὶ, διὰ τὸν φόβον. ἀλλ' Ἄγγελοι μὲν, διὰ τὸ τοῦ κριτοῦ αὐστηρὸν, ὅπερ ἡ τῶν ἁμαρτωλῶν ἀπείθεια προευπόρισεν. ἑωρῶμεν ἐν τοῖς μα**μᾶς τοῦ οἰκοδεσπότου ὀργιζομένου τοῖς κακούργοις τῶν δούλων. καὶ τοὺς εὐ[σχή]μονας καὶ εὐαρέσ[τους] πτοίᾳ συνεχομένους. μακρόθεν δὲ στῆναι τοὺς Ἀγγέλους καὶ δαίμονας· τὸ μηδὲν [ὄν]των ὡς ἄνθρωποι φύσιν μὴ χωρῆσαι πρὸς συνδρομὴν ἀνθρώποις [πά]ρεσχον γνωμικῇ προσθέσει πρὸς τὸ ἑκατέροις καταθύμιον ἀφορμῆσαι. τὸν φόβον δὲ τοῖς δαίμοσιν ἡ κοινωνία τῶν ἁμαρτωλῶν τῆς τιμωρίας ἐμποιήσει. ἣν ὑποσχεῖν ἡ τοῦ κριτοῦ ἀπόφασις ἐνδίκως καὶ τῷ τῆς τῶν ἁμαρτωλῶν ἐπιστασίας.

Οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον.

Ἀπὸ τῶν γνωρίμων τῶν ἐφυστεριζόντων παρέχει τὴν γνῶσιν. ἐπεὶ οὖν ἡ γνώριμος Βαβυλὼν, πολλῷ ἐξυβρίσασα πλούτῳ, ὑπ' ὄψιν ἄγει τὰ πάθη, διὰ τοῦ ἐπ' αὐτῇ βασιλείου θρόνου τὸ μέγεθος ὑπογράφων τῆς συμφορᾶς. καὶ οὐ μόνον τῷ πλούτῳ παριστᾷ καὶ τῇ τούτου ἀπωλείᾳ τὸ πένθος, ἀλλὰ καὶ τῷ τάχει τῆς διαφθορᾶς, τὸν ἐξ αἰῶνος πλοῦτον ἡμέρας βραχείας τῷ[q] διαστήματι ἀπολωλεκυίαν[r]. ἡ γὰρ τοῦ Κυρίου δευτέρα παρουσία, ὡς ἀστραπῆς ἐπελεύσεται τάχος, τὸν πολύμοχθον ἀφανίζουσα βίον.

Καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τῶν πλοίων πλέων.

Θαλάσσῃ τροπικῶς ὁ παρὼν βίος παρεβλήθη, ὡς πολλοῖς καὶ αὐτὸς πράγμασι κυμαινόμενος, ὑπὸ πνεύμασι μάλιστα δαιμονικῆς ἐπηρείας. εἰκότως δὲ καὶ πλοῖα ἐν αὐτῷ ὑπειλήφαμεν[s] τὰς τῶν ἐπισυμβαινόντων πραγμάτων ἐπιφορὰς, αἷς ὡσπερεὶ πλοίοις ἄνθρωποι χρώμενοι, τὸ τῆς ἑαυτῶν ζωῆς διαπλέουσι πέλαγος. κυβερνήτας δὲ, τούτους λογιστέον, τοὺς ἀσφαλῶς τῷ βίῳ χρωμένους. ναύτας δὲ καὶ πλωτῆρας καὶ θαλάττης[t] ἐργάτας, οὓς καὶ θαλαττίους σοφός τις ἐρεῖ, τοὺς περὶ τὰ τοῦ πολυκύμονος τοῦδε τοῦ κόσμου κεκμηκότας ἀνθρώπους, οἳ πάντες τὸ ἀπαραλόγιστον καὶ πάντως ἐσόμενον τοῦ βίου τούτου τέλος ἐννοηθέντες, καὶ πρὶν ἐπιστῇ, ἐφυλάξαντο[u]. τοῦτο γὰρ τὸ μακρόθεν ἑστᾶναι παρέχει νοεῖν. καὶ ὅτι τοῖς ἀτόποις ἐπιτηδεύμασι τῶν ἐνθαλαττευόντων ἀπαραιτήτως [v]πρὸς τοῦ δικαίου δημιουργοῦ, "ὃς ἔπλασεν ἐπὶ ἔργοις "ἡμᾶς ἀγαθοῖς, ἡμεῖς δὲ ἐζητήσαμεν λόγους πονηρίας," ᾗ φησιν ὁ Ἐκκλησιάστης Σολομῶν· ἀπαραιτήτως τοιγαροῦν ἐπακολουθήσει ἡ τιμωρία[x], ὥσπερ καπνῷ τὸ πῦρ, διὸ καὶ καπνῷ παρείκασε τὴν προσδοκίαν, [y]δηλοῖ ὁ σωτὴρ αὐτὸς, λέγων, "ὥσπέρ," φησιν, "ἡ "ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν, "οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου." πυρὶ δὲ τὸ

[q] βραχίστῳ B. [r] ἀπολωλεκυῖα B. [s] ὑπειλῆφθαι B. [t] θαλαττίους Edd. [u] ἐφυλ. om. B. [v] Hæc usque ad τοιγαροῦν om. Edd. [x] τῆς τιμωρίας τοῖς ἐργάταις τῆς πονηρίας B. [y] Quæ seq. om. B. usque ad πυρὶ δὲ.

ἐξεταστικὸν πρὸς ἀκρίβειαν τῶν πεπραγμένων ἀφωμοίωται[z]. εἰκότως δὲ καὶ καταπληκτικὸν οὗτοι κεκράξονται, καὶ τὰ ἀκόλουθα τῶν θρηνῳδούντων ὑποστήσονται, χοῦν καταχεάμενοι τῶν κεφαλῶν, καὶ εἴτι ἄλλο τοῖς θρηνῳδοῦσιν ἀκόλουθον, ἐκτελοῦντες.

Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;

Οὐκ ἔστιν ἄλλην πόλιν εὑρεῖν, ὅτι μηδὲ ἄλλον δημιουργὸν, μηδὲ ἄλλον κόσμον. Βαβυλῶνα δὲ ἄλλην, καὶ ἐν Αἰγύπτῳ ἔστιν εὑρεῖν, καὶ ταύτῃ ὁμοίαν ἐν αὐτῇ Αἰγύπτῳ κατὰ τὸ Ἡρακλεωτικὸν Νείλου στόμα Ἀλεξάνδρειαν, καὶ κατ' Εὐρώπην περὶ τὰ δυτικώτερα καὶ ἀρκτῷα Ῥώμην, καὶ κατὰ τὰ ἀνατολικώτερα τὴν ἐπὶ Βυζαντίῳ τῆς Κωνσταντίνου ἐπώνυμον.

Ἐν ᾗ ἐπλούτησαν πάντες.

Ἐντεῦθεν ἀναμφίβολον ὅτι οὐ περὶ πόλεως ὁ λόγος μιᾶς, ἀλλὰ περὶ παντὸς τοῦδε τοῦ φθαρτοῦ συστήματός ἐστι λαβεῖν. οὔτε γὰρ Βαβυλὼν, οὐ Ῥώμη, οὐκ ἄλλη πόλις ἐκ πλοίων πορείας μόνον πλουτεῖ, εἰ μὴ μόνος οὗτος ὁ κόσμος. ἀλληγορικῶς γὰρ πλουτεῖ τὸν τῷ ὄντι πλοῦτον διαψύχων ἀνθρώπων, οἳ καθάπερ διὰ πλοίων ἀμετόχως ἁλμυρᾶς ἐπικλύσεως τὸν κοσμικὸν σάλον διανέοντες, ἀνενδεῆ ταύτην τὴν ῥηθεῖσαν πόλιν τὸν κόσμον[a] κατεστήσαντο τῆς ἀπὸ τῶν ἐντίμων ἐμπορίας. διὸ καὶ ὡς χωρίον ὑπάρχουσαν, καὶ ἔδαφος σωτηρίας, ἀφ' οὗ καὶ ἀμοιβὰς εὕροντο τῶν πόνων, θρῆνον συνεκρότησαν θεασάμενοι ἀφανισμῷ παραπεμφθεῖσαν.

20 Εὐφραίνου ἐπ' αὐτῇ οὐρανὲ, καὶ οἱ ἅγιοι, καὶ οἱ
ἀπόστολοι, καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ
21 κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς
λίθον ὡς μῦλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν,
λέγων, Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη
22 πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. καὶ φωνὴ κιθαρῳδῶν καὶ
μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ
ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ
ἐν σοὶ ἔτι, καὶ φωνὴ μύλου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι,
23 καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ

[z] ἀφωμ. om. B. [a] τὴν ῥηθ. πολ. τ. κοσμ. om. B.

νυμφίου καὶ νύμφης, οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. ὅτι οἱ
ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ
24 *φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη, καὶ ἐν*
αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων
τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Καὶ ἀπὸ τούτου τὸ περὶ τοῦ κόσμου τὸν χρηματισμὸν εἶναι, οὐ περὶ μιᾶς πόλεως βεβαιούμεθα. τὸ δὲ μετὰ τὸν θρῆνον εἰς εὐφροσύνην τραπῆναι[b], οὐ τῶν ἐν κόσμῳ τὸ δρᾶμα, ἀλλὰ τῶν οὐρανίων, ὡς ἤδη τοῦ ἐναγωνίου τόπου ἀφανισθέντος, οἳ ἐν τύπῳ[c] τὸν νικητήριον ἀναδησάμενοι στέφανον, ὅσον ἐν προφήταις, ὅσον ἐν Ἀποστόλοις, ὅσον ἐν ὁσίοις, ἐν ἱεράρχαις, καὶ εἴτι λοιπὸν σύστημα τῶν εὐαρεστησάντων Θεῷ, χαρᾶς ἀλήκτου, τὸ ἀπὸ τοῦδε μετάσχοιεν[d], ἀκόπου καὶ ἀπραγματεύτου ζωῆς ἠξιωμένοι, πρὸς τοῦ κατ' ἀξίαν εἰδότος κρῖναι[e], τουτέστι βραβεύειν τῶν πόνων τὰ ἔπαθλα. εἰ δέ τι δεῖ καὶ παραδοξότερον ἐρεῖν, οὐδὲ τοῖς ἀστοχοῦσι διὰ πλημμελείας θείων βραβείων ἀποθύμιος ἡ τοῦ παρόντος κόσμου συντέλεια, λυθέντος χωρίου, ἐν ᾧ ἀνομίαν ἐπ' ἀνομίᾳ προστιθέναι ἀφρό[νες] ἐδυστύχουν. ἀφ' οὗ καὶ τῆς τοῦ Θεοῦ δικαιοσύνης διήμαρτον.

Ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρίμα.

Οἱονεὶ ἠκρίβωσε τὸ κατ' ἀξίαν ἑκάστῳ ἀνταπόδωμα τῶν σωτηρίων πόνων.

Καὶ ἦρεν εἷς Ἄγγελος ἰσχυρὸς λίθον ὡς μῦλον μέγαν.

Διαφόροις τροπολογίαις ὑποβάλλει τὴν τοῦ φθαρτοῦ κόσμου συντέλειαν. διὸ πρὸς ταῖς εἰρημέναις καὶ ταύτην συνεπιφέρει[f], μύλῳ[g] ἀπεικάζων αὐτὸν καταδύνοντι ὁρμήματι εἰς ὑγρὰν οὐσίαν. οὕτω δέ φησι τὸν τοιοῦτον καταδύνειν ἀθρόον, ὡς μηκέτι λείψανον αὐτοῦ ἐνορᾶσθαι· καὶ τὸν αὐτὸν τρόπον, καὶ τοῦτον εἰς παντελῆ ἀδηλίαν χωρῆσαι. καὶ ἵνα τοῦτο ἐκδηλότερον ᾖ, προστίθησι καὶ τὰ ἐν αὐτῷ ἐξ αἰῶνος ἐμπολιτευθέντα τρυφῆς παραίτια καὶ ἀσωτίας ὄχλον ἀναιρεθίζοντα.

[b] προβῆναι B. [c] τούτῳ B. [d] μετάσχοιτε B. [e] κρίνειν B.
[f] νῦν ἐπιφέρει B. [g] μύλωνι B.

Ὅτι οἱ ἔμποροί σου.

Ἐμπόρους τοὺς συγκροτοῦντας τὸ ἐπὶ γῆς τοῦτο ἐλεεινὸν λέγει πανηγύριον, διὸ καὶ μεγιστᾶνας φησίν. οὐ γὰρ πενήτων τὸ ἁβροδίαιτον, οὐδεμιᾶς ἐξουσίας τὸ διαφόροις γοητείαις ὥσπερ φαρμάκοις πάντα τὰ ἔθνη φαρμάσσειν, ἢ δυναστείαις καταδουλουμένους[h], ἢ τυραννικῇ βίᾳ ἀφανιζομένους[i], ἀφ᾽ ἧς καὶ αἵματα τῶν ἀνακειμένων Θεῷ χειμάρρου δίκην ἐχέθη, ὑπὸ μὲν[k] Ἰουδαίων, προφητῶν, ὑπὸ δὲ Ἑλλήνων, τῶν ἁγίων μαρτύρων ἀπὸ Ἄβελ καὶ μέχρι συντελείας τοῦ κόσμου.

ΚΕΦ. Νϛ.

Περὶ τῆς τῶν ἁγίων ὑμνῳδίας, καὶ τοῦ τριπλοῦ Ἀλληλούϊα, ὅπερ ἔψαλλον ἐπὶ τῇ καθαιρέσει Βαβυλῶνος.

1 Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολ-
λοῦ ἐν τῷ οὐρανῷ λεγόντων, Ἀλληλούϊα· ἡ σωτηρία,
καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τῷ Θεῷ ἡμῶν,
2 ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ, ὅτι ἔκρινε τὴν
πόρνην τὴν μεγάλην, ἥτις διέφθειρε τὴν γῆν τὴν μεγά-
λην, ἥτις διέφθειρε τὴν γῆν ἐν πορνείᾳ αὐτῆς, καὶ ἐξε-
3 δίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς. καὶ
δεύτερον εἴρηκεν, Ἀλληλούϊα, καὶ ὁ καπνὸς αὐτῆς ἀνα-
4 βαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἔπεσον οἱ
πρεσβύτεροι οἱ εἰκοσιτέσσαρες καὶ τὰ τέσσαρα ζῶα,
καὶ προσεκύνησαν τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ,
λέγοντες, Ἀμὴν, Ἀλληλούϊα.

[l]Ἤκουσα ὡς φωνὴν μεγάλην ὄχλου πολλοῦ.

Ἀμύθητα γὰρ τὰ τάγματα τῶν ἁγίων Ἀγγέλων ἐστί· διὸ καί τις τῶν πατέρων τὰ ϙθ πρόβατα σωζόμενα τοὺς Ἀγγέλους εἶναι, τὸ δὲ ἓν τοὺς ἀνθρώπους. ἀλλὰ καὶ Δανιὴλ χιλίας χιλιάδας καὶ μυριάδας τῶν λειτουργούντων εἰσάγει Θεῷ· ὡς φωνὴ γὰρ, ἀλλ᾽ οὐ

[h] καταδουλούμενα B. [i] ἀφανιζόμενα B. [k] μὲν om. B. [l] Hoc Sch. carent Edd.

φωνήν. οὐ γὰρ αὐτόχρημα φωνὴ, ἀλλ' ὡς φωνή. τίς γὰρ ἂν καὶ εἴη φωνὴ, ὧν φωνῆς ὄργανα οὐ δηλοῦται. καλῶς οὖν ὡς φωνὴν εἴρηκεν, ὁμοιωματικῷ χρησάμενος μορίῳ.

*Ἀλληλούϊα σημαίνει τὸ ὑμνήσατε, αἰνέσατε τὸν Θεόν. ἄξιος γὰρ ὕμνου μὲν, ὡς προαγωγεὺς εἰς τὸ ὂν τῶν μὴ ὄντων· αἴνου δὲ, ὡς σωτηριωδῶς τῶν * ῥηγμένων ὑποστήσαντος. εὐχαριστήριον τοίνυν*[m] *ᾄδουσιν ᾠδὴν ἐπὶ τῇ δικαιοκρισίᾳ* [n]*τοῦ Θεοῦ, ὅτι ἀσπροσωπολήπτως ὑπεξῆλθε τῇ πόρνῃ τῇ μεγάλῃ. λέγει δὲ τοὺς ἐν τῷ κόσμῳ τούτῳ.* [o]*τὸ γὰρ τὸν κόσμον νοεῖν μόνην τὴν ὁρωμένην κτίσιν, ἥλιον λέγω καὶ ἄστρα καὶ τὰ τούτοις ἑξῆς οὐ κατὰ σκοποῦ βάλλοντός ἐστι· οἶδεν γὰρ ἡ γραφὴ καὶ διῃρημένως χρῆσθαι τῷ τοῦ κόσμου ὀνό[ματι] ὡς ὅταν λέγῃ, "τοῦ Κυρίου ἡ γῆ καὶ τὸ "πλήρωμα αὐτῆς." ἐπεὶ οὖν καὶ τὸ πλήρωμα εἰς κόσμον λελόγισται καὶ μάλιστα τοῦτο τῇ πλημμελείᾳ, καὶ ἡ ἄψυχος οὐ δια * * νει μαστιζομέν * οὕτως ὁ αἶνος επὶ * δικία ἐπιτελεῖ· ἥτις συνέστη ἐπὶ * * νῃ οὐ τῇ ἀναισθή[τῳ], οὐ γὰρ ἂν ἥλιος ἢ ἄστρα * νεύσει ἢ ἀὴρ ἢ γῆ τὸ πλήρωμα· καὶ ὅτι τοῦτο ἐχέγγυος ὅλως πι[στώσασθαι] τὴν διὰ τῆς πόρνης ἤτοι συστήματος καὶ τῇ γῇ· * * νον γενέσθαι τῆς διαφθορᾶς καὶ ἀνυπάρ[ξεως] ἐν τῷ ἐκδικῆσαι διαθεῖναι τὸ αἷμα ἐ * * ρὸς αὐτῆς· πεπερασμένως εἰσήγαγε ἐμπολιτευόμενον καλεῖν πόρνην, ἀλλὰ τὸν αἰσθητὸν κόσμον καὶ ἄψυχον.*

[p]*Ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην.*

*Εἰ περὶ μιᾶς πόλεως ὁ λόγος, πῶς μία πόλις ἐξήρκεσε διαφ * * τὴν γῆν ἅπασαν;*

Καὶ δεύτερον εἴρηκεν Ἀλληλούϊα.

Ἐπὶ τῷ πρώτῳ καὶ δεύτερον Ἀλληλούϊα, καὶ ἐπὶ τούτῳ καὶ τρίτον. καὶ ἔτι[q] *κατωτέρῳ καὶ τρισσῇ τῇ τοῦ Ἀλληλούϊα ἀναφωνήσει, τὴν τρισυπόστατον ἀνυμνεῖσθαι Τριάδα ὑπ' αὐτῶν θεωρήσεις*[r]. *τίνες δὲ οἱ πρεσβύτεροι καὶ τὰ τέσσαρα ζῶα, προτεθεώρηται. καπνὸς δὲ ἀνέβη*[s], *ἡ ἀποκειμένη τῆς τιμωρίας ἐλπὶς ἐξ*

[m] *τοιγαροῦν* B. [n] *δικαίᾳ κρίσει* B. [o] Quæ seq. om. Edd. ad fin. Sch. [p] Et hoc Sch. carent Edd. [q] *ὅτι* B. [r] *θεωρήσεις* om. B. [s] *ἀναβαίνει* B.

αἰῶνος ἀποκρεμαμένη τοῖς ἀξίως τῶν ἑαυτῶν πονηρῶν ἔργων ληψομένοις τὴν ἀμοιβήν[t].

[u]*Ἐν μέσῳ δὲ τὸ Ἀλλελούϊα διέκοψε τὸν εἱρμὸν τοῦ λόγου· ἐπεί τοιγε ἡ ἀκολουθία τῆς συντάξεως τοῦ λόγου αὕτη τυγχάνει, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς, καὶ ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἴρηται δὲ καὶ τίς ὁ καπνὸς, ὅτι ἡ ἀπαράβατος πρὸ τοῦ ἀπ' αἰῶνος καὶ εἰς ἀῶνα ἀτελευτήτου πυρός· οὗ ἐκ παραλλήλου καὶ ἡ τοῦ Ἀλληλούϊα δοξολογία ἀτελεύτητος τῷ ἀμὴν ἐπισφραγιζομένη, ὃ τὸ ἀληθὲς εἰς Ἑλλάδα γλῶσσαν μεταφερόμενον ἐμφανίζει, ἢ τὸ πρὸς τέλος ἀφῖχθαι, ἤτουν γενέσεως ἤδη δεδράχθαι· καὶ τί γὰρ ἄλλο τῆς φθορᾶς εἰς ἀφθαρσίαν ἔσται μετεγγισθείσης;*

[v]Καὶ ἔπεσον οἱ Πρεσβύτεροι.

Πρεσβύτεροι τῶν νοερῶν καὶ θείων δυνάμεων σύμβολον. τὰ δ' ζῶα τὰ ἐκ τεσσάρων στοιχείων σωματικὴν ὕπαρξιν εἰληχότων, καὶ πρὸς ἀγγελικὴν κατάστασιν μεταταξαμένων.

"[x]Τὰ Σεραφεὶμ γὰρ," ὡς Ἡσαΐας φησιν, "τὸν ὑψηλὸν ἐπηρμένον Κύριον καθῆσθαι." εἰ δὲ μὴ ἀπ' αὐτοῦ τοῦ θρόνου τίς ἐθέλοι τὸν αἶνον προιέναι, τὸ τὰ Σεραφεὶμ τὸν θρόνον κυκλοῦν, οὐχ ἧττον καὶ οὗτος ἀπὸ τῶν Σεραφεὶμ ὁ αἶνος, ἐ[πεὶ] καὶ τοῦτο ὁ αὐτὸς Ἡσαΐας ἐξέφηνεν, ἐν τῷ τὸν θρόνον εἰπεῖν τὸ Σεραφεὶμ καὶ τὸ τρισάγιον Δ[y] *κραυγὴν διάλληλον ἀναφωνεῖν εἰρήκως· τοῖς δούλοις δὲ πρὸς τῶν Σεραφεὶμ ἀνατίθεται ὁ αἶνος καὶ τοῖς φοβουμένοις. οὐχ ὅτι ταῦτα οὐ δοῦλοι οἱ ἐκ προστάγματος τὸ εἶναι λαβόντες, ὡς Δαβὶδ φησιν, "ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν," καὶ "ὅτι τὰ σύμπαντα δοῦλα σά," ἀλλὰ τὰ Σεραφεὶμ ἄϋλον κτίσιν συμπληροῦντα τῇ ἐνύλῳ ταύτῃ κελεύειν ἐκ προκοπῆς τὸ εἰς δουλεί[αν τε]τυχηκότας. διὸ ὁ προκαταρκτικὸς φόβῳ ἐστοιχειῶσε καὶ τὸ μικροὶ καὶ μεγάλοι ἀπολαχεῖν κατὰ μέτρον τῆς περιφόβου φιλοπονίας.*

5 Καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε λέγουσα, Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φοβού-

[t] λήψεσθαι ἀνταμοιβὴν B. [u] Quæ seq. om. Edd. [v] Hoc Sch. carent Edd. [x] Hinc seq. Cod. B. [y] Sic.

6 *μενοι αὐτὸν οἱ μικροὶ καὶ οἱ μεγάλοι. καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λέγοντας Ἀλληλούϊα, ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ.*

Θρόνος τοῦ Θεοῦ τὰ Σεραφίμ[y]. εἰ οὖν ἀπὸ τούτου ἡ φωνὴ, ἄρα καὶ ἀπὸ τῶν Σεραφίμ. ἢ εἰ καὶ μὴ τὸν θρόνον τις ἐθέλοι νοεῖν τὰ Σεραφὶμ, ἀλλὰ καὶ οὕτως[z] ἀπὸ τῶν Σεραφὶμ ὁ αἶνος. [a]μετὰ τὸ τρισσὸν δὲ Ἀλληλούϊα, καὶ πάλιν Ἀλληλούϊα, ὡς καὶ παρὰ τῷ προφήτῃ Ἡσαΐᾳ τὰ Σεραφεὶμ καὶ τρὶς εἰπόντα "ὁ "ἅγιος," εἰς μίαν συνέκλεισαν κυριότητα τὴν τρισσὴν ὁμολόγησαν σημαίνοντα· οἷα μὲν ταῖς ἰδιότησι, ἤτουν ὑποστάσεσι [ἢ] προσώποις, ἓν δὲ οὐσίᾳ· οὕτω κανταῦθα τρὶς τὸ Ἀλληλούϊα φθεγξάμεναι αἱ οὐρανίαι δυνάμεις, καθεκάστην τῶν τριῶν ὑποστάσεων τὸ σέβας ἀνατεθηκυῖαι, νῦν ἓν τῇ ἁγίᾳ Τριάδι τὸ Ἀλληλούΐα προσᾴδουσι, παραδηλοῦσαι ὅτι ἐν μοναδικῇ οὐσίᾳ καὶ θεότητι ἡ ἁγία καὶ πανύμνητος ὑπάρχει Τριάς.

Καὶ ὡς φωνὴν ὑδάτων πολλῶν.

Τὴν φωνὴν ταύτην, πολλοῦ ὄχλου ὑδάτων καταρρήξει καὶ βροντῶν ἰσχυρᾷ ἀπεικάζει διηχήσει, τὸ διαπρύσιον τοῦ ὕμνου τῶν οὐρανίων καὶ ἀναρίθμων παραδηλῶν δυνάμεων.

[b]*Ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ.*

"Παντοκράτωρ·" πάντως καὶ πρὸ αἰώνων ἔχων τὸ κράτος, ὁ ποιητὴς ἁπάντων· τί οὖν βούλεται ἡ νῦν ὑμνολογία; νεαρὸν τὸ κράτος τὸ κατὰ πάντων ἐμφαίνουσα τὸ ἀνυπέρβλητον τῆς περὶ ἡμᾶς γνωμικῆς οἰκειώσεως τοῦ ὑπερπλήρους τῇ ἀγαθότητι· ὅτι τὰ ἡμέτερα ἅπαντα οἰκειώσατο· διὸ καὶ ὡς ὁ θεῖος Παῦλός φησι, τὸ "ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου," ἰδιοποιήσασθαι οὐκ ἀπηξίωσε κρεμασθεὶς ἐπὶ ξύλου σταύρου· οὕτως καὶ τὸ τῶν ἐθνῶν ἀνυπότακτον οἰκειούμενος ἕως ὁ πολυσχιδὴς οὗτος συνίσταται κόσμος δοκεῖ τὸ πρὸς τὸν Πατέρα φέρειν ἀνυπότακτον· ἐπειδὰν δὲ τὸ διάφορον τοῦ νῦν κυκεῶνος συντελεσθὲν τὸ θεῖον θέλημα σω-

[y] σεραφεὶμ ubique B. [z] ἀλλ' οὖν καὶ οὗτος B. [a] Hinc seq. cod. B. [b] Hoc Sch. carent Edd.

τηρι * ἐκλάμψῃ, κατὰ τὴν ἀποκειμένην τοῦ Κυρίου παρουσίαν δευτέραν· τότε ἅτε διὰ πάσης τῆς ἀνθρωπίνης φύσεως ἐνεργῆ τὴν ἐπιφοίτησιν τοῦ θείου δεξαμένης θελήματος, καὶ τοῦ δοκοῦντος δι᾽ ἐμὲ ἀνυποτάκτου τῷ Υἱῷ ἐν ὑποπτώσει τῷ Πατρὶ νομισθείη· διὸ καὶ ἡ χαρὰ καὶ τὸ ἀγαλλίαμα ταῖς ὑπερκοσμίοις συσταίη δυνάμεσιν· αἳ καὶ εἰ ἐπὶ ἑνὶ ἁμαρτωλοῦ χαίρουσι σωτηρίᾳ, πόσῳ μᾶλλον ἐπὶ παγκοσμίῳ δικαιοδοσίᾳ; καὶ ἵνα παραστήσῃ τὸ τῆς πρὸς τοὺς σωζομένους ἀνακράσεως τοῦ Θεοῦ, γάμῳ παραβάλλει, καθὸ καὶ εἴρηται, "καὶ ἔσονται οἱ δύο εἰς σαρκὰ μίαν." τὸν γάμον δὲ τῷ ἀρνίῳ ἀφορίζει, καθότι καὶ αὐτὸς ὑπὲρ ἡμῶν ὡς ἄμνος ἤχθη εἰς θάνατον. διὸ καὶ τοῖς υἱοῖς Ἰσραὴλ τοῖς ἀπ᾽ Αἰγύπτου πρὸς τὴν ἐπηγγελμένην διάβασιν γῆς ὑπόμνησιν κατὰ τὴν ἡμέραν τοῦ Πάσχα, ἀρνίου θυσίαν προσέταξεν· ἐκεῖνο ὑπογράφων ὡς καὶ αὐτὸς κατὰ τὸ Πάσχα τὸ τυπικὸν σφαγιασθεὶς τὴν ἀπὸ τῆς φθορᾶς εἰς ἀφθαρσίαν ἡμῶν ὑποβάλλεται μετάβασιν.

ΚΕΦ. ΝΖ.

Περὶ τοῦ μυστικοῦ γάμου, καὶ τοῦ δείπνου τοῦ ἀρνίου.

7 Χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν τὴν δόξαν
αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ
8 ἡτοίμασεν ἑαυτὴν, καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσ-
σινον λαμπρὸν καὶ καθαρόν· τὸ γὰρ βύσσινον, τὰ δι-
καιώματα τῶν ἁγίων ἐστί. καὶ λέγει μοι, γράψον, μα-
κάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημέ-
9 νοι. καὶ λέγει μοι, οὗτοι οἱ λόγοι ἀληθινοὶ τοῦ Θεοῦ
10 εἰσι. καὶ ἔπεσον ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ, προσ-
κυνῆσαι αὐτῷ· καὶ λέγει μοι, ὅρα μὴ, σύνδουλός σου
εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν
Ἰησοῦ· τῷ Θεῷ προσκύνησον. ἡ γὰρ μαρτυρία τοῦ
Υἱοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.

[e]Καὶ δῶμεν τὴν δόξαν αὐτῷ.

Ὑποταγέντων αὐτῷ πάντων τῷ καὶ πρὸ τῆς σωτηρίου πᾶσιν

[e] Hoc Sch. carent Edd.

ἐνανθρωπήσεως καὶ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὡς Υἱὸς καὶ συνδημιουργὸς τῷ Πατρὶ καὶ τῷ Πνεύματι, καὶ μετὰ τὴν ἐνανθρώπησιν ὁμοίως πάντων βασιλεύοντος. οὐδὲ γὰρ ἐκ τῆς ἐνανθρωπήσεως ἠλαττώθη τι τῆς κατὰ πάντων ἀρχῆς. ἀλλ' ἐπεὶ κατὰ τὸν θεῖον Ἀπόστολον πάντα παρὰ τὸν Κύριον οἰκειωσάμενον, ἵνα καὶ πάντων ἀποτίσας τὸ ὄφλημα ἡμῖν βραβεύσῃ τὸ εἰς ἀνεύθυνον· ὅτε καὶ τὸ διὰ τὴν παρακοὴν ἐπιτίμιον ἀργὸν χρηματίσει. τοῦτο δὲ οὐχ ὁ θάνατος; διὸ καὶ Παῦλος ἔσχατόν φησιν ἐχθρὸν καταργεῖσθαι τὸν θάνατον, εἰκότως αἱ δυνάμεις τὸ ἐβασίλευσεν ὁ Θεὸς ἡμῶν ᾄδουσιν· ὡς τότε τοῦ θανάτου καταργηθέντος φθορᾶς οἰχομένης τοῦ κόσμου, τὴν βασιλείαν τὴν ἐπὶ πᾶσιν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Κύριος Ἰησοῦς Χριστὸς καὶ Θεὸς, βασιλείαν ἀνενδοίαστον κληρονομεῖ· τῶν μὲν ἐν τῇ κολάσει, τῶν δὲ κατὰ πρόσωπον πεμφθέντων τιμῇ καὶ δόξῃ· οὐ δι' ἐσόπτρου καὶ αἰνίγματος, ἀλλ' αὐτόχρημα καὶ ἀληθές.

Ὁ ἐν τῷ παρόντι πνευματικὸς γάμος τοῦ Κυρίου ἐπὶ τῇ πρὸς τὴν Ἐκκλησίαν μνηστείᾳ ἐστὶ, καὶ οὕτω[d] *τέλειος γάμος. καὶ τοῦτο αἰνίττεται ὁ θεῖος*[e] *ἀπόστολος Κορινθίοις γράφων, "ἡρμοσάμην γὰρ ἡμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆναι τῷ Χριστῷ." ἔτι οὖν κατὰ [τὸν] παρόντα μνηστείας πρᾶγμα, καὶ σύμβολον τῆς μνηστείας, * τοῦ ἡρμόσθαι α * τοῦ Πνεύματος ὃ Πνεῦμα δ * * θα ὅταν μετὰ χ * * [ἐκ]κλησία. ὥσπερ μετὰ τῆς γυναῖκος σῶμα, οὕτως καὶ ὁ Χριστὸς μετὰ τῆς Ἐκκλησίας ἓν γέννηται Πνεῦμα, ὃ καὶ γάμος τέλειος, "ἡνίκα ᾖ τὰ πάντα ἐν πᾶσι." ἐντεῦθεν καὶ ὁ αὐτὸς ἅγιος Ἀπόστολος τὸ τοῦ γάμου μυστήριον μ * * εἶναι καὶ εἰς Χριστὸν ἀναφέρεσθαι καὶ τὴν Ἐκκλησίαν· διὸ καὶ οἱ Ἄγγελοι ὑμνοῦντες, "ἦλθεν" φασὶν "γάμος τοῦ ἀρνίου." τοῦτο γὰρ ἡ νῦν μνηστεῖα τῆς ἀποστολικῆς ἁρμόσεως προ * άζεται, ὡς τοῦ γάμου κατὰ τὸ Εὐαγγέλιον, πῆ μὲν εἰς βασιλέως υἱὸν γάμῳ ἐκδιδόμεν * *, πῆ δὲ εἰς παρθένων φωτοφορίαν πρὸς παστάδα ἐπειγομένων τὴν ἀποκειμένην τοῖς ἀξίοις ἀποκατάστασιν.*

Καὶ ἡ γυνὴ αὐτοῦ.

Γυναῖκα τὴν Ἐκκλησίαν ἀλληγορίας τρόπῳ καλεῖ, διὸ καὶ γάμος εἰσάγεται υἱοῦ, καὶ παρθένοι λαμπαδοφόροι[f], *ὧν αἱ μὲν διαρκεῖ*

[d] οὔπω B. [e] θεσπέσιος ἀπ. Παῦλος B. [f] λυχνοφόροι B.

χρησάμεναι τῷ ἐλαίῳ, τῆς εἰς τὸν νυμφῶνα[g] εἰσόδου ἠξίωνται, αἱ δὲ σπάνῃ[h] τούτου λειφθεῖσαι, θυραυλεῖν κατεκρίθησαν, ὥσπερ ἀμέλει καὶ ὁ μὴ γάμου ἔνδυμα ἠμφιεσμένος, ἔκπτωτος τῆς γαμικῆς ἀπεφάνθη τραπέζης· [i]μετάγε τῶν ἑαυτοὺς ἀναξίους ἀποφηνάντων ταῖς ἀσχολίαις τῶν βιωτικῶν μεριμνῶν περισπωμένους. ἀνθ᾽ ὧν οἱ ἀπὸ τῶν φραγμῶν καὶ τριόδων συνέστιοι τῷ δειπνοποιῷ ὤφθησαν οὐδὲν ἐλλιπόντες τὸ τοῖς φραγμοῖς παρεστάναι οἱονεὶ τοῖς ἀποτετειχισμένοις τοῖς πολλοῖς εἰς ἄβατον μυστήριον θ * * ὥσπερ οἱ ἀπὸ πρωΐας ἀργοὶ μηδενὸς κεκληκότος· κληθέντες γὰρ ἑκάτερος οὐχ * * ρησαν· τὸ δ᾽ αὐτὸ καὶ οἱ παρόδιοι. δεδόσθαι δέ φησι τῇ γυναικὶ, τουτέστι, τῇ Ἐκκλησίᾳ, τὸ βύσσινον ἐνδύσασθαι, οἱονεὶ τὸ λαμπρόν. τοιοῦτον γὰρ καὶ ἡ βύσσος, φλοιὸν δένδρου Ἰνδικοῦ, εἰς λίνον κατειργασμένη. τοῦ λαμπροῦ τοίνυν διὰ τοῦ βυσσίνου δηλωθέντος, ὃ καὶ αὐτὸ ἡ προκειμένη Ἀποκάλυψις παριστᾷ, τὸ λαμπρὸν εἰποῦσα καὶ καθαρὸν, τί ἂν ἄλλο ἐννοηθείη, ἢ αἱ ἀρεταί· αἷς τὸ λαμπρὸν καὶ λεπτὸν, τοῖς διανοήμασιν ἐξυφαίνεται τῶν θείων δικαιωμάτων; [k]δείπνῳ δὲ ἡ τῶν σωζομένων ἑορτὴ καὶ εὐφροσύνη παραβάλλεται παναρμονίῳ καὶ βασιλείᾳ οὐρανίῳ καὶ παραδείσῳ καὶ κόλποις Ἀβραὰμ καὶ νυμφῶνι καὶ γάμῳ· πολλῶν γὰρ ὄντων τῶν τοῦ μέλλοντος αἰῶνος ἀγαθῶν, πολυώνυμος τούτων προφέρεται μετοχή· δείπνῳ, διὰ τὸ ὑπερβάλλον τῆς εὐωχίας· βασιλείᾳ δὲ οὐρανῶν, διὰ τὸ ἔνδοξον αὐτῆς καὶ τίμιον· παραδείσῳ δὲ, διὰ τὸ ἀνελλιπὲς τῶν ἀγαθῶν ἁπάντων· κόλπῳ δὲ τοῦ Ἀβραὰμ, διὰ τὴν ἐκεῖ τῶν κεκμηκότων ἀνάπαυσιν. νυμφὼν δὲ καὶ γάμος οὐ μόνον διὰ τὴν ἄληκτον εὐφροσύνην, ἀλλὰ καὶ διὰ τὸ εἰλικρινὲς τῆς τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἀγάπης καὶ ἀνόθου.

[l]Βυσσίνῳ παρεικάσθη τὰ τῶν ἁγίων δικαιώματα, διὰ τὸ ἰσχνὸν αὐτῶν καὶ λαμπρόν. λαμπρὸν μὲν, διὰ τὸ τῆς ζωῆς αὐτῶν ἄληπτον καὶ πολιτείας· ἰσχνὸν δὲ, διὰ τὸ τῶν Θεοῦ δογμάτων λεπτὸν καὶ διηκριβωμένον τοῖς νοήμασι.

Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι.

[g] παστὸν B. [h] σπάνει B. [i] Hinc adj. B. usq. ad παροδίοι.
[k] Inserit B. quæ seq. usq. ad ἀνόθου. [l] Hoc Sch. car. Edd.

Καὶ δήγε καὶ μετὰ τὴν κλῆσιν[m] ἀπιόντες, ὡς δεῖ. πολλοὺς γὰρ ἴσμεν ἐν τῷ εὐαγγελίῳ [n]κεκλημένους, [o]παραιτησαμένους δὲ, ὡς καὶ πρὸ μικροῦ παρεθέμεθα, τὸ πνευματικὸν συμπόσιον· ἢ καὶ ἀπιόντας μὲν, ἔξω δὲ βαλλομένους, ὡς μὴ ἔχοντας ἔνδυμα γάμου· ἀλλὰ καὶ ὁ θεῖος Ἀπόστολος πολλοὺς εἴρηκε τοὺς κλητοὺς, ὀλίγους δὲ τοὺς ἐκλεκτούς. οὐ γὰρ ἡ πρὸς τὴν κλῆσιν ὁρμὴ ἐξαρκεῖ[p], ἂν μὴ καὶ μεταχείρησις εὔδρομος ᾖ τῇ προθέσει· [q]διὸ καὶ τοὺς τῆς κλήσεως λόγους τὸ ἀληθὲς ἐξ ἐμπράκτου φησι κεκτῆσθαι σπουδῆς. "Οὗτοι οἱ λόγοι ἀληθινοί."

Μὴ προσκύνει με.

Φησὶν ὁ Ἄγγελος, ὡς τὰ μέλλοντα προλέγοντα. οὐ γὰρ ἐμὸν τοῦτο τῆς προφητείας τὸ γνώρισμα[r], ἀλλὰ τῆς διὰ τὸν Χριστὸν ὁμολογίας τῶν συνδούλων μου. αὕτη γάρ ἐστι χορηγὸς τοῦ προφητικοῦ πνεύματος. [s]καὶ ἑτέρως δὲ νοητέον ὅτι διὰ τοῦτο ἡ προφητεία, ἵνα βεβαιω[θῇ] ἡ Χριστοῦ μαρτυρία, καὶ ἡ πίστις ἡ τοῦ Χριστοῦ ὑπὸ τῶν ἁγίων διαμαρτυρῆται. διὸ μὴ τῷ συνδούλῳ [προσκ]ύνει, ἀλλὰ τῷ πάντων ἔχοντι τὸ κράτος. καὶ ἐκ τούτων δὲ τὸ ταπεινὸν φρόνημα ἁγίων Ἀγγέλων μανθάνομεν, πῶς οὐ σφετερίζονται τὴν θείαν δόξαν κατὰ τοὺς ἀ ** ας δαίμονας, ἀλλὰ καὶ ταύτην τῷ δεσπότῃ προσφέρουσι· καὶ οὐκ ἐκ τούτου μόνου τῶν Ἀγγέλων ἐστὶν ἰδεῖν τοῦ φρονήματος μέτριον, ἀλλὰ καὶ ἀφ᾽ ὧν Ἰούδας ὁ Ἀπόστολος τῇ Ἐπιστολῇ αὐτοῦ διέξεισι τὸν Ἀρχάγγελον Μιχαὴλ ἐπὶ τοῦ Μωϋσέως σώματος σωφρονολογοῦντα· κατάρατοι καὶ θεοστυγεῖς Ἕλληνες ἀκούοντες ὡς ἐστὶ δόγμα παρ᾽ ἡμῖν θεσ ** ν ἁγίους Ἀγγέλους ἐπόπτας ἑκάστῳ ἀνθρώπων ἔθνει τετάχθαι πρὸς τοῦ Θεοῦ· καὶ Δανιὴλ πάλιν ** ν εἰσάγει ἄρχοντα [βα]σιλείας Περσῶν [ἐξεν]αντίας αὐτοῦ ἑ[στηκό]τα καὶ ἐπιστρέφον[τα] [πο]λεμῆσαι μετὰ [ἄρχο]ντος Περσῶν καὶ * ν τῶν Ἑλλήνων. [πα]λιν "οὐκ ἔστιν, ἀν[τέχο]μενός μου ὑπὲρ [τού]του εἰ "μὴ Μιχαὴλ ἄρχων ὑμῶν." καὶ ἐν τῷ * ῷ ἐκείνῳ "ἀναστή[σεται] "Μιχαὴλ ὁ ἄρχων ὁ [μέ]γας ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ."

[m] καὶ μ. τ. κλῆσιν om. B. [n] κεκλημ. ἐν τοῖς εὐαγγελίοις B. [o] Inserit B. usq. ad κλητοὺς. [p] ὡς μὴ τῆς ὁρμῆς τῆς πρὸς τὴν κλῆσιν ἐξαρκούσης εἰς σωτηρίαν B. [q] Add. quæ seq. B. [r] χάρισμα B.
[s] Omnia quæ seq. usq. ad Χριστιανοῖς ins. e Cod. B.

ἀλλὰ καὶ ἐκκλησι * Ἀγγέλων προστατούν[τω]ν, ὡς ἔφθημεν, διὰ τῆς παρούσης Ἀποκαλύψεως συνετισθέντες· οἷς καὶ ὁ θεῖος συνεὶς τὸν λόγον Γρηγόριος ἐν τῷ Συντακτηρίῳ λόγῳ αὐτοῦ[t], "χαίρετε" φάσκων, "Ἄγγελοι τῆς δὲ τῆς ἐκκλησίας. πείθομαι γὰρ ἄλλον "ἄλλης προστατεῖν ἐκκλησίας, καθὼς ἡ Ἰωάννου με διδάσκει "Ἀποκάλυψις." ἀλλὰ καὶ τοῦ καθέκαστα ἀνθρώπου φρουροῦ * οσόντος Ἀγγέλου· διὸ καὶ τὸ "παρεμβαλεῖ Ἄγγελος Κυρίου "καὶ ῥύσεται αὐτούς." καὶ δῆγε καὶ Παύλου, "οὐχὶ πάντες "εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ "τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;" ἐκ τούτων πάντων παραθηγόμενοι, φασὶ πρὸς ἡμᾶς δογματίζοντες, ὡς μάτην ἡμῖν μαχίμως διαφέρεσθε τοὺς ἐθνάρχας θεοὺς παρεισάγουσιν. οὓς γὰρ ὑμεῖς Ἀγγέλους φατὲ, θεοὺς ἡμεῖς ὀνομάζομεν, οὐδὲ περὶ τὸ ὄνομα διαφερόμενοι, ἐπεὶ καὶ αὐτοὶ θεοὺς ὀνομάζετε, ὡς ὅταν εἰσάγητε Θεὸν ἐν συναγωγῇ θεῶν ἱστάμενόν τε καὶ διακρίνοντα, ἀλλὰ καὶ τοὺς κριτὰς θεοὺς ὀνομάζετε, ὡς ὅταν φάτε, "θεοὺς οὐ κακολογή- "σεις." πρὸς οὓς λεκτέον· ὦ κατάρατοι, ἡμεῖς θεοὺς καὶ λέγομεν, ἐξ ἀρετῶν ὁρμαθοῦ τὸ θεῖον εὐτυχηκότας φαμὲν, οὐ τοὺς ἐπ' ἔργων αἰσχρότητι διαβοήτους· ὡς Ἡρακλῆς ἐπὶ πορνείᾳ τῶν Θεστίου θυγατέρων καὶ ἐπὶ ἀδηφαγίᾳ, ἀφ' οὗ καὶ Βουθύνας ἐλέγχθη. καὶ Διόνυσος ἐπὶ γυναικικῇ ἐκλύσει, καὶ τὰ γυναικῶν ὑπὸ Κορύβου παθαινόμενος· ἐθνῶν δὲ προστασίαν, οὐ προσαγωγὴν θειότητος, ὡς Νῶε, ὡς Ἀβραὰμ, ὡς Μωϋσῆς, ὡς Ἰακὼβ, ὑπὸ Ἀγγέλων θείων μυούμενοι, ἀλλ' ὡς ὑπὸ Ἄρεως τὰ φονικὰ τῶν ἐθνῶν καὶ ὑπὸ Ἀφροδίτης τὰ πορνικώτατα, ὡς οἱ Σαρακηνοί· οὔκουν ὅμοιά γε τὰ Ἑλλήνων Χριστιανοῖς.

Ἡ γὰρ μαρτυρία τοῦ Υἱοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας.

Ἀντὶ τῆς ἀμοιβῆς τῆς διὰ Χριστὸν μαρτυρίας, τὸ προφητικόν ἐστι χάρισμα, ὥστε καὶ ἐμοὶ[u] φησὶν ὁ Ἄγγελος· τὸ προφητεύειν γὰρ διὰ τοὺς συνδούλους μου τοὺς μάρτυρας παρεσχέθη.

[t] Ap. Greg. Naz. ed. Paris. 1609. t. i. p. 516 C. sic leg. πρὸς δὲ τοὺς ἐφεστῶτας Ἀγγέλους, πείθομαι γὰρ ἄλλον ἄλλης προστατεῖν ἐκκλησίας ὡς Ἰωάννης διδάσκεί με διὰ τῆς Ἀποκαλύψεως. [u] ὡς ἔστι καὶ ὅμοιον τῇ αὐτῇ Edd.

ΚΕΦ. ΝΗ.

Πῶς τὸν Χριστὸν ὁ εὐαγγελιστὴς ἔφιππον μετὰ δυνάμεων ἀγγελικῶν ἐθεάσατο σὺν φόβῳ.

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος
λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτὸν, πιστὸς καὶ ἀληθινὸς,
12 καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ· οἱ δὲ ὀφθαλμοὶ
αὐτοῦ, ὡς φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ δια-
δήματα πολλὰ, ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν,
13 εἰ μὴ αὐτός. καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον
ἐν αἵματι. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, ὁ Λόγος τοῦ
14 Θεοῦ. καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει
αὐτῷ ἐπὶ ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν,
καθαρόν.

Τὸ ἠνεῷχθαι τὸν οὐρανὸν, δηλοῖ τὴν τοῦ ἐλπιζομένου κριτοῦ παρουσίαν [v]ἐφεστηκέναι, ὥσπερ καὶ ἐνταῦθα ἐν τοῖς δικαστηρίοις παραπετασμάτων συνολκὴ τὴν τῶν ὑπευθύνων κρίσιν καὶ ἀπόφασιν ἐσχεδιᾶσθαι. ὁρᾷ δὲ αὐτὸν ἔποχον ἵππῳ λευκῷ, στρατηγικῶς ἐνεσκευασμένον, ὃν καὶ πιστόν φησι καὶ ἀληθινὸν, καὶ κρίνειν ἐν δικαιοσύνῃ[x] καὶ πολεμεῖν. ἵππῳ[y] μὲν διὰ τὸ τάχος τῆς ἐπελεύσεως, λευκῷ[z] δὲ, διὰ τὸ φαιδρὸν καὶ ἀνεπισκίαστον τῶν κριμάτων ὑπ' οὐδεμιᾷ δεδουλωμένον[a] προσωποληψίᾳ. ὥσπερ καὶ διὰ τοῦ προφήτου βοᾷ "τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται." πιστὸς δὲ καὶ ἀληθινὸς ὁ ἀναβάτης, περὶ οὗ καὶ Παῦλος φησὶ, "πιστὸς "μένει, ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται." [b]ὥστε ὁ αὐτὸς ἀληθινὸς κατὰ τοῦ αὐτοῦ εἴληπται· δύο προσηγοριῶν καθενομοσθεισῶν[c] πράγματος. τούτοις δὲ ὁ ἐποχούμενος ὁ κρίνων δικαίως, περὶ οὗ καὶ εἴρηται "τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου "τῷ υἱῷ τοῦ βασιλέως·" ὅς ἐστι τὸ **κα Χριστὸς υἱὸς Σολομῶντος· εἰς ὃν καὶ ὁ ψαλμὸς ἀναφέρεται. καὶ κρίνων δικαίως ὅτι

[v] Hinc om. Edd. usque ad ἐσχεδιᾶσθαι. [x] ἐν δικαιοσ. κρι. B.
[y] ὁ δὲ ἐποχῶν ἵππος μὲν B. [z] λευκὸς δὲ B. [a] δουλουμένων Edd.
[b] Quæ seq. om. Edd. usque ad fin. Schol. [c] Sic.

καὶ τοῦ[το τέ]τακται τῷ ψαλμῷ, "κρινεῖ" φάσκων "τὸ λαόν "σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχοὺς σώσει." λαὸν τὸν ἀδιακρίτως ἀγαθοῦ καὶ φαύλου συμπεφορημένον ὄχλον, ᾧ καὶ διακρί[νειν δί]καιον ἀπονέμεται. ἐν κρίματι δὲ τοὺς πτωχοὺς, οἱονεὶ τοὺς σπανίζοντας. ἀγαθὸς ἐν κρίσει ἀντὶ τοῦ ἐν κατακρίσει.

[d]Καὶ ἐν δικαιοσύνῃ κρινεῖ.

Οὔτε γὰρ ἡ κρίσις ἀδίκως προβήσεται, οὐχ ὅπως κατὰ τυραννικὴν βίαν, ἀλλὰ καὶ κρίνει λελογισμένως, καὶ πολεμεῖ νοητοὺς καὶ αἰσθητοὺς * ὑπὲρ τῶν αὐτοῦ δούλων, ὡς δῆλον ἀπὸ τοῦ λέγοντος. "περίζωσαι τὴν ῥομφαίαν σου εἰς μηρόν σου δυν[ατὲ τῇ] "ὡραιότητί σου [καὶ τῷ κάλ]λει σου, καὶ ἔντε[ινον καὶ] κατευ-"οδοῦ καὶ β[ασιλεύ]ε ἕνεκεν ἀλη[θείας]. εἶτα προστιθεὶς, ["τὰ "βέ]λη σου ἠκονη[μένα] δυνατέ· λαοὶ [ὑποκά]τω σου πεσοῦν-"[ται." οὕ]τω μὲν οὖν [τῇ δι]καιοσύνῃ κρίνειν καὶ πολεμεῖν.

Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ.

Οὐχ ὅτι τοιοῦτος τῷ εἴδει περιγέγραπται, Θεὸς ὁ τὸν οὐρανὸν πληρῶν, καὶ μηδενὶ τόπῳ περιοριζόμενος, καὶ δή γε πρὸς τούτοις καὶ διαφόροις εἴδεσι τοῖς θείοις ὀπτανόμενος προφήταις, ἀλλ' ὅτι δεῖ συγκαταβαίνειν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης κατανοήσεως. ἀφ' οὗ καὶ δῆλον, ὡς οὐ σωματικοῖς χαρακτῆρσι διαστέλλεται ὁ Θεὸς, τοῖς δὲ καιροῖς καὶ τοῖς πράγμασιν ἀφομοιούμενος τυγχάνει[e], ὥσπερ καὶ νῦν ἐπεὶ κρίσεως καιρὸς καὶ τῶν ἑκάστῳ βεβιωμένων ἡ κατ' ἀξίαν ἀπόδοσις παρέστι[f], τοὺς ὀφθαλμοὺς αὐτοῦ φλογὶ ἀπεικᾶσθαι ὁρῶμεν πυρὸς, ἐχούσῃ πρὸς τὸ φωτιστικὸν[g] καὶ καυστικόν. φωτιστικὸν μὲν, Ἀγγέλοις καὶ δικαίοις, καυστικὸν δὲ, δαίμοσι καὶ ἁμαρτωλοῖς. [h]τοῦτο δὲ καὶ Δαβὶδ φησι, ἐν οἷς τὴν τοῦ Κυρίου φωνὴν, ἤτουν τὸ πρόσταγμα, διακόπτειν φλόγα πύρος· τὰς ἐνεργείας λέγων τοῦ πυρὸς πρὸς τὸ * * ὧδες ὑποβάλλεσθαι.

Καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά.

Τὰ πολλὰ διαδήματα ἢ τῆς κατὰ ἐξουσίας ἐστὶ γνώρισμα, οὐρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. οὐρανίων μὲν, τῶν ἀγγελικῶν ταγμάτων [i]* περ ὅσα ὁ Δανιὴλ παριστᾷ τὸ ἀπειροπληθὲς

[d] Hoc Sch. car. Edd. [e] τυγχάνει om. B. [f] πάρεστι om. B. [g] φωτιστικῷ B. [h] Quæ seq. ins. B. usq. ad ὑποβαλλ. [i] Hinc usque ad διάγνωσιν om. Edd.

αὐτῶν διὰ τοῦ χίλιαι χιλιάδες καὶ μυριάδες τῶν ἐν ἀριθμοῖς ἀκροτήτων ὑποφήνας, ὁπηνίκα καὶ αὐτὸς κριτήριον καθίζ[ει] παγκοσμίου κρίσεως καὶ τελευταίας, καὶ βίβλους ἀνοιγομένας, τὴν τῶν ἑκάστῳ βεβιωμένων ἀνεπίληστον διάγνωσιν· ἐπιγείων δὲ, τῶν ἐν ἁγίοις συστημάτων καὶ τῶν ἐν βασιλεῦσι σκήπτρων· καταχθονίων δὲ, ἐπεὶ καὶ νεκρῶν ὥσπερ καὶ ζώντων κυριεύει κατὰ πάντων τὰ νικητήρια ἀποφερόμενος[k].

Ὁ οὐδεὶς οἶδεν, εἰ μὴ αὐτός.

Τὸ ἄγνωστον τοῦ ὀνόματος, τὸ τῆς οὐσίας αὐτοῦ ἀκατάληπτον σημαίνει. ταῖς γὰρ οἰκονομίαις ὢν πολυώνυμος, ὡς ἀγαθὸς, ὡς ποιμὴν, ὡς ἥλιος, ὡς φῶς, ὡς ζωὴ, ὡς ἁγιασμὸς, ὡς ἀπολύτρωσις[l]· καὶ ταῖς ἀποφάσεσιν ὁμοίως, ὡς ἄφθαρτος, ἀόρατος, ἀναλλοίωτος, ἡ οὐσία ἀνώνυμος, αὐτῷ μόνῳ γνωστὴ, οὐ πρὸς Ἀβραὰμ, οὐ πρὸς Ἰσαὰκ, οὐ πρὸς Ἰακὼβ, οὐ πρὸς Μωϋσέως, οὐ πρὸς Ἰησοῦν τοῦ Ναυὴ, οὐ Μανώε· διὸ καί φησι, "τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς" ὡς κρεῖττον ὂν ἀκοῇ ἀνθρώπου χ**θῆναι. διὸ καὶ τοῖς αὐτοῦ Ἀποστόλοις βαπτίζειν προστάσσων τὰ ἔθνη, εἰς σχετικὰ βαίνειν προσέταξεν, οὐ φυσικά· σχέσεως γὰρ ὀνόματα τὸ Υἱὸς καὶ Πατὴρ, οὐ φύσεως σημαντικὸν, καὶ οὔ τινι ἑτέρῳ.

Ἱμάτιον βεβαμμένον ἐν αἵματι.

Ἱμάτιον τοῦ Λόγου, ἡ ἄχραντος σὰρξ, ἡ βαφεῖσα ἐν τῷ τιμίῳ αὐτοῦ αἵματι. ἔφερεν γὰρ κἀν τῇ ὀπτασίᾳ σύμβολα τοῦ πάθους· ὡς κἀν τοῦ Ἡσαΐου δραματουργίᾳ. διὸ καὶ ὁ πυνθανόμενος αὐτοῦ, "τί σου ἐρυθρὰ τὰ ἱμάτια" ἐκζητεῖ. ἀλλ' εἰκός ἐστί τινα ἐπαπορῆσαι, πῶς ὁ πρὸ μικροῦ ἀνώνυμος χρηματίσας, καὶ πᾶσιν ἄγνωστος κατὰ τὸ ὄνομα, νῦν ἐνταῦθα Λόγος ὀνομάζεται. ἢ οὖν πρὸς ἔνδειξιν τῆς υἱϊκῆς ὑποστάσεως καὶ τῆς ἐμπαθοῦς ἐκ πατρὸς γενήσεως ἐκληπτέον τοῦτο, καθάπερ ὁ ἡμέτερος λόγος ἐκ τοῦ νοῦ πρόεισιν, ἢ τῷ πάντων τοὺς λόγους ἐν ἑαυτῷ φέρειν, ἢ τὸ ἐξαγγελεὺς εἶναι τῆς πατρικῆς σοφίας τε καὶ δυνάμεως καὶ ἐξουσίας.

Καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ.

Ἀρχιστράτηγος ὢν τῶν οὐρανίων δυνάμεων, ὡς αὐτὸς Ἰησοῦ τῷ

k ἐπιφερόμενος Edd. l ὡς ἀπολυτρ. om. Edd.

τοῦ Ναυῆ[m] *ἐχρημάτισεν, εἰκότως ὀπαδοὺς κατὰ τὴν στρατηγίαν συμπληροῦντας τὰ τάγματα ἔσχηκε, τὰ νῦν μάλιστα ἐπὶ πόλεμον τῶν ἀσεβῶν ὁρμώμενα*[n]. *ταῦτα δὲ ἀνθρωπίνως διεσκεύασται ἐν τῇ Ἀποκαλύψει, ὅτι μηδὲ ἄλλως ἦν δηλωθῆναι ταῦτα, θεῖά τε ὄντα καὶ τῇ ἐνούσῃ αὐτοῖς φύσει δηλωθῆναι ἀνθρώποις ἀνέφικτα· ἐκ τούτου γὰρ ἡ γνῶσις τοῖς ὁμοίοις ἐγγίνεται. ἱππόται δὲ καὶ ἵπποις ἔποχοι λευκοῖς παρίστανται, τῶν ἵππων μὲν τὸ ὀξὺ τῆς ἐπελεύσεως αἰνισσομένων, τοῦ δὲ λευκοῦ τοῦ ἐν τοῖς ἵπποις τὸ τοιούτοις ἐναγλαΐζεσθαι τὰ οὐράνια*[o] *τάγματα, ὅσοις τῆς συρφετοῦς τῶν ἐπὶ γῆς μελανίας τὸ ἄχραντον ἐπανθεῖ. καὶ δή γε καὶ αὐτοὶ οἱ ἀναβάται λευκὴν ἀμπεχόμενοι τὴν ἀπὸ βύσσου στολὴν ἐπιδείκνυνται. τί γὰρ τῇ οὐρανίῳ καὶ θείᾳ φατρίᾳ τῶν ἐνύλων τε καὶ γηΐνων ἐνθεωρηθείη ἂν ἁρμοδιώτερον*[p]; [q]*ἀνθρωπίνως δὲ ἔφθημεν ταῦτα νῦν ἐνεσκευάσθαι, λέγω δὲ τὸν πόλεμον τῶν * * καὶ οὐρανίων ταγμάτων ὑπὸ ἀρχιστρατήγῳ τῷ Κυρίῳ καὶ Θεῷ Ἰησοῦ Χριστῷ συγκροτούμενον καὶ πρὸς πόλεμον· ἀλλ' οὐ*[r] *πολέμου πρὸς ἰσοπαλεῖς ἐνισταμένου καὶ ἰσομάχους· τίς ἂν ἐνάμιλλος ὀφθείη ᾧ πάντα δοῦλα; τῇ παρουσίᾳ τῇ μετ' ὀργῆς οὐδὲν ἱκανὸν ὑποστῆναι τῶν γενητῶν. διὰ ταῦτα μὲν οὖν ὁ πόλεμος ὑπελήφθη δεδραματουργεῖσθαι. ἴσως εἰς ἔνδειξιν τοῦ μὴ αὐτομάτως καὶ τυχηρῶς, ἀλλὰ κε**μένως καὶ ὑπὸ θείᾳ **νίᾳ τοῦδε τοῦ παν** ἐξαγομένου.*

15 *Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία*
δίστομος ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ τὰ ἔθνη, καὶ αὐτὸς
ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. καὶ αὐτὸς πατεῖ τὴν
ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ
16 *παντοκράτορος. καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν*
μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον, Βασιλεὺς βασιλέων,
καὶ Κύριος κυρίων.

Ἐκ τοῦ στόματος ἡ ῥομφαία διάττουσα[s], *τὸ διὰ προστάγματος θείου δηλοῖ τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς ἐπαχθῆναι τὴν κόλασιν. ἀμφίστομον δὲ τὴν ῥομφαίαν διὰ τὸ ἑκατέρωθεν ὀργῆς*

[m] *ναυὶ* B. [n] *ὁρμώμενος* B. [o] *οὐράνια* om. B. [p] *ἂν ἁρμοδ.* om. B.
[q] Hinc usque ad fin. Sch. om. Edd. [r] *ἄλλου* Cod. [s] *διαλλάττουσα* B.

καὶ ἐλέου χωρεῖν τὰς ἀπὸ τοῦ θείου τῶν καταφρονητῶν τιμωρίας. ὀξεῖαν δὲ, διὰ τὸ ἀμελητὶ τὸ δραστήριον ἐπιφέρειν. [s]ὁ μὲν οὖν προφήτης τῷ μηρῷ δίδωσι τὴν ῥομφαίαν περιεζῶσθαι, τουτέστι τῷ ἀνθρωπίνῳ τοῦ Κυρίου Ἰησοῦ Χριστῷ καὶ Θεῷ· αὐτὸς γὰρ καὶ αἰτεῖ καὶ λαμβάνει. οὐχ ὁ συνα**ος τῷ Θεῷ καὶ Πατρὶ καὶ πάντα ὅσα τοῦ Πατρὸς ἀνυποστόλως ὄντα καὶ τοῦ Υἱοῦ. λαμβάνει δὲ διὰ τῆς [σιδ]ηρᾶς ῥάβδου, ἤτοι ὅτι τῇ τοῦ Κυρίου ἐνανθρωπήσει καὶ Ῥωμαίοις ἡ τοῦ παντὸς κόσμου περι**νε κυριότης· διὸ καὶ τὰ δημόσια τέλη πᾶσιν ἀνθρώποις ὡς ὑπεξουσίοις προσενεμήθη. ἐπεὶ ἐπὶ τῇ τοῦ διὰ σαρκὸς ἐπιδημίᾳ τοῦ Κυρίου καὶ τῇ σιδηρᾷ ῥάβδῳ ἡ τοῦ παντὸς ἐξουσία ὑπῆρξεν, ἀσκόπως αὐτὸς εἴρηται διὰ τῆς ῥάβδου πατάξαι τὰ ἔθνη· ποιμαίνει δὲ καὶ δι' αὐτῆς, εἴγε Κωνσταντίνου τοῦ Ῥωμαίων βασιλέως σχεδὸν ἐκλιπούσης τῆς κατὰ Χριστὸν πίστεως, πεπερασμένως εἰς πᾶν ἔθνος διεδόθη ὥσπερ ἀναβιοῦσα ἡ κατ' αὐτὸν πίστις. ὅτι δὲ ὁ μηρὸς ἀνθρωπίνης γενέσεως φέρει τὴν γνῶσιν, ὡς προϋποθέμεθα, τὸ "οὐκ "ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, "ἕως ἂν ἔλθη ᾧ ἀπόκειται·" καὶ περὶ μὲν τῆς ἐν τῷ [διστ]όμῳ ῥομφαίᾳ τοσαῦτα, οὐκ ἀκαίρως οἶμαι οὐδὲ περιττῶς. περὶ δὲ τοῦ ποιμανεῖν ἐν τῇ ῥάβδῳ τῇ σιδηρᾷ, οὕτω δοκῶ μοι· ὡς ἐν μὲν τῇ ῥομφαίᾳ πατάξαι, ὡς ἤδη εἴρηται τὰ ἐθνικῶς ἐπανηρημένα, ἐν δὲ τῇ ῥάβδῳ ποιμανεῖ τούτους οὓς ἐν τάξει θρεμμάτων εὗρε ποιμαινομένους, ἐπὶ τόπον χλοῆς κατασκηνῶν καὶ ἐπὶ ὕδατος ἐκτρέφων ἀναπαύσεως, ἅτινα οἱ κατηξιωμένοι τῆς ἐκεῖσε μακαριότητος αἴσθεσθε.

Ἐν ῥάβδῳ σιδηρᾷ.

[t]Ὅτε μὲν ποιμαντικῆς χρεία καὶ πα**ντικῆς ῥάβδου πρὸς τὸ ποιμάναι τὰ ἔθνη, ῥάβδος εὐθύτητος, ἐφ' ὕδωρ ἀναπαύσεως καὶ ἐπὶ *ην ἐκτρέφειν ἔχουσαν δίδοται· τὸ καὶ τὰ θρέμματα εὐπειθείᾳ κοσμεῖσθαι τῇ τοῦ ποίμενος **εσθαι πεφυκότα προνοίᾳ· ὅτε δὲ πρὸς ἀπείθειαν ἀποκλίνει θρασύτητι δαιμόνων οἰστρηλατούμενα, εἰς σιδηρᾶν μεταποιεῖται ῥάβδον, φέρουσαν τῇ ἀταξίᾳ τῶν ὑπο-

[s] Quæ seq. om. Edd. usque ad αἴσθεσθε. [t] Quæ seq. dedi e Cod. B. usque ad Θεοῦ. dein id. Sch. ex Edd.

κειμένων τὸ καταξίαν **αστικόν. ὅπερ τῷ ἐσχάτῳ καιρῷ τοῦτο ὅτε καὶ τὰ τῆς ἐπιστροφῆς εἰς περισσὸν ἀποπέμπεται, καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ. ἡ σιδηρὰ ῥάβδος οὐ ποιμαντική, ἀλλὰ θραῦσιν ἔχουσα τῶν πηλίνων τὸν βίον καὶ πρὸς συντριβὴν ἑτοίμων. τί οὖν ἐνταῦθα τὸ ποιμαντικὸν αὐτῇ δέδοται; οὐκ ἀσκόπως οἶμαι, ἀλλ' ὅτι τὸ ποιμαίνειν καὶ θηρίοις προσπολεμεῖν περιγίνεται. καὶ διὰ τοῦτο καὶ σιδηρᾶς ῥάβδου χρεία, τοῖς ἀνθισταμένοις ἀξίως τὸν ὄλεθρον ἐπιφερούσης. "πατεῖ δὲ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ" τίς ἕτερος, ἀλλ' ἢ ὁ Χριστός[u]; αὐτὸς γὰρ διὰ τῆς κρίσεως καὶ ἀνταποδόσεως τῶν πονηρῶν[x] τὸ πατρικὸν ἐκπληροῖ θέλημα. "οὐδὲ "γὰρ ὁ Πατὴρ κρίνει οὐδένα," κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου φωνήν, "ἀλλὰ τὴν κρίσιν ἅπασαν δέδωκε τῷ Υἱῷ." καί τινος χάριν; ἅτε τοῦ Υἱοῦ τῇ ἐνανθρωπήσει ἁπάσης ὡδευκότος τῆς ἀνθρωπίνης ἀσθενείας καὶ πρὸς τὰ χείρω εὐμεταβόλου εἰς τὴν * * * ἐκφέρει τὴν τιμωρίαν. εἰ γὰρ ἐνάμιλλον τῇ παροράσει, τίς ὑποστήσεται; ὅγε καὶ τοῦτο φιλανθρωπίας καὶ συμπαθείας ἐσχάτης, τὸ μὴ κατὰ τὰς ἀνομίας ἡμῶν ποιῆσαι ἡμῖν, μηδὲ κατὰ τὰς ἀδικίας ἡμῶν ἀνταποδοῦναι ἡμῖν.

Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ.

Τὸ ἱμάτιον, τὴν σάρκα αἰνίττεσθαι βούλεται, ὥσπερ καὶ διὰ Ἡσαΐου, ὅτε λέγει, "διατί σου ἐρυθρὰ τὰ ἱμάτια;" διὰ δὲ τοῦ μηροῦ, τὴν φύσιν τῆς σαρκός, ὡς ἀληθῶς ἀνθρωπίνης οὔσης αὐτῆς καὶ οὐ κατὰ φαντασίαν. εἰς γὰρ παράστασιν τούτου λαμβάνεται παρὰ τῇ γραφῇ ὁ μηρός. δηλοῦν οὖν διὰ τούτου τῷ λόγῳ σκοπός, ὅτι ὁ καθ' ὑπόστασιν ἑνωθεὶς Θεὸς[y] Λόγος ἀνθρώπων φύσει, καὶ σαρκικὴν ὑπομείνας γένησιν ἐκ τῆς ἁγίας παρθένου, οὐδὲν ἧττον παντοκράτωρ ὡς οὐρανίων ἄρχων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ αὐτῷ τῷ διὰ σαρκὸς χρηματίσαντι δέδοται βασιλεύειν βασιλέων καὶ κυριεύειν κυρίων· βασιλέων τῶν βασιλευσάντων κατὰ[z] παθῶν, κυρίων τῶν τὸ κῦρος καὶ[a] τὸ κράτος ἐχόντων κατὰ τῆς ἁμαρτίας τῇ τοῦ αὐτοῦ Χριστοῦ συναντιλήψει. μεθ' οὗ καὶ συμβασιλεύσουσιν αἰωνίως κατὰ τὸ μέλλον καὶ ἀδιαδόχως.

[u] τίς ἕτερος ἀλλ' ἢ ὁ Χρ. om. B. [x] τ. πον. om. Edd. [y] Θεὸς om. Edd. [z] τῶν παθ. B. [a] τῶν τὸ κυρ. καὶ om. B.

17 Καὶ εἶδον ἕνα Ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ
ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς
πετομένοις ἐν μεσουρανήματι, δεῦτε συνάχθητε εἰς τὸν
18 δεῖπνον τὸν μέγαν τοῦ Θεοῦ, ἵνα φάγητε σάρκας βασι-
λέων, καὶ σάρκας χιλιάρχων, καὶ σάρκας ἰσχυρῶν, καὶ
σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν, καὶ
σάρκας πάντων τῶν ἐλευθέρων τε καὶ δούλων, καὶ μι-
19 κρῶν καὶ μεγάλων. καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς
τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι
τὸν πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ
μετὰ τοῦ στρατεύματος αὐτοῦ.

Ὅπερ ἔφθημεν εἰρηκότες, ὅτι τὰ θεῖα ἄϋλα ὄντα καὶ νῷ μόνῳ ληπτὰ, ἐξ οὗ καὶ οὐχ οἷα ἀγνωσθῆναι κα**γειαν τοῖς μὴ προεφωδευμένοις τισὶ πρὸς τὴν μάθησιν ποδηγοῦσιν· ἐκ τοῦ ὁμοίου γὰρ καὶ προεγνωσμένου τὸ ἀγνοούμενον πέφυκε θηρᾶσθαι· ἀκολούθως καὶ νῦν οὕτω πρόεισι τὰ προκείμενα τὴν ἐναλλαγὴν τῶν φθαρτῶν καὶ μεταποίησιν πρὸς ἀφθαρσίαν καὶ τὴν πρὸς ἀξίαν ἑκάστῳ ἀπονέμησιν τῶν ἔργων, ὑπὸ στρατηγικαῖς διατυπῶν ἐξοπλίσεσι καὶ ἑτοιμασίαις. διὸ καὶ Ἄγγελον ἑστῶτα προάγει ἐν τῷ ἡλίῳ, Ἄγγελον θεῖον κέλευσμα ἐμφανέστατα διοικούμενον, καὶ ὡς ἐν φωτὶ τὰ σωτήρια διαδηλοῦντα καὶ ἐξαγγέλλοντα. καὶ ἐπειδὴ τὰ θεῖα διατιθέμενα κεχρημάτισται[b], ὡς καὶ Ἀμὼς Ἡσαΐας φησι, "διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς," οὐδεμίᾳ ὑπο**ζόμενα αἰτίας ε**ω κεχρῆσθαι σχήμ** [ὑ]ποτίθησιν[c], ὅτι μηδὲ τηλαυγέστερον ἄλλο τῶν ὁρατῶν εἶχεν ἐρεῖν ὁ θεῖον κέλευσμα εἰς Ἄγγελον διατυπώσας, καὶ στρατοκήρυκος αὐτῷ ἐγχειρίζει ἐνέργειαν, δραστικωτέρᾳ προόδῳ πραγμάτων χρώμενος. τοῦτο γὰρ βούλεται παριστᾷν, ἡ μετὰ κραυγῆς μεγάλη φωνή. τὰς δὲ ἐν μεσουρανήματι, οἱονεὶ τὰς τῶν ἁγίων λέγει ψυχὰς, αἳ τῶν χαμαιζήλων ἀπαναστάσαι κατὰ Παῦλον τὸν μέγαν, εἰς ἀπάντησιν τοῦ Κυρίου χωροῦσιν εἰς ἀέρα. καὶ Ἡσαΐας ὁ προφήτης, "τίνες "οἵδε, φησιν, ὡς [ἀγέ]λαι πέτωνται, καὶ ὡς οἱ ἀετῶν." πάντ*

[b] κεχρημάτισται om. B. [c] ὄχημα τούτῳ ἡ ἀποκάλυψις ὑποτίθησιν Edd.

οὐδὲν νεοσσὸς ἀ* διαλλάσσει ὀρνέου, συγκαλεῖσθαι δὲ ὡς ἐπὶ δεῖπνον εὐφρόσυνον τῆς κατὰ τῶν ἀσεβῶν ἀσυγκροτήτου.

Δεῦτε συνάχθητε εἰς τὸν δεῖπνον.

Δεῖπνον, ἀλλ' οὐ πόλεμον λέγει τὴν μετὰ τῶν ἁμαρτωλῶν τῶν δικαίων ἀντεξέτασιν. ἐπεὶ καὶ οὕτως ἔχει. τίς γὰρ τῷ ἰσχυρῷ ἱκανὸς ἀντιφέρεσθαι; εἰ δ' ἄρα καὶ πόλεμος εἴρηται, πρὸς τὴν τῶν ἁμαρτωλῶν ὁρμὴν εἰρῆσθαι φαμὲν, οὐ πρὸς αὐτὸ τὸ ἔργον. δεῖπνον δὲ ὅλως εἴρηται, τὸ προηγούμενον θέλημα τοῦ Θεοῦ, ὃ καὶ εὐδοκία λέγεται, καὶ δεῖπνον τριπόθητον, τὸ πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. [d]τὸ μὲν οὖν προηγούμενον τοῦτο· μετὰ τοῦτο δὲ τὸ τοὺς ἐπίσπαστον ἑαυτοῖς πεποιηκόσι τὸ κολασθῆναι δι' ἔργων ἀκαθα** σπουδὴν καὶ τὸ τυχεῖν τῆς κατ' ἀξίαν σπουδῆς. ὅτι δὲ τὸ πατρικὸν θέλημα βρῶσιν οἶδεν καλεῖν, δῆλον ἀφ' ὧν ὁ αὐτὸς "ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ "θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς." τοῦτο νῦν ἐνταῦθα δεῖπνον ὀνομάζεται Θεοῦ, τὸ τυγχάνειν ἕκαστον τῶν ἀνθρώπων ὧν ἐπεθύμησε τιμῆς ἀξίων ἤτι*ας. φαγεῖν δὲ σάρκας τοὺς κεκλημένους βασιλέων. σάρκας, τουτέστιν εὐφρανθῆναι τοὺς δαιτυ[μόνας] ἐπὶ τῷ ἀφανισμῷ καὶ τῇ κενοσπουδίᾳ τῆς αὐτῶν ἐν τῷ παρόντι βίῳ ἐξουσίας· ὡσαύτως καὶ χιλιάρ[χων], οἳ ἥττονες βασιλέων ηὐμοίρησαν εὐδαιμονίας. καὶ ἰσχυρῶν σάρκας καὶ ἵππων καὶ ἐπόχων καὶ ὀχ** καὶ ἐλευθέρων καὶ δούλων καὶ μικρῶν καὶ μεγάλων. σάρκας τὴν ἐν τῷ βίῳ τούτῳ τυχηρὰν ὑπόστασιν **κων, μεθ' ἧς καὶ τὸν τῆς ζωῆς αὐτῶν διήνυσαν δίαυλον. αἵτινες σπουδαὶ ἀφανισμῷ προυχω* τῇ παραθέσει καὶ ἀντεξετάσει τῇ πρὸς τοὺς ἀπὸ τοῦ μεσουρανήματος πρὸς τὴν εὐωχίαν ἐκλή[θησαν]. διὸ καὶ εἴρηται τὸ "ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται," οἱονεὶ τὰ περὶ ἃ θυμήρως ἐσχήκασι σπουδάσματα εἰς ἀνυπαρξίαν ἀποτελευτῆσαι. "ὁ γὰρ εἰς τὸ πνεῦμα σπείρων," φησι, "εὑρήσει ζωήν." "ὁ δὲ εἰς καταφθοράν." ἵππους δὲ καὶ ἀναβάτας καὶ ἐλευθέρους καὶ δούλους καὶ μικροὺς καὶ μεγάλους. ἵππους μὲν [θηλυ]μανεῖς, ἢ τοὺς ὑποβεβηκότας ἐν πονηροῖς, ἢ καὶ ἀμφότερα. ἀναβάτας δὲ τοὺς ἐκ κακι**χοντας ἀποκαλῶν, ὃ καὶ προβὰς διεσάφησεν εἰπὼν,

[d] Quæ seq. ad fin. Sch. om. Edd.

διὰ μὲν ἐλευθέρων καὶ μεγάλων τοὺς ἐξουσιαστικῶς ἁμαρτάνοντας· διὰ δὲ τῶν δούλων καὶ μικρῶν τοὺς ἧττον πλημμελοῦντας ἢ κατα**μην ἢ καθ' ἡλικίαν, ἢ δι' ἀσθένειαν.

Ἵνα φάγητε σάρκας βασιλέων.

Βρῶσιν καλεῖ τὴν ἐπὶ τῇ πρὸς ἀξίαν τῶν βεβιωμένων ἀντέκτισιν, ὃ καὶ Χαναὰμ οἶδεν ἐμποιεῖν τοῖς μὴ συναπαχθεῖσι. τὸ δὲ σάρκας βασιλέων καὶ χιλιάρχων, καὶ ἰσχυρῶν, καὶ ἵππων, καὶ ἀναβατῶν, ἐκεῖνα λέγει τροπικῶς τὰ περὶ ἃ ἐμπαθῶς ἐσχήκασι, σπουδῇ πάσῃ, ταῦτα μόνα οἰόμενοι τῆς ἀνθρωπίνης ζωῆς ὑπόστασιν, ἃ καὶ ἀφανισμῷ παραπεμφθείη τῇ τοῦ ἀφθάρτου βίου εὐωχικῇ ἐπιδημίᾳ.

Ἄλλως ἐκ τῶν τοῦ Ἀνδρέου. Διὰ τῆς βρώσεως τῶν σαρκῶν σημαίνεται ὁ τῶν σαρκικῶν πάντων ἀφανισμὸς, καὶ ἡ τῶν ἀρχικῶν ἐπὶ γῆς ὀνομάτων ἔκλειψις. ἵππων δὲ μέμνηται οὐχ ὡς αὐτῶν ἀναστησομένων, ἀλλὰ διὰ μὲν τούτων ἢ τοὺς ὑποβεβηκότας ἐν πονηρίᾳ, ἢ καὶ ἀμφότερα· διὰ δὲ τῶν ἐπιβατῶν, τοὺς ἐν κακίᾳ προύχοντας αἰνιττόμενος. ὃ καὶ παρακατιὼν ἐσαφήνησεν εἰπὼν, ἐλευθέρων τε καὶ δούλων, μεγάλων καὶ μικρῶν· διὰ μὲν τῶν ἐλευθέρων καὶ μεγάλων, τοὺς μᾶλλον ἐξουσιαστικῶς ἁμαρτάνοντας, διὰ δὲ τῶν δούλων καὶ μικρῶν, τοὺς ἧττον πλημμελοῦντας, ἢ κατὰ γνώμην, ἢ κατὰ ἡλικίαν, ἢ κατὰ ἀσθένειαν.

Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν, καὶ τὰ ἑξῆς.

Ἐπὶ μὲν τῆς κατὰ τὸν διάβολον καὶ τὸν Ἀντίχριστον[e] συμβουλογραφίας καὶ τοὺς[f] κατ' αὐτοῦ πολέμους τῷ[g] διαβόλῳ στρατευομένους[h], πληθυντικῶς εἰσάγει, βασιλέων κατάλογον διεξιὼν καὶ τῶν ὑπ' αὐτῶν στρατευμάτων, διὰ τὸ πολυσχιδὲς τῆς ἁμαρτίας καὶ πολύγνωμον. καίτοι πόσον τοῦτο πρὸς τὴν ἀγγελιῶτιδα πληθὺν καὶ τῶν ἰσαγγέλως πολιτευομένων ἐξεταζόμενον ἀνθρώπων. ἐπὶ δὲ τῆς μετὰ Χριστοῦ, ὃν ἔποχον ἵππῳ προσαγορεύει, ἑνικῶς μέμνηται τοῦ ἑπομένου αὐτῷ πλήθους, στράτευμα φήσας, ἐφ' ἵππον μὲν διὰ τὸ βασίλειον καὶ τὸ τῆς ἐπελεύσεως τάχος. ἑνιαίῳ

[e] κ. τ. Ἀντιχρ. om. Edd. [f] τοῦ πολέμου B. [g] τοὺς τῷ B.
[h] συστρατ. B.

δὲ προφορᾷ τῶν ὀπαδῶν μετὰ τοῦ στρατεύματος *ὧν λέξας. διὰ τὸ μοναδικὸν τοῦ θελήματος αὐτοῦ καὶ τῆς γνώμης τῆς πρὸς τὸν Θεὸν λόγον, καὶ τῆς πρὸς αὐτὸν εὐαρεστήσεώς τε καὶ κατορθώσεως.

ΚΕΦ. ΝΘ.

Περὶ τοῦ Ἀντιχρίστου, καὶ τῶν σὺν αὐτῷ βαλλομένων εἰς γέενναν.

20 Καὶ ἐπιάσθη τὸ θηρίον καὶ ὁ μετ' αὐτοῦ ψευδοπρο-
φήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς
ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ
τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ, ζῶντες ἐβλήθησαν
οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ.
21 καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθη-
μένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος
αὐτοῦ. καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν
σαρκῶν αὐτῶν.

Τῆς πολεμικῆς παρασκευῆς ἐξαγγελθείσης ἐν μετεώρῳ τῇ συμβολῇ τὸ πέρας ἐπηνέχθη τοῦ πολέμου· δι' ὧν φησιν, καὶ "ἐπιάσθη τὸ θηρίον·" τοῦτο δὲ οὐκ ἀσκόπως ποιεῖ, ἀλλὰ τῷ συντετμημένῳ χρώμενος λόγῳ.

Θηρίον δὲ, πρὸ ἡμῶν, οἱ μὲν τὸν διάβολον ἐξεδέξαντο, οἱ δὲ τὸν Ἀντίχριστον. [i]περὶ δὲ τούτου καὶ ἡμεῖς εἰρήκαμεν. ψευδοπροφήτην δὲ τοῦτον ὃν εἰς τύπον Ἰωάννου τοῦ βαπτιστοῦ ὁ διάβολος εἰς μίμησιν τῆς ἀληθινῆς Χριστοῦ ἐπιδημίας προοδοποιὸν τοῦ Ἀντιχρίστου. *θεν γὰρ τὸ ψεῦδος τὸ ἀληθὲς ὑπὸ νω** μετέρχεσθαι. διὸ τερατώδεσι σημείοις τοῦ Ἀντιχρίστου προδρα**. ἠπάτησε τούτους τῷ γνωρίσματι σημείου ἐνεσημαν** καὶ ὑποπτώσει τοῦ διαβόλου εἰκόνος οὐκ ἄλλος εἰ μὴ Ἀντίχριστος τῆς τοῦ διαβόλου κατέστησαν ἑαυτοὺς μερίδος. ὡς γὰρ Ἰησοῦς Χριστὸς καὶ Θεὸς εἰκὼν τοῦ Θεοῦ ἀοράτου διὰ τῆς αὐτοῦ θεανδρικῆς ὑποστάσεως χρηματίζει, οὕτως καὶ ὁ ἀντὶ τοῦ κατ' οὐσίαν ἀοράτου διαβόλου κατ' ἐνέργειαν τῇ ὁρατῇ * * ὑποστάσει ἴν-[δαλμα] καὶ εἰκὼν χρηματίσει.

[i] Quæ seq. usque ad κολαστ. ὑπετέθησαν om. Edd.

[Δικαι]οσύνης ἄκρας τοῦτο τὸ ἕκαστον ἀπολαμβάνειν κατὰ τὰ ἔργα αὐτοῦ. διόπερ τοὺς μὲν ἀσωμάτους τουτέστι τὸν διάβολον, ὃν καὶ θηρίον καλεῖ μηδὲν ἥμερον προφαίνειν ἀλλ' ἀγριότητος πλῆρες καὶ τὸν ψευδοπροφήτην. καὶ τοῦτον τινὲς εἰς τὸν Ἀντίχριστον μετειλήφασι φαντάζοντα τὸ σῶμα, ἀλλ' οὐκ ἀληθῶς ἀμφιεννύμενον· ἀλλά τινα δαίμονα εἶναι αὐτὸν τὰ δευτερεῖα μετά γε τὸν διάβολον φερόμενον. τοὺς μὲν οὖν ἀσωμάτους πῦρ ὑπολαμβάνειν * * τί πυρὸς φλέγειν ἔχον διὸ *ειῳ ἐξομοιοῦσθαι τῷ παρ' ἡμῖν θεάφῳ (sic) λεγομένῳ. τούτους μὲν οὖν τοιαύτης ἀξιοῦσθαι καταδίκης. τοὺς δὲ λοιπούς, οἳ τὸν πολεμικὸν συνεπλήρουν αὐτοῖς στόλον ἀνθρώπους **τας θανάτῳ τὴν ἀξίαν ἀποτίνειν. θάνατος γὰρ ἐπὶ τοῦ Σατανᾶ ἁπλῆς φύσεως, εἶτα καὶ τοῦ Ἀντιχρίστου μηδαμῶς ἐνεργεῖν. εἴγε τοῦ συνθέτου διάλυσιν ἴσμεν τὸν θάνατον. διόπερ ὡς ἁπλῶν τὴν οὐσίαν μὴ πεφυκότων ἀποθνήσκειν τὸ πεφυκὸς πῦρ ὅτι * * τοῦτο πρὸς τιμωρίαν ὑποδέξεται. ῥομφαία δὲ ἡ ἀπὸ στόματος ἤτοι πρόσταγμα ** ον καὶ ἐνεργὲς καὶ τομώτερον πάσης ῥομφαίας διστόμου πρὸς τῷ φυσικῷ θανάτῳ καὶ τοῖς ᾅδου κολαστηρίοις ὑπετέθησαν.

Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν.

Τὸ ἀργίαν καὶ ἀπραξίαν σχεῖν τῶν πονηρῶν ἐπιτηδευμάτων τὴν σύνθετον φύσιν, μετὰ τὴν διάλυσιν ἀποκτανεῖν φησι. τοῦτο δὲ ἡ ἁπλῆ καὶ ἀσύνθετος οὐκ οἶδεν οὐδὲ μετὰ τὴν κατάκρισιν τῶν ἐθίμων ἐξίστασθαι, ἅτε συνουσιωμένων αὐτῇ τῶν πρὸς ἃ τὴν ῥοπὴν[k] ἔσχεν[l].

Καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν.

Ὄρνεα εἴρηται ἤδη ὡς τὰς ἀεροπόλους[m] ψυχὰς καλεῖν βούλεται, ἃς καὶ αὐτὰς οἶδε τῇ παραθέσει τῶν σπουδαίων τε καὶ μὴ ἑκατέρων ἐνεργημάτων ὡσπερεὶ κόρον λαβεῖν. ὅπερ καὶ ὁ Θεὸς δι' Ἡσαΐου φησιν, "ἐγεννήθητε μοι εἰς πλησμο**." ὡς οὖν ἐκεῖ οὕτω κἀνταῦθα προσκορὴς τοῖς ἁγίοις καὶ ἐπαχθὴς πᾶσα σαρκικὴ ΚΙΝΗΣΙΣ[n].

[k] πρ. ἃ τροπὴν Edd. [l] ἔσχηκεν B. [m] οὐρανοπόλους B.
[n] Hic desinit Cod. B.

ΚΕΦ. Ξ.

Ὅπως ὁ Σατανᾶς ἐδέθη ἀπὸ τῆς Χριστοῦ παρουσίας μέχρι τῆς συντελείας. καὶ περὶ τῶν χιλίων ἐτῶν.

1 Καὶ εἶδον Ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ
ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην
2 ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ ἐκράτησε τὸν δράκοντα τὸν
ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστιν ὁ διάβολος, καὶ ὁ Σατανᾶς,
ὁ πλανῶν τὴν οἰκουμένην ὅλην. καὶ ἔδησεν αὐτὸν χίλια
3 ἔτη. καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε
καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη,
ἄχρι τελεσθῇ τὰ χίλια ἔτη. καὶ μετὰ ταῦτα δεῖ λυθῆναι
αὐτὸν μικρὸν χρόνον.

Ἀνδρέου. Ἐνταῦθα τὴν ἐν τῷ δεσποτικῷ πάθει γεγενημένην τοῦ διαβόλου διηγεῖται καθαίρεσιν, ἐν ᾗ τὸν δοκοῦντα εἶναι ἰσχυρώτερος αὐτοῦ Χριστὸς ὁ Θεὸς ἡμῶν δήσας, ἡμᾶς, τὰ σκῦλα αὐτοῦ, ἐκ τῶν χειρῶν αὐτοῦ ἐλυτρώσατο, καταδικάσας αὐτὸν εἰς τὴν ἄβυσσον. τοῦτο δὲ δείκνυται ἐκ τῶν δαιμόνων τῶν παρακαλούντων αὐτὸν μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον. ὅτι δὲ δέδεται, τεκμήριον ὁ τῆς εἰδωλολατρείας ἀφανισμὸς καὶ τῶν εἰδωλικῶν ναῶν ἡ καθαίρεσις, καὶ τῶν ἐπιβωμίων λύτρων ἡ ἔκλειψις, καὶ ἡ παγκόσμιος τοῦ θείου θελήματος ἐπίγνωσις. ὁ μέγας δὲ Ἰουστῖνος φησὶν ἐν τῇ πρώτῃ τοῦ Χριστοῦ παρουσίᾳ γνῶναι τὸν διάβολον, ὅτι καταδεδίκασται εἰς τὴν ἄβυσσον καὶ εἰς τὴν τοῦ πυρὸς γέενναν. δυνατὸν τοίνυν, ὡς οἶμαι, διὰ τῶν προλεχθέντων καὶ τὴν τοῦ Χριστοῦ κατὰ τοῦ διαβόλου νοεῖσθαι ἀπόφανσιν. ἄγγελον δὲ τῇ τοιαύτῃ ἀποφάνσει διακονούμενόν φησιν, ἵνα δείξῃ καὶ τῶν λειτουργικῶν δυνάμεων τοῦτον ἥττονα κατὰ δύναμιν, καὶ μάτην κατὰ τῆς τῶν πάντων κρατούσης ἀρχῆς θρασυνόμενον.

Ἀρέθα ἐκ τοῦ αὐτοῦ. Κλεῖδα τὴν ἀσφαλῆ καὶ ἀπρόϊτον τῶν κατακρίτων κατοχὴν λέγει· ἄβυσσον δὲ τὴν ἀπέραντον εἰς διέκδοσιν, ἅλυσιν δὲ, τὴν καθεκτικὴν τῆς πονηρίας ἐνέργειαν. χίλια δὲ οὐ πάντως τὰ τοσαῦτα τῷ ἀριθμῷ νοεῖν εὔλογον. ἢ γὰρ τῶν πολλῶν, ἢ τοῦ τελείου σημαντικὸν τὸν τῶν χιλίων ἀριθμὸν

εἰκάζομεν. χίλια ἔτη τοίνυν, εἴτε τὰ ἀπὸ τῆς Χριστοῦ παρουσίας ἕως τῆς τοῦ Ἀντιχρίστου ἐνδημίας, εἴτε δεκάκις ἑκατὸν, εἴτε καὶ τούτων ἀποδέοντα, οὐχ ἡμῶν ἐστι γνῶναι τὸ ἀκριβὲς, ὅτι μηδὲ θνητῇ φύσει γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

Καὶ μετὰ ταῦτα δεῖ λυθῆναι αὐτὸν μικρὸν χρόνον.

Μικρὸν χρόνον, ποῖον; τοῦτον τὸν τῆς παρουσίας τοῦ Ἀντιχρίστου ὃν εἰς μικρὸν συνέστειλε, διὰ τὸ σφοδρὸν καὶ σχεδὸν ἀνύποπτον τῶν διὰ Χριστὸν κακουμένων, περὶ οὗ χρόνου καὶ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις φησὶ, θλίψιν συμβῆναι οἵαν οὐ γέγονεν ἐξ ἀρχῆς κόσμου. διὸ καὶ κολοβωθῆναί φησι τὰς ἡμέρας ταύτας διὰ τοὺς ἐκλεκτούς.

ΚΕΦ. ΞΑ.

Περὶ τῶν ἡτοιμασμένων θρόνων τοῖς φυλάξασι τὴν Χριστοῦ ὁμολογίαν.

4 *Καὶ εἶδον θρόνους καὶ ἐκάθισαν ἐπ' αὐτοὺς, καὶ κρίμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵ τινες οὐ προσεκύνησαν τὸ θηρίον οὐδὲ τὴν εἰκόνα αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν, καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ τὰ χίλια ἔτη.*

Τοὺς ἁγίους Ἀποστόλους φησὶ θεωρεῖν, δι' ὧν τὰ ἔθνη συνετισθέντα τῷ διδασκαλικῷ λόγῳ ἔζησαν, καὶ συνεβασίλευσαν Χριστῷ χίλια ἔτη. περὶ μὲν οὖν τῶν χιλίων ἐτῶν εἴρηται. οὗτοι οὖν οἱ ἅγιοι Ἀπόστολοι καθίσουσιν, ὡς ἡ ὑπόσχεσις τοῦ Κυρίου φησὶ, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, τουτέστι κατακρίνοντες. τῇ παραθέσει γὰρ τῶν ὁμογενῶν ὅταν διαφορὰ ἐν αὐτοῖς ὁρᾶται κατὰ τὸ χεῖρον καὶ βέλτιον, οἱ τῷ χείρονι ἐνεχόμενοι, οὐ τῆς τυχούσης ἄξιοι τιμωρίας, ὅτι μὴ τοῖς ὁμογενέσιν ἐναμιλλῶνται κατωρθωκότες. κρίμα τοίνυν δοθῆναι αὐτοῖς ἀντὶ τοῦ κατακρίνειν, ὡς μὴ μόνον ἐθελήσαντας τῷ εὐεργέτῃ Χριστῷ ἀκολουθῆσαι τοῖς προφητικοῖς ἑπόμενοι χρησμοῖς, ἀλλ' ἤδη καὶ ἀπεναν-

τίας τούτων χωρῆσαι. κατακριθῆναι δὲ καὶ διὰ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, τουτέστι, διὰ τὴν εἰς Θεὸν πίστιν, οἵ τινες τὸν διὰ σιδήρου ὑπήνεγκαν θάνατον. ἢ καὶ τροπικῶς τὸ πεπελεκισθῆναι περὶ τῶν νεκρωσάντων τὰ μέλη ἑαυτῶν τὰ ἐπὶ τῆς γῆς.

Καὶ οὐκ ἔλαβον τὸ χάραγμα.

Τὸ χάραγμα, γνώρισμά φησι. καθὸ καὶ ἐπὶ τοῦ Χριστοῦ εἴρηται τὸ, "ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε." ὡς γὰρ ἐκεῖ ἐπὶ τὸ πρόσωπον φῶς εἰς γνώρισμα τῶν θεοφιλῶν ἐνσημαίνεται, οὕτως ἐπὶ τῶν ἀσεβῶν ἀναίδεια ἐπὶ τῶν μετώπων ἐγχαράττεται, ἀπαρακαλύπτως καὶ ἀνυποστόλως ἐμφανιζομένων ὁποῖοι τινές εἰσιν. καὶ ἵνα τοῦτο ἐμφαντικώτερον ᾖ, ταῖς ἀτόποις τῶν ἑαυτῶν πράξεων τὸ γνώρισμα ἐβεβαίωσαν· ἡ χεὶρ γὰρ τὴν πρᾶξιν αἰνίττεται, ὥσπερ καὶ ὁ ποὺς τὸν ὁρισμόν. καθὸ εἴρηται, "μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ "σαλεύσει με." ἐπεὶ οὖν οὐχ ἑάλωσαν οὗτοι, οὔτε δι' ἀναιδείας ἐντυπούμενοι τῷ πονηρῷ, οὔτε δι' ἔργων, εἰκότως καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ Χριστοῦ, ἄχρι συντελείας τοῦ αἰῶνος. ὡς γὰρ ὁρῶμεν, καὶ ὑπὸ βασιλέων πιστῶν καὶ ἀρχόντων προσκυνούμενοι, καὶ κατὰ πάσης σωματικῆς ἀσθενείας καὶ δαιμονικῆς ἐνεργείας τὴν θεόσδοτον χάριν ἐπιδείκνυνται. ἐπεὶ γάρ, φησιν, οὐ προσεκύνησαν τῷ θηρίῳ καὶ τῇ εἰκόνι αὐτοῦ, διὰ τοῦτο καὶ ἔζησαν, τουτέστι, ζώντων ἔργα ἐνήργησαν, τὰς θαυματουργείας δηλονότι. θηρίον δὲ καὶ εἰκόνα τοῦ θηρίου καὶ δράκοντα τὸν διάβολον φησὶ καὶ τὸν Ἀντίχριστον, καὶ τὸν ψευδοπροφήτην.

ΚΕΦ. ΞΒ.

Τί ἐστιν ἡ πρώτη ἀνάστασις, καὶ τίς ὁ δεύτερος θάνατος.

5 Καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἄχρι τελεσθῇ
6 τὰ χίλια ἔτη. αὕτη ἡ ἀνάστασις ἡ πρώτη. μακάριος
καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ.
ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ'
ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασι-
λεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.

Νεκροὺς δὲ καλεῖ, τοὺς ἐν τῇ ἀπιστίᾳ μεμενηκότας. ὥσπερ γὰρ δύο ζωὰς, οὕτω καὶ δύο θανάτους, ἤγουν νεκρώσεις, ἐκ τῆς θείας γραφῆς διδασκόμεθα. ἔστιν οὖν ἡ μὲν πρώτη ζωὴ ἡ μετὰ τῆς ἐντολῆς παράβασιν πρόσκαιρος καὶ σαρκικὴ, ἡ δὲ μετὰ τὴν θείων ἐντολῶν τήρησιν ἐπηγγελμένη ζωὴ αἰώνιος. καὶ θάνατοι δὲ ὁμοίως δύο· ὁ μὲν σαρκικὸς καὶ πρόσκαιρος, ὁ δὲ δι' ἁμαρτημάτων ἔκτισιν ἐν τῷ μέλλοντι αἰῶνι ἐπαγόμενος, ἀτελεύτητος καὶ ἀΐδιος, ὅπέρ ἐστιν ἡ τοῦ πυρὸς γέεννα. ἀλλά γε καὶ νεκρῶν διαφορὰς γινώσκομεν. οἱ μὲν φευκτοὶ, περὶ ὧν φησι καὶ ὁ προφήτης, "οἱ δὲ "νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν." οἱ δὲ ἐπαινετοὶ, οἱ διὰ Χριστὸν τὰς ἡδυπαθεῖς τοῦ σώματος πράξεις ἀπεκτιννύντες, τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες. ἡ δὲ δευτέρα ἀνάστασις, ἡ καθολική ἐστι τῶν σωμάτων, ἥτις ἀνάστασις ἀρχὴ τῆς μελλούσης αὐτοῖς κολάσεως γίνεται. κατὰ δὲ τὸν τὴν πρώτην εὐδαιμονησάντων ἀνάστασιν οὐκ ἔχει ἐξουσίαν ὁ δεύτερος ἀπὸ τῆς ἁμαρτίας πρὸς τιμωρίαν ἀποκαθιστῶν θάνατος, ἀλλ' ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ. χίλια δὲ, οὐ τὰ τῷ δεκάδι ἀριθμῷ τὸν ἑκατὸν συντελούμενα, ἀλλ' ἐπειδὴ ὁ δέκατος ἀριθμὸς πρῶτος ἀριθμὸς τέλειος ἐκ μονάδων συνέστη, εἶτα πάλιν αὐτὸς τῷ δεκαδικῷ διαστήματι τὸν ἑκατὸν ἀπετέλεσε, καὶ πάλιν οὗτος ἐπὶ τῶν δέκα πολυπλασιασθεὶς ἀπὸ τούτων τὴν σωρίδα τοῦ χίλια συνεστήσατο, ἐκ τελείου πρὸς τελειότερον καταντήσας, εἰκότως τῷ ὑπερτελεῖ Θεῷ τὸ τέλειον τῆς μετὰ ἀνθρώπων συνδιατριβῆς ἀφωρίσατο· οὐχ ὅτι πάντως τοσοῦτον τῷ ἀριθμῷ, ἀλλὰ διὰ τοῦ τελείου τοῦτο ἐμφανίζων, ὡς πᾶν ὁ ἂν χρόνου διάστημα διεξοδευθῇ μετὰ τῆς ἀνθρώπων τοῦ Χριστοῦ συναναστροφῆς, οὐκ ἂν τοῦτο τῷ ἀτελεῖ προσνεμηθείη.

ΚΕΦ. ΞΓ.

Περὶ τοῦ Γὼγ καὶ Μαγώγ.

7 Καὶ μετὰ τὰ χίλια ἔτη λυθήσεται ὁ Σατανᾶς ἐκ τῆς
8 φυλακῆς αὐτοῦ, καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ
ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν
Μαγὼγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον, ὧν ὁ

9 *ἀριθμὸς ὡσεὶ ἄμμος τῆς θαλάσσης. καὶ ἀνέβησαν ἐπὶ*
τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν
τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπημένην. καὶ κατέβη
πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, καὶ κατέφαγεν
10 *αὐτούς. καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς*
τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου καὶ τὸ θηρίον καὶ
ὁ ψευδοπροφήτης. καὶ βασανισθήσονται ἡμέρας καὶ
νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Χίλια ἔτη.

Τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας χρόνον, μέχρι τοῦ Ἀντιχρίστου λέγει, οὗ τινος λυθέντος, εἰσάγει λοιπὸν καὶ τὰ ἔθνη καὶ τόπους τῆς οἰκουμένης, καθ' οὓς τὰ τῆς συνήθους αὐτῷ ἐπιδείξεται ἀπάτης, καὶ πρὸς τίνων καὶ κατὰ τίνων ὡς ἀφηγουμένων ὁ πόλεμος οὗτος συσταίη. ἔθνη μὲν οὖν, τὰ εὐεξαπάτητα λέγει· τόπους δὲ, τοὺς ὑπὸ τὴν ὑπ' οὐρανὸν, οὓς καὶ τέσσαρας γωνίας ὀνομάζει τῆς γῆς, τὰς τέσσαρας λήξεις τῆς οἰκουμένης οὕτω καλῶν, ἀπὸ τῶν ἡλιακῶν φορῶν οὕτω κληθείσας, καὶ τῶν κατὰ ἀστέρας τινὰς οἰκειώσεων. ἐπεὶ τοίνυν ἔθνη μὲν ταῦτα, μεθ' ὧν ὁ πόλεμος μέλλει συγκροτεῖσθαι, καὶ χῶρος οὗτος ἐν ᾧ ἤδη καὶ τοὺς καθηγουμένους εἰσάγει, ὥσπερ πολεμάρχης ὁ Γὼγ καὶ Μαγὼγ, ὃν καὶ Ἰεζεχιὴλ προφητεύει ἐπ' ἐσχάτου καιροῦ ἐλευσόμενον σὺν δυνάμει βαρείᾳ. ἀλλ' Ἰεζεχιὴλ μὲν κατὰ τῆς Ἱερουσαλὴμ, ἡ προκειμένη δὲ Ἀποκάλυψις πρὸς τὴν τῆς οἰκουμένης ὅλην ἐρήμωσιν. εἶναι δὲ ταῦτα, τινὲς μὲν Σκυθικὰ ἔθνη ἔφασαν Ὑπερβόρεια, πολλάκις καὶ ἀπὸ τῶν οἰκείων ἐθνῶν μεταναστάντα, καὶ διαφθείραντα μὲν οἷς ἐπῆλθε, τοσαυτάκις δὲ διαφθαρέντα ἀπὸ τούτων τῆς ἐπιδρομῆς, καὶ Σκυθόπολιν ἐν Παλαιστίνῃ ὀνομασθῆναι, καὶ Γότθων μοῖραν τινὰ κατὰ μέρη τῆς Ἀσίας στρατιωτικήν τε σύστασιν οὕτω καλεῖσθαι, καὶ Θαϊφάλους, καὶ Γοτθογραίκους, ἅπερ κοινῷ λόγῳ καλοῦμεν Οὐννικά· πάσης δὲ ἐπιγείου βασιλείας εἶναι δυνατώτερα καὶ πολεμικώτερα. ἐπέχεσθαι δὲ θείᾳ χειρὶ κοσμοκρατορῆσαι ἄχρι τῆς τοῦ διαβόλου λύσεως, ὥσπερ ἐνταῦθα προδιαγγέλλεται. τινὲς δὲ τὸν Γὼγ ἐκ τῆς Ἑβραΐδος γλώσσης ἀθροίζοντα, ἢ ἄθροισμα ἑρμηνεύουσι, τὸν

δὲ Μαγὼγ, ἐπηρμένον. ὥστε δι᾽ ἑκατέρου τοῦ τε ἀθροίζειν καὶ τοῦ ἐπαίρεσθαι, μέγα καὶ ὑπερήφανον ἐμφαίνειν κακὸν τὴν τούτου τοῦ ἔθνους ἐπέλευσιν ἐμπορίζειν τοῖς καθ᾽ ὧν ἡ ἐπέλευσις, ὡς ἤδη εἰρήκαμεν. Τὸν προρηθέντα τῆς χιλιετίας χρόνον, τινὲς μὲν τὰ τρία ἥμισυ ἔτη τὰ ἀπὸ τοῦ βαπτίσματος τοῦ Χριστοῦ μέχρι τῆς αὐτοῦ εἰς οὐρανὸν ἀναβάσεως οὐκ οἶδ᾽ ὅπως ἐξειλήφασι. μεθ᾽ ἃ λυθῆναι τὸν διάβολον ὑπενόησαν. ἕτεροι δὲ μετὰ τὴν συμπλήρωσιν τῶν ἑξακισχιλίων ἐτῶν τὴν πρώτην ἀνάστασιν τῶν νεκρῶν δίδοσθαι μόνοις τοῖς ἁγίοις ἔφασαν, ἵνα ἐν τῇ γῇ ταύτῃ ἐν ᾗ τὴν καρτερίαν ἐπεδείξαντο, τρυφῆς καὶ δόξης ἀπολαύσωσιν ἔτη χίλια. καὶ μετὰ τοῦτο τὴν καθόλου ἀνάστασιν οὐ δικαίων μόνον, ἀλλὰ καὶ ἁμαρτωλῶν. ὅτι μὲν οὖν οὐδὲν τούτων ἡ Ἐκκλησία δέδεκται, περιττόν ἐστι καὶ λέγειν. ἡμεῖς τοίνυν ἀκούοντες τοῦ Κυρίου πρὸς τοὺς Σαδδουκαίους λέγοντος, ὅτι ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ, οὕτως οἱ δίκαιοι ἔσονται, καὶ τοῦ Ἀποστόλου φήσαντος, ἡ βασιλεία τοῦ Θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις, τὸν τοῦ εὐαγγελικοῦ κηρύγματος χρόνον τὴν χιλιετίαν ἐξελάβομεν. ὡς γὰρ προγέγραπται, οὐκ ἀνάγκη τοσαῦτα τῷ ἀριθμῷ νοῆσαι τὰ χίλια. οὐδὲ γὰρ τὸ ἐν τοῖς ᾄσμασιν εἰρημένον, "ἀνὴρ θήσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίους," καὶ πάλιν, "οἱ χίλιοι τῷ Σολομῶντι, καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ," τὸν ἀριθμὸν τοῦτον ἐδήλωσεν, ἀλλὰ τὸ πλῆθος καὶ τὸ ἐν καρποφορίᾳ τέλειον, ὥσπερ κᾀνταῦθα ἡ ἐν τελειότητι καρποφορία τῆς πίστεως σημαίνεται. μεθ᾽ ἣν ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἄνθρωπος τῆς ἀδικίας ἐλεύσεται, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλὰ ταύτῃ εὐδοκήσαντες, κατὰ τὸν Ἀπόστολον, καὶ κατὰ τὸ δεσποτικὸν λόγιον φῆσαν, "ἐγὼ ἐλήλυθα ἐπὶ τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐκ ἐδέξασθέ με. ἄλλος ἐπὶ τῷ ὀνόματι τῷ οἰκείῳ ἐλεύσεται, καὶ ἐκεῖνον λήψεσθε." τότε τοίνυν, ὡς εἴρηται, λυόμενος ὁ Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, πλανήσει πάντα τὰ ἔθνη, καὶ τὸν Γὼγ καὶ τὸν Μαγὼγ κινήσει εἰς πόλεμον πρὸς τὴν τῆς οἰκουμένης ἐρήμωσιν.

Ὧν ὁ ἀριθμὸς ὡσεὶ ἄμμος τῆς θαλάσσης.

Ὡς ἐκ φωλεῶν τινῶν θῆρες ἄγριοι, οὕτω, φησὶν, ἐκ τῶν οἰκείων τόπων ὑπὸ τοῦ διαβόλου καὶ τῶν τούτου δαιμόνων στρατηγούμενοι

ἐν τῇ γῇ καταπλατυνθήσονται, καὶ τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν ἠγαπημένην πόλιν, δηλαδὴ τὴν ἁπανταχοῦ Ἐκκλησίαν τῇ κυκλώσει καὶ περιλήψει ἐκπορθήσουσι. πλὴν οὐκ εἰς μακρὰν, εἴτε πυρὶ ὁρατῷ, ὡς οἱ δύο πεντηκόνταρχοι ἐπὶ Ἡλίου, εἴτε καὶ τῇ Χριστοῦ *ἐνδόξῳ παρουσίᾳ, τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τῷ οἷα πυρὶ καθαρτικῷ ταῖς ὕλαις προσομιλεῖν πεφυκότι, αὐτούς τε τοὺς ἀσεβεῖς, καὶ τὸν στρατηγὸν αὐτῶν διάβολον καταφάγεται.*

ΚΕΦ. ΞΔ.

Περὶ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ τῆς κοινῆς ἀναστάσεως καὶ κρίσεως.

11 Καὶ εἶδον θρόνον μέγαν λευκὸν, καὶ τὸν καθήμενον
ἐπ᾽ αὐτὸν, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ
12 οὐρανὸς, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. καὶ εἶδον τοὺς
νεκροὺς ἑστῶτας τοὺς μικροὺς καὶ τοὺς μεγάλους ἐνώ-
πιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν. καὶ ἄλλο
βιβλίον ἠνεῴχθη, ὅ ἐστι τῆς ζωῆς. καὶ ἐκρίθησαν οἱ
νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ
13 ἔργα αὐτῶν. καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς
ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς
τοὺς ἐν αὐτοῖς· καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα
14 αὐτῶν. καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν
λίμνην τοῦ πυρός. οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν,
15 ἡ λίμνη τοῦ πυρός. καὶ εἴτις οὐχ εὑρέθη ἐν τῷ βιβλίῳ
τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ
πυρός.

Λευκὸς μὲν ὁ θρόνος, ὅτι καὶ ἀμιγὴς μελανίας ἁμαρτιῶν τῶν ὑπὸ τῷ σκότῳ συντελουμένων πᾶσα πρᾶξις ἁγίων, ἐν οἷς ἐνθρονίζεται Θεός. μέγας δὲ, ὅτι καὶ ὁ ἔποχος τούτου, περὶ οὗ καὶ Δαβὶδ *τὸ, "μέγας ὁ* Κύριος *ἡμῶν," ἐμελῴδει.*

Οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ.

Ἡ φυγὴ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, οὐ τοπικὴν σημαίνει μετανάστασιν. ποῦ γὰρ καὶ χωρήσουσιν; ἀλλὰ φυγὴν τὴν ἀπὸ τῆς

φθορᾶς εἰς ἀφθαρσίαν καὶ μετάστασιν, καὶ τὴν ἐσχάτην τοῦ Κυρίου παρουσίαν, καθ' ἣν τὸ θνητὸν ἡμῶν τοῦτο σῶμα ἐνδύεται ἀφθαρσίαν, καὶ ἀνακαινισθήσεται τὸ πρόσωπον τῆς γῆς.

Καὶ εἶδον τοὺς νεκρούς.

Νεκροὺς ἢ πάντας ἀνθρώπους, ὡς τὴν τοῦ σώματος νέκρωσιν ὑπομείναντάς φησιν, ἢ τοὺς νεκρωθέντας τοῖς παραπτώμασι. μεγάλους δὲ καὶ μικροὺς, ἢ τοὺς τῇ ἡλικίᾳ τοῦτο ὄντας, ἢ τοὺς μᾶλλον καὶ ἧττον τὰ τῆς νεκρώσεως ἔργα πράξαντας, καὶ ἀναλόγως κολασθησομένους ταῖς πράξεσι· ἢ μεγάλους μὲν τοὺς δικαίους, μικροὺς δὲ καὶ οὐτιδανοὺς τοὺς ἁμαρτωλοὺς, διὰ ψυχῆς ἔργων εὐτέλειαν.

Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ.

Τὴν τελευταίαν καὶ κοσμικὴν ἀνάστασιν ὅπως ἔσται ἐξηγούμενος, ταῦτα διέξεισιν. ἐπεὶ γάρ τινες ἀπιστοῦντες αὐτὴν ἔσεσθαι, φασὶ, μὴ οἷάν τε γένεσθαι ἐν τοῖς αὐτοῖς σώμασιν, ἃ ἐξ αἰῶνος φθαρέντα εἰς τὸ μὴ εἶναι ἐχώρησαν, τοῦτο νῦν ἐπανορθούμενος ὁ λόγος φησὶν, ὅτι ὡς τὰ σώματα ἐπὶ τὴν ἀρχὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προῆλθον, οὐκ ἐξ αὐτομάτου, ἀλλ' ἐκ τῶν τεσσάρων στοιχείων, ὕδατος, πυρὸς, ἀέρος, γῆς, οὕτως εὐλόγως εἰς αὐτὰ πάλιν ἀναλυθέντα, ἐκ τούτων αὖθις τὴν σύμπηξιν ἀναλήψονται. ἐπεὶ δὲ τοῦτο, καὶ συνδρομὴ πάλιν τῶν καταρχὰς μερῶν εἰς ὑπόστασιν τῶν ἀνθρώπων, διὰ τοῦτό φησι τὴν θάλασσαν, ἤτοι τὴν ὑδατώδη οὐσίαν, ἀποβλύσαι τὸ πρὸς αὐτὴν χωρῆσαν ὑγρόν. Θάνατον δὲ τὴν γεώδη, ἐπεὶ καὶ εἴρηται περὶ αὐτῆς τὸ, "εἰς χοῦν "θανάτου κατήγαγές με." χοῦς δὲ, ὅτι γῆ, τίς νοῦν ἔχων ἀγνοεῖ; ᾅδην δὲ, τὸν ἀέρα καλεῖ, τῷ μὴ ἔχειν χαρακτῆρα διὰ μανότητα οὐσίας. ὡσαύτως δὲ καὶ τὸ πῦρ. ᾅδην δὲ λέγει, ἀπὸ τοῦ εἰς ἀϊδίαν καὶ ἀφάνειαν, οἷς ἂν ἐπέλθῃ, τούτους ἐμβαλεῖν.

Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης.

Θάνατον καὶ ᾅδην τοὺς ἄξια τιμωρίας ἐργασαμένους καλεῖ, ὡς συμπληροῦντας τὸν τοῦ δευτέρου θανάτου ὅμιλον.

ΚΕΦ. ΞΕ.

Περὶ καινῶν οὐρανοῦ τε καὶ γῆς, καὶ τῆς ἄνω Ἱερουσαλήμ.

1 Καὶ εἶδον οὐρανὸν καινὸν, καὶ γῆν καινήν. ὁ γὰρ
πρῶτος οὐρανὸς, καὶ ἡ πρώτη γῆ ἀπῆλθον, καὶ ἡ
2 θάλασσα οὐκ ἔστιν ἔτι. καὶ τὴν πόλιν τὴν ἁγίαν
Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρα-
νοῦ, ἀπὸ τοῦ Θεοῦ ἡτοιμασμένην ὡς νύμφην κεκοσμη-
3 μένην τῷ ἀνδρὶ αὐτῆς. καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ
τοῦ οὐρανοῦ λεγούσης, ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ
τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ
λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς μετ' αὐτῶν ἔσται.
4 καὶ ἐκλείψει πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.
καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος, οὔτε κραυγὴ,
οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθε.

Τοῦτο οὐ τὴν ἀνυπαρξίαν δηλῶν τῆς κτίσεως φησὶν, ἀλλὰ τὸν ἀνακαινισμὸν τὸν ἐπὶ τὸ βέλτιον· ὃν καὶ ὁ θεῖος μελῳδῶν Δαβὶδ προηγόρευσε δι' ὧν ᾖδε, πάντας ὡς ἱμάτιον παλαιωθήσεσθαι, καὶ ὡσεὶ περιβόλαιον ἑλιχθῆναι καὶ ἀλλαγῆναι. τὸ γὰρ παλαιωθὲν ἀνακαινιζόμενον, οὐ τῆς οὐσίας ἀφανισμὸν, ἀλλὰ τοῦ γήρως καὶ τῶν ῥυτίδων λαμβάνει ἀπόξεσιν. σημειωτέον δὲ, ὅτι περὶ μὲν οὐρανοῦ καὶ γῆς εἰπὼν ὅτι ἀπῆλθεν, οἱονεὶ οὐκ εἰς τὸ μὴ ὂν ἐχώρησεν, ἀλλὰ μετέβη, (οὐδὲν δὲ τῶν μεταβαινόντων ἐξ οὗ εἰς ὃ, ἤδη καὶ πάντη διόλωλεν, ἀλλὰ τῇ ἀφ' οὗ εἰς ὃ μετελεύσει, ἀνεμορφώθη,) τὰ μὲν τοῦ καταληφθέντος ἀπέβαλε, τὰ δὲ τοῦ πρὸς ὃ μετέβη ἀνεδέξατο.

Ἀνδρέου. Περὶ δὲ τῆς θαλάσσης φησὶν ὅτι ἡ θάλασσα οὐκ ἔτι ἐστί. τίς γὰρ χρεία θαλάσσης μὴ δεομένων ἀνθρώπων τοῦ πλεῖν αὐτήν; ἢ δι' αὐτῆς πορίζεσθαι τὰ ἐν ταῖς μακρὰν κειμέναις χώραις γεωργούμενα ἀγώγιμα;

Καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.

Εἰ κόσμος οὗτος ὁ αἰσθητὸς, οὐκ ἄλλό τι, ἢ τὸ ἐξ οὐρανοῦ, καὶ γῆς, καὶ τῶν ἐν τῷ μέσῳ σύστημά ἐστι καὶ σύγκριμα, τοῦ

οὐρανοῦ πάντως καὶ τῆς γῆς ἀνακαινισθέντων, ὡς ἤδη παρεθέμεθα, πάντως καὶ τὰ συμπληροῦντα τὸ τοιοῦτο σύστημα οὐκ ἀμοιρήσει τοῦ ἀνακαινισμοῦ. τί οὖν ἡ θάλασσα μόνη τῶν ἐν μέσῳ φύσεων οὖσα, οὐ μόνον ἠστόχησε τοῦ ἀνακαινισμοῦ ἀλλὰ καὶ πάντη τοῦ εἶναι; εἰ δὲ λέγει τίς ὅτι τῶν ἐμπλεόντων οὐκ ὄντων, ἀνάγκη μηδὲ αὐτὴν χρηματίζειν ὅπέρ ἐστι νῦν, εἰκότως· τὸ δὲ εἰς παντελῆ ἀνυπαρξίαν ἐλθεῖν αὐτὴν ἐᾷν ἐξ ἡμισείας ἐπιτελοῦντος τὸν ἀνακαινισμόν ἐστι. τί οὖν ἐστι πρὸς τοῦτο ἐρεῖν; ἢ πάντως ἐκεῖνο, ὡς ἐπειδὴ θαλάσσῃ ὡμοίωσεν ὁ θεοπάτωρ τὸν παρόντα κόσμον, ἀναγκαίως, ἵνα μή τις τῷ ἀνακαινισμῷ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ τὴν κατ' αὐτὰ τύρβην ὑποβάλοι, διὰ τοῦ τελείως ἀφανισμοῦ τῆς θαλάσσης, κατὰ τὴν τροπολογίαν τοῦ Δαβὶδ ἐκεῖνα ἐσημείωσε καὶ ἐξείλετο, ὡς φρούδου καὶ ταύτης κατὰ τὸν ἀνακαινισμὸν ἐσομένης.

Καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινήν.

Πάλαι μέν, φησιν, Ἱερουσαλὴμ τὸ ἁγιώτατον σκήνωμα ἐνομίζετο, ἐν ᾗ καὶ ὁ ναὸς καὶ πάντα τὰ τῆς θεογνωσίας μυστήρια τεθησαύρισται. αὕτη δὲ νῦν καινὴ οὐκ ἔξω λόγου, ἐφόσον τῇ τοῦ Κυρίου παρουσίᾳ ἐκεῖνα τῇ παλαιότητι ἠχρειοῦτο. ἀνάγκη ἄρα καινὴν τοῦ παντὸς καινοποιήσει Ἱερουσαλὴμ ἐμφανισθῆναι, καὶ ἐξ οὐρανοῦ κατιοῦσαν, ὁπόθεν καινοποιὸς Κύριος Ἰησοῦς Χριστός. Ἱερουσαλὴμ μὲν οὖν καινήν, διὰ τοῦτο. πόλιν δὲ, ὡς οἰκητήριον πάντων Ἀγγέλων καὶ ἀνθρώπων ἐσομένην. ὑπὸ δὲ τοῦ Θεοῦ ἡτοιμᾶσθαι. τί γάρ τις τῶν σωτηρίων ἑαυτῷ κατορθοῖ, τῆς ἀπὸ τοῦ Θεοῦ συναντιλήψεως ἀμοιρῶν; τροπικῶς δὲ καὶ μεγαλοπρεπῶς ὡς νύμφην κεκόσμηκεν, ὡς ἂν ἐκ τῶν αἰσθητῶς λεγομένων, εἰς τὴν νοητὴν τῶν ἁγίων μακαριότητα καὶ διαγωγὴν τὸν νοῦν παραπέμψωμεν τὸν ἡμέτερον.

Καὶ αὐτὸς ὁ Θεὸς μετ' αὐτῶν ἔσται.

Τοῦτο σαφέστερον ὁ Ἀπόστολος δηλῶν ἔλεγεν, "ἔπειτα ἡμεῖς "οἱ ζῶντες οἱ περιλειπόμενοι ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάν"τησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα." ἐν ταύτῃ οὖν τῇ σκηνῇ τῇ ἀχειροποιήτῳ οὐκ ἔσται κλαυθμὸς οὔτε δάκρυον τὰ σύστοιχα τῷ ἐπικήρῳ βίῳ, οὔτε πόνος, (τὴν τῶν

ἁγίων λέγω κακοπάθειαν, ἣν ὑπέστησαν ἐν τῷ μοχθηρῷ τούτῳ βίῳ.) ἐν ἐκείνῳ δὲ τῷ μέλλοντι, ἐπεὶ ὡς ἀφθάρτῳ ἀπέδρα λύπη καὶ ὀδύνη καὶ στεναγμὸς, ἀργὰ ταῦτα πάντα καὶ περιττά.

Ὅτι τὰ πρῶτα ἀπῆλθε.

· Τὰ πρῶτα, τὰ ἀπὸ τῆς παραβάσεως Ἀδὰμ τῇ φθορᾷ ὑποβληθέντα, εἴτε ὀχληρὰ καὶ ἐπώδυνα τοῖς θεοφιλέσι δι' ἀρετὴν εὐπορούμενα, εἴτε δι' ἀλαζονείαν καὶ ἀφροσύνην τοῖς θεοβλαβέσιν ἐπακολουθοῦντα, πάντα ἀπῆλθε.

ΚΕΦ. ΞϚ.

Περὶ ὧν εἶπεν ὁ ἐν τῷ θρόνῳ καθήμενος καὶ ὁραθείς.

5 Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ, ἰδοὺ πάντα
καινὰ ποιῶ. καὶ λέγει μοι, γράψον, ὅτι οὗτοι οἱ λόγοι
6 πιστοὶ καὶ ἀληθινοὶ τοῦ Θεοῦ εἰσί. καὶ εἶπέ μοι, γέγονα
ἐγὼ τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος. ἐγὼ τῷ διψῶντι
δώσω αὐτῷ ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς, δωρεάν.
7 ὁ νικῶν, δώσω αὐτῷ ταῦτα, καὶ ἔσομαι αὐτῷ Θεὸς, καὶ
8 αὐτὸς ἔσται μοι υἱός. τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις καὶ
ἁμαρτωλοῖς καὶ ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρ-
νοις, καὶ φαρμακοῖς, καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς
ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ
καὶ θείῳ, ὅ ἐστι θάνατος ὁ δεύτερος.

Θρόνος ἐστὶ τοῦ Θεοῦ, οἱ ταῖς ἀρεταῖς ἑαυτοὺς τούτου ὄχημα καταστήσαντες. περὶ ὧν καὶ ὁ ἔποχος τούτων τὸ, "ἐνοικήσω," ἔφη, "ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω."

Ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοὶ τοῦ Θεοῦ εἰσί.

Μὴ νόμιζε, φησὶν, ὦ Ἰωάννη, τῇ τοῦ μεγέθους τῶν καινοποιουμένων ἀλλοιώσει, ὡς καθ' ὑπερβολὴν φαντασίας, ὑποπεσεῖν ψευδεῖ τινὶ ἐκβάσει τὰ λεγόμενά σοι. τοσοῦτον γὰρ ἀληθῆ, ὥστε καὶ γραφῇ καταθέσθαι σε ταῦτα παρεγγυῶμαι εἰς ἀνεπίληστον τοῦ ὅτι γενήσεται. ἀληθινοὶ γὰρ καὶ πιστοὶ οἱ λόγοι, ὡς ὑπ' αὐτῆς ἐκφερόμενοι τῆς τῷ ὄντι ἀληθείας. ἀρχὴ δὲ καὶ τέλος Χριστὸς,

ὁ καὶ τὸ Α καὶ τὸ Ω ἑαυτῷ ἀναθείς· ἀρχὴ, ὡς πρῶτος διὰ τὴν θεότητα· τέλος δὲ, ὡς ἀπὸ τῆς πρώτης τῶν ἀσωμάτων κτίσεως, μέχρι τῶν τελευταίων ἀνθρώπων τὴν οἰκείαν ἐκτείνων πρόνοιαν. τῷ διψῶντι δὲ ἡ μὲν ἐπαγγελία δοθῆναι ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς, ἀλλὰ διψῶντι τὴν δικαιοσύνην, ὡς καὶ ὁ Χριστός φησιν. "μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ "χορτασθήσονται·" ἐκ τῆς πηγῆς δὲ τοῦ ὕδατος τῆς ζωῆς ἡ τῆς δίψης ἀνάκτησις ἐπαγγέλλεται, ἥτις πηγὴ, οὐκ ἄλλη, εἰ μὴ ὁ Χριστός. δωρεὰν δὲ ἡ χορηγία τοῦ τοιούτου ὕδατος ὑπισχνεῖται, καίτοι ἀλλαχοῦ τὴν εἰς τὴν ζωὴν ἀπάγουσαν ὁδὸν κόπῳ καὶ βίᾳ πολλῇ εὑρέσθαι λέγοντος. τί οὖν ἐνταῦθα τὸ, δωρεὰν αἰνίττεται; ἢ τὸ μὴ ἔχειν παραμετρεῖσθαι τὰ πρόσκαιρα τοῖς διαιωνίζουσι· περὶ ὧν καὶ Παῦλος φησὶν, "οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν "καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς."

Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις, καὶ ἑξῆς.

Δειλοὺς καλεῖ, τοὺς ἑκουσίῳ ἀσθενείᾳ πρὸς τὰ ἀπολαυστικὰ τοῦ παρόντος αἰῶνος ἀποκλίναντας, τῷ μηδὲν αἱρήσεσθαι ἀνδρικὸν ἐπανελέσθαι· τῶν θηλυπρεπῶν ἀτιμάζων οὕτω τὸ ἔκλυτον τῆς ναυσίας. πᾶσι δὲ τοῖς ψευδέσιν, ἀλλ' οὐ τοῖς ψεύσταις, ὡς τούτου τοῦ ῥήματος συμπεριλαμβάνοντος καὶ τὸ ἐνεργεῖν περὶ τὰ ἐνεργούμενα. περὶ τίνα γὰρ ὁ ψεύστης τὴν σπουδὴν ἀπασχολήσει, ἢ περὶ τὰ ψευδῆ καὶ τὸ φυσικὸν νοθεύοντα κάλλος τοῖς ἀπατηλοῖς ἐρεθίσμασιν;

ΚΕΦ. ΞΖ.

Περὶ τοῦ Ἀγγέλου δεικνύντος αὐτῷ τὴν τῶν ἁγίων πόλιν καὶ τὸ ταύτης τεῖχος, σὺν ταῖς πυλῶσι διαμετροῦντος.

9 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ Ἀγγέλων τῶν ἐχόντων
τὰς ἑπτὰ φιάλας γεμούσας ἑπτὰ πληγῶν τῶν ἐσχάτων,
καὶ ἐλάλησε μετ' ἐμοῦ λέγων, δεῦρο, δείξω σοι τὴν
10 γυναῖκα τὴν νύμφην τοῦ ἀρνίου. καὶ ἀπήνεγκέ με ἐν
πνεύματι, ἐπ' ὄρος μέγα καὶ ὑψηλόν. καὶ ἔδειξέ μοι τὴν
πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ
11 οὐρανοῦ ἐκ τοῦ Θεοῦ, ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ·

καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ
12 ἰάσπιδι κρυσταλλίζοντι, ἔχουσάν τε τεῖχος μέγα καὶ
ὑψηλόν.

Οὓς πρὸ τούτου τιμωροὺς εἰσηγεῖτο, νῦν ἀπεναντίας προφέρει καὶ ὡς ἰατρούς, ποτὲ μὲν τέμνειν ἀφωρμημένους, ποτὲ δὲ φάρμακα ἐπιπάσσοντας ἤπια. ὁ γὰρ τότε τὴν πληγὴν τοῖς ἀξίοις ἐπάγων, νῦν τὴν μακαριότητα τῆς Ἐκκλησίας τῶν ἁγίων ὑποδείκνυσι. πληγῶν δὲ τῶν ἐσχάτων, οὐ τῷ χρόνῳ τὸ ἔσχατον ἐχούσας λέγει, ἀλλὰ τῶν πρὸς κάκωσιν, τὸ ἀκμαῖον ἐπιφέρειν εἰδυίας. νύμφην δὲ τοῦ ἀρνίου καλῶς τὴν γυναῖκά φησιν. ὅτε γὰρ ὡς ἀμνὸς ἐσφαγιάσθη Χριστός, τότε αὐτὴν τῷ οἰκείῳ αἵματι ἐνυμφεύσατο. ὥσπερ γὰρ τοῦ Ἀδὰμ καθεύδοντος διεπλάσθη ἡ γυνὴ τῇ τῆς πλευρᾶς ἀφαιρέσει, οὕτω καὶ τοῦ Χριστοῦ ἐν τῷ σταυρῷ ἑκουσίως διὰ θανάτου ὑπνώσαντος, τῇ ἐκχύσει τοῦ ἐκ τῆς πλευρᾶς αἵματος ἡ Ἐκκλησία συστᾶσα, τῷ παθόντι δι' ἡμᾶς ἥρμοσται.

Καὶ ἀπήνεγκέ με ἐν πνεύματι.

Καλῶς τὸ ἐν πνεύματι. οὐ γὰρ ἐκτὸς πνευματικῆς χάριτος ἀνθρώπινός τις νοῦς ὑψώθη, ὡς ἐν περινοίᾳ γενέσθαι τῆς τῶν ἁγίων δόξης. εἰκότως δὲ ἡ Ἐκκλησία ἡ ὑπερκόσμιος τῶν ἁγίων ζωὴ καὶ πολιτεία εἰς ὄρος μέγα καὶ ὑψηλὸν παρεδείκνυτο. οὐδὲν γὰρ παρ' αὐτοῖς χθαμαλὸν ἢ ταπεινὸν καὶ χαμαίζηλον, ἀλλὰ πάντα ὑψηλὰ καὶ ἐπηρμένα.

Καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ.

Ἀπὸ τῆς τῶν αἰνιγμάτων ἀδηλίας τὴν νομικὴν λατρείαν τεθέαται ὁ εὐαγγελιστὴς καταβαίνουσαν, οὐ τοπικὴν κατάβασιν, ὅτι μηδὲ τὸ ἀπὸ τῆς Ἱερουσαλὴμ καταβαίνοντας εἰσάγειν κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολήν, τοπικὴν εἰσηγεῖται κατάβασιν, ἀλλὰ γνώσεως θείων δογμάτων μετάβασιν. ἐνταῦθα δὲ ἐπεὶ καὶ Θεὸς τῆς δόξης συλλαμβανόμενος, πρὸς οὐδὲν ταπεινὸν ἡ κατάβασις, εἰ μὴ τῆς ἀδηλίας καὶ κρυφιότητος ἡ φανέρωσις, οὐχ ὑπὸ ἀνθρωπίνῃ ὁρμῇ, ὡς ἐν τῇ παρεμβολῇ, ἀλλ' ἐκ Θεοῦ ῥοπῆς συντελουμένη.

Καὶ ὁ φωστὴρ αὐτῆς.

Φωστῆρα τὸν Χριστὸν καλεῖ. λίθῳ δὲ τιμιωτάτῳ ἀπεικάζεται ὁ φωστὴρ, ὅτι καὶ λίθῳ ἰάσπιδι παραβάλλεται τὸ τεῖχος τῆς ἀπ' οὐρανοῦ Ἱερουσαλήμ. χλοερὰ δὲ ἡ ἴασπις, τὸ φερέσβιον καὶ ζωοδῶρον ἐμφαίνουσα τῆς προνοίας τοῦ Χριστοῦ, οὗ περιοχὴ τὸ τεῖχος τὸ ἐξ ἰάσπιδος συντετελεσμένον, ὃ καὶ ὁρατὸν ἀνθρώποις ὡς καὶ αἰσθήσει ληπτόν. τὸ τεῖχος μὲν οὖν ἰάσπιδι ὡράθη λίθῳ συντετελεσμένον, διὰ τὸ χλοερὸν τοῦ χρώματος. χλόη γὰρ ἡγεῖται πάσης ἐπιγείου τροφῆς. ἀλλὰ καὶ κρυσταλλίζουσα ἡ ἴασπις τοῦ τείχους τὸ καθαρὸν καὶ ἄμωμον αἰνιττομένη τοῦ περιεχομένου. ἀλλὰ καὶ ὑψηλόν φησι τοῦτο καὶ μέγα. οὐ γὰρ ἐν ταπεινοῖς καὶ χαμαιζήλοις ὁ ὕψιστος εὐαρεστεῖ κατοικεῖν, ἀλλ' ὅσοις μετάρσια τὰ φρονήματα, καὶ τῆς οὐρανίου ἐχόμενα σεμνότητος. τὸ δὲ τοῦ φωστῆρος εἶδος, λίθῳ μὲν παραβάλλεται τιμιωτάτῳ, οὐ μέν τοι καὶ τὴν ἰδέαν ὁποῖος ἐνδείκνυται, ὅτι μηδὲ θνητοῖς καὶ ἀφθάρτοις τὰ θειότατα καὶ αἰσθήσει ἀδούλωτα πέφυκεν ὑποδειγματίζεσθαι.

Ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν
Ἀγγέλους δώδεκα. καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν
13 ὀνόματα τῶν δώδεκα φυλῶν υἱῶν Ἰσραήλ. ἀπὸ ἀνα-
τολῶν, πυλῶνες τρεῖς· καὶ ἀπὸ βορρᾶ πυλῶνες τρεῖς·
καὶ ἀπὸ νότου πυλῶνες τρεῖς· καὶ ἀπὸ δυσμῶν πυλῶ-
14 νες τρεῖς. καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους
δώδεκα, καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα
Ἀποστόλων τοῦ ἀρνίου.

Οὐδὲν ἐκ τούτων περισκελὲς νόημα εἰς σαφήνειαν μεθελκόμενον τυγχάνει. ὅ τε γὰρ ἀριθμὸς σαφῶς τοὺς Ἀποστόλους Κυρίου ὑποφαίνει· ἥ τε χρεία τῶν πυλώνων ὡς εἰσαγόντων εἰς τὸ τῆς ζωῆς ταμιεῖον τοὺς αὐτοῦ Ἀποστόλους παριστᾷ, δι' ὧν τὰ ἔθνη τῷ Χριστοῦ ταμιείῳ εἰσήχθησαν. Ἀγγέλους δὲ δώδεκα ἐπὶ τῶν πυλώνων καθιστᾶσιν, οὓς τοὺς Ἀποστόλους ἐξειλήφασι, δι' ὧν ἡ εἴσοδος ἡμῶν, καὶ ἡ πρὸς τὸν Πατέρα προσαγωγὴ ἐνήργηται ἐπὶ συνεργίᾳ Ἀγγέλων ἰσαρίθμων τῶν προυχόντων, καὶ μᾶλλον τῇ ἐπιστασίᾳ ἀφωρισμένων τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ κατὰ τὴν

ἀγχιστείαν τὴν ἐν ἁγιότητι θεμελιωθεῖσαν. καὶ μάλα εἰκότως· εἰ γὰρ ἑκάστῳ τῶν πιστῶν, Ἄγγελον ἕπεσθαι πεπιστεύκαμεν, πολλῷ μᾶλλον τοῖς θεμελίοις τοῖς τῆς Ἐκκλησίας, καὶ τοῦ εὐαγγελικοῦ λόγου σπορεῦσιν, Ἀγγέλους συνεργοὺς πρὸς τὸ εὐαγγελικὸν κήρυγμα νοεῖσθαι ἀκόλουθον.

Καὶ ὀνόματα ἐπιγεγραμμένα.

Ἐπὶ μὲν τῆς Μωϋσέως λατρείας τὰ τῶν ἀρχιφύλων ὀνόματα ἐπὶ τῆς ἐπωμίδος γεγράφθαι πρόσταγμα. ἐν δὲ τῇ κατὰ Κύριον Ἰησοῦν διαθήκῃ τοῦ νέου Ἰσραὴλ τὰ ὀνόματα ἐπὶ τοῖς πυλῶσι, τουτέστι, τοῖς εἰσαγωγοῦσι, περὶ ὧν καὶ εἴρηται, "ἀπαγγελῶ τὸ "ὄνομά σου τοῖς ἀδελφοῖς μου" ὄνομα τὸ κατὰ τὴν πίστιν τὴν κατὰ Χριστὸν μυστήριον λέγων, ὃ οὐκ εἰς ἀπόρρητον ἐχεμυθίαν, ἀλλ' εἰς ἅπασι προὔπτον προβάλλεσθαι ὑπισχνεῖται. ἀναλόγως δὲ ταῖς ἀπὸ Ἰακὼβ φυλαῖς καὶ οἱ πυλῶνες, ὅτι μηδὲ πάντα κατήργηται τὰ τῆς παλαιᾶς τῇ κατὰ Χριστὸν πίστει, ἀλλ' ὅσον τὰ νηπιώδη τῆς ἀνδρικῆς καταστάσεως ἀσθενέστερα.

Ἅ ἐστιν ὀνόματα τῶν δώδεκα φυλῶν υἱῶν Ἰσραήλ.

Τοὺς πιστοὺς καλέσας Ἰσραὴλ, ἐπιμεμένηκε καὶ τῷ τοῦ πληρώματος αὐτῶν ἀριθμῷ. δώδεκα γὰρ φυλὰς εἰπὼν, ἃς δὴ καὶ κατὰ τὴν τριάδα διῃρῆσθαι τῷ τετραμερεῖ τοῦ κόσμου σχήματι, καὶ ἰσαρίθμους τοῦ σταυρικοῦ σημείου τῇ διαστολῇ κατὰ τριπλασιασμὸν, δῆλον, καὶ τὰ ἀφωρισμένα μέρει ἀποφήνας, τούτων καὶ τρισὶ πάλιν πυλῶσιν ἕκαστον εἰληχέναι τὴν εἴσοδον διαγράφει. οὐ γάρ ἐστι τῆς τοῦ ἐσταυρωμένου Κυρίου μυήσεως κατευμεγεθῆσαι, μὴ τῇ ὑπερθέῳ Τριάδι τὸ εἰσαγώγιμον εἰληχότα. ἅπαντα γὰρ τοῦ κόσμου τὰ πέρατα οἱ θεῖοι Ἀπόστολοι διειληφότες, Τριάδα τε ὁμοούσιον τοῖς ἔθνεσι κηρύξαντες, ἐβάπτισαν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Καὶ ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα Ἀποστόλων τοῦ ἀρνίου.

Τοὺς δώδεκα Ἀποστόλους ἤδη καλῶς ποιῶν διεσάφησεν, ὅτι τοὺς δώδεκα Ἀποστόλους δηλοῦν ὁ σκοπὸς, οὓς καὶ πυλῶνας καὶ θεμελίους φησί. θεμελίους, ὡς τῆς κατὰ Χριστὸν πίστεως τὴν ὑποβάθραν αὐτοὺς καταθεμένους. πυλῶνας δὲ, ὡς δι' αὐτῶν ἤδη,

ἤγουν διὰ τοῦ κηρύγματος αὐτῶν, τὸ εἰσαγώγιμον τῆς κατὰ Χριστὸν πίστεως εὑρίσκει.

15 Καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχε μέτρον, κάλαμον χρυ-
σοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας αὐτῆς,
16 καὶ τὸ τεῖχος αὐτῆς. καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ
17 τὸ μῆκος αὐτῆς, ὅσον τὸ πλάτος. καὶ ἐμέτρησε τὴν
πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χιλιάδων. τὸ
μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί. καὶ
18 ἐμέτρησε τὸ τεῖχος αὐτῆς ρμδ πηχῶν, μέτρον ἀνθρώπου,
ὅ ἐστιν Ἀγγέλου. καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐ-
τῆς ἴασπις.

Ὁ μὲν κάλαμος ᾧ διεμέτρει τὴν ἁγίαν πόλιν, γεωμετρικὸν ὑπῆρχε. χρυσοῦν δὲ διὰ τὸ τίμιον τοῦτο μετροῦντος Ἀγγέλου, καὶ τῆς μετρουμένης πόλεως. ἀνθρωποειδῶς δὲ ἐθεωρήθη ταῦτα, ὅτι μηδὲ ἄλλως ὁραθῆναι ταῦτα δυνατὸν θεῖα ὄντα καὶ ὡς ἔχει φύσεως. πόλιν δὲ τὸ κατὰ Χριστὸν μυστήριον, εἰς ὃ οἱ πυλῶνες ἐμβιβάζειν ἀπέλαχον, ὅτι διὰ τοῦ κηρύγματος ἡ κατὰ Χριστὸν πίστις γνωρίζεται.

Καὶ ἡ πόλις τετράγωνος κεῖται.

Τοῦ τείχους καὶ τῆς πόλεως τὸ σχῆμα τετράγωνον, καὶ τῶν πυλώνων εἰς δώδεκα. τετράγωνος γὰρ οὖσα ἡ πόλις, τῷ σταυρικῷ σημείῳ κατὰ τὸν διάμετρον διῃρέθη, ἀφ᾽ οὗ καὶ αἱ τέσσαρες πλευραὶ ἀνὰ τρισὶ πυλῶσι τὴν εἴσοδον ηὐμοίρησαν χεῖν, ὡς ἔφθημεν παραθέμενοι.

Ἐπὶ σταδίους δώδεκα χιλιάδων.

Ἰσάριθμοι τοῖς μακαρίοις Ἀποστόλοις οἱ στάδιοι. ἐπεὶ καὶ τοῦ κηρύγματος αὐτῶν καρπὸς ἡ ἐκεῖσε ἀποκειμένη λῆξις, ἰσόμετρος οὖσα κατὰ πάσας τὰς διαστάσεις, καὶ τοῦ κατὰ Θεὸν βίου αἱ ἀρεταὶ ἐν συμμετρίᾳ τὸ εἶναι ἔχουσι, κατὰ Παῦλον τὸν θεῖον, ὃς οἶδε καὶ ταπεινοῦσθαι, καὶ περισσεύειν, καὶ χορτάζεσθαι, καὶ πεινᾷν. καὶ οὗτος ὁ ἀριθμὸς τῶν μακαρίων Ἀποστόλων ἔμφασιν ἔχει. ὁ δώδεκα γὰρ ἐφ᾽ ἑαυτὸν πολυπλασιασθεὶς, τὸν ἑκατοντεσσαρακοντατέσσαρα ποιεῖ. τὸ δὲ μέτρον τῶν ἑκατοντεσσαρακοντα-

τεσσάρων πηχῶν μέτρον ἀνθρώπου εἰπὼν, ἐπιφέρει, ὅτι τὸ μέτρον τοῦτο Ἀγγέλου ἐστὶ, εἰ καὶ κατὰ τὸ δοκοῦν ἀνθρώποις ἐξενήνεκται διὰ πήχεως. μή τις μέν τοι οἴεσθω καὶ ἄνθρωπον τὸν μεμετρηκότα, ἀλλ' Ἄγγελον ἀνθρωπίνως χρησάμενον τῇ μετρήσει, καὶ οὐκ ἀγγελικῶς τῇ ἁπλῇ προσβολῇ καὶ νοήσει.

Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις.

Ἐνδόμησιν, τὴν οἰκοδομὴν λέγει, οἱονεὶ τὴν σπουδὴν καὶ ἀκρίβειαν τὴν περὶ τὸ κήρυγμα τῶν Ἀποστόλων. ἡ δὲ χλωρίζουσα ἴασπις, τὸν τοῦ Εὐαγγελίου δρόμον αἰνίττεται τὸν χλωρίζον εἰς ἀεὶ καὶ ἀμάραντον διατηροῦντα τὸ κήρυγμα.

Καὶ ἡ πόλις χρυσίον καθαρὸν, ὅμοιον ὑάλῳ καθαρῷ.
19 οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ
κεκοσμημένοι. ὁ θεμέλιος ὁ πρῶτος ἴασπις· ὁ δεύτε-
ρος σάπφειρος· ὁ τρίτος χαλκηδών· ὁ τέταρτος
20 σμάραγδος· ὁ πέμπτος σαρδόνυξ· ὁ ἕκτος σάρδιον·
ὁ ἕβδομος χρυσόλιθος· ὁ ὄγδοος βήρυλλος· ὁ ἔννα-
τος τοπάζιον· ὁ δέκατος χρυσόπρασος· ὁ ἑνδέκατος
21 ὑάκινθος· ὁ δωδέκατος ἀμέθυσος. καὶ οἱ δώδεκα πυλῶ-
νες δώδεκα μαργαρῖται.

Τὸ ἀείζωον κήρυγμα ἐπὶ κατασκήνωσιν ἄγει τῆς μακαρίας καὶ ἀδιαδόχου ζωῆς, ἥτις πόλις, ἤγουν σκήνωσις, χρυσίῳ παραβάλλεται καθαρῷ, ξενιζούσῃ τῇ διαυγείᾳ, ὑάλῳ καθαρῷ ὁμοιουμένη. οἱ δὲ θεμέλιοι τοῦ τείχους τῆς πόλεως, παντὶ λίθῳ κεκοσμημένοι. λίθοις πολυτίμοις διαμορφοῖ τὰς ἀρετὰς τῶν θείων Ἀποστόλων, οὓς καὶ θεμελίους καλεῖ τῆς πόλεως. δώδεκα δὲ ὄντων τῶν λίθων τῶν ἐν τῷ λογείῳ τοῦ ἀρχιερέως, ὀκτὼ μόνον ἐκ τούτων τοῖς θεμελίοις ἐντάττει. τοὺς τέσσαρας δὲ παρηλλαγμένους, ἵν' ἐκ τούτων φανῇ καὶ τὸ σύμφωνον τῆς παλαιᾶς πρὸς τὴν νέαν, καὶ τὸ ὑπερέχον τῆς νέας καὶ τῶν ἐν αὐτῇ διαλαμψάντων ὅσον, πρὸς τὴν παλαιάν. οἱ τοίνυν Ἀπόστολοι πάσῃ ἀρετῇ τῇ διὰ τῶν τιμίων λίθων ἐμφαινομένῃ κεκόσμηνται.

α. Ὁ πρῶτος, ἴασπις.

Διὰ τῆς ἰάσπιδος χλωριζούσης τὴν χρόαν κατὰ τὴν σμά-

ραγδον, εἰκὸς τὸν κορυφαῖον Πέτρον δηλοῦσθαι, ὃς πρὸ τοῦ πάθους τοῦ Κυρίου ἐν ἁπάσαις ταῖς πρὸς αὐτὸν τοῦ Κυρίου ἐρωτήσεσιν ἀειθαλὴς ὢν καὶ νεάζων, ἑάλω γοῦν τῇ ἀπὸ τοῦ δέους χλωρότητι κατὰ τὸ τοῦ διδασκάλου πάθος κατακρατηθεὶς, ὡς καὶ πρὸς ἄρνησιν χωρῆσαι. ὅμως τῇ αὐτῇ πάλιν κατὰ τὸ κρεῖττον συγκροτούμενος ἀειθαλίᾳ, αὐτός τε τοῦ θανατοῦντος ταῖς τῶν δακρύων ῥοαῖς ἀπήλλακται δίψους, καὶ ἡμᾶς εἰς τόπον χλόης διὰ τοῦ ὕδατος τοῦ σωτηριώδους βαπτίσματος κατεσκήνωσεν.

β. Ὁ δεύτερος, σάπφειρος.

Οὗτος τοῦ Καλαΐνου χρώματος καλουμένου, ὅ τινες Βένετον φασὶ, τῷ οὐρανίῳ ἀπεικάζεται χρώματι, ἤτοι τῷ τοῦ ἀέρος βάθει, ὃ τὸ οὐράνιον ἐπιπροσθεῖ σῶμα, εἴγε καὶ τοῦτο αἰσθήσει ληπτὸν, ἀλλὰ μὴ κατὰ τὸν Σταγειρίτην πέμπτου σώματος φύσιν τινὰ κατείργασται. ἀλλ᾽ εἰ καὶ τοῦτο τῆς ὁρατικῆς αἰσθήσεως ἡμῶν μὴ οἵας τε οὔσης τὰ πορρωτάτω διακριβοῦν τοῦ ἐπιπροσθοῦντος οἷά τινος παραπετάσματος, κἂν μέν τοι τὸ χρῶμα ἐμφανίζειν πειρᾶται, σαπφείρῳ ἀφομοιῶν τὸν δεύτερον θεμέλιον. ὃς σάπφειρος τῷ οὐρανίῳ ἀπεικάζεται σώματι· καὶ ὅπως, εἴρηται. ἐξ οὗ σαπφείρου φασὶ καὶ τὸ λαζούριον χρῶμα γίνεσθαι. τούτῳ τῷ λίθῳ τὸν μακάριον Παῦλον ἔνδικον ἀπεικάζεσθαι, ἕως τρίτου οὐρανοῦ ἀναληφθέντα, κἀκεῖθεν ἕλκοντα τοὺς αὐτῷ πειθομένους.

γ. Ὁ τρίτος, χαλκηδών.

Οὗτος ἐν τῷ ἱερατικῷ λογείῳ οὐκ ἐμφέρεται, ἀλλ᾽ ἄνθραξ, ὃς ἐνταῦθ᾽ οὐ κεῖται. σκοπητέον οὖν, μή ποτε τὸν ἄνθρακα οὕτως ἐκάλεσαν. ἄνθραξ δὲ ὁ μακάριος Ἀνδρέας, ἅ τε ἐν τῇ ἀχλύϊ τοῦ κατὰ τὸν νόμον βίου αὐτός τε τῷ καθ᾽ ἑαυτὸν φωτὶ τὸν ζητούμενον Μεσίαν εὑρὼν, καὶ τοῖς γνωρίμοις μηνύων καὶ ἐμφανίζων. ἅμα δὲ εἰ καὶ ἄλλος ὁμοιόχρους ἄνθρακι ὁ χαλκηδὼν ἐστι λίθος, οὕτω κληθεὶς, παρόσον κατὰ τὸν Χαλκηδόνος πορθμὸν ἄνω Χρυσοπόλεως κατὰ τὰς Συμπληγάδας πέτρας τοῖς ἐκτὸς τούτων ἀπανθρώποις χωρίοις, χοιράσι καὶ σκοπέλοις τῶν αἰγιαλῶν ἠχρειωμένων μετὰ λίθων ἀνευρίσκεται πολυτίμων, ὡς τὰ πάτρια Βιθυνῶν ἀναταξαμένοις εἴρηται, σκοπητέον.

δ. Ὁ τέταρτος, σμάραγδος.

Διὰ τοῦ σμάραγδου τὸ πράσιον χρῶμα ἐμφανιζομένου, τήν τε διαύγειαν ἐξ αὐτοῦ προσλαμβάνοντος καὶ τὴν ὥραν, τὸ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου νομίζομεν δηλοῦσθαι κήρυγμα, θείῳ ἐλαίῳ φαιδρύνοντος τὴν προσγινομένην ἡμῖν ἐξ ἁμαρτίας κατήφειαν.

ε. Ὁ πέμπτος, σαρδόνυξ.

Τούτῳ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου χαρακτηρίζεσθαι ὑπειλήφαμεν. ὡς γὰρ ὁ λίθος οὗτος καὶ χροὰν αἱματιαίαν ἐγκολπίζεται, οὕτω δὴ καὶ ὁ μακάριος οὗτος, ἐναρχομένου τοῦ φωτοειδοῦς λευκοῦ καὶ θείου κηρύγματος, τῷ δι' αἵματος δρόμῳ τῷ διδασκάλῳ Χριστῷ πρὸς τὴν οὐράνιον καὶ ἀείζωον λῆξιν, καὶ πλήρη φωτὸς, παραπέμπεται.

ς. Ὁ ἕκτος, σάρδιον.

Οὗτος πυρρὸς τὴν χρόαν ὁρμώμενος, τῷ διαπύρῳ τῆς περὶ Χριστὸν διαθέσεως τὸν Φίλιππον ἀναφέρει. ὡς γὰρ ὁ λίθος οὗτος θεραπευτικὴν ἔχει δύναμιν οἰδημάτων σαρκικῶν καὶ τῶν ἀπὸ σιδήρου πληγῶν, οὕτω καὶ τῆς τοῦ Φιλίππου ἀρετῆς τὸ κάλλος ὑποδύεται.

ζ. Ὁ ἕβδομος, χρυσόλιθος.

Βαρθολομαῖος ἀπεικάζεται τῷ χρυσολίθῳ τῷ πολυτίμῳ, τῶν ἀρετῶν χρυσοειδεῖς ἀποστίλβων λαμπρότητας καὶ οὗτος, οὐ μέν τοι καὶ ὡς ὁ χρυσὸς τῷ τήκεσθαι δυστυχῶν, στερρότητι δὲ λιθίνῃ πρὸς τὸ κήρυγμα καταπλουτῶν ἔμμονον.

η. Ὁ ὄγδοος, βηρύλλιος.

Θωμᾶς εἰκάζεται τούτῳ, θαλασσοειδεῖ τῇ χροᾷ, καὶ ὑακινθιζούσῃ, τό, τε πρὸς πίστιν αὐτοῦ ἀστάθμητον ὑπογράφοντι, καὶ μάλιστα τὸ μακροδαπὲς τῆς ἀποστολῆς μέχρις Ἰνδῶν καὶ διὰ θαλάσσης ἐκτελεσθείσης.

θ. Ὁ ἔννατος, τοπάζιον.

Ὁ τόπαζος ἐρυθρὸς καὶ ἀνθρακίζων τῷ εἴδει, καὶ λευκὸν ὀπὸν ἀφιεὶς ὀφθαλμιῶσιν ἀλεξίπονον, τὸν θεῖον Ματθαῖον ἕξει ἀφομοιούμενον, πεπυρωμένον τῷ θείῳ ζήλῳ, ὡς καὶ τὴν μέχρι σαρκὸς καὶ

αἵματος, καὶ γαλακτοτροφίας ἐνανθρώπησιν τοῦ Θεοῦ ἀναγράψαι. δι᾽ ὧν τοὺς τὴν καρδίαν τυφλώττοντας καὶ νηπιώδει τῇ πίστει, τοὺς κατὰ νόμον φημὶ πολιτείᾳ παιδαγωγουμένους, πρὸς ἀνδρικὴν κατάστασιν τὴν κατὰ Χριστὸν ἐπανήγαγεν.

ι. Ὁ δέκατος, χρυσόπρασος.

Τούτῳ Θαδδαῖος ἀνάκειται, ὁ τῷ Αὐγάρῳ βασιλεῖ Ἐδέσης τὴν τοῦ Χριστοῦ πίστιν εὐαγγελισάμενος, ἥτις χρυσὸς χρηματίζουσα τὴν ἰδέαν, καὶ ταύτῃ τὸ τίμιον ἑαυτῇ μνημένη, οὐδὲ τοῦ πρασίου ἀμοιρεῖ, εἴτουν τὴν πρὸς τὰ ἐμπαθῆ νέκρωσιν τῆς κατὰ Χριστὸν πίστεως αἰνιττομένης τῆς Ἀποκαλύψεως, εἴτε καὶ τὸ ἀείζωον διὰ τῆς ἀειθαλίας τοῦ πρασίου χρώματος.

ια. Ὁ ἐνδέκατος, ὑάκινθος.

Τούτῳ κυανίζοντι τὴν χρόαν, ἤγουν ἀερίζοντι, ὁ Σίμων ὁ Ζηλωτὴς ἀπεικάζεται, τοῦ μὲν τῶν Ζηλωτῶν ἀειπλανοῦς στίφους χρηματίζων, (διὸ καὶ ὡς ἀερίζων καὶ ἐξηνεμωμένος τὸ φρόνημα,) ἀλλ᾽ οὖν τῇ ἐπιγνώσει τῆς ἀληθείας, εἰ καὶ ὀψὲ, τὸν ζῆλον ἐπὶ τὸ βέλτιστον μεθαρμοσάμενος.

ιβ. Ὁ δωδέκατος, ἀμέθυσος.

Οὗτος πυρρὸς τὸ χρῶμα φαινόμενος, τῷ Ματθίᾳ εἰκότως ἀφορισθήσεται, τῆς ἀπ᾽ οὐρανοῦ ῥυείσης ὀπτασίας ἐμπύρου δρόσου τοῖς ἕνδεκα κοινωνοῦντι, παρὸ καὶ μέθῃ κατάληπτοι τοῖς ἀνοήτοις ὑποπτεύσθησαν, εἰ καὶ πάσης νήψεως κρείττους διέκειντο. διόπερ καὶ τῷ ἀμεθύσῳ προσενεμήθη, ὅτι ὁ μηδὲ τὸν ἀμέθυσον ἐπιφερόμενος, ἡττᾶσθαι μέθῃ διατεθρύλληται.

Ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου· καὶ ἡ πλατεία τῆς πόλεως, χρυσίον καθαρὸν, ὡς
22 ὕαλος διαυγής. καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ. ὁ γὰρ Θεὸς
23 ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον. καὶ ἡ
πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα
φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν,
24 καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. καὶ περιπατήσουσι τὰ
ἔθνη διὰ τὸ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς

25 φέρουσι τὴν δόξαν καὶ τιμὴν αὐτῶν εἰς αὐτήν. καὶ οἱ
πυλῶνες αὐτῆς, οὐ μὴ κλεισθῶσιν ἡμέρας, νὺξ γὰρ οὐκ
26 ἔσται ἐν αὐτῇ. καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν
27 τῶν ἐθνῶν εἰς αὐτὴν, ἵνα εἰσέλθωσιν. καὶ οὐ μὴ εἰσέλθῃ
εἰς αὐτὴν πᾶν κοινὸν καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος,
εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ
ἀρνίου.

Μαργαρίταις, τοὺς ἁγίους Ἀποστόλους ἀπεικάζει, καὶ ἀνὰ ἕκαστον αὐτῶν τὸ παράδοξον οὐχ ὅπως τῇ λευκότητι τοῦ βίου ἐπιφαίνοντας, ἀλλ' ἤδη καὶ τῷ μεγέθει καὶ ἀναστήματι τῶν ἐγχειρημάτων τὸ κατάπληκτον ἐπαγομένους. τὴν δὲ πλατεῖαν τῆς πόλεως, ἤτοι τῆς μακαρίας κατασκηνώσεως τὸ διεξοδικὸν καὶ βιώσιμον, χρυσίῳ ἀπείκασεν.

Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης.

Τῶν αἰσθητῶν ἁπάντων ἠχρειωμένων, εἰκότως καὶ ἥλιος καὶ σελήνη ἠχρείωται, ἅτε νοητῶς πάντων τῶν ἐν τῇ τηνικάδε καταστάσει περιαυγαζομένων.

Νὺξ γὰρ οὐκ ἔσται ἐν αὐτῇ.

Ἔτι μηδὲ νὺξ ἐκεῖ καθ' ἣν μοχλοῖς καὶ κλείθροις περιγίνεται ἡ ἀσφάλεια, ὅτι κἀκεῖ τοὺς θείους πυλῶνας, οὓς τοὺς Ἀποστόλους εἶναι εἰρήκαμεν, ἐνεργεῖς ἔσονται πρὸς τὴν τῶν τελεωτέρων μύησιν. ἡμέρας γὰρ οὔσης ἀεὶ, καθ' ἣν τὰ τοῦ φωτὸς ἔργα πεπράξεται, πῶς οἷόν τε τὴν νυκτερινὴν ἀπραξίαν παρείσδυσιν ἐκεῖ σχεῖν, νυκτὸς τὸ παράπαν οὐκ οὔσης; δισσὸν δὲ τὸ ὄνομα. ἢ γὰρ τοῦτο βούλεται δηλοῦν ὅτι εἰρήνη ἔσται καὶ ἀσφάλεια, ὡς μηδὲ δεῖσθαι φυλακὴν ποιεῖσθαι τῆς πόλεως, τῇ τῶν πυλῶν ἀποκλείσει· ἢ τὸ κἀκεῖ τοὺς θείους πυλῶνας τῆς ἀποστολικῆς διδασκαλίας ἠνεῷχθαι πᾶσι πρὸς τὴν τῶν τελειοτέρων μάθησιν. ἡμέρα δὲ ἔσται ἐκεῖ καὶ νὺξ, ὅτι αὕτη τοῖς ἁμαρτωλοῖς ἀποκληρωθήσεται.

Καὶ οἴσοισι τὴν δόξαν καὶ τὴν τιμήν.

Οἱ τὰ γήϊνα καταγωνισάμενοι πάθη, οἴσουσι δόξαν τῷ συναντιλαμβανομένῳ Θεῷ. οὐδὲν γὰρ τῶν κατωρθωμένων ἀνθρώποις θείας

ἐπικουρίας ἐκτὸς συσταίη. Οὓς ἄνω βασιλεῖς εἴρηκε γῆς, τούτους εἰσαγωγεύς φησι τῶν ἐθνῶν τῆς δόξης καὶ τῆς τιμῆς. τί δὲ διὰ τούτων παριστῶν; ἢ ὅτι οἱ καταπαλαίσαντες τὰ περὶ γῆν ἱλυττώμενα πάθη τῷ καθ' ἑαυτοὺς ὑποδείγματι καὶ τοῖς λοιποῖς ἔθνεσιν εἰσαγώγιμον πεποιήκασι τὴν ἄνω Ἱερουσαλὴμ, οὗπερ ὑπόδειγμα, δόξα καὶ τιμὴ, ἢ πρὸς δόξαν καὶ τιμὴν τοῖς ἔθνεσι συνετέλεσε.

ΚΕΦ. ΞΗ.

Περὶ τοῦ καθαροῦ ποταμοῦ τοῦ ὀπτανθέντος ἐκ τοῦ θρόνου πορεύεσθαι.

1 Καὶ ἔδειξέ μοι ποταμὸν καθαρὸν ὕδατος ζωῆς λαμ-
πρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ
2 Θεοῦ καὶ τοῦ ἀρνίου ἐν μέσῳ τῆς πλατείας αὐτῆς. καὶ
τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς ποιοῦν
καρποὺς δώδεκα κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοὺς τὸν
καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν
3 τῶν ἐθνῶν, καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἐκεῖ. καὶ ὁ
θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται. καὶ οἱ
4 δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ, καὶ ὄψονται τὸ πρόσω-
πον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.
5 καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι λύχνου
καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτούς·
καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Διττὴν ἴσμεν τοῦ ποταμοῦ τὴν ὠφέλειαν, δίψους ἀνάκτησιν, καὶ ῥύπου κάθαρσιν, ὧν ἀμφοτέρων πλήρης ἡ κατὰ τὸ εὐαγγελικὸν Χριστοῦ κήρυγμα ζωή. δίψος τε γὰρ ἀνεκτήσατο τῶν πρὸ τῆς παρουσίας Χριστοῦ προφητῶν, "ἐδίψησέ σε," φασκόντων, "ἡ ψυχὴ "ἡμῶν," καὶ βαπτίσματι θεουργῷ τοὺς λουομένους ἁγνίζουσα ἐκάθαρε. καὶ ὅτι τὸ βάπτισμα σκοπὸς παρεμφαίνειν τὸν ποταμὸν τῷ Εὐαγγελιστῇ, ἐνταῦθ' ἐχέγγυον πιστώσασθαι τὸ ἀπὸ τοῦ θρόνου τοῦ ἀρνίου ἐκπορεύεσθαι αὐτὸν ὑποθέσθαι, καὶ μέσον τῆς πλατείας διαρρεῖν, τοῦ εὐαγγελικοῦ δηλαδὴ κηρύγματος. οὐ γάρ ἐστιν εἰς τὴν ἄνω Ἱερουσαλὴμ εἰσελθεῖν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, τὸν μὴ ἄνωθεν ἀναγεννηθέντα δι' ὕδατος καὶ πνεύματος.

Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν.

Ἐντεῦθεν καὶ ἐκεῖθεν τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐντεῦθεν, κατὰ τὴν παροῦσαν ζωὴν, ἐκεῖθεν, κατὰ τὸν μέλλοντα αἰῶνα. ξύλον δὲ ζωῆς, τὴν ἔνθεον φησὶ σοφίαν. τούτου τοῦ ξύλου, ἡ κατὰ Χριστὸν ἐχομένη διδασκαλία ἀπὸ τῆς ἐντεῦθεν εὐπραγίας εἰς τὴν μακαριότητα καταντήσει. τίς δὲ ἡ ἐντεῦθεν εὐπραγία; τὸ προσηκόντως μεταχειρίζεσθαι καὶ κατὰ καιρὸν τὰς θεοποιοὺς ἀρετὰς, ἀλλὰ μὴ ἀκαίρως ἢ ὑπερβαθμίως ἐπ᾽ ἀνηνυτῷ σπουδάσματι ματαιοποιεῖν. ἰσάριθμος δὲ τοῖς διαπονοῦσι καὶ ἡ κατὰ καιρὸν μεταχείρησις, ὅτι μηδ᾽ ὑπερτείνειν, ἀεὶ δὲ ἐνδεῖν ἐχρῆν τοῦ καιροῦ τοὺς ἔργατας, τεταγμένως δὲ διεξάγεσθαι τὰ πάντα ἐν σοφίᾳ ποιοῦντας. πρὸς τούτοις, καὶ τὰ φύλλα φησὶ τοῦ ξύλου εἰς θεραπείαν καταγγέλλεσθαι, οἱονεὶ φημίζεσθαι, τῶν ἐθνῶν. τί διὰ τούτων ἐνστῆσαι θέλων; τὸ φύλλον οὖν περικάρπιον ἴσμεν σκέπασμα· ἐκ τούτου συνίεμεν ὡς τὰ τελεώτερα τῶν κατὰ Θεὸν καὶ διαυγείᾳ κρυσταλλοειδεῖ περιαυγαζομένων ἔργων τοῖς τελεωτάτοις κατ᾽ ἀρετὴν εἰς ἐξέτασιν ἀνατίθεται. δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται. ὅσα δὲ τοῦ τροφίμου μὲν ἀμοιρεῖ τῶν καρπῶν, εἰς δεῖγμα δὲ τοῦ ὅτι τέθνηκε, τὸ φυτὸν μόνον παραλαμβάνεται. τῇ τῶν ἐθνῶν θεραπείᾳ προσνέμεται· τῇ Χριστοῦ γὰρ τούτων ὑπαχθέντων δουλείᾳ, τὸ πρὸς ἀκρίβειαν, περιττὸν ἐπὶ τούτων ἀνερευνᾷν.

Καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται.

Ὁ ἀρεταῖς θεοφιλέσιν εἰς ὄχημα θεῖον ἑαυτὸν ηὐτρεπικὼς, εἰς τὴν Θεοῦ δὲ καὶ τοῦ ἀρνίου ἀνάπαυσιν διὰ τῶν τῆς παλαιᾶς καὶ καινῆς διαθήκης θείων εἰσηγήσεων ἀόκνως δραμὼν, καὶ θείας ἱδρύσεως ηὐμοιρηκὼς, αὐτὸς τῆς πόλεως τῆς ἄνω Ἱερουσαλὴμ ἔσται οἰκήτωρ, καὶ ὄψεται τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον, οὐ δι᾽ αἰνιγμάτων, ἀλλ᾽ ὥσπερ τοῖς ἁγίοις Ἀποστόλοις ἐν τῷ ἁγίῳ ὄρει τεθέαται, ὥς φησιν ὁ μέγας Διονύσιος.

Καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ ἅγιοι δηλονότι συμβασιλεύσουσι Χριστῷ εἰς τοὺς ἀτελευτήτους αἰῶνας.

ΚΕΦ. ΞΘ.

Ὅτι Θεὸς τῶν προφητῶν ὁ Χριστὸς καὶ δεσπότης τῶν ἁπάντων.

6 Καὶ εἶπέ μοι, οὗτοι οἱ λόγοι, πιστοὶ καὶ ἀληθινοί.
καὶ Κύριος ὁ Θεὸς τῶν πνευμάτων τῶν προφητῶν
ἀπέστειλε τὸν Ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις
αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.

Τὸ εἰωθὸς αὐτῷ ὁ μακάριος οὗτος εὐαγγελιστὴς κἀνταῦθα, ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ, εἰς γνώρισμα τοῦ γνησίου, τὸ, "καὶ "οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ," οὕτω καὶ νῦν ἐπισφραγίζων φησὶ, τοὺς λόγους πιστοὺς καὶ ἀληθινοὺς ἐκτεθεῖσθαι, ἐκεῖθεν ἕλκοντας τὸν πιστὸν, ἀπὸ Κυρίου τοῦ Θεοῦ δηλαδὴ, ὃς καὶ τοῦ χαρίσματος τῶν προφητῶν Κύριος. τοῦτο γὰρ βούλεται παριστᾷν διὰ τοῦ, Κύριος τῶν Πνευμάτων, ὡσπερεὶ ἔλεγεν, Κύριος τοῦ προφητικοῦ χαρίσματος.

ΚΕΦ. Ο.

Περὶ τοῦ ἀξιοπίστου τῶν τεθεαμένων τῷ ἀποστόλῳ.

7 Ἰδοὺ ἔρχομαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους
8 τῆς προφητείας τοῦ βιβλίου τούτου. καὶ ἐγὼ Ἰωάννης
ὁ βλέπων καὶ ἀκούων ταῦτα. καὶ ὅτε ἤκουσα καὶ
ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν
9 τοῦ Ἀγγέλου τοῦ δεικνῦντός μοι ταῦτα. καὶ λέγει μοι,
Ὅρα μή. σύνδουλός σου εἰμὶ ἐγὼ, καὶ τῶν ἀδελφῶν σου
τῶν προφητῶν, τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου
τούτου. Τῷ Θεῷ προσκύνησον.

Τοὺς τηροῦντας λέγει τοὺς σπουδάζοντας μὴ περιπεσεῖν ταῖς εἰρημέναις κολάσεσιν ἐν τῷ βιβλίῳ τούτῳ, ἀλλὰ διὰ βίου θεαρέστως ἀμοιρεῖν αὐτῶν.

Καὶ ἐγὼ Ἰωάννης ὁ βλέπων καὶ ἀκούων ταῦτα.

Καὶ τοῦτο τῆς ἀποστολικῆς ψυχῆς ἰδίωμα. ὅπερ γὰρ καὶ ἐν τῷ Εὐαγγελίῳ πεποίηκεν εἰπών. "καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ

"ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ," τοῦτο κἀνταῦθα ποιεῖ αὐτήκοος εἶναι καὶ αὐτόπτης τῶν προφητευθέντων ὁμολογήσας. διὰ γὰρ τούτου τὰ ἑωραμένα ἐπιστώσατο. ἔδειξε δὲ καί, ὡς προείρηται, τὸ τοῦ διατυποῦντος Ἀγγέλου, καὶ τὸ ἑαυτοῦ εὐλαβές.

ΚΕΦ. ΟΑ.

Ὅπως ἐκελεύσθη μὴ σφραγίσαι, ἀλλὰ κηρύξαι τὴν Ἀποκάλυψιν.

10 Καὶ λέγει μοι, Μὴ σφραγίσῃς τοὺς λόγους τῆς
προφητείας τοῦ βιβλίου τούτου. ὁ καιρὸς ἐγγύς ἐστι.
11 ὁ ἀδικῶν ἀδικησάτω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω
ἔτι, καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω ἔτι, καὶ ὁ ἅγιος
12 ἁγιασθήτω ἔτι. ἰδοὺ ἔρχομαι ταχύ, καὶ ὁ μισθός μου
μετ' ἐμοῦ ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ἔσται.
13 ἐγὼ τὸ ἄλφα καὶ τὸ ω μέγα, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος
καὶ ὁ ἔσχατος.

Μὴ σφραγίσῃς, καὶ τὰ ἑξῆς.

Τουτέστι, μὴ παρὰ σαυτῷ συγκλείσας φυλάξῃς, ἀλλὰ φανέρωσον ἅπασιν. διὰ δὲ τοῦ, "ὁ καιρὸς ἐγγύς ἐστι," τοιοῦτό τι βούλεται δηλοῦν. ὁ καιρὸς τῆς ἐκβάσεως τῶν εἰρημένων, οὐ τὸ πλεῖστον ἀπέχει τῶν εἰρημένων ὡς τότε, ἀλλὰ μὴ νῦν χρείαν ἔχεις αὐτῶν ἀκούειν. ὅσον μὲν οὖν τὸ μὴ ἤδη παρεῖναι, ἀκούειν χρεία, ὅσον δὲ τὸ μόνον οὐ παρεῖναι ἀλλὰ σχεδὸν ἐνεργεῖσθαι, περιττὸν τὸ ἀκούειν.

Ὁ ἀδικῶν ἀδικησάτω ἔτι.

Οὐ προτροπὴ τοῦτο, ἀλλ' ἔλεγχος τῆς ἑκάστου πρὸς ὅτι καὶ βούλοιτο ὁρμῆς.

Ἰδοὺ ἔρχομαι ταχύ.

Τὸ ταχὺ εἴτε συγκρίσει τῶν ἀπεράντων αἰώνων εἴρηται, ἢ καὶ πρὸς εὐθυμίαν τῶν ἀπεκδεχομένων τὴν ἀντίδοσιν, ἢ καὶ διὰ τὸ ἀπαραλόγιστον καὶ πάντως ἀνυπερθέτως ἐσόμενον.

Ἐγὼ τὸ ἄλφα καὶ τὸ ω μέγα.

Ὅτι μὲν διὰ τοῦ ὑποδείγματος τῶν γραμμάτων ἀρχὴν παρεδήλωσε καὶ τὸ τέλος, οὐδὲν δυσχερὲς ἐννοῆσαι, καθ' ὅτι καὶ αὐτὸς

ὑπέθετο. ζητεῖν δὲ τοῖς ἐξεταστικωτέροις περιγίνεται, τίνος χάριν μὴ δι' ἑτέρων τοῦτο, εἰ μὴ διὰ τῶν γραμμάτων ὑπέφηνε. φαμὲν οὖν, ὡς ἐπειδὴ τὴν ἀπεκδοχὴν τῶν τοιούτων ἐπαγγελιῶν μόνῳ τῷ λόγῳ τετιμημένων ἐστὶ προσδοκᾶν, διὰ τοῦτο τὸν τρόπον τοῦτον καὶ οὐκ ἄλλως πως ἐδήλωσε. τεκμήριον δὲ τῆς τοιαύτης δημιουργίας, ἡ τῶν γραμμάτων εὕρεσις. αὐτὰ δὲ ταῦτα, κατὰ τὸν Σταγειρίτην, σύμβολα τῶν ἐν τῇ εὐσήμῳ φωνῇ ἀνθρώπων. διὰ τοῦτο καὶ τὸ δηλωτικῇ τῶν ὀνομάτων χρῆσθαι φωνῇ ἐδόκει αὐτῷ. καὶ εἰκότως τῇ τοιαύτῃ δημιουργίᾳ καὶ τοιούτοις ὑποδείγμασι τῆς ἀρχῆς ἐχρήσατο καὶ τοῦ τέλους.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται
ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς
15 πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν. ἔξω οἱ κύνες καὶ
οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλο-
λάτραι, καὶ πᾶς ὁ ποιῶν καὶ φιλῶν ψεῦδος.

Ἤδη εἴρηται, ὅτι τὸ ξύλον τῆς ζωῆς, τὰ θεόσοφα λόγια καλεῖ, ἃ περὶ τὰ πρακτικὰ κατὰ τὸ εὐφρονέστατον τὴν σχολὴν ἔχοντα, τὴν τῶν ἁγίων ἐξουσίαν διαπορθμεύεται, ἐλευθερίως, διὰ τῶν ἀποστολικῶν ῥήσεων, εὐοδούμενα πρὸς τὴν ἄνω Ἱερουσαλήμ. τοὺς πυλῶνας δὲ ὅτι οἱ Ἀπόστολοι, ἤδη τεθεώρηται.

Ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι.

Οὐ μόνον τοὺς ἀναιδεῖς ἀπίστους, ἀλλὰ καὶ τοὺς ἡταιρηκότας διὰ τὸ ἀναιδὲς αὐτῶν καὶ ἀκάθαρτον ἀπελαύνει, περὶ ὧν καὶ ὁ θεσπέσιος φησὶ Μωϋσῆς, "οὐ προσοίσεις μίσθωμα πόρνης, καὶ "ἄλλαγμα κυνὸς εἰς οἶκον Κυρίου τοῦ Θεοῦ σου, πρὸς πᾶσαν "εὐχήν σου."

ΚΕΦ. ΟΒ.

Ὅπως ἡ ἐκκλησία καὶ τὸ ἐν αὐτῇ Πνεῦμα προσκαλοῦνται τὴν τοῦ Χριστοῦ ἔνδοξον ἐπιφάνειαν. καὶ περὶ τῆς ἀρᾶς ᾗ ὑποβάλλονται οἱ τὴν βίβλον παραχαράττοντες ὡς ἄκυρον.

16 *Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν Ἄγγελόν μου μαρτυρῆσαι*
ὑμῖν ταῦτα ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος
17 *Δαβὶδ, ὁ ἀστὴρ ὁ πρωϊνὸς ὁ λαμπρός. καὶ τὸ Πνεῦμα*
καὶ ἡ νύμφη λέγουσιν, ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω,
ἔρχου. καὶ ὁ διψῶν ἐρχέσθω, καὶ ὁ θέλων λαβέτω
ὕδωρ ζωῆς δωρεάν.

Κἀνταῦθα τὸ δεσποτικὸν τοῦ πεπομφότος τὸν Ἄγγελον ἀξίωμα δείκνυται. μαρτυρῆσαι δὲ τὸ διαμαρτύρασθαι, οὐκ ἐν κρυφῇ, ἀλλ' ἐν παραβύστῳ, ἀλλ' ἀκουόντων ἁπάντων ἁπανταχοῦ ἐκκλησιῶν, ἵνα μή τις ἐθελοκάκως ἄγνοιαν προφασισάμενος μείνῃ ἀδιόρθωτος, πονήρως διακείμενος. τὸ δὲ "ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος "Δαβὶδ," ἀκολουθότερον οὕτω νοεῖν. ἐγώ εἰμι ὁ ἐκ τῆς ῥίζης τοῦ Δαβὶδ βλαστήσας κλάδος. γένος δὲ, ὡς ἐξ οὗ κατὰ σάρκα ἐκβλαστήσας, ὡς εἶναι τὸν Ἐμμανουὴλ ἐκ θεότητός τε καὶ ἀνθρωπότητος. "ἀστὴρ δὲ πρωϊνὸς," αὐτὸς ὁ Κύριος χρηματίζει. πρωϊνὸς μὲν, ὡς πάσης σωφροσύνης παραίτιος. λαμπρὸς δὲ, ὡς φωτίζων πάντα ἄνθρωπον εἰς τὸν κόσμον ἐρχόμενον. πνεῦμα δὲ καλεῖ, τοὺς ἠξιωμένους τοῦ πνευματικοῦ γάμου, νύμφην δὲ τὴν Ἐκκλησίαν. τὸ δὲ, "καὶ ὁ ἀκούων," τούτους ὑπεμφαίνει τοὺς μήπω μὲν τῇ ἀγέλῃ προσειλημμένους, εἰς ἀκοὴν δὲ τῶν θείων ἀκουσμάτων παρεσκευασμένους, οἱ καὶ ἐπισπεύδουσι γνῶναι τὸν Κύριον.

18 *Μαρτύρομαι ἐγὼ παντὶ τῷ ἀκούοντι τοὺς λόγους τῆς*
προφητείας τοῦ βιβλίου τούτου. ἐάν τις ἐπιθῇ ἐπ' αὐτὰ,
ἐπιθήσει ἐπ' αὐτὸν ὁ Θεὸς τὰς ἑπτὰ πληγὰς τὰς γεγραμ-
19 *μένας ἐν τῷ βιβλίῳ τούτῳ. καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν*
λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφελεῖ ὁ
Θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ἐκ
τῆς πόλεως τῆς ἁγίας τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ

20 τούτῳ. λέγει ὁ μαρτυρῶν ταῦτα. καὶ ἔρχομαι ταχὺ,
21 ἀμήν. ἔρχου Κύριε Ἰησοῦ Χριστέ. ἡ χάρις τοῦ
Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων, ἀμήν.

Μαρτύρομαι ἐγώ.

Ἀντὶ τοῦ διαμαρτύρομαι, οἱονεὶ διαβεβαιοῦμαι, πιστὸν ἀποφαίνομαι καὶ ἀπαράβατον πᾶν τὸ ἐπισημανθὲν τοῖς λόγοις τῆς προφητείας ταύτης. μαρτύρομαι δὲ ταύτας τὰς πληγὰς ἁπάσας μέλλειν ἐπενεχθήσεσθαι ἀμετατρέπτως, τὰς δι' ὅλου τοῦ βιβλίου τούτου ἐπηγγελμένας.

Ἐάν τις ἐπιθῇ ἐπ' αὐτά.

Διαμαρτύρεται τοῖς ἀκούουσι, μήτε ἀφελεῖν, μήτε προσθεῖναι, ἀλλὰ τὰ γραφικὰ ἰδιώματα τῶν Ἀττικῶν συντάξεων καὶ τῶν διαλεκτικῶν συλλογισμῶν μὴ ἡγεῖσθαι ἀξιοπιστότερα ἢ σεμνότερα.

Λέγει ὁ μαρτυρῶν ταῦτα.

Ὁ διαμαρτυρόμενος ταῦτα, δι' ἐμοῦ, φησι, λέγει. τί; ναὶ ἔρχομαι ταχύ. διέκοψε γὰρ τὸν εἱρμὸν τοῦ λόγου, ὡς καὶ πρὸ τούτου μεταξὺ τοῦ ἀφ' ἑαυτοῦ λόγου, τὸν χρηματίζοντα Χριστὸν αὐτοπρόσωπον εἰσάγων. οὕτως οὖν καὶ νῦν τάχα εἰς παραμυθίαν τοῦ χρηματισθέντος ταῦτα, γηραιοῦ ὄντως φησὶ τὸ, ναὶ ἔρχομαι. ἢ οὖν ἀπὸ τοῦ χρηματίζοντος ἢ καὶ ἀπὸ τοῦ χρηματιζομένου ἀκουστέον, ἵνα νοοῖτο οὕτως. ἐγὼ ὁ μαρτυρῶν ταῦτα, εἰ καὶ τῇ ἀναγκαίᾳ τοῦ βίου ἐλαύνομαι προθεσμίᾳ καὶ πρὸ τοῦ ἐπιστῆναι ταῦτα, ἀλλ' οὖν καὶ αὐτὸς μηδὲν ἀναβαλλόμενος. "ἔρχου, Κύριε "Ἰησοῦ Χριστὲ," κατὰ τὴν δευτέραν σου παρουσίαν. τὸ δὲ "ἡ "χάρις τοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων," βεβαιοῦντός ἐστιν.

COD. COISL. 224. Fol. 334 r.

---

1 ᾿ΑΠΟΚΑΛΥΨΙΣ Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκε κ.τ.λ.

Ἀποκάλυψις ἐστὶν ἡ τῶν κρυπτῶν μυστηρίων δήλωσις καταυγαζομένου τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς, εἴτε διὰ θείων ὀνειράτων, εἴτε καθ᾽ ὕπαρ ἐκ θείας ἐλλάμψεως. δοθῆναι δὲ τῷ Χριστῷ ταῦτα φησὶν, ἀνθρωπινώτερον μᾶλλον περὶ αὐτοῦ τὸν λόγον ποιούμενος. ἐπείπερ ἐν τῷ Εὐαγγελίῳ τοῖς ὑψηλοῖς καὶ θεοπρεπέσιν ὑπὲρ πάντα ἐνδιέτριψε. κἀνταῦθα δὲ διὰ τοῦ διακονοῦντος Ἀγγέλου καὶ τοῦ τῶν μανθανόντων δούλων ὀνόματος, τὸ τῆς θεότητος τοῦ Χριστοῦ ἐμφαίνει μέγεθος· αὐτοῦ γὰρ δοῦλα τὰ σύμπαντα. τὸ δὲ ἐν τάχει γενέσθαι σημαίνει, τὸ τινὰ μὲν τῶν παρὰ πόδας γενέσθαι τῆς περὶ αὐτῶν προρρήσεως, καὶ τὰ ἐπὶ συντελείᾳ δὲ μὴ βραδύνειν. "διότι χίλια ἔτη παρὰ Θεῷ, ὡς ἡμέρα ἡ ἐχθὲς "ἥτις διῆλθεν, λελόγισται."

Καὶ ἐσήμανεν ἀποστείλας.

Ὁ Χριστός μοι, φησὶν, ὡς δεσπότης ὡς οἰκείῳ δούλῳ δι᾽ Ἀγγέλου ταῦτα δεδήλωκε, τὴν εἰς αὐτὸν ὁμολογίαν μαρτυρήσαντι, ἐφ᾽ ᾧ διὰ τῶν ὁραθέντων διαμαρτύρασθαι καὶ κηρύξαι πρὸς ἐπιστροφὴν τῶν ἀκουόντων, τά τε ὄντα καὶ τοὺς ἀνθρώπους λανθάνοντα, τάτε ἔσεσθαι μέλλοντα· προφητικῶς γὰρ ἑώρακεν ἀμφότερα· καὶ δῆλον ἐκ τοῦ εἰρῆσθαι "ἅτινά εἰσιν, καὶ ἃ χρὴ γενέσθαι." ταῦτα δέ ἐστιν παραστατικὰ τοῦ ἐνεστῶτος χρόνου καὶ τοῦ μέλλοντος.

3 Μακάριος ὁ ἀναγινώσκων.

Μακαρίζει τοὺς διὰ τῶν πράξεων ἀναγινώσκοντας καὶ ἀκούοντας· ἐγγὺς γὰρ ὁ παρὼν καιρὸς, δι᾽ οὗ τοῦ μακαρισμοῦ τυχεῖν ἔξεστιν, καὶ πᾶσιν εἰς ἐργασίαν προκείμενος, ὥς φησιν ὁ Κύριος· "ἐργάζεσθε ἕως ἡμέρα ἐστι." καὶ ἕτερος, ἐγγὺς ὁ καιρὸς ὁ τῆς τῶν ἐπάθλων διανομῆς, διὰ τὴν τοῦ παρόντος βίου σμικρότητα, συγκρίσει τοῦ μέλλοντος.

4 *Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ.*

Πολλῶν οὐσῶν κατὰ τόπον ἐκκλησιῶν, ἑπτὰ μόνους ἀπέστειλε, διὰ τοῦ ἑβδοματικοῦ ἀριθμοῦ τὸ μυστικὸν τῶν ἁπανταχοῦ ἐκκλησιῶν σημαίνων, καὶ τῷ παρόντι βίῳ σύστοιχον, ἐν ᾗ ἡ ἑβδοματικὴ τῶν ἡμερῶν περίοδος γίνεται, διὸ καὶ ἑπτὰ Ἀγγέλων καὶ ἑπτὰ ἐκκλησιῶν μέμνηται, αἷς φησι, "χάρις ὑμῖν καὶ εἰρήνη" ἀπὸ τῆς τρισυποστάτου θεότητος. διὰ μὲν γὰρ τοῦ ὁ ὢν, ὁ Πατὴρ δηλονότι, ὁ χρηματίσας τῷ Μωυσῇ, "ἐγώ εἰμι ὁ ὤν·" διὰ δὲ τοῦ ὁ ἦν, ὁ Χριστὸς, ὃς ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· διὰ δὲ τοῦ ὁ ἐρχόμενος, ὁ Παράκλητος, ὁ ἀεὶ ἐπιφοιτῶν τοῖς τῆς Ἐκκλησίας τέκνοις διὰ τοῦ ἁγίου βαπτίσματος, τελεωτέρως δὲ καὶ τρανωτέρως ἐν τῷ μέλλοντι.

Καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων.

Ἑπτὰ πνεύματα τοὺς ἑπτὰ Ἀγγέλους νοεῖν δυνατὸν, τοὺς τῆς Ἐκκλησίας λαχόντας τὴν κυβέρνησιν· οὐ συναριθμουμένους τῇ θεαρχικωτάτῃ καὶ βασιλίδι Τριάδι, ἀλλ' ὡς δούλους σὺν αὐτῇ μνημονευομένους. ἴσως δὲ ἑτέρως τοῦτο νοηθήσεται, διὰ μὲν τοῦ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος τοῦ Πατρὸς σημαινομένου, τοῦ περιέχοντος ἐν ἑαυτῷ πάντων τῶν ὄντων τήν τε ἀρχὴν καὶ τὰ μέσα καὶ τὰ τελευταῖα. διὰ δὲ τῶν ἑπτὰ πνευμάτων, τῶν ἐνεργειῶν τοῦ ζωοποιοῦ Πνεύματος· διὰ δὲ τοῦ ἑπομένου Χριστοῦ τοῦ Θεοῦ, τοῦ δι' ἡμᾶς ἀνθρώπου γενομένου. πολλαχοῦ γὰρ ἀδιαφόρως ἑκάστη θεϊκὴ ὑπόστασις τῷ Ἀποστόλῳ προτάττεται καὶ ὑποτάττεται. ὡς δὲ τῷ θεολόγῳ Γρηγορίῳ δοκεῖ, εἰς τὸν Χριστὸν ἐξείληπται τὸ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος.

5 *Ὁς μάρτυς πιστός ἐστιν.*

Οὗτος ἐστι, φησιν, ὁ μαρτυρήσας ἐπὶ Ποντίου Πιλάτου, ὁ πιστὸς ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, ὁ ἐκ νεκρῶν πρωτότοκος. ὧν γὰρ αὐτὸς κατάρχει, οὐκέτι, καθὼς οἱ πρότερον θανόντες καὶ ἀναστάντες, ὄψονται θάνατον, ἀλλ' αἰωνίως ζήσονται.

Καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς.

Ἄρχων δὲ τῶν βασιλέων, ὡς βασιλεὺς τῶν βασιλευόντων. "ἄρχων δὲ τῶν βασιλέων τῆς γῆς" καὶ ἑτέρως τῶν γηΐνων ἐπιθυμιῶν λέγεται.

Τῷ ἀγαπῶντι ἡμᾶς καὶ λύσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ.

Τούτῳ, φησὶν, ἡ δόξα πρέπει, τῷ δι' ἀγάπην τῶν δεσμῶν τοῦ θανάτου λύσαντι ἡμᾶς, καὶ τῶν τῆς ἁμαρτίας κηλίδων λούσαντι, τῇ ἐκχύσει τοῦ ζωοποιοῦ αὐτοῦ αἵματος καὶ ὕδατος, καὶ ποιήσαντι ἡμᾶς "βασίλειον ἱεράτευμα," ἀντὶ ἀλόγων θυσιῶν, "θυσίαν ζῶσαν," τὴν λογικὴν θυσίαν τῷ Πατρὶ προσφέροντας.

7 Ἰδοὺ ἔρχεται μετὰ νεφελῶν.

Ὁ ἐνταῦθα, φησὶν, ὡς ἀμνὸς σφαγιασθεὶς, ἐν τῇ πατρικῇ δόξῃ, κριτὴς ἐπὶ τῶν νεφελῶν ἐλεύσεται. εἴτε ἀσωμάτως νοουμένων διὰ τῶν νεφελῶν, νοερῶν δυνάμεων· ἐρχόμενον δὲ αὐτὸν μετὰ δόξης, πᾶς μὲν ὀφθαλμὸς ὄψεται, οἱ δὲ ἐκκεντήσαντες καὶ πᾶσαι αἱ τῆς γῆς φυλαὶ, αἱ τῇ ἀπιστίᾳ ἐμμείνασαι, κόψονται. τὸ δὲ ναὶ ἀμὴν, ἀντὶ τοῦ πάντως, τὸν αὐτὸν νοῦν τῇ Ἑλληνίδι καὶ Ἑβραΐδι γλώσσῃ ἐσήμανε. τὸ γὰρ ἀμὴν, ἑρμηνεύεται, γένοιτο.

8 Ἐγὼ εἰμὶ τὸ Ἀλφὰ καὶ τὸ Ὠμέγα.

Ὁ Χριστὸς ἐνταῦθα δηλοῦται, ἅτε Θεὸς καὶ κρατῶν τῶν ἁπάντων ἄναρχός τε ὁμοῦ καὶ ἀτελεύτητος, ὢν καὶ προὼν, καὶ πέρας οὐκ ἔχων ὡς τῷ Πατρὶ συναΐδιος· τῶν θεοπρεπῶν φωνῶν ὁμοτίμως ἐφαρμοζουσῶν ἑκάστῃ θεϊκῇ ὑποστάσει, καὶ κοινῇ ταῖς τρισὶ, πλὴν τῶν ἰδιωτήτων, ἤγουν σχέσεων, καὶ τῆς τοῦ Λόγου ἐνανθρωπήσεως. καὶ δῆλον ἐξ ὧν τὸν τρισάγιον τῶν Σεραφὶμ ὕμνον, ἐν μὲν τῷ Εὐαγγελίῳ εἰς τὸν Υἱὸν μανθάνομεν λέγεσθαι, ἐν δὲ τῇ δημηγορίᾳ Παύλου ἐν ταῖς Πράξεσιν εἰς τὸ Πνεῦμα τὸ Ἅγιον. ἐν δὲ τῇ τῶν μυστηρίων προσφορᾷ, εἰς τὸν Πατέρα, πρὸς ὃν τὴν τοιαύτην εὐχὴν εἰθίσμεθα ποιεῖν.

9 Ἐγὼ Ἰωάννης ὁ ἀδελφὸς ὑμῶν καὶ κοινωνὸς ἐν τῇ θλίψει.

Ἅτε ἀδελφὸς ὑμῶν φησιν ὢν καὶ συγκοινωνὸς ἐν ταῖς διὰ Χριστὸν θλίψεσιν, εἰκότως τὸ ἀξιόπιστον παρ' ὑμῖν κέκτημαι. διὰ γὰρ τὴν μαρτυρίαν Ἰησοῦ, Πάτμον οἰκεῖν τὴν νῆσον καταδικασθεὶς, ἀπαγγέλλω τὰ ἑωραμένα ἐν αὐτῇ μυστήρια.

10 Ἐγενόμην ἐν πνεύματι ἐν τῇ Κυριακῇ ἡμέρᾳ.

Πνεύματι Ἁγίῳ γενόμενος κάτοχος, καὶ πνευματικὸν οὖς κτησάμενος, ἐν τῇ Κυριακῇ ἡμέρᾳ, κἂν τούτῳ τιμηθείσῃ διὰ τὴν

ἀνάστασιν, φωνῆς ἤκουσε σάλπιγγι ἐοικυίας, διὰ τὸ μεγαλόφωνον δηλούσης τὸ τοῦ Θεοῦ ἄναρχόν τε καὶ ἀτελεύτητον, διὰ τοῦ Α καὶ τοῦ Ω δηλούμενον, ἐξ ἧς ἐντέταλται τὰ ὁραθέντα ταῖς ἑπτὰ ἐκκλησίαις διαπέμψασθαι, διὰ τὸν προλεχθέντα ἑβδοματικὸν ἀριθμὸν, τὸν εἰς τὸν σαββατισμὸν καταντῶντα τοῦ αἰῶνος τοῦ μέλλοντος.

12 Καὶ ἐπέστρεψα βλέπειν.

Ὅτι οὐκ ἦν αἰσθητὴ ἡ φωνὴ, δηλοῖ λέγων· ἐπέστρεψα, οὐ τοῦ[a] ἀκοῦσαι, ἀλλὰ τοῦ βλέπειν τὴν φωνήν· ταυτὸν γάρ ἐστιν ἡ πνευματικὴ ἀκοή τε καὶ ὅρασις. ἐπιστρέψας δέ φησιν, εἶδον ἑπτὰ λυχνίας, ἃς παρακατιὼν τὰς ἐκκλησίας ἐννόησε, καὶ ἐν μέσῳ αὐτῶν τὸν Χριστὸν, ὅμοιον ἀνθρώπῳ, διὰ τὸ καὶ Θεὸν αὐτὸν εἶναι καὶ οὐ ψιλὸν ἄνθρωπον, ἐνδεδυμένον ποδήρη, ὡς ἀρχιερέα τῶν ἄνω, κατὰ τάξιν Μελχισεδὲκ, ζώνην καὶ χρυσῆν περιεζωσμένον, οὐκ ἐν τῇ ὀσφύϊ, ὥσπερ οἱ λοιποὶ ἄνθρωποι πρὸς ἐποχὴν τῶν ἡδονῶν· ταύταις γὰρ ἡ θεία σὰρξ ἀνεπίβατος, ἀλλ' ἐν στήθει πρὸς τοῖς μαζοῖς, ὅπως καὶ τὸ ἄσχετον τῆς δικαίας καὶ θείας ὀργῆς φιλανθρωπίᾳ συνέχηται, καὶ ἡ τὰς δύο διαθήκας, ἤγουν τοὺς δεσποτικοὺς μαζοὺς ζωννύουσα δειχθῇ ἀλήθεια· δι' ὧν οἱ πιστοὶ τρέφονται. χρυσῆ δὲ ἡ ζώνη διὰ τὸ τίμιον καὶ καθαρὸν καὶ ἀκίβδηλον. λευκαὶ δὲ αἱ τῆς κεφαλῆς τρίχες ὡσεὶ ἔριον ἢ ὡς χιών. εἰ γὰρ καὶ πρόσφατος δι' ἡμᾶς, ἀλλ' ἀρχαῖος, μᾶλλον δὲ προαιώνιος· τούτου γὰρ ἡ λευκὴ θρὶξ σύμβολον. οἱ δὲ ὀφθαλμοὶ ὡς φλὸξ πυρὸς, τοὺς μὲν ἁγίους φωτίζοντες, τοὺς δὲ βεβήλους φλογίζοντες. τοὺς δὲ πόδας τὴν μετὰ σαρκὸς οἰκονομίαν δεῖ νοεῖν. οἱ πόδες γὰρ αὐτοῦ τῇ θεότητι ἐπιβάντες, τὴν ἡμετέραν σωτηρίαν κατειργάσαντο. πόδες δὲ καὶ οἱ θεμέλιοι τῆς Ἐκκλησίας. ὅμοιοι δὲ χαλκολιβάνῳ, ὅν φασιν οἱ ἰατροὶ εὐώδη εἶναι θυμιώμενον, τὸν παρ' αὐτοῖς καλούμενον ἄρρενα λίβανον, χαλκοῦ μὲν τῆς ἀνθρωπίνης, λιβάνου δὲ τῆς θείας νοουμένης φύσεως, δι' ὧν δείκνυται καὶ τὸ εὐῶδες τῆς πίστεως, καὶ τὸ ἀσύγχυτον τῆς ἑνώσεως. ἢ τοῦ χαλκοῦ δηλοῦντος τὸ τοῦ κηρύγματος εὔηχον, τοῦ δὲ λιβάνου, τὴν τῶν ἐθνῶν ἐπιστροφήν. ὅθεν ἡ νύμφη ἔρχεσθαι κελεύεται. πόδες δὲ τοῦ Χριστοῦ καὶ οἱ Ἀπόστολοι, τῇ καμίνῳ τῶν πειρασμῶν πυρωθέντες.

[a] αὐτοῦ Cod.

15 Καὶ ἡ φωνὴ αὐτοῦ.

Τὴν φωνὴν αὐτοῦ ὡς φωνὴν ὑδάτων πολλῶν λέγει εἶναι, εἰκότως· κοινὴ γὰρ ἡ φωνὴ αὐτοῦ τε καὶ τοῦ Πνεύματος, οὗ ποταμοὶ ἐκ τῆς κοιλίας τῶν πιστῶν ζῶντος ὕδατος ἔρρευσαν, καὶ εἰς πᾶσαν τὴν γῆν διαπρύσιον ἤχησαν.

16 Καὶ εἶχεν ἐν τῇ δεξιᾷ.

Ἀστέρας ἑπτὰ κατιὼν, τοὺς τῶν ἐκκλησιῶν, φησὶν, Ἀγγέλους. ῥομφαίαν δὲ δίστομον, τὴν κατὰ τῶν ἀσεβῶν, φησιν, ἀπόφασιν, τὴν τομωτέραν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ἢ καὶ τὴν περιτέμνουσαν μάχαιραν τοῦ Πνεύματος τὸν ἐντὸς ἡμῶν ἄνθρωπον. τὸ δὲ πρόσωπον αὐτοῦ φαίνειν ὡς ὁ ἥλιος λέγων, οὐκ αἰσθητὴν τὴν αἴγλην φησὶν, ἀλλὰ νοητήν· ἥλιος γάρ ἐστι δικαιοσύνης τῇ οἰκείᾳ δυνάμει καὶ ἐξουσίᾳ καταυγάζων. οὐ καθὼς ὁ αἰσθητὸς ἥλιος ἅτε κτίσμα, θεοσδότῳ δὲ δυνάμει, καὶ θείῳ προστάγματι.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσον πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός.

Ταυτὸν πεπονθότα τὸν Ἀπόστολον Ἰησοῦ τῷ Ναυὴ καὶ Δανιὴλ, διὰ τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, ἀνέρρωσεν ὁ Χριστὸς, φήσας αὐτῷ, μὴ φοβοῦ, οὐ γὰρ θανατῶσαι σε παραγέγονα· ὅς γε ἄναρχος ὢν καὶ ἀτελεύτητος, δι' ὑμᾶς νεκρὸς γέγονα, καὶ ἔχω ἐξουσίαν τοῦ ᾅδου καὶ τοῦ θανάτου, τουτέστι τοῦ σωματικοῦ καὶ ψυχικοῦ θανάτου.

19 Γράψον οὖν ἃ εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα.

Ἐπειδήπερ φῶς ἀληθινὸν ὁ Χριστὸς, τούτου χάριν λύχνοι οἱ τὸν αὐτοῦ πλουτοῦντες φωτισμὸν, ὡς τὴν νύκτα τοῦ παρόντος βίου καταλάμποντες· λυχνίαι δὲ αἱ ἐκκλησίαι ὀνομάζονται· εἰκότως, ὡς τοὺς φωστῆρας ἔχουσαι, τοὺς λόγον ζωῆς ἐπέχοντας. χρυσοῖ δὲ οἵτε λύχνοι καὶ αἱ λυχνίαι, διὰ τὸ τίμιον καὶ ἀκίβδηλον τῆς ἐν αὐτοῖς πίστεως. τούτων δὲ ἑκάστῃ, Ἄγγελος φύλαξ ἐφέστηκεν, καθώς φησιν ὁ Κύριος. οὓς τροπικῶς ἀστέρας διὰ τὸ φωτεινὸν καὶ καθαρὸν τῆς φύσεως ὠνόμασεν.

Τῷ Ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας γράψον.

Διὰ τοῦ Ἀγγέλου τῇ Ἐκκλησίᾳ διαλέγεται, ὥσπερ ἂν τις

διὰ παιδαγωγοῦ τῷ παιδαγωγουμένῳ, οἰκειοῦσθαι γὰρ ὁ διδάσκαλος τὰ τοῦ μαθητοῦ πέφυκεν, εἴτε ἐγκλήματα, εἴτε κατορθώματα, ἅτε σπεύδων ἐξομοιοῦν ἑαυτῷ τὸν διδασκόμενον.

1 Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ.

Εἰκὸς διὰ τῶν ἑπτὰ ἀστέρων, ἤγουν Ἀγγέλων τῶν ἐν τοῖς εἰρημένοις ἑπτὰ οὐρανοῖς λογικῶν τάξεων δηλοῦσθαι[b] τὴν διακόσμησιν, ἐν τῇ δεξιᾷ τοῦ Χριστοῦ κειμένην, ἐν ᾗ καὶ τὰ τῆς γῆς πέρατα τοῦ καὶ ἐν μέσῳ τῶν ἐκκλησιῶν περιπατοῦντος, κατὰ τὴν οἰκείαν ὑπόσχεσίν, "ὅπου γάρ," φησιν, "εἰσὶ δύο ἢ τρεῖς "συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν."

2 Οἶδα τὰ ἔργα σου καὶ τὸν κόπον σου, καὶ τὴν ὑπομονήν σου.

Ἐν δυσὶ τὴν ἐκκλησίαν ἀποδεχόμενος, ἐν ἑνὶ ταύτην καταμέμφεται, ὃ καὶ μέσον τέθεικεν, τὰ κατορθώματα θεὶς ἑκατέρωθεν· τὸν μὲν κόπον καὶ τὴν ὑπὲρ τῆς πίστεως ὑπομονὴν καὶ τὴν πρὸς τοὺς κακοὺς ἀλλοτρίωσιν αὐτῆς ἐπῄνεσεν, ὅτι τε μὴ παντὶ πιστεύσασα πνεύματι, ἐπείρασε τοὺς ψευδαποστόλους· καὶ γνοῦσα ψευδεῖς αὐτοὺς, ἀπεπέμψατο. πρὸς δὲ τούτοις ὅτι τὰ ἔργα τῶν αἰσχροεργῶν Νικολαϊτῶν μεμίσηκεν· ἐμέμψατο δὲ ὅτι τὴν πρὸς τοὺς πλησίον ἀγάπην καὶ εὐποιΐαν ἐχλίανεν, πρὸς ἣν αὐτὴν διὰ τῶν ἑξῆς ἀνεκαλέσατο, δι' ὧν φησι, τὰ πρῶτα ἔργα ποίησον.

5 Εἰ δὲ μὴ, ἔρχομαί σοι ταχύ.

Κίνησις Ἐκκλησίας ἐστὶν ἡ τῆς θείας χάριτος γύμνωσις, δι' ἧς ἐν σάλῳ καὶ κλύδωνι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, καὶ τῶν ὑπουργούντων αὐτοῖς πονηρῶν ἀνθρώπων καθίσταται. τινὲς δὲ τὴν τῆς λυχνίας κίνησιν, τὸν ἀρχιερατικὸν τῆς Ἐφέσου θρόνον ὡς ἐν τῇ βασιλίδι μετατεθέντα ἐνόησαν. τὰ δὲ ἔργα τῶν Νικολαϊτῶν ὅπως εἰσὶ τῷ Θεῷ μισητὰ, ἐντυχών τις τῇ βδελυρᾷ αὐτῶν αἱρέσει γνώσεται.

7 Ὁ ἔχων οὖς ἀκουσάτω.

Σαρκικὸν μὲν οὖς, πᾶς ἄνθρωπος, πνευματικὸν δὲ, ὁ πνευματικὸς μόνος κέκτηται, ὃ τῷ Ἡσαΐᾳ προστέθειται. τῷ δὲ τοιούτῳ

[b] δηλοῦσθω Cod.

νικῶντι τὸν πρὸς τοὺς δαίμονας πόλεμον δώσειν ἐπαγγέλλεται φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, τουτέστι μετασχεῖν τῶν τοῦ μέλλοντος αἰῶνος ἀγαθῶν. περιφραστικῶς γὰρ διὰ τοῦ ξύλου δηλοῦται ἡ ζωὴ ἡ αἰώνιος, ὧν ἑκάτερον ὁ Χριστός ἐστιν, ὥς φησι Σολομὼν περὶ τῆς σοφίας λέγων, "ξύλον ζωῆς ἐστιν πᾶσι τοῖς "ἀντεχομένοις αὐτῆς," καὶ ὁ παρὼν Ἀπόστολος ἑτέρωθι περὶ τοῦ Χριστοῦ λέγων· "αὐτός ἐστί," φησιν, "ὁ Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος."

8 Καὶ τῷ Ἀγγέλῳ τῆς ἐν Σμύρνῃ.

Πρῶτος ὡς Θεὸς, ἔσχατος ὡς ἐπ' ἐσχάτων τῶν καιρῶν γέγονεν ἄνθρωπος, καὶ διὰ τῆς τριημέρου νεκρώσεως ἀνοίξας ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον.

9 Οἶδά σου τὰ ἔργα.

Οἶδά σου, φησι, τὴν θλίψιν καὶ τὴν πτωχείαν ἐν τοῖς σαρκικοῖς, ἣν ὑπομένεις δι' ἐμὲ, μαστιζόμενος ὑπὸ τῶν ἀπίστων, καὶ τῶν ὑπαρχόντων στερούμενος· πλούσιος δὲ εἶ ἐν τοῖς πνευματικοῖς, ἔχων τὸν θησαυρὸν κεκρυμμένον ἐν τῷ ὀστράκῳ τῆς καρδίας σου.

Καὶ τὴν βλασφημίαν.

Κατὰ κοινοῦ τὸ οἶδα. καὶ τὴν βλασφημίαν τῆς συναγωγῆς τοῦ Σατανᾶ, φησὶν, ἐπίσταμαι, ὅτι οὐκ εἰσὶν ὃ λέγονται· οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖος, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ. Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

10 Μηδὲν φοβοῦ.

Μὴ φοβηθῇς, φησι, τὴν ἐκ τῶν θεομάχων διὰ μαστίγων καὶ πειρασμῶν θλῖψιν, δεκαήμερος γὰρ αὕτη καὶ οὐ μακρόβιος, διὸ καταφρονητέος ὁ θάνατος, ὡς ἐν ὀλίγῳ προξενῶν στέφανον ζωῆς ἀμάραντον.

11 Ὁ ἔχων οὖς ἀκουσάτω.

Ὁ πνευματικῶς, φησιν, ἀκούων καὶ νικῶν τὰς διαβολικὰς ὑποσποράς, εἰ καὶ τὸν πρῶτον διὰ σαρκὸς ὑποστῇ θάνατον, ὑπὸ τοῦ δευτέρου τῆς γεέννης οὐκ ἀδικηθήσεται.

12 Τῷ Ἀγγέλῳ τῆς ἐν Περγάμῳ.

Κατείδωλος ἦν αὕτη ἡ πόλις πρὸς ἣν ταῦτά φησι, τοὺς ἐν αὐτῇ πιστοὺς δι' ὑπομονὴν πειρασμῶν ἀποδεχόμενος· ῥομφαίαν δὲ δίστομον, ἢ τὸν Εὐαγγελικόν φησι λόγον τὸν τὴν καρδίαν περι-

τέμνοντα καὶ τοὺς πιστοὺς ἐκ τῶν ἀπίστων μερίζοντα, ἢ τὴν κατὰ τῶν ἀσεβῶν ἀπότομον ἀπόφασιν.

Ἐν *ταῖς ἡμέραις ἐν αἷς* Ἀντίπας.

Τινὲς Ἀντίπαν *τινὰ τοὔνομα μάρτυρα ἐν* Περγάμῳ *φασὶ γεγονέναι ἀνδρειότατον, οὗ περ νῦν ὁ* Εὐαγγελιστὴς *πρὸς ἔνδειξιν τῆς ἐκείνου ὑπομονῆς, τῆς τῶν πεπλανημένων ὠμότητος ἐμνημόνευσεν.*

14 Ἀλλ' *ἔχω κατά σου ὀλίγα.*

Δύο *χαλεπὰ ὡς ἔοικεν αὕτη ἡ πόλις ἐκέκτητο, τοὺς μὲν πλείονας* Ἕλληνας· *ἐξ αὐτῶν δὲ τῶν πιστῶν ὀνομαζομένων, τοὺς αἰσχροποιοὺς* Νικολαΐτας, *ἐπισπαρέντας τῷ σίτῳ πονηρὰ ζιζάνια· διὸ καὶ τοῦ* Βαλαὰμ *ἐμνημόνευσε, φήσας, ὃς ἐδίδασκεν ἐν τῷ* Βαλαὰμ *τὸν* Βαλάκ. *δηλοῖ δὲ διὰ τούτων τὸν νοητὸν* Βαλαὰμ *τὸν διάβολον ἐν τῷ αἰσθητῷ τὸν* Βαλὰκ *διδάξαι τὸ κατὰ τῶν* Ἰσραηλιτῶν *σκάνδαλον, πορνείαν καὶ εἰδωλολατρίαν· τῇ γὰρ ἐκείνης ἡδονῇ εἰς ταύτην τῷ* Βεελφεγὼρ *τελεσθέντες κατεκυλίσθησαν.*

16 Μετανόησον *οὖν.*

Ἐν *τῇ ἀπειλῇ ἡ φιλανθρωπία, οὐ γὰρ μετὰ σοῦ, φησὶν, ἀλλὰ μετ' ἐκείνων πολεμήσω τῶν νοσούντων ἀνιάτως.*

17 Τῷ *νικῶντι δώσω αὐτῷ.*

Μάννα *κεκρυμμένον ὁ ἄρτος τῆς ζωῆς ὁ οὐράνιος, ὁ οὐρανόθεν δι' ἡμᾶς κατελθὼν, καὶ βρώσιμος γενόμενος· τροπικῶς δὲ καὶ τὰ μέλλοντα ἀγαθὰ μάννα λέγεται, ἅτε οὐρανόθεν κατερχόμενα, ὅθεν καὶ ἡ ἄνω* Ἱερουσαλήμ. *τούτων οἱ νικῶντες τὸν διάβολον, φησὶ, τεύξονται· λήψονται δὲ καὶ ψῆφον λευκὴν, τουτέστι νικῶσαν, τῆς δεξιᾶς μοίρας ἀξιούμενοι, καὶ ὄνομα καινὸν τῇ παρούσῃ ζωῇ ἀγνοούμενον· ὀφθαλμὸς γὰρ οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ νοῦς οὐ κατέλαβεν τὰ ἀγαθὰ τὰ μέλλοντα· καὶ τὸ καινὸν ὄνομα, ὃ οἱ ἅγιοι κληρονομήσουσιν.*

18 Καὶ *τῷ* Ἀγγέλῳ *τῆς ἐν* Θυατείροις.

Εἴρηται *τὸ τῶν ὀφθαλμῶν πυρῶδες τὸ φωτιστικὸν τῶν δικαίων καὶ τὸ καυστικὸν δηλοῦν τῶν ἁμαρτωλῶν· τοὺς δὲ πόδας καὶ τὸν χαλκολίβανον σημαίνειν τὴν* Χριστοῦ *ἐν τοῖς σωζομένοις εὐωδίαν*

τοῦ νοητοῦ μύρου, καὶ ἄτμητον καὶ ἀσύγχυτον ἕνωσιν θεότητός τε καὶ ἀνθρωπότητος, αὕτη γὰρ ὡς πεπυρακτωμένη τῷ θείῳ Πνεύματι, τοῖς ἀνθρωπίνοις λογισμοῖς ἐστὶν ἀψηλάφητος.

19 Οἶδά σου τὰ ἔργα.

Εἰ γὰρ καὶ διὰ τὴν πίστιν καὶ τὴν περὶ τοὺς δεομένους διακονίαν τὸ εὐλαβὲς ὑμῶν καὶ ὑπομονητικὸν ἀποδέχομαι, ἀλλὰ δικαίως ὑμῖν ἐπιμέμφομαι, ὅτι τὴν τῶν Νικολαϊτῶν αἵρεσιν, τὴν τροπικῶς ὠνομασμένην Ἰεζάβελ διὰ τὴν δυσσέβειαν καὶ ἀσέλγειαν, ἀφήκατε παρρησιάζεσθαι, ὥστε τοῖς δούλοις μου δι' ἁπλότητα γνώμης παρέχειν σκάνδαλον, καὶ ἕλκειν αὐτοὺς εἰς εἰδωλόθυτα, οἷς καλῶς ἀπετάξαντο. ταύτην δὲ ἐπιστομίζειν ὀφείλετε, ὅτι καὶ προφῆτις εἶναι ὑποκρίνεται, ὑπὸ πονηροῦ ἐνεργουμένη πνεύματος.

21 Καὶ ἔδωκα αὐτῇ.

Αὕτη φησὶν ἡ πονηρὰ αἵρεσις, καὶ καιρὸν λαβοῦσα εἰς μετάνοιαν, καλῶς τούτῳ οὐκ ἐχρήσατο.

22 Ἰδοὺ βάλλω αὐτήν.

Τροπικῶς μοιχαλίδι τὴν συστροφὴν τῶν αἱρετικῶν παρεικάσας, ἀπειλεῖ ταύτην τε ἀσθενείᾳ καὶ θανάτῳ περιβαλεῖν, καὶ τοὺς αὐτῇ συμφθειρομένους καὶ ἐκ τοῦ Θεοῦ πορνεύοντας, εἰ μὴ διὰ μετανοίας πρὸς αὐτὸν ἐπιστρέψουσιν.

24 Ὑμῖν δὲ λέγω τοῖς λοιποῖς.

Ταῦτα πρὸς τοὺς ἁπλουστέρους φησίν. ἐπείπερ πρὸς τοὺς οὕτω πονηροὺς καὶ εὑρεσιλόγους ἀντέχειν δι' ἁπλότητα τρόπων οὐ δύνασθε, ἅτε τὰ βάθη τοῦ Σατανᾶ μὴ ἐγνωκότες ὡς λέγετε, οὐ ζητῶ παρ' ὑμῶν τὴν διὰ λόγων μάχην, ἀλλὰ τὴν φυλακὴν τῆς διδαχῆς, ἣν παρελάβετε, ἄχρις ἂν ὑμᾶς ἐντεῦθεν προσλήψομαι.

26 Καὶ ὁ νικῶν καὶ ὁ τηρῶν.

Τῷ ποιοῦντι, φησὶ, τὰ ἔργα μου δώσω ἐξουσίαν ἐπάνω πέντε ἢ δέκα πόλεων, ὡς ἐν τῷ Εὐαγγελίῳ εἴρηκεν· ἢ διὰ τούτου τὴν τῶν ἀπίστων κρίσιν αἰνίττεται, δι' ἧς οἱ πεπλανημένοι, ὡς ἐν ῥάβδῳ ποιμαινόμενοι συντριβήσονται, ὑπὸ τῶν ἐν αὐτοῖς τῷ Χριστῷ πιστευσάντων κρινόμενοι, κατὰ τὸ εἰρημένον, "ἄνδρες

"Νινευΐται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην." τὸ δὲ, "ὡς κἀγὼ εἴληφα παρὰ τοῦ Πατρός μου," ἀνθρωπινώτερον διὰ τὴν τῆς σαρκὸς πρόσληψιν.

28 Καὶ δώσω αὐτῷ.

Ἀστέρα πρωϊνὸν, ἢ ἐκεῖνον φησὶ περὶ οὗ Ἡσαΐας ἔλεγεν, "πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων," ὃν δώσειν συντετριμμένον ὑπὸ τοὺς πόδας τῶν ἁγίων ἐπήγγελτο. καὶ τὸν ὑπὸ τοῦ ἀποστόλου Πέτρου λεχθέντα ἑωσφόρον ἐν ταῖς καρδίαις τῶν πιστῶν ἀνατέλλοντα, τὸν Χριστοῦ φωτισμὸν εὔδηλον. καὶ ὁ βαπτιστὴς Ἰωάννης καὶ Ἠλίας φωσφόρος προσαγορεύονται, ὁ μὲν τῆς πρώτης ἀνατολῆς τοῦ ἡλίου τῆς δικαιοσύνης, ὁ δὲ τῆς δευτέρας, μεθ' ὧν ἕξειν τὸ μέρος τοὺς νικητὰς τοῦ διαβόλου πιστεύομεν. νοεῖται δὲ καὶ ἡ τῆς μελλούσης ἡμέρας ἀνατολὴ, ᾗ τὸ σκότος τοῦ παρόντος βίου καλυφθήσεται. καὶ ὁ ταύτην δὲ εὐαγγελιζόμενος Ἄγγελος. προπορεύεται γὰρ αὕτη τοῦ τῆς δικαιοσύνης ἡλίου ἐπιφανησομένου τοῖς ἁγίοις, καὶ τὴν ἀχλὺν τοῦ παρόντος βίου διασκεδάσαντος.

1 Τάδε λέγει Κύριος.

Ἑπτὰ ἀστέρας, θείους Ἀγγέλους φησὶν, ἑπτὰ δὲ πνεύματα, ἢ τοὺς αὐτοὺς, ἢ τὰς ἐνεργείας τοῦ ζωοποιοῦ Πνεύματος, ἅπερ ἀμφότερα ἐν τῇ χειρὶ τοῦ Χριστοῦ εἰσιν, τῶν μὲν γὰρ ὡς δεσπότης κρατεῖ, τοῦ δὲ Πνεύματος ἐστὶ χορηγὸς ὡς ὁμοούσιος· ἐπιπλήττει δὲ τῇ Ἐκκλησίᾳ, ὡς ψιλὸν ὄνομα ζωῆς ἐχούσης πίστεως, νενεκρωμένη δὲ ἐξ ἀγαθῶν πράξεων.

2 Γινοῦ γρηγορῶν.

Τὸν ὕπνον φησὶ τῆς ῥαθυμίας ἀποτίναξαι, καὶ τὰ μέλη σου τὰ ἀποθνήσκειν τελείως διὰ τῆς ἀπιστίας μέλλοντα, στήριξον· οὐ γὰρ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἔργων στεφανοῖ τὸν ἀγαθὸν ἐργάτην, ἀλλὰ τὸ τέλος.

3 Ἐὰν οὖν μὴ γρηγορήσῃς.

Ταῦτα φησὶν εἰκότως, ὅτε γὰρ ἑκάστου θάνατος, ἥτε κοινὴ συντέλεια, πᾶσιν ἄγνωστος· τοῖς μὲν παρεσκευασμένοις πόνων ἀνάπαυσις, τοῖς δὲ ἀπαρασκευάστοις κλέπτης, ψυχικὸν ἐπάγων θάνατον.

Ἀλλ' ὀλίγα ἔχεις.

Τοῦτο, φησὶ, καλὸν κέκτησαι, ἔχουσα τινὰς τοὺς τὸ ἱμάτιον τῆς σαρκὸς ῥυπαραῖς πράξεσι μὴ μιάναντας, οἳ μετ' ἐμοῦ ἐν τῇ παλιγγενεσίᾳ λαμπροφορήσουσιν, ὡς τηρήσαντες ἁπλῶς τὸ τῆς ἀφθαρσίας ἔνδυμα.

4 Ὁ νικῶν· οὗτος.

Ὁ τὴν προλεχθεῖσαν, φησὶ, νίκην νικῶν τοῖς τῶν οἰκείων ἀρετῶν ἱματίοις λάμψει ὡς ὁ ἥλιος, καὶ τὸ ὄνομα αὐτοῦ ἐν τῇ τῶν ζώντων βίβλῳ ἔσται ἀνεξάλειπτον. ὁμολογηθήσεται δὲ ἐπὶ τοῦ πατρός μου καὶ τῶν ἁγίων δυνάμεων, ὥσπερ καὶ οἱ ἅγιοι μάρτυρες, καθώς φησι καὶ ἐν τῷ Εὐαγγελίῳ, "ἐκλάμψειν τοὺς δικαίους ὡς τὸν "ἥλιον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν."

7 Τάδε λέγει Κύριος.

Κλεῖς τοῦ Δαβὶδ ἡ βασιλεία αὐτοῦ κέκληται· ἐξουσίας γὰρ αὕτη σύμβολον. κλεῖς δὲ πάλιν τῆς τε ψαλμικῆς βίβλου καὶ πάσης προφητείας, τὸ Πνεῦμα τὸ Ἅγιον· δι' οὗ οἱ θησαυροὶ τῆς γνώσεως ἀνοίγονται. καὶ τὴν μὲν πρώτην κατὰ τὸ ἀνθρώπινον δέχεται, τὴν δὲ δευτέραν ἔχει κατὰ τὸ ἄναρχον τῆς θεότητος. ἐπεὶ δὲ ἔν τισι τῶν ἀντιγράφων, ἀντὶ τοῦ Δαβὶδ, ᾅδου γέγραπται, διὰ τῆς τοῦ ᾅδου κλειδὸς, ἡ ἐξουσία τῆς ζωῆς καὶ τοῦ θανάτου τῷ Χριστῷ προσμεμαρτύρηται. ἅγιος δὲ καὶ ἀληθινὸς, ὡς αὐτοαγιωσύνη, καὶ αὐτοουσιώδης ἀλήθεια.

8 Οἶδά σου τὰ ἔργα.

Ἐκ τῶν γεγραμμένων, μικρὰν μὲν τῷ μεγέθει τὴν πόλιν ταύτην, μεγάλην δὲ τῇ πίστει μανθάνομεν. διό φησιν αὐτῇ, οἶδά σου τὰ ἔργα, τουτέστιν ἀποδέχομαι· καὶ θύραν ἐνώπιόν σου τοῦ διδασκαλικοῦ κηρύγματος ἤνοιξα, κλεισθῆναι διὰ πειρασμῶν μὴ δυναμένην, τῇ προθέσει γὰρ ἀρκοῦμαι, καὶ οὐκ ἀπαιτῶ τὰ ὑπὲρ δύναμιν.

Ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς.

9 Ἕξεις, φησὶ, μισθὸν τῆς ὁμολογίας τοῦ ἐμοῦ ὀνόματος τὴν τῶν Ἰουδαίων ἐπιστροφήν τε καὶ μετάνοιαν, οἳ προπεσοῦνται τοῖς ποσί σου, τὴν πρὸς ἐμὲ ἀγωγὴν καὶ τὸν ἐξ ἐμοῦ φωτισμὸν αἰτούμενοι, καὶ ἐν τῷ κρυπτῷ τῆς καρδίας καὶ ἐν τῷ φανερῷ λοιπὸν Ἰουδαΐζοντες.

10 *Ὅτι ἐτήρησας τὸν λόγον.*

Τὴν ὥραν τοῦ πειρασμοῦ, εἴτε ὡς αὐτίκα παρεσομένην τὴν τῶν ἀσεβῶν τῆς Ῥώμης τὸ τηνικαῦτα βασιλευσάντων κατὰ Χριστιανῶν δίωξιν εἴρηκεν, ἧς λυτροῦσθαι αὐτὴν ἐπαγγέλλεται, ἢ τὴν ἐπὶ συντέλειαν τοῦ αἰῶνος παγκόσμιον κατὰ τῶν πιστῶν τοῦ Ἀντιχρίστου κίνησιν. ἐλευθεροῦν τοὺς ζηλωτὰς αὐτῆς ὑπισχνεῖται, προαναρπαζομένους διὰ τῆς ἐντεῦθεν ἀναλύσεως, ἵνα μὴ πειρασθῶσιν ὑπὲρ ὃ δύνανται.

11 *Ἔρχομαι ταχύ.*

Καλῶς φησιν ἔρχομαι ταχύ. μετὰ γὰρ τὴν θλίψιν τῶν ἡμερῶν ἐκείνων φησὶν ὁ Κύριος ἐλεύσεσθαι, διὸ παρεγγυᾷ κρατῆσαι τὸν θησαυρὸν τῆς πίστεως ἄσυλον, ἵνα μὴ ἀπολέσῃ τὸν τῆς πίστεως στέφανον.

12 *Ὁ νικῶν ποιήσω.*

Στύλον εἰκότως φησίν· ὁ γὰρ νικητὴς τῶν ἐναντίων δυνάμεων, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας καθίσταται, ἀκίνητον ἐν αὐτῇ τὴν βασιλείαν ἔχων κατὰ τὸν Ἀπόστολον. καὶ ἐπὶ τὴν καρδίαν φησὶ τοῦ τοιούτου στύλου χαράξω τὴν γνῶσιν τοῦ θείου ὀνόματος καὶ τῆς ἄνω Ἱερουσαλὴμ, ἵνα ἴδῃ τὰ ἐν αὐτῇ κάλλη τοῖς τοῦ Πνεύματος ὀνόμασι, καὶ τὸ καινὸν ὄνομα τὸ τοῖς ἁγίοις ἐν τῷ μέλλοντι γνωριζόμενον. τῷ δὲ Θεῷ μου ἀνθρωπίνως περὶ τοῦ Πατρὸς εἴρηκεν, ὡς σὰρξ δι' ἡμᾶς ἀτρέπτως γενόμενος. ἄνωθεν δὲ Ἱερουσαλὴμ καταβαίνει, ἐκ μὲν Ἀγγέλων ἀρξαμένης τῆς θείας γνώσεως, μέχρις ἡμῶν δὲ καταντησάσης, συναφθέντων ἀλλήλοις διὰ Χριστοῦ τῆς κεφαλῆς ἡμῶν.

14 *Τάδε λέγει ὁ ἀμήν.*

Διὰ τοῦ βαπτιστοῦ ἡ ἀλήθεια τοῦ Χριστοῦ δείκνυται, μᾶλλον δὲ ὁ αὐτὸς οὐσιώδης ἐστὶν ἀλήθεια. ἀρχὴ δὲ ἤτοι βασιλεία, ὡς πάντων τῶν κτισμάτων δεσπόζουσα· ἀρχὴ γὰρ τῆς κτίσεως ἡ προκαταρκτικὴ αἰτία καὶ ἄκτιστος.

15 *Οἶδα σου τὰ ἔργα.*

Φεύγει τὸν ἐν τῇ πίστει ἀμελῶς ζῆν προελόμενον. ὁ μὲν γὰρ ψυχρὸς, καὶ τῆς ζώσης πίστεως ἄγευστος, ἐν ἐλπίδι πολλάκις ἔσται τοῦ τυχεῖν αὐτῆς, ὁ δὲ ζέσας διὰ τοῦ βαπτίσματος Πνεύ-

ματι, καὶ ἀποψυχθεὶς διὰ ῥαθυμίας ὕστερον ἑαυτῷ τὰς ἐλπίδας τῆς σωτηρίας ἐξέκοψεν, καταγνοὺς τῆς αἱρεθείσης πίστεως· ἔργοις μὲν γὰρ οὐκ ἀπογνωστέα ἡ μεσότης, ὥσπερ ὁ ἔννομος γάμος μέσος ὢν παρθενίας καὶ ἀκολασίας οὐκ ἀπόβλητος· ἐν δὲ τῇ πίστει τὸ μέσον καὶ χλιαρὸν ἀδόκιμον, ὁμοίως καὶ ὁ ἐν ἐρήμῳ ζῆν προελόμενος μὴ ἀκριβῶς δὲ ζῶν, καταγνωστέος εἰκότως, ὡς ἐγγὺς ὢν τοῦ ἀποψυχθέντος.

16 Μέλλω σε ἐμέσαι.

Ὥσπερ, φησὶ, τὸ χλιαρὸν ἔμετον κινεῖ τοῖς μεταλαμβάνουσιν, οὕτω κἀγώ σε ὡς βδελυκτὸν βρῶμα ἐμέσω διὰ λόγου στόματός μου εἰς αἰώνιον κόλασιν, ὅτι ταῖς ἀκάνθαις τοῦ πλούτου τὸν σπόρον τοῦ θείου λόγου συμμιγνύουσα, τὴν ἑαυτῆς ἐν τοῖς πνευματικοῖς ἀγνοεῖς πτωχείαν, καὶ τὴν τῶν νοητῶν σου ὀφθαλμῶν τύφλωσιν, καὶ τὴν ἐξ ἀγαθῶν πράξεων γύμνωσιν.

18 Συμβουλεύω σοι.

Εἰ πλουτίσαι βούλει φησὶ, παρ' ἐμοῦ τοῦ πλουτίζοντος κτῆσαι, προθέσει ζεούσῃ καὶ καρδίᾳ θελούσῃ, χρυσίον πεπυρωμένον, τὸν διδασκαλικὸν λόγον τὸν τῷ πυρὶ τῶν πειρασμῶν λαμπρυνόμενον, δι' οὗ ἕξεις ἐν τῇ καρδίᾳ τὸν θησαυρὸν ἄσυλον, καὶ περιβάλῃ τὴν στολὴν τῶν ἀρετῶν τὴν ὑπέρλαμπρον, δι' ἧς ἡ προσγενομένη σοι ἐξ ἁμαρτίας ἀμφιασθήσεται γύμνωσις. κολλύριον δέ ἐστιν ἡ ἀκτημοσύνη· εἰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, τούτους πάντως ἀνοίξει τὸ ἀδωροδόκητον.

20 Ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν.

Ἀβίαστος ἐστὶ, φησὶν, ἡ ἐμὴ παρουσία· τὴν θύραν τῆς καρδίας κρούω, καὶ τοῖς ἀνοίγουσιν ἐπὶ τῇ ἑαυτῶν σωτηρίᾳ συνευφραίνομαι. τροφὴν γὰρ καὶ δεῖπνον ταύτην ἥγημαι· τρεφόμενος ἐν οἷς αὐτοὶ τρέφονται, καὶ τὸν λιμὸν τοῦ ἀκοῦσαι θείου λόγου, καὶ τὸ σκότος τῆς πλάνης φεύγουσιν.

21 Ὁ νικῶν· δώσω.

Διὰ τοῦ θρόνου, ἡ ἀνάπαυσις καὶ ἡ βασιλεία τοῦ μέλλοντος αἰῶνος δείκνυται· φησὶ τοίνυν ὅτι οἱ τὸν ἐχθρὸν νικήσαντες συνδοξασθήσονταί μοι καὶ συμβασιλεύσουσι. τὸ δὲ "ὡς κἀγὼ ἐνίκησα," ἀνθρωπίνως εἴρηται, διὰ τὴν πρόσληψιν· οὐ γὰρ ἆθλον ἀρετῆς τὴν

βασιλείαν ὁ Θεὸς Λόγος ἐκτήσατο, ταύτην γὰρ ἔχει οὐσιωδῶς ἀΐδιον. ἐπειδὴ γὰρ δι' ἡμᾶς γέγονεν ἄνθρωπος, Θεὸς ὑπάρχων καὶ βασιλεὺς προαιώνιος, καὶ πάντων τῶν ἡμετέρων ἁμαρτίας χωρὶς μετασχὼν, πάντων τῶν ἑαυτοῦ τοῖς νικηταῖς τοῦ διαβόλου μεταδέδωκεν, καθὼς ἦν δυνατὸν ἀνθρώποις ὑποδέξασθαι.

1 Μετὰ ταῦτα εἶδον.

Ἡ περιαίρεσις τῆς θύρας σημαίνει τῶν κρυπτῶν μυστηρίων τοῦ πνεύματος τὴν δήλωσιν. ἡ δὲ σάλπιγξ τὸ τοῦ ἀποκαλύπτοντος μεγαλόφωνον, τὸ δὲ "ἀνάβα ὧδε," τοῦ τῶν γηΐνων τελείως ἀποστῆναι καὶ ἐν οὐρανῷ γενέσθαι τὴν διάνοιαν τοῦ ἀκούοντος.

2 Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι.

Τῆς φωνῆς, φησὶν, ἀκούσας καὶ τῷ πνεύματι τυπωθεὶς τὸ ἡγεμονικὸν, θρόνον ἐθεασάμην. δι' οὗ δηλοῦται, ἡ ἐν τοῖς ἁγίοις τοῦ Θεοῦ ἀνάπαυσις· αὐτοῖς γὰρ ἐνθρονίζεται. ἐπειδὴ δὲ τὸ Πνεῦμα τὸν ὁραθέντα ἐνταῦθα παρίστησι, σωματικὸν αὐτῷ χαρακτῆρα οὐ περιτίθησιν, ὥσπερ ἐν τῇ προτεραίᾳ τοῦ υἱοῦ ὀπτασίᾳ, ἀλλὰ τιμίοις αὐτὸς λίθοις ἀπεικάζει· τῆς μὲν ἰάσπιδος σημαινούσης ὡς χλοερᾶς τὸ ἀειθαλὲς ὁμοῦ καὶ φερέσβιον καὶ τροφῆν χορηγὸν τῆς θείας φύσεως, διὰ τὸ πᾶν σπέρμα χλοηφορεῖν, πρὸς τούτοις δὲ καὶ τὸ φοβερὸν τοῖς ὑπεναντίοις. φασὶ γὰρ τὴν ἴασπιν φοβερὰν εἶναι θηρίοις καὶ φάσμασι[a]. μετὰ τοῦτο δὲ καὶ τὸ θεραπευτικὸν τῶν ἐπιδεχομένων τὴν ψυχικὴν ἴασιν. φασὶ γὰρ τοῦτον τὸν λίθον ἰατρεύειν οἰδήματά τε καὶ τὰς ἀπὸ σιδήρου πληγὰς ἐπιχριόμενον. ἡ δὲ ἶρις σμαραγδίζουσα τὸ ποικίλον καὶ ἀνθοῦν ἐν ἀρεταῖς τῶν ἀγγελικῶν ἐμφαίνει τάξεων.

4 Καὶ κύκλοθεν τοῦ θρόνου.

Τούτους τίς τῶν πρὸ ἡμῶν Ἄβελ καὶ ἑτέρους εἴκοσι τῆς παλαιᾶς ἐξέλαβε καὶ τρεῖς τῆς νέας. εἴτε δὲ τοῦτό ἐστιν, εἴτε μᾶλλον τοὺς πρὸς ταῖς πράξεσι καὶ λόγῳ κεκοσμημένους δεῖ νοεῖν, τῷ διὰ τῶν κδ στοιχείων δηλουμένων ἐκλαβεῖν ἀκολουθότερον, διὰ τῶν ιβ πρεσβυτέρων, τοὺς ἐν τῇ παλαιᾷ διαλάμψαντας· διὰ δὲ τῶν ἑτέρων ιβ, τοὺς ἐν τῇ νέᾳ διαπρέψαντας, κἀκείνων γὰρ ιβ φύλαρ-

[a] Sic Dionysius Poet. ἐν Λιθιακοῖς ap. Schol. Harl. Od. K. 323. *φύσει δὲ κρύσταλλον ἴδ' ἱερὴν ἴασπιν, ἐχθρὴν ἐν πάσῃσι* (leg. Ἐμπούσῃσι) *καὶ ἄλλοις εἰδώλοισιν.*

λαρχοι, καὶ τῶν ἐν τῇ νέᾳ ιβ̄ Ἀποστόλων προηγήσαντο, οἷς καθίσαι ἐπὶ ιβ̄ θρόνων ὁ Κύριος ἐπηγγείλατο. τάχα δὲ τὰ λευκὰ ἱμάτια τοῦ λαμπροῦ βίου, καὶ τῆς ἀλήκτου ἑορτῆς καὶ εὐφροσύνης σύμβολα. οἱ δὲ στέφανοι τῆς νίκης, ἣν πρὸς τοὺς πονηροὺς δαίμονας κατώρθωσαν ἀνδρισάμενοι.

5 Καὶ ἐκ τοῦ θρόνου.

Καντεῦθεν τὸ φοβερὸν καὶ καταπληκτικὸν τοῦ Θεοῦ κατὰ τῶν ἀναξίων τῆς αὐτοῦ μακροθυμίας δείκνυται· τοῖς μέν τοι σωτηρίας ἀξίοις, τούτων ἑκατέρα φωτισμὸν ἐντίθησιν, ἡ μὲν τοῖς τῆς διανοίας ὄμμασιν, ἡ δὲ τοῖς πνευματικοῖς ὠσὶν ἐμπίπτουσα.

Εἰσὶν ἑπτὰ πνεύματα.

Τὰ πνεύματα ταῦτα, εἴτε ἑπτὰ Ἀγγέλους ὑπερέχοντας δεῖ νοεῖν, εἴτε τὰς ἐνεργείας τοῦ ζωοποιοῦ Πνεύματος, οὐδ᾽ ἕτερον οἶμαι ἀπίθανον. ἡ δὲ ὑελίνη θάλασσα τὸ πλῆθος τῶν ἁγίων δυνάμεων, καὶ τὸ καθαρὸν καὶ ἀκηλίδωτον, καὶ τὸ τῆς μελλούσης ζωῆς χαρακτηρίζει ἀτάραχον. τάχα δὲ διὰ ταύτης δηλοῦται τὰ οὐράνια νοητὰ ἀνεφίκτοις ἡμῖν ὕδασι κατὰ τὸν ψαλμῳδὸν στεγαζόμενα. εἰ δέ τισι κρυσταλλοειδὴς ἡ τοῦ οὐρανοῦ φύσις νενόμισται, σκοπεῖν χρὴ, εἰ μὴ ἡ οὐσία τοῦ θεοστιβοῦς ἐκείνου ἐδάφους διὰ τούτων σημαίνεται, τὸ στίλβον ὁμοῦ καὶ διαυγὲς ἔχουσα.

6 Καὶ ἐν μέσῳ τοῦ θρόνου.

Καὶ διὰ τούτου δείκνυται ὁ θρόνος σημαντικὸς εἶναι τῆς τοῦ Θεοῦ βασιλείας τε καὶ ἀναπαύσεως, ἐν ᾗ καὶ περὶ ἣν τὰ Σεραφὶμ ἐθεώρησε· διὰ τοῦ πλήθους τῶν ὀφθαλμῶν τὸ πρὸς τὰς θείας αὐγὰς θεοπτικὸν αὐτῶν διδασκόμενος. ὅτι τε καὶ τῶν ὄπισθεν καὶ τῶν ἔμπροσθεν θεόθεν τὴν γνῶσιν ἐναυγάζονται.

7 Καὶ τὸ ζῶον τὸ πρῶτον.

Ταῦτα τὰ ζῶα διὰ τῶν τεσσάρων προσώπων δηλοῦν ἔοικεν. εἴτε τῶν δ̄ στοιχείων τὴν τοῦ Θεοῦ δημιουργίαν τε καὶ συντήρησιν, εἴτε τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ τῶν ἐν θαλάσσῃ τὴν δεσποτείαν, ἢ τὰς δ̄ ἀρετὰς καὶ τὰ δ̄ Εὐαγγέλια· τοῦ μὲν λέοντος δηλοῦντος τὴν ἀνδρίαν καὶ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, διὰ τὸ τῆς προαιωνίου βασιλείας τούτου σημαντικόν. τοῦ δὲ μόσχου τὴν δικαιοσύνην καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον

ὡς νομικῶς καὶ ἱερατικῶς τὸν Χριστὸν γενεαλογήσαντος. τοῦ δὲ ἀετοῦ τὴν σωφροσύνην, ταύτην γὰρ ἔχειν μαρτυρεῖται τὸ ζῶον καὶ τὸ κατὰ Μάρκον Εὐαγγέλιον, ὡς σύντομον καὶ ἀπὸ τοῦ προφητικοῦ πνεύματος ἀρξάμενον. τοῦ δὲ ἀνθρώπου τὴν φρόνησιν, καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ὡς φύσει καὶ οὐ νόμῳ κηρύξαντος τὴν Χριστοῦ γέννησιν. ἴσως δὲ διὰ τούτων καὶ ἡ οἰκονομία τοῦ Χριστοῦ δηλοῦται διὰ τοῦ λέοντος, ὡς βασιλέως· διὰ τοῦ μόσχου ὡς ἱερέως, μᾶλλον δὲ ἱερείου· διὰ δὲ τοῦ ἀνθρώπου, ὡς δι' ἡμᾶς ἀνδρωθέντος· διὰ δὲ τοῦ ἀετοῦ, ὡς χορηγοῦ τοῦ ζωοποιοῦ Πνεύματος τοῦ ἐπίπταντος ἡμῖν ἄνωθεν.

8 Καὶ τὰ τέσσαρα ζῶα.

Ταῦτα τὰ δ̄ ζῶα διὰ τοῦτο ταῖς δυσὶ πτέρυξι καλύπτει τὰ πρόσωπα, καὶ ταῖς δυσὶ τοὺς πόδας, ταῖς δὲ μέσαις πέτανται, ἵνα ἡ περὶ τὰ ὑψηλότερα καὶ βαθύτερα τῆς οἰκείας καταλήψεως φανῇ αὐτῶν εὐλάβεια, δι' ἣν τοῖς μέσοις πρὸς τὰς θεαρχικὰς αὐγὰς θείοις ζυγοῖς ἀνατείνονται.

Καὶ ἀνάπαυσιν.

Ἀνάπαυσις ταῖς ἁγίαις δυνάμεσι, τὸ τῆς θείας ὑμνῳδίας μὴ παύεσθαι, τὸν δὲ τρισσὸν ἁγιασμὸν τῆς τρισυποστάτου προσφέρει θεότητος. τὸ δὲ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, τὴν ἁγίαν Τριάδα δηλοῦν ἔφημεν.

10 Πεσοῦνται οἱ εἴκοσι.

Διὰ τούτου δηλοῦται καὶ τοὺς νοηθέντας ἡμῖν κδ̄ πρεσβυτέρους, κοινωνοὺς εἶναι τῆς ὑμνῳδίας τῶν ἄνω δυνάμεων, ὁμολογοῦντας ἐκ Θεοῦ κεκομίσθαι τῆς τῶν νοητῶν ἐχθρῶν νίκης τὴν δύναμιν. Σὺ, φησὶ, δέσποτα, λέγοντες, τῶν στεφάνων τῆς νίκης αἴτιος καὶ χορηγὸς γέγονας· καὶ σοὶ παρὰ πάντων ὡς κτισμάτων ἡ εὐχαριστία ὀφείλεται.

1 Καὶ εἶδον ἐπὶ τὴν δεξιάν.

Βιβλίον τὴν πάνσοφον τοῦ Θεοῦ μνήμην νοοῦμεν, ἐν ᾗ πάντες κατὰ τὸν Δαβὶδ γράφονται, καὶ τῶν θείων κριμάτων τὴν ἄβυσσον. ταύτης δὲ τὰ μὲν ἔξω διὰ τὸ γράμμα εὐληπτότερα, τὰ δὲ ἔσω, διὰ τὸ Πνεῦμα δυστέκμαρτα, τὰς δὲ ἑπτὰ σφραγῖδας, ἢ τὴν τελείαν τῆς βίβλου ἀσφάλειαν καὶ πᾶσιν ἄγνωστον· ἢ τὰς

οἰκονομίας τοῦ ἐρευνῶντος τὰ βάθη τοῦ Θεοῦ Πνεύματος, ἃς λῦσαι πάσας, οὐδεμία κτιστὴ φύσις δύναται. βίβλος δὲ καὶ ἡ προφητεία νοεῖται, ἣν αὐτὸς ὁ Χριστὸς ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ πεπληρῶσθαι ἔφη· ἧς τὰ ἑξῆς ἐπ' ἐσχάτων πληρωθήσονται τῶν χρόνων, εἰ καὶ νῦν ἡμῖν ἄγνωστα.

2 Καὶ εἶδον ἄλλον Ἄγγελον.

Διὰ τούτων δηλοῦται, μήτε Ἀγγέλους μήτε ἀνθρώπους ἐν σαρκὶ ὄντας, μήτε τοὺς ἐκ σαρκὸς ἀποδεδημηκότας ἁγίους, τὴν ἀκριβῆ τῶν θείων κριμάτων κατειληφέναι γνῶσιν, πλὴν τοῦ ἀμνοῦ τοῦ Θεοῦ, τοῦ τῶν προφητευθέντων περὶ αὐτοῦ ἔκπαλαι διὰ τῆς παρουσίας αὐτοῦ τὴν ἀσάφειαν λύσαντος. ἔκλαιον δέ, φησιν ὁ Εὐαγγελιστής, ὡς εἰς ἀγνωσίαν πεσούσης τῆς καθαρωτάτης τῶν ἀγγελικῶν οὐσιῶν τάξεως. καὶ ἰδοὺ εἷς τῶν πρεσβυτέρων, εἰ καὶ Ἀγγέλοις φησὶν ἡ βίβλος ἀκατάληπτος, ἀλλ' οὐ τῷ Θεῷ τῷ διὰ τοὺς ἀνθρώπους ἐνανθρωπήσαντι, ὃς ῥίζα Δαβὶδ, ὡς κτίστης διὰ τὴν θεότητα, εἰ καὶ ἐκ ῥίζης αὐτοῦ διὰ τὴν ἀνθρωπότητα.

6 Καὶ εἶδον· καὶ ἰδοὺ ἐν μέσῳ.

Οἱ ἑπτὰ ὀφθαλμοὶ καὶ τὰ ἑπτὰ κέρατα τοῦ ἀρνίου, δηλοῦσι τοῦ Χριστοῦ τὰ ἑπτὰ Πνεύματα, ὧν Ἡσαΐας ἐμνημόνευσε καὶ Ζαχαρίας ὁ προφήτης. τὸ δὲ "ὡς ἐσφαγμένον" δηλοῖ τὴν μετὰ τὴν σφαγὴν ζωὴν αὐτοῦ, ἐν ᾗ ἐδείκνυ τὰ τοῦ πάθους σύμβολα, ὡς ἐσφραγισμένον ἀληθῶς μετὰ τὴν ἐκ νεκρῶν ἔγερσιν.

8 Καὶ ὅτε ἔλαβε τὸ βιβλίον.

Αἱ κιθάραι τὴν ἐναρμόνιον καὶ εὔηχον δηλοῦσι δοξολογίαν· τὰ δὲ θυμιάματα τὴν εὐώδη τῶν πιστῶν θυσίαν, προαγομένην διὰ βίου καθαρότητος. αἱ φιάλαι δὲ τῶν διανοιῶν σημαντικαὶ, ἐξ ὧν ἡ τῶν ἀγαθῶν ἔργων εὐωδία, καὶ ἡ καθαρὰ προσευχὴ προσέρχεται. διὰ τούτου δὲ δείκνυται τοὺς πρεσβυτέρους εἶναι τοὺς ἐν τῇ παλαιᾷ τε καὶ νέᾳ Θεῷ εὐαρεστήσαντας, καὶ τὴν ὑπὲρ παντὸς τοῦ κόσμου τῷ σφαγιασθέντι ἀμνῷ τοῦ Θεοῦ καὶ ἀγοράσαντι ἡμᾶς εὐχαριστίαν προσάγοντας.

9 Καὶ ᾄδουσι καινὴν ᾠδήν.

Καινὴ δὲ ᾠδὴ, ἣν τῆς παλαιότητος τοῦ γράμματος ἀπαλλαγέντες οἱ ἐκ πάσης φυλῆς καὶ γλώσσης καταυγασθέντες, ᾄδειν

ἐδιδάχθημεν διὰ τοῦ Πνεύματος, τῆς γῆς δὲ βασιλεύειν τούτους φησὶ τῆς καινῆς, ἣν ὁ Κύριος τοῖς πραέσιν ἐπηγγείλατο.

11 Καὶ εἶδον καὶ ἤκουσα.

Ἐκ πάντων γενέσθαι τὴν δοξολογίαν φησὶν, ἐκ πάντων γὰρ τῶν τε νοητῶν καὶ τῶν αἰσθητῶν, τῶν τε ζώντων, τῶν τε ἁπλῶς ὄντων φυσικοῖς λόγοις ὁ Θεὸς δοξάζεται ὡς πάντων γενεσιάρχης· καὶ ὁ τούτου μονογενὴς καὶ ὁμοούσιος Υἱὸς, ὃς τὴν καινότητα τῷ ἀνθρώπῳ καὶ τὴν δι' αὐτὸν γεγενημένην κτίσιν χαριζόμενος, εἰ καὶ λαβεῖν τῶν ἐν οὐρανοῖς καὶ τῶν ἐπιγείων τὴν ἐξουσίαν ὡς ἄνθρωπος γέγραπται.

14 Καὶ τὰ τέσσαρα ζῶα.

Καὶ διὰ τούτων δείκνυται μία ποίμνη καὶ μία Ἐκκλησία γεγενῆσθαι Ἀγγέλων καὶ ἀνθρώπων, διὰ Χριστοῦ τοῦ Θεοῦ τοῦ τὰ διεστῶτα συνάψαντος, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντος· ἰδοὺ γὰρ σὺν τοῖς τέσσαρσι ζώοις τοῖς τῶν λοιπῶν ἀγγελικῶν ὑπερέχουσι τάξεων, καὶ οἱ χαρακτηριστικοὶ τοῦ τῶν σωζομένων ἀνθρώπων πληρώματος τῆς τοῦ Θεοῦ ἀξιοῦνται ὑμνῳδίας τε καὶ προσκυνήσεως.

1 Καὶ εἶδον ὅτι ἤνοιξε.

Κἀνταῦθα ἡ τῶν ἐν οὐρανοῖς εὐταξία σημαίνεται ἐκ τῶν πρώτων τάξεων εἰς τὰς δευτέρας καταβαίνουσα, καὶ ἐκ τοῦ ἑνὸς προσώπου τῶν τετραμόρφων ζώων δηλαδὴ τῶν λεόντων τὴν πρώτην γεγενῆσθαι φωνὴν ἤκουσε κελευομένην τοῦ "ἔρχου" τῷ τὴν ὀπτασίαν τυποῦντι Ἀγγέλῳ δι' αἰνίγματος. τὸ δε πρῶτον ζῶον ὁ λέων ἐμφαίνειν μοι δοκεῖ τὸ βασιλικὸν τῶν Ἀποστόλων κατὰ δαιμόνων φρόνημα, κατὰ τὸ[a] "ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν."

2 Καὶ ἰδοὺ ἵππος λευκός.

Καὶ τῆς παρούσης σφραγῖδος τὴν λύσιν καὶ τῶν ἑξῆς ἁπασῶν, τινὲς εἰς τὴν ἔνσαρκον τοῦ Θεοῦ λόγου οἰκονομίαν ἐξειλήφασι· τὴν πρώτην εἰς τὴν γέννησιν, τὴν δευτέραν εἰς τὸ βάπτισμα, τὴν τρίτην εἰς τὰς μετὰ τοῦτο θεοσημείας, τὴν τετάρτην εἰς τὴν ἐπὶ Πιλάτου παράστασιν, τὴν πέμπτην εἰς τὸν σταυρὸν, τὴν ἕκτην εἰς τὴν ἐν μνήματι κατάθεσιν καὶ τοῦ ᾅδου σκύλευσιν, τὴν ἑβδόμην εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν.

[a] Cod. κατ' αὐτὸ.

Ἄλλοι δὲ τὴν τῆς πρώτης σφραγῖδος λύσιν, τὴν τῶν Ἀποστόλων φασὶ νοεῖσθαι γενεάν· οἳ καθάπερ τόξον τὸ Εὐαγγελικὸν κήρυγμα κατὰ δαιμόνων ἐντείνοντες, τῷ Χριστῷ τοὺς τρωθέντας τοῖς σωτηρίοις βέλεσι προσήγαγον, στεφάνους εἰληφότες, ἀνθ᾽ ὧν διὰ τῆς ἀληθείας τὸν τῆς πλάνης ἀρχηγὸν νενικήκασιν, ἐπ᾽ ἐλπίδι δευτέρας νίκης τῆς μέχρι βιαίου θανάτου ὁμολογίας τοῦ δεσποτικοῦ ὀνόματος· διὸ γέγραπται "ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ·" πρώτη γὰρ νίκη ἡ τῶν ἐθνῶν ἐπιστροφή· δευτέρα ἡ τοῦ σώματος δι᾽ ἑαυτῆς ἑκούσιος μετὰ κολάσεως ἔξοδος.

3 Καὶ ὅτε ἤνοιξε.

Ζῶον δεύτερον τὸν μόσχον λέγει, τῶν ἁγίων μαρτύρων τὰς ἱερὰς θυσίας χαρακτηρίζοντα, τοῦ προτέρου τὴν ἀποστολικὴν ἐξουσίαν, ὡς εἴρηται, διαγράφοντα.

5 Καὶ εἶδον, καὶ ἰδού.

Ταύτην εἶναι φασὶ τὴν δευτέραν τῶν Ἀποστόλων διδαχὴν, διὰ μαρτύρων καὶ διδασκάλων συμπληρουμένην· ἐν ᾗ πλατυνομένου λοιπὸν τοῦ κηρύγματος ἡ τοῦ κόσμου ἐλύθη εἰρήνη[b], καθ᾽ ἑαυτῆς μερισθείσης τῆς φύσεως, κατὰ τὸν εἰπόντα Χριστὸν, "οὐκ "ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς, ἀλλὰ μάχαιραν," δι᾽ ἧς τὰ μαρτυρικὰ σφάγια εἰς τὸ ἄνω θυσιαστήριον ἀνηνέχθησαν. ὁ δὲ πυρρὸς[c] ἵππος, ἢ τῆς ἐκχύσεως τῶν αἱμάτων, ἢ τῆς πεπυρωμένης τῶν ὑπὲρ Χριστοῦ πασχόντων διαθέσεως σύμβολον ἦν· τὸ δὲ γεγράφθαι, δοθῆναι τῷ καθ᾽ ἡμέραν ἐπ᾽ αὐτὸν λαβεῖν τὴν εἰρήνην, τὴν πάνσοφον δείκνυσι τοῦ Θεοῦ συγχώρησιν, τοὺς πιστοὺς δούλους διὰ πειρασμῶν δοκιμάζουσα.

7 Καὶ ὅτε ἤνοιξε.

Τρίτον ζῶον ἐνταῦθα τὸν ἄνθρωπον φησι, τὴν τῶν ἀνθρώπων δηλοῦντα ἔκπτωσιν, καὶ διὰ τοῦτο κολάσειν[d] διὰ τὸ πρὸς ἁμαρτίαν εὐόλισθον τῇ ἐξουσίᾳ τῆς προαιρέσεως. εἰκὸς δὲ καὶ αἰσθητὸν λιμὸν τότε γενέσθαι, καθὼς ἐν τοῖς ἑξῆς ῥηθήσεται· διὰ δὲ τοῦ μέλανος ἵππου τὸ πένθος δηλοῦσθαι φαμὲν τὸ ἐπὶ τοῖς ἐκπεσοῦσι τῆς εἰς Χριστὸν πίστεως διὰ τὴν ὑπερβολὴν τῶν κολάσεων. τὸν

[b] In marg. παράλογος φιλία. [c] Cod. πυρός. [d] Sic.

δὲ ζυγὸν δοκιμαστὴν εἶναι τῶν τε δι' εὐκολίαν γνώμης ἢ κενοδοξίαν, τῶν τε διὰ σώματος ἀσθένειαν ἐκπεπτωκότων τῆς πίστεως. τὸν δὲ τοῦ σίτου χοίνικα τὸν δηναρίου ἄξιον, δηλοῦν τροπικῶς τοὺς νομίμως ἀθλήσαντας, καὶ τῆς δοθείσης θείας εἰκόνος ἀκριβεῖς φύλακας. τοὺς δὲ τρεῖς χοίνικας τῆς κριθῆς τοὺς κτηνοπρεπῶς τοῖς διώκταις δι' ἀνανδρίαν ὑποκύψαντας, ἀναλόγως δὲ μετανοήσαντας ὕστερον, καὶ τὴν ῥυπωθεῖσαν εἰκὸς δάκρυσιν ἀποπλύναντας. τὸ δὲ ἐντετάλθαι μὴ ἀδικῆσαι τὸν οἶνον καὶ τὸ ἔλαιον, τὸ μὴ ἀθετεῖσθαι τὴν δι' ἐπιστροφῆς Χριστοῦ ἰατρείαν, ᾗ τὸν ἐμπεπτωκότα εἰς τοὺς λῃστὰς ἐθεράπευσεν, μήτε προαναρπαγῆναι θανάτῳ τούτους, οἳ διὰ μακροθυμίας τὴν ἧτταν ἔμελλον ἀναμαχήσασθαι.

7 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα.

Τὸ τοῦ τετάρτου ζώου δηλαδὴ τοῦ ἀετοῦ ὑψιπετὲς καὶ ὀξὺ πρὸς βορρὰν, ἄνωθεν ἥκειν ἐξ θεηλάτου ὀργῆς τὰς πληγὰς ἐμφαίνειν δύναται, εἰς τὴν τῶν εὐσεβῶν ἐκδίκησιν, καὶ τῶν δυσσεβῶν τιμωρίαν, εἰ μὴ ταύταις βελτιωθέντες ἐπιστρέψουσι. τοῦ εἱρμοῦ δὲ τῶν προεκτεθέντων καὶ τὰ παρόντα ἔχεται. ὡς γάρ φασιν τινὲς, ἐν τῇ τῶν διωγμῶν ἀκμῇ ἐπὶ Μαξιμίνου Ῥωμαίων βασιλεύοντος, ὑπὸ μὲν λιμοῦ καὶ λοιμοῦ ἄπειρα πλήθη διεφθείροντο, ὡς ταφῇ μὴ δύνασθαι παραδίδοσθαι· καί τοι Χριστιανῶν τότε φιλοτίμως περὶ τὰς κηδίας ἠσχολημένων, καὶ τοὺς πεπλανημένους πρὸς τὴν ἀληθῆ ἐπίγνωσιν ἐναγόντων· ὑπὸ δὲ Ἀρμενίων ἐπαναστάντων Ῥωμαίοις, οὐκ ὀλίγους ἀνῃρῆσθαι ῥομφαίᾳ, καὶ ὑπὸ κυνῶν ἀνηλῶσθαι τὰ τῶν θανόντων σώματα, ὡς λοιπὸν τοὺς λειπομένους εἰς κυνοκτονίαν τραπῆναι, δεδιότες μὴ καὶ αὐτοὶ θανόντες, ζῶντας τούτους τάφους κτήσωνται. εἰκὸς δὲ τοῖς κυσὶ καὶ ἀγρίους θῆρας συμμετέχειν διὰ τὸ τῆς τροφῆς ἄφθονον.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην.

Εἰ μέν τις τὴν λύσιν τῶν δ̄ σφραγίδων ταῖς τοῦ Χριστοῦ παρῳχηκυίαις οἰκονομίαις προσνεῖμαι βιάσεται, καὶ ταύτας εἰκότως τοῖς προτελειωθεῖσι προφήταις καὶ λοιποῖς ἁγίοις ἐφαρμόσει τῆς θείας καταβοῶσι μακροθυμίας, ἐφ' οἷς μέχρι σταυροῦ παρὰ Ἰουδαίων ὑβριζόμενος ἀνέχεται. εἰ δέ τις ὡς μελλόντων πρόρρησιν

ταῦτα ἐκλάβοι τοῖς διὰ Χριστὸν σφαγιασθεῖσι τὴν τοιαύτην πρέπειν κατὰ τῶν διωκτῶν οἰήσεται καταβόησιν· ἐφ᾽ ᾧ τοὺς ἐν αὐτῇ ἀξίους ἐπιστρέψαι, τῶν δὲ ἀπειθῶν τῇ παγκοσμίῳ συντελείᾳ ἐκκόψαι τὴν ἀσέβειαν. εἰ γὰρ καὶ ἤδη τότε, καθὼς εἴρηται, οἱ δυσσεβεῖς θείας ὀργῆς ἐπειράθησαν, ἀλλ᾽ οὐδὲν ἧττον τὰ τούτων λείψανα ἐπιστρεπτικῶν ἢ κολαστικῶν μαστίγων ἐδέοντο.

11 Καὶ ἐδόθη αὐτοῖς ἑκάστῳ.

Καὶ διὰ τούτων τὴν τοῦ κόσμου συντέλειαν αἰτούμενοι φαίνονται οἱ ἅγιοι, διὸ μακροθυμεῖν ἄχρι τῆς τῶν ἀδελφῶν τελειώσεως κελεύονται, ἵνα μὴ χωρὶς αὐτῶν τελειωθῶσι. αἱ δὲ λευκαὶ στολαὶ τὴν ἐπανθοῦσαν αὐτοῖς τῶν ἀρετῶν ἐμφαίνουσι λαμπρότητα, ἣν ἠμφιεσμένοι εἰσὶν, καὶ μήπω τὰς ἐπαγγελίας ἐκομίσαντο. τῇ γοῦν ἐλπίδι τούτων, ὥσπερ νοερῶς ἐνοπτρίζονται πάσης ἀπηλλαγμένοι παχύτητος, εἰκότως εὐφραίνονται τοῖς κόλποις Ἀβραὰμ ἐναναπαυόμενοι. πολλοῖς γὰρ τῶν ἁγίων τοῦτο εἴρηται, χώρους ἀξίους εἰληφέναι τῶν τῆς ἀρετῆς ἐργατῶν ἕκαστον, δι᾽ ὧν καὶ περὶ τῆς μελλούσης αὐτοῖς δόξης τεκμαίρονται.

12 Καὶ εἶδον ὅτε ἤνοιξε τὴν σφραγῖδα.

Καὶ ταύτην τινὲς εἰς τὴν ἐπὶ Οὐεσπασιανοῦ πολιορκίαν ἐξελάβοντο· ἔοικε δέ τισι μετάβασις ἐνταῦθα γεγενῆσθαι ἀπὸ τῶν ἐν τοῖς διωγμοῖς χρόνων, εἰς τὸν καιρὸν τὸν πρὸ τῆς ψευδοχρίστου ἀφίξεως· ἐν ᾧ τοσαύτας προεφητεύθη θλίψεις ἔσεσθαι, ἴσως πρὸς τὸ ἐμμελετῶντας ταύταις τοὺς ἀνθρώπους, μὴ ἀπειπεῖν πρὸς τὰς ἐπαγομένας ἐκ τοῦ Ἀντιχρίστου κολάσεις, οἵας οὐδέποτε γεγενημένας ἔγνωμεν· σεισμὸν μέντοι τὴν τῶν πραγμάτων μετάθεσιν πολλαχοῦ τῆς γραφῆς εὑρίσκομεν. τὸ δὲ μέλαν τοῦ ἡλίου καὶ τῆς σελήνης τὸ ἀφεγγὲς καὶ αἱματῶδες, τὸ τοῖς παρὰ τῆς θείας ὀργῆς καταλειφθεῖσιν ἀφώτιστον ἐνδείκνυται. τὸ δὲ πεσεῖν τοὺς ἀστέρας, καθὼς καὶ ἤδη περὶ τῶν ὑπὸ Ἀντιόχου ἀπαντηθέντων γέγραπται, τὸ καὶ τοὺς δοκοῦντας εἶναι φωστῆρας ἐν κόσμῳ πίπτειν, τοῖς γινομένοις ἐποκλάζοντας, ὡς φησὶν ὁ Κύριος, πλανηθῆναι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτοὺς, διὰ τὸ τῆς θλίψεως μέγεθος. ἴσως γὰρ διὰ τοῦτο καὶ ἡ συκῆ εἰς παράδειγμα λαμβάνεται, ὡς

τοὺς ἀτελεῖς καρποὺς, καὶ μήπω [a]*πεπανθέντας τῷ τῶν πειρασμῶν καύσωνι καὶ γλυκανθέντας τῇ χάριτι, ἐν τῷ ὑπὸ τοῦ διαβολικοῦ ἀνέμου τινάσσεσθαι καταβάλλουσα. δισσῶς γὰρ ταύτην ἐπί τε καλῷ καὶ κακῷ ἐκλαμβάνειν οἴδαμεν, ἔκ τε τῆς ξηρανθείσης ὑπὸ Χριστοῦ, καὶ τῆς φερομένης ἐν τῷ ᾄσματι. εἰ δὲ αἰσθητῶς ταῦτα τοῦ Χριστοῦ κριτοῦ μετὰ δόξης ἐρχομένου συμβήσεται, αὐτὸς ἂν εἰδείη ὁ τοὺς ἀποκρύφους ἔχων θησαυροὺς τῆς σοφίας καὶ τῆς γνώσεως.*

14 Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη.

Τὸ τὸν οὐρανὸν εἰλῆσθαι ὡς βιβλίον ἢ τὸ ἄγνωστον τῆς δευτέρας Χριστοῦ παρουσίας αἰνίττεται· ἀψοφητὶ γὰρ ἐν ἀκαριαίῳ ἡ βίβλος ἀνοίγεται· ἢ ὅτι καὶ αἱ οὐράνιαι δυνάμεις τοῖς ἐκπίπτουσι τῆς πίστεως ἐπαλγοῦσαι, οἷον εἰλιγμόν τινα διὰ συμπάθειαν καὶ λύπην ἕξουσιν. διὰ τούτων δὲ καὶ ἕτερον σημαίνεται, τὸ μὴ ἀφανισμὸν τὸν οὐρανὸν ὑφίστασθαι, ἀλλ' οἷον εἰλιγμόν τινα καὶ ἀλλαγὴν ἐπὶ τὸ βέλτιον. ἡγούμεθα δὲ τῇ ἀρχαίᾳ συνηθείᾳ χρήσασθαι τὸν Ἀπόστολον· εἰλιταρίοις γὰρ Ἑβραῖοι ἀντὶ τῶν παρ' ἡμῖν βίβλων ἐκέχρηντο, ὧν ἡ ἀνείλησις οὐκ ἀφανισμὸν ἀλλὰ τῶν γεγραμμένων φανέρωσιν ἀπεργάζεται, ὡς καὶ τοῦ οὐρανίου σώματος ἡ ἀνάπτυξις, τῶν ἀποκειμένων τοῖς ἁγίοις ἀγαθῶν τὴν ἀποκάλυψιν δείκνυσιν.

Ἐκ τῶν τόπων αὐτῶν ἐνικήθησαν.

Ὁ Κύριος ἡμῶν τοῖς Ἀποστόλοις ἐρωτῶσι περὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ καταστροφῆς καὶ συντελείας, καθὼς ἠδύναντο χωρεῖν προεῖπε τὰ μέλλοντα, ἅπερ καὶ ἤδη μὲν ἐν τῇ πολιορκίᾳ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου τοῖς Χριστοκτόνοις Ἰουδαίοις συμβέβηκεν. ἐπὶ τέλει δὲ μεθ' ὑπερβολῆς πλειόνος παντὶ τῷ κόσμῳ ἐν τῇ τοῦ Ἀντιχρίστου ἐπιδημίᾳ ἐπελεύσεται· ἐν ᾗ οἱ κατ' ἐξοχὴν εἴτε ἐκκλησιαστικῆς εὐταξίας, εἴτε κοσμικῆς δυναστείας ὑπάρχοντες, ὄρη τροπικῶς ὀνομαζόμενοι, αἵ τε τῶν πιστῶν ἐκκλησίαι μεταφορικῶς νῆσοι καλούμεναι, ἐκ τῶν τόπων αὐτῶν φεύξονται, τόπον ἐκ τόπων ἀμείβοντες διὰ τὸν ψευδόχριστον. οἱ δὲ τῆς γῆς

[a] *ἤγουν ὡρίμους γενομένους* in marg.

βασιλεῖς, τουτέστιν οἱ ταύτην ἐξουσιάζοντες, καὶ μηδὲν ἐν οὐρανοῖς κεκτημένοι, σὺν πᾶσι μεγιστᾶσι καὶ πλουσίοις ἐν τοῖς κάτω, καὶ δούλοις τῶν κάτω, καὶ ἐλευθέροις τῆς Χριστοῦ δουλείας, ὑπὸ τῶν σπηλαίων καὶ πετρῶν καὶ ὀρέων καλυφθῆναι εὔξονται, ἢ πειρασθῆναι τῆς θείας ὀργῆς, ἤτοι τὰς ἐν τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ κατὰ συγχώρησιν ἀπὸ λιμοῦ καὶ ἑτέρων πληγῶν μάστιγας· ἢ καὶ ἐπὶ ταῖς προσδοκωμέναις μετὰ τὴν ἀνάστασιν ἀπεράντοις κολάσεσιν, ὅτε καὶ μᾶλλον ἡ θεία ὀργὴ δικαίως ὡς κλίβανος ἐκκαυθήσεται, τοὺς τῷ θεμελίῳ τῆς πίστεως ἐποικοδομοῦντας ξύλα καὶ χόρτον καὶ καλάμην, ὡς τροφὴν πυρὸς καταναλίσκουσα.

1 Εἶδον τέσσαρας Ἀγγέλους.

Εἰ καὶ ταῦτα τισὶν ὑπὸ Ῥωμαίων πάλαι τοῖς Ἰουδαίοις γεγενῆσθαι ἐξείληπται, τῶν τεσσάρων θείων Ἀγγέλων δηλοῦν αὐτοῖς νομισθέντα, τὸ ἐπί τε γῆς ἐπί τε θαλάσσης τῶν τὴν ὀργὴν πειρωμένων διαδιδράσκειν ἄφυκτον, πολλῷ μᾶλλον τοῦτο ἐν τῇ τοῦ Ἀντιχρίστου ἐπελεύσει γενήσεται· οὐκ ἐν τῇ μερικῇ γῇ τῆς Ἰουδαίας, ἀλλ' ἐν πάσῃ, ἣν ἐπὶ τῶν τεσσάρων γωνιῶν ἑστάναι τοὺς Ἀγγέλους διέξεισιν, ὡς πληροῦντας διακονίας τὰς θεόθεν αὐτοῖς ἐγκεχειρισμένας, ἡμῖν δὲ ἀγνώστους. ἡ δὲ τῶν ἀνέμων ἐποχὴ, προδήλως λύσιν τῆς εὐταξίας τῆς κτίσεως καὶ τὸ τῶν κακῶν ἐμφαίνει ἀδιάδραστον· δι' ἀνέμων γὰρ καὶ τὰ τῆς γῆς φυτὰ τρέφονται, καὶ πλεῖται ἡ θάλασσα.

2 Καὶ ἔκραξε φωνὴ μεγάλη τοῖς τέσσαρσιν.

Ὅπερ τῷ Ἰεζεκιὴλ πάλαι ἀποκεκάλυπτο περὶ τοῦ ἐνδεδυμένου τὸ βαδδὴν, καὶ τῶν καταστεναζόντων τὰ πρόσωπα σφραγίζοντος πρὸς τὸ μὴ συναπολέσθαι δικαίους ἀδίκοις, διὰ τὸ κεκρυμμένον τῆς τῶν ἁγίων ἀρετῆς, καὶ τοῖς Ἀγγέλοις ἄγνωστον· τοῦτο κἀνταῦθα τῷ Ἀποστόλῳ δείκνυται· ὑπερτέρας ἁγίας δυνάμεως τοῖς τιμωροῖς Ἀγγέλοις ἐγκελευομένης μηδὲν δράσαι εἰς τοὺς πλημμελήσαντας, πρὶν διὰ τοῦ σφραγισθέντος διακριθέντας ἐπιγνώσει τῆς ἀληθείας θεραπευθέντας. τοῦτο δὲ μερικῶς πάλαι γεγένηται τῶν τῷ Χριστῷ πεπιστευκότων τὴν τῆς Ἱερουσαλὴμ ὑπὸ Ῥωμαίων ἐκπεφευγότων πόρθησιν, εἰς πολλὰς τελούντων μυριάδας· ἀλλ' οὖν ὡς εἴρηται ἐν τῷ καιρῷ τῆς τοῦ Ἀντιχρίστου ἐπελεύσεως μάλιστα

γενήσεται, τῆς σφραγῖδος τοῦ ζωοποιοῦ σταυροῦ διειργούσης τῶν ἀπίστων τοὺς πιστοὺς, πεπαρρησιασμένως τὴν τοῦ Χριστοῦ σημείωσιν ἐνώπιον τῶν ἀσεβῶν φέροντας.

3 Μὴ ἀδικήσητε τὴν γῆν.

Ὡς δι' ἡμᾶς γεγενημένης τῆς κτίσεως, παιδευομένοις ἡμῖν κοινωνεῖ ἐπὶ ταῖς μάστιξιν, ὥσπερ καὶ δοξαζομένοις τοῖς ἁγίοις συμφαιδρυνθήσεται. διὰ τούτων δὲ μανθάνομεν καὶ τοὺς ἐναρέτους δεῖσθαι δυναμωθῆναι δι' ἀγγελικῆς βοηθείας πρὸ τῆς τῶν πειρασμῶν ἐπαγωγῆς, τῇ δεδομένῃ ἡμῖν σφραγῖδι τοῦ Πνεύματος, κατὰ τοσοῦτον ἐπιδεικνυμένῃ τὴν οἰκείαν δύναμιν, καθόσον ἂν αὐτῇ ἐργασίαν παρασχώμεθα· τῶν λοιπῶν μενόντων ἀβοηθήτων παρ' οἰκείων, τοῦ μὴ βοηθῆναι θέλημα.

6 Ἐκ φυλῆς Ἀσήρ.

Ἐκ φυλῆς Ἀσήρ ιβ' χιλιάδες. Ἀσὴρ μακαρισμὸς ἑρμηνεύεται, δι' οὗ δείκνυνται οἱ τῶν δεσποτικῶν μακαρισμῶν διὰ πολιτείας ἀξιούμενοι τῆς ἐκ δεξιῶν τοῦ Χριστοῦ στάσεως. ἐκ φυλῆς Νεφθαλεὶμ ιβ' χιλιάδες. Νεφθαλεὶμ προσευχὴ, δι' ἧς χαρακτηρίζονται οἱ διὰ προσευχῆς ἀδιαλείπτου τῷ Θεῷ κολλώμενοι ἐκ φυλῆς Μανασσῆ ιβ' χιλιάδες. Μανασσῆ ἐπιλησμονὴ, τουτέστιν οἱ τῶν ὄπισθεν ἐπιλανθανόμενοι, καὶ τῶν πατρῴων οἴκων διὰ τὸν θεῖον ἔρωτα. ἐκ φυλῆς Συμεὼν ιβ' χιλιάδες. Συμεὼν ὑπακοὴ, δηλαδὴ οἱ δι' ὑπακοῆς τῶν θείων ἐντολῶν δικαιούμενοι. ἐκ φυλῆς Λευὶ, ιβ' χιλιάδες. Λευὶ, προσειλημμένος, δι' οὗ νοοῦνται οἱ διὰ πολιτείας ἱεροπρεποῦς ὑπὸ Χριστοῦ προσειλημμένοι. ὄγδοος δὲ ὁ Λευὶ τέτακται, ὡς κατὰ τὴν ὀγδόην ἡμέραν τὴν ἀνάστασιν τῆς ἀληθοῦς ἱερωσύνης ἀναδεικνύμενος. ἐκ φυλῆς Ἰσάχαρ ιβ' χιλιάδες. Ἰσάχαρ, μισθὸς, τουτέστιν οἱ τῶν ἐκ Θεοῦ μισθῶν ἕνεκεν ἐναρέτως πολιτευόμενοι. ἐκ φυλῆς Ζαβουλῶν ιβ' χιλιάδες. Ζαβουλὼν κατοικητήριον δυνάμεως, ἢ εὐωδία, δι' οὗ νοοῦνται, οἱ τῇ ἐνοικήσει τοῦ Χριστοῦ κατὰ τῶν παθῶν δυναμωθέντες καὶ εὐωδία αὐτῷ γενόμενοι.

8 Ἐκ φυλῆς Ἰωσήφ.

Ἐκ φυλῆς Ἰωσὴφ ιβ' χιλιάδες· Ἰωσὴφ πρόσθεσις, τουτέστιν οἱ ἐν προσθήκης μέρει σὺν τῇ βασιλείᾳ τῶν οὐρανῶν τὰ πρὸς τὸ

ζὴν ἀναγκαῖα λαμβάνοντες. ἐκ φυλῆς Βενιαμὶν, ιβ′ χιλιάδες. Βενιαμὶν υἱὸς ὀδύνης, ἢ υἱὸς ἡμέρας, ἢ υἱὸς δεξιᾶς, δηλαδὴ οἱ διὰ καρδιακῶν ὀδυνῶν. εἴτε οὖν οἱ τότε ἐξ Ἑβραίων πιστοὶ καὶ διαπεφευγότες τὴν Ῥωμαίων αἰχμαλωσίαν, τὸν ἀριθμὸν τοῦτον ἀναπληροῦσιν, εἴτε, ὃ καὶ μᾶλλον πιστότερον, οἱ ἐπὶ συντελείᾳ ἐξ Ἰουδαίων σωζόμενοι. "ὅτε γάρ," φησι, "τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, "τότε πᾶς Ἰσραὴλ σωθήσεται." οὐδέτερον ἀπαράδεκτον. ἡ δὲ ἀκρίβεια τῆς ἐξ ἑκάστης φυλῆς ἰσότητος ἐμφαίνειν δοκεῖ τὸν πολυπλασιασμὸν τοῦ ἀποστολικοῦ σπόρου, δωδεκάκις δώδεκα διπλασιαζομένου ἐπὶ τὸν τέλειον τῆς χιλιάδος ἀριθμὸν, καὶ οὕτω τὰς ῥηθείσας χιλιάδας ἀποτελοῦντος.

Ἐπισημαντέον δὲ τοῦτο, ὡς ἡ φυλὴ τοῦ Δὰν, ὡς ἐξ αὐτῆς τικτομένου τοῦ Ἀντιχρίστου, ταῖς λοιπαῖς οὐ συνηρίθμηται, ἀλλ' ἀντὶ ταύτης ἡ τοῦ Λευῒ, ὡς ἱερατικὴ πάλαι εἰς μερισμὸν μὴ ἐρχομένη. ἐκ δὲ τῆς τῶν ὀνομάτων ἑρμηνείας ἔστι τινὰ τῶν φυλῶν ἑκάστῃ προσαρμόσαι διάνοιαν, ὡς ἐν τοῖς παραπλησίοις παρατεθήσεται. τὸν δὲ Ἰωσὴφ ἀντὶ τοῦ υἱοῦ αὐτοῦ τοῦ Ἐφραὶμ τέθεικεν. ἁρμόδιος δὲ τούτοις ὁ λεχθεὶς ἀριθμὸς, ὡς εἴρηται, διά τε τοὺς πάλαι Ἑβραίων ιβ′ φυλάρχους, διά τε τοὺς ἀντ' αὐτῶν καταστάντας ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν Ἀποστόλους, δι' ὧν οἱ ἐν τῇ διασπορᾷ τῆς γῆς Ἰουδαῖοι ἐπ' ἐσχάτων τῶν χρόνων σώζονται.

9 Μετὰ ταῦτα εἶδον· καὶ ἰδοὺ ὄχλος.

Ἰδοὺ μία Ἐκκλησία Ἀγγέλων καὶ ἀνθρώπων, καὶ οἱ πάλαι τοῖς Ἀγγέλοις ἄνθρωποι καταπληκτικοὶ φαινόμενοι τότε συλλειτουργοὶ ἀνθρώπων γενήσονται. εἴτε κατά τινας τῶν ἁγίων ἐν τοῖς οἰκείοις σώμασι διὰ τὴν ἐν τόπῳ περιγραφὴν αὐτοῖς ἐμφανιζόμενοι, εἴτε καθ' ἕτερον τρόπον ὡς τὸ τριχῇ διαστατὸν μὴ ἔχοντες, ὅπερ σωμάτων ἴδιον, οὐκ ἐν τῇ οἰκείᾳ φύσει φαινόμενοι, ἀλλὰ κατὰ τὸ δοκοῦν τῷ Θεῷ τυπούμενοι καὶ σχηματιζόμενοι. κύκλῳ μέντοι τῶν Χερουβὶμ καὶ τῶν πρεσβυτέρων ἑστῶτες ἐμφανίζουσι διὰ τῆς στάσεως τὸ τῆς τιμῆς μέγεθος, ᾗ δοξάζονται οἱ διὰ τοῦ ἀριθμοῦ τῶν πρεσβυτέρων δηλούμενοι· ὑφ' ὧν πάντων ἡ εὐχαριστία τῷ Θεῷ ἐπὶ ταῖς θεοπρεπέσιν αὐτοῦ εἰς τὴν αὐτοῦ κτίσιν οἰκονομίαις ὑπὲρ ἡμῶν ἀναπεμφθήσεται.

Καὶ ἀπεκρίθη εἷς.

Διεγείρει διὰ τῆς πεύσεως τὸν Ἀπόστολον ὁ ὀφθεὶς πρὸς τὴν τῶν ὁραθέντων ἔρευναν. ὁ δὲ τὴν ἄνοιαν εὐγνωμόνως προβαλλόμενος παρὰ τοῦ ἐρωτῶντος σοφίζεται.

13 Οὗτοι εἰσὶν οἱ ἐρχόμενοι.

Οὗτοι εἰσὶν οἱ διὰ προσκαίρων πόνων αἰωνίαν ἀνάπαυσιν καρπούμενοι, καὶ διὰ τοῦ συμπάσχειν Χριστῷ, τούτῳ συμβασιλεύοντες· τὸ γὰρ ἡμέρας καὶ νυκτὸς ἐνταῦθα δηλοῖ τὸ ἀκατάπαυστον. ἐκεῖ γὰρ νὺξ οὐκ ἔσται, ἀλλ' ἡμέρα μία, ἀντὶ τοῦ αἰσθητοῦ ἡλίου, τῷ τῆς δικαιοσύνης καταλαμπομένη. ἴσως δὲ νὺξ νοεῖται τὰ ἀπόκρυφα καὶ βαθέα τῆς γνώσεως μυστήρια, ἡμέρα δὲ τὰ σαφῆ τε καὶ εὔληπτα. ναὸς δὲ τοῦ Θεοῦ, πᾶσα μὲν ἡ ἀνακαινιζομένη κτίσις διὰ τοῦ Πνεύματος, μάλιστα δὲ οἱ τὸν ἀρραβῶνα τοῦ Πνεύματος σῶον καὶ ἄσβεστον φυλάξαντες, οἷς ἐνοικήσειν καὶ ἐμπεριπατήσειν ἐπήγγελται.

16 Οὐ πεινάσουσιν.

Οὗτοι, φησὶν, οὐ πεινάσουσιν οὐδὲ διψήσουσιν, καὶ εἰκότως· τὸν γὰρ ἄρτον τὸν οὐράνιον καὶ τὸ ὕδωρ τῆς ζωῆς ἕξουσιν, οὐδ' οὐ μὴ πεσοῦνται ἐπ' αὐτοὺς ἥλιος οὐδὲ καῦμα. οὐ γὰρ ὑπὸ πειρασμῶν ἔτι τῶν διὰ τοῦ ἡλίου καὶ τοῦ καύσωνος σημαινομένων ὀδυνηθήσονται, τοῦ καιροῦ τῶν ἀγώνων παρωχηκότος.

17 Ὅτι τὸ ἄρνιον.

Οἱ ὑπὸ τοῦ Χριστοῦ τότε ποιμαινόμενοι, φησὶν, ἐπιδρομὰς λύκων οὐ φοβηθήσονται, ἅτε πεμπομένων εἰς τὸ πῦρ τὸ ἄσβεστον, ἀλλ' ἐπὶ τὰς καθαρὰς καὶ τρανοτάτας τῶν θείων νοήσεων πηγὰς ἀΰλους ποιμανθήσονται, δηλουμένας διὰ τοῦ ὕδατος, τὰς καὶ ἤδη τὴν ἄφθονον χύσιν τοῦ Πνεύματος χαρακτηρισαμένας. τοῦ Κυρίου εἰπόντος περὶ τοῦ εἰλικρινῶς πρὸς αὐτὸν πιστεύοντος, ὅτι "ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος," ᾧ οἱ ἅγιοι τότε δαψιλῶς ποτιζόμενοι, ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ ἀπεράντῳ ἔσονται, τῆς μερικῆς γνώσεως καταργουμένης, τὴν τελείαν κτώμενοι, καὶ τὴν τροπὴν μετὰ τῆς φθορᾶς ἐκδυόμενοι.

1 Καὶ ὅτε ἤνοιξε.

Συχνῶς ὁ ἀριθμὸς τῶν ζ´ ἁγίων τούτων παραλαμβάνεται, ὡς τῷ αἰῶνι τούτῳ καὶ τῷ σαββατισμῷ καὶ ἀναπαύσει τῶν ἁγίων σύστοιχος. διὸ κἀνταῦθα ἐπὶ τῇ λύσει τῆς ἑβδόμης σφραγῖδος ἡ λύσις τῆς γηΐνης πολιτείας διασημαίνεται, ἑπτὰ Ἀγγέλων διακονούντων ταῖς κατὰ τούτων παιδείαις ἢ κολάσεως δεομένων ἀνθρώπων μάστιξιν.

Καὶ ἐγένετο σιγή.

Ἡ σιγὴ δηλοῖ τήν τε ἀγγελικὴν εὐταξίαν καὶ εὐλάβειαν, τό τε περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας καὶ Ἀγγέλοις ἄγνωστον. τὸ δὲ ἡμιώριον, τὸ τοῦ καιροῦ ἐμφαίνει βραχὺ, ἐν ᾧ τῶν πληγῶν ἐπαγομένων, καὶ τῶν ἐπὶ γῆς συντελουμένων, ἡ τοῦ Χριστοῦ βασιλεία φανήσεται.

3 Καὶ ἄλλος Ἄγγελος.

Εἰ καὶ σχηματίζονται εἰς ὕλας καὶ χρώματα τὰ τοῖς ἁγίοις ὁρώμενα, εἴτε θυσιαστήριον, εἴτε ἕτερόν τι, ἀλλὰ ἀόρατα καὶ νοητὰ τυγχάνουσιν. ἐπὶ τούτου τοίνυν στὰς ὁ Ἄγγελος, καὶ τὸν λιβανωτὸν, δηλαδὴ τὸ τὸν λίβανον δεχόμενον θυμιατήριον κρατῶν, τὰς εὐχὰς τῶν ἁγίων ὡς θυμιάματα τῷ Θεῷ προσέφερεν, δι᾽ ὧν ᾐτοῦντο διὰ τῆς παγκοσμίου συντελείας, ταῖς μὲν τιμωρητικαῖς μάστιξιν τῶν δυσσεβῶν καὶ παρανόμων ἐλαττῶσαι τὴν ἐν τῷ μέλλοντι κόλασιν· τῇ δὲ οἰκείᾳ παρουσίᾳ τοὺς μισθοὺς διανεῖμαι τοῖς κοπιάσασι· τοῦτο δὲ ἐκ τῶν ἑξῆς δείκνυται.

Καὶ ἐδόθη αὐτῷ θυμιάματα.

Τὸ θυσιαστήριον τοῦτο ὁ Χριστός ἐστιν, ἐν ᾧ πᾶσα λειτουργικὴ καὶ ἁγία συνέστηκε δύναμις, καὶ αἱ μαρτυρικαὶ θυσίαι προσκομίζονται· οὗ ἦν τύπος τὸ ἐν τῇ σκηνῇ θυσιαστήριον. τὰ δὲ θυμιάματα, αἱ προσευχαὶ τῶν ἁγίων ὡς εὐώδεις τῷ Θεῷ καταλέλεκται. ἐνώπιον δὲ τοῦ Χριστοῦ τοῦ θρόνου δηλαδὴ τῶν ὑπερτάτων ἁγίων δυνάμεων εἴρηκεν, διὰ τὴν χύσιν τῆς ἐν αὐτοῖς ἐμπύρου θείας ἀγάπης, καὶ τῆς ἀκραιφνοῦς σοφίας τε καὶ γνώσεως, ὅπερ ἐμφαίνει ἡ ἑρμηνεία τῶν ὀνομάτων τῶν τῷ Θεῷ πλησιαζουσῶν ὑπερτάτων δυνάμεων.

5 Καὶ εἴληφεν ὁ Ἄγγελος.

Αἱ διακονηθεῖσαι δι' Ἀγγέλου τῶν ἁγίων προσευχαὶ προσδεχθεῖσαι, καὶ τοῦ τιμωρητικοῦ πυρὸς τὸν λιβανωτὸν πληρώσασαι, ἐπὶ τὴν γῆν ἐκχεθῆναι πεποιήκασιν. τοῦ δὲ Ἀγγέλου τούτου τύπον ἐπέχει ἕκαστος ἱεράρχης, ὡς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, καὶ τῶν μὲν τὰς δεήσεις ἀνάγων, τῶν δὲ τὸν ἱλασμὸν κατάγων, τοὺς δὲ τῶν ἁμαρτανόντων ἐπιστρέφων, ἢ λόγῳ ἢ παιδείαις αὐστηροτέραις.

Καὶ ἐγένετο βρονταί.

Διὰ τούτων ἁπάντων τὰ πρὸ τῆς συντελείας χαρακτηρίζονται φόβητρα. Ἄγγελοι δὲ τούτοις διακονοῦνται, ὡς ἰατροὶ συμπαθεῖς, καυτῆρσι καὶ τομαῖς τοὺς τὴν δεινοτάτην τῆς ἁμαρτίας νόσον ἀσθενοῦντας θεραπεύοντες, ἢ τό γε μετριώτερον τοῖς ῥαθυμοτέροις τὴν μέλλουσαν ἐπικουφίζοντες κόλασιν, εἰ ὁπωσοῦν εὐχαρίστως ἐνέγκωσιν.

7 Καὶ ὁ πρῶτος ἐσάλπιζε.

Ταῦτα τισὶν ἔδοξεν αἰνίττεσθαι τὴν ἐν γεέννῃ τῶν ἁμαρτωλῶν κόλασιν, πολυτρόπως διὰ τῶν αἰσθητῶν ὀδυνηρῶν τροπολογουμένην. ἄλλοι δὲ, διὰ τὸ μάλιστα οὐ τὴν τρίτην μοῖραν εἶναι τῶν κολαζομένων ἐν τῷ μέλλοντι ἐκ τοῦ παντὸς τῶν ἀνθρώπων πληρώματος, ἀλλὰ τὴν πλείονα, τὰς πρὸ τῆς συντελείας μᾶλλον ταῦτα πληγὰς ἐμφαίνειν νομίζουσι· καὶ τὴν μὲν χάλαζαν δηλοῦν τὸ οὐρανόθεν ἥκειν κατὰ δίκαιον κρίμα τὰς τοιαύτας μάστιγας· τὸ δὲ πῦρ σὺν τῷ αἵματι, τὰς ἐκ βαρβαρικῶν χειρῶν γινομένας πυρπολήσεις τε καὶ ἀνδροκτασίας, τοῦ πολέμου, οὐ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ τῆς γῆς ἐκφόρια πάντα καταναλίσκοντος.

8 Καὶ ὁ δεύτερος Ἄγγελος.

Καὶ τὴν θάλασσαν κατὰ τὸ δόξαν τισὶν σὺν τοῖς ἐν αὐτῇ τῷ καθαρσίῳ πυρὶ καιομένην, τὰ μετὰ τὴν ἀνάστασιν δηλοῦσθαι διὰ τούτων νενόμιστο, εἰ μὴ ἡ τοῦ τρίτου μνήμη ἀνάρμοστος ἡμῖν πρὸς τοῦτο κατεφαίνετο· πλείονες γὰρ τῶν σωζομένων οἱ κολαζόμενοι, ὡς φησὶν ὁ Κύριος. κατὰ μέν τοι ἀναγωγὴν οὐδὲν ἀπεικὸς τὸν παρόντα βίον τροπικῶς ὠνομασμένον θάλασσαν, ταῦτα ὑφί-

στασθαι, καὶ τῶν ἐν αὐτῷ τὸ τρίτον ταῖς πληγαῖς συντελεῖσθαι, διὰ τὴν τῶν θείων κριμάτων ἄβυσσον, ἣ τοὺς μὲν παρὰ πόδας κολάζει, τοῖς δὲ μακροθυμεῖ, πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν. ὄρος δὲ μέγα ἡγούμεθα νοεῖσθαι τὸν διάβολον, πυρὶ τοῦ καθ' ὑμῶν θυμοῦ καιόμενον, τῇ δὲ γεέννῃ τηρηθησόμενον, ἐν τῷ καιρῷ τῆς αὐτοῦ συγχωρήσεως. τὸ τρίτον τῶν ἐν θαλάσσῃ νήσων τε καὶ πλοίων καὶ νηκτῶν διαφθερεῖ, ὥσπερ πάλαι ἐπὶ τοῦ Ἰὼβ πεποίηκεν. εἰ δὲ καὶ τοῖς ἐν θαλάσσῃ τοῦ βίου δι' ἔργων ἢ λόγων τὴν Τριάδα βλασφημοῦσιν ὁ ψυχικὸς ἐπάγεται θάνατος, οὐδὲν ξένον οὐδὲ τοῦ σκοποῦ ἀπεμφαῖνον.

10 Καὶ ὁ τρίτος Ἄγγελος.

Τὴν διὰ τοῦ ἀψίνθου δηλουμένην πικρίαν τὴν τοῖς κολαζομένοις ἐν γεέννῃ ἁμαρτωλοῖς ἐγγινομένην ὀδύνην φασὶ τινὲς αἰνίττεσθαι, οὓς διὰ τὸ πλῆθος εἰκὸς καλεῖσθαι ὕδατα. ἡγούμεθα δὲ καὶ διὰ τούτων τὰ κατὰ τὸν δηλωθέντα καιρὸν ἀλγεινὰ σημαίνεσθαι· τὸν δὲ ἀστέρα δηλοῦν, ἢ οὐρανόθεν τοῖς ἀνθρώποις ταῦτα ἐπέρχεσθαι, ἢ τὸν διάβολον διὰ τούτου σημαίνεσθαι· οὗτος γὰρ ἀνατροπὴν θολερὰν καὶ πικρὰν δι' ἡδονῆς ποτίζων τοὺς ἀνθρώπους, καὶ διὰ ταύτης συγχωρούμενος τὰς τιμωρητικὰς αὐτοῖς ἐπάγειν ἐνταῦθα μάστιγας, οὐ πᾶσι, τῷ δὲ τρίτῳ μέρει διὰ τὴν τοῦ Θεοῦ μακροθυμίαν, καὶ τὸ μὴ ἀπιστεῖσθαι τὴν ἐν τῷ μέλλοντι ἀνταπόδοσιν τοῖς ἀνυπομονήτοις θανάτου ψυχικοῦ καθίσταται αἴτιος· ὅτι δὲ πικρὰ συμβήσεται τοῖς πρὸ τῆς συντελείας εὑρισκομένοις, προλαβὼν ὁ Κύριος ἐπιστώσατο.

12 Καὶ ὁ τέταρτος Ἄγγελος.

Ἡγούμεθα συγγενῆ καὶ ταῦτα τοῖς παρὰ τῷ Ἰωὴλ [d] εἰρημένοις περὶ ἡλίου καὶ σελήνης, τοῖς ἤδη προεκτεθεῖσι κατὰ τὴν δεσποτικὴν περὶ τῆς συντελείας ἀπόφασιν. φαμὲν δὲ διὰ τοῦ τρίτου τῶν φωστήρων καὶ ἀστέρων τὸ τρίτον τῆς ἡμέρας καὶ τῆς νυκτὸς δηλοῦσθαι διάστημα, ὡς ἂν γνοίοιμεν, ὅτι οὐδὲ τότε ἄκρατον ὁ Θεὸς ἐπάγει τὴν κάκωσιν, ἀλλὰ τὸ τρίτον τοῦ χρονικοῦ διαστήματος καὶ συγχωρῶν τοὺς πεπληγότας ἀλγύνεσθαι, λεληθότως τούτους

[d] Ἰὼβ Cod.

παρακαλεῖ κατὰ τὸ πλέον μέρος τὸ λειπόμενον· τίς γὰρ οἴσει τὸ ποτήριον τῆς θείας ὀργῆς ἀκήρατον;

13 Καὶ εἶδον καὶ ἤκουσα.

Καὶ διὰ τούτων τὸ συμπαθὲς καὶ φιλάνθρωπον τῶν θείων Ἀγγέλων δείκνυται, θεομιμήτως οἰκτεῖρον τοὺς παιδευομένους τοὺς πλημμελήσαντας· πολλῷ δὲ πλέον τοὺς μὴ ταῖς μάστιξι πρὸς ἐπιστροφὴν βλέποντας, οἷς καὶ μάλιστα τὸ οὐαὶ ἁρμόζει, ὡς ἐπὶ γῆς οἰκοῦσιν καὶ φρονοῦσι τὰ γήϊνα. τοῖς γὰρ ἐν οὐρανῷ ἔχουσι τὸ πολίτευμα, ἀφορμὴ τὰ δυσχερῆ στεφάνων καὶ βραβείων γίνονται.

1 Καὶ ὁ πέμπτος Ἄγγελος.

Ἀστέρα τινὲς ἔφασαν καταβάντα ἐν τῇ γῇ, ἤγουν ἐν τῇ κρίσει τῇ ὑπολειφθείσῃ[e] κοιλάδι Ἰωσαφάτ, Ἄγγελον θεῖον εἶναι ἐπὶ τῶν κολάσεων, φρέαρ δὲ τῆς ἀβύσσου τὴν γεένναν, καὶ ἐξ αὐτοῦ τὸν καπνὸν ἐξιόντα, ἀθέατον τοῖς κολαζομένοις τὸν ἥλιον καὶ τὸν ἀέρα ἀπεργάζεσθαι. ἀκρίδας δὲ τοὺς σκώληκας, περὶ ὧν φησὶν ὁ Ἡσαΐας, "ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει." τὸ δὲ μὴ τὴν γῆν ἢ τὸν χόρτον, ἀλλὰ τοὺς ἀνθρώπους βασανίζεσθαι, διὰ τὸ ἀπαλλάττεσθαι τῆς φθορᾶς ταῦτα· μῆνας δὲ πέντε τούτους βασανίζεσθαι, χρόνον τινὰ ὡρισμένον ἐπιτεταμένως τούτους κολάζεσθαι, μετὰ δὲ τοῦτον ὑφειμένως[f] μὲν, ἀλλ' αἰωνίως. ἄλλοι δὲ τὸν μὲν ἀστέρα λέγουσιν εἶναι θεῖον Ἄγγελον, καὶ τοῦτον κατὰ συγχώρησιν θείαν, τοὺς καταδεδικασμένους ἐν τῇ ἀβύσσῳ πονηροὺς ἀνάγειν δαίμονας, οὓς ὁ Χριστὸς ἐνανθρωπήσας ἔδησεν, ὅπως πρὸ τῆς συντελείας τὰ οἰκεῖα ἐνεργήσαντας, ἀτελευτήτου τύχωσι κολάσεως. Καπνὸν δὲ τὸν προηγούμενον τῶν πονηρῶν ἔργων ἐκ τῶν προσβολῶν αὐτῶν ζόφον, ὧν παραδεχθεισῶν, ἐξουσία τούτοις βασανίζειν τοὺς ἀνθρώπους δίδοται. ἡ δὲ τοῦ ἡλίου καὶ τῶν ἀστέρων σκότωσις, τὴν τῶν ἀπολαυόντων ἀνθρώπων τοῦ φωτὸς δηλοῖ ψυχικὴν τύφλωσιν, ἢ τὴν ἐπὶ τοῖς δυσχερέσι διάθεσιν· σκότος γὰρ τοῖς ἐν ὀδύναις τὸ φῶς νενόμισται.

3 Ἐξῆλθον ἀκρίδες.

Τὸ τὰς νοητὰς ἀκρίδας πλήττειν τοὺς ἀνθρώπους κατὰ τῶν

[e] ὑπολειφθεῖσι Cod. [f] in marg. ἐλαττομένως.

σκορπίων ὁμοίωσιν, δηλοῖ τὸ ἐν τῷ τέλει τῶν πράξεων τῶν πονηρῶν, τὸν βλαπτικὸν τῆς ψυχῆς ἐγκεκρύφθαι θάνατον, ὃν ὑφίστανται οἱ μὴ σεσημειωμένοι τῇ θείᾳ σφραγῖδι τὰ μέτωπα, καὶ τῷ φωτισμῷ τοῦ ζωοποιοῦ σταυροῦ διὰ Πνεύματος Ἁγίου περιλαμπόμενοι. τοὺς δὲ πέντε μῆνας τοῦ βασανισμοῦ αὐτῶν σημαίνειν, ἢ τὸ τοῦ χρόνου μικρὸν, "εἰ γὰρ μὴ ἐκολοβώθησαν," φησὶν ὁ Κύριος, "αἱ "ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ·" ἢ χρόνον τινὰ πεμπταῖον διὰ τὰς πέντε αἰσθήσεις, δι' ὧν ἡ ἁμαρτία τοῖς ἀνθρώποις εἰσέρπει· ἢ καιρὸν ὡρισμένον, Θεῷ δὲ μόνῳ γνωστόν.

6 Καὶ ἐν ταῖς ἡμέραις.

Καὶ διὰ τούτων ἡ ὑπερβολὴ σημαίνεται τῶν κολάσεων· ἔθος γὰρ τοῖς ἐν ὀδύναις ἐπικαλεῖσθαι τὸν θάνατον. τὸ δὲ τοῖς αἰτοῦσι τοῦτον ἀνωδύνως μὴ παραγίνεσθαι, τῶν θείων κριμάτων ἤρτηται, οἷς λυσιτελὲς κρίνεται τῇ πικρίᾳ τῶν ὀδυνηρῶν ἐπιφορῶν στυγητὴν γενέσθαι τοῖς ἀνθρώποις τὴν ἁμαρτίαν, ὡς τούτων μητέρα καὶ πρόξενον.

7 Καὶ τὰ ὁμοιώματα.

Καὶ διὰ τούτων ὁμοίως καὶ τῶν ἐφεξῆς λεχθησομένων τὰς ῥηθείσας ἀκρίδας, τιμωρητικοὺς θείους Ἀγγέλους τινὲς ἐξέλαβον, παραβολικῶς ἐξ ἑκάστου τῶν εἰρημένων τροπολογουμένους, ἢ διὰ τὸ φοβερὸν καὶ καταπληκτικὸν, ἢ διὰ τὸ ταχὺ, ἢ διὰ τὸ κολαστικὸν τοῖς ἀξίοις ἐπάγειν τὴν ἐν γεέννῃ κόλασιν.

Ἄλλοι δὲ διὰ τούτων τῶν ἀκρίδων τοὺς πονηροὺς μᾶλλον νοεῖσθαι δαίμονας εἰρήκασιν, τοὺς ἡτοιμασμένους εἰς τὸν καθ' ἡμῶν πόλεμον· καὶ ἐπὶ τῶν κεφαλῶν στεφάνους χρυσοειδεῖς τῆς καθ' ἡμῶν νίκης φέροντας, οἵους ἡμεῖς ὅταν ἡττηθῶμεν τὴν κακὴν νίκην δι' ἡδονῆς νικῶντες, στέφεσθαι νομίζομεν. τὰς δὲ τρίχας τῶν γυναικῶν σημαίνειν, τὸ ἡδυπαθὲς τῶν δαιμόνων καὶ πρὸς πορνείαν διεγερτικόν. τοὺς δὲ λεοντιαίους ὀδόντας, τὸ φονικὸν καὶ ἰοβόλον· τοὺς δὲ θώρακας τὸ σκληροκάρδιον.

9 Καὶ ἡ φωνὴ τῶν πτερύγων.

Τὴν φωνὴν τῶν πτερύγων τῶν νοητῶν ἀκρίδων ἀπεικασθείσῃ φωνῇ ἁρμάτων πολλῶν πολεμικῶν νομίζομεν, διὰ τὸ μετάρσιον αὐτῶν καὶ ὀξύ· πολεμοῦσι γὰρ ἡμᾶς ἀπὸ ὕψους, ὥς φησιν Δαβίδ.

τὰς δὲ ὁμοιωθείσας σκορπίοις οὐρὰς αὐτῶν, τὰ τῶν ἁμαρτιῶν τέλη αἰνίττεσθαι τίκτοντα τὸν ψυχικὸν θάνατον. ἡ γὰρ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον· δι' ἧς ἡ πεντάμηνος βάσανος τοῖς ἀνθρώποις ἐπάγεται, διά τε τὰς πέντε αἰσθήσεις, διά τε τὸ τοῦ χρόνου ὀλίγον, τῷ μέλλοντι αἰῶνι συγκρινόμενον. τὸν δὲ βασιλέα τούτων, τὸν διάβολον νοεῖσθαι ἀκόλουθον, τὸν ἀληθῶς τοὺς αὐτῷ πειθομένους ἀπολλύοντα· πρὸς ὃν ὅπως ἄσπονδον ἀναλάβωμεν πόλεμον, ἀπειλεῖ ἡμῖν τὰς δύο οὐαὶ μετὰ ταῦτα ἐλεύσεσθαι.

13 Καὶ ὁ ἕκτος Ἄγγελος.

Τούτους φασί τινες τοὺς τέσσαρας Ἀγγέλους, Μιχαὴλ εἶναι, καὶ Γαβριὴλ, καὶ Οὐριὴλ[f], καὶ Ῥαφαὴλ, τοὺς προδεδειγμένους τῇ εὐφροσύνῃ τῆς θείας θεωρίας, ἀπολύεσθαι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως μετὰ ἀναριθμήτων Ἀγγέλων εἰς τὴν τῶν ἀσεβῶν κατάκρισιν, δι' ὧν τὸ τρίτον ἀφανίζεται.

Ἄλλοι δὲ πονηροτάτους εἶναι δαίμονας φασὶ, δεθέντας[g] ἐν τῇ τοῦ Χριστοῦ παρουσίᾳ, οὓς κατὰ θεῖον πρόσταγμα ἐκ τοῦ ὑπερουρανίου θυσιαστηρίου ἐξερχόμενος Ἄγγελος λύει, ἤτοι τὸν ἐν τῇ παλαιᾷ σκηνῇ ἀντίτυπον, ὑπὸ θείου Ἀγγέλου λύεσθαι· ὥστε ταράξαι τὰ ἔθνη, μὴ μόνον κατὰ Χριστιανῶν, ἀλλὰ καὶ κατ' ἀλλήλων· ὡς ἂν οἱ δόκιμοι καὶ πιστοὶ φανεροὶ γένωνται, καὶ μειζόνων ἀμοιβῶν καὶ τῶν ἄνω μόνων ἄξιοι. οἱ δὲ χοιρώδεις ἀσεβεῖς καὶ λίαν ἁμαρτωλοὶ καὶ ἀμετανόητοι ἐνδίκως ἐνταῦθα δι' αὐτῶν κολαζόμενοι, ἡμερωτέρας τῆς καταδίκης ἐν τῇ κρίσει τύχωσιν. εἰ δὲ τῷ Εὐφράτῃ προσδέδενται, οὐδὲν ξένον. οἱ μὲν γὰρ εἰς τὴν ἄβυσσον, οἱ δὲ εἰς τοὺς χοίρους τότε, οἱ δὲ εἰς ἑτέρους τόπους κατὰ τὸ παραστάνον[h] τῷ Θεῷ ἄχρι καιροῦ κατεδικάσθησαν. μετὰ δὲ τὸν παντελῆ αὐτῶν κατὰ ἀνθρώπων πόλεμον, ἄγονται αἰωνίως κολασθησόμενοι. ἴσως δὲ διὰ τῆς τοῦ Εὐφράτου μνήμης δηλοῦται, ἐκ τῶν μερῶν ἐκείνων ἐξιέναι τὸν Ἀντίχριστον. περὶ δὲ τοῦ πλήθους τῶν δαιμόνων ἀμφιβάλλειν οὐ χρή. πάντα γὰρ τὸν ἀέρα πεπληρῶσθαι αὐτῶν ἔφασαν τινὲς τῶν ἁγίων.

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους.

Ἵππους οἶμαι λέγεσθαι τοὺς θηλυμανεῖς καὶ κτηνώδεις ἀνθρώπους, ἢ τοὺς ὑποβεβηκότας καὶ ἀρχομένους ἐν τοῖς δαίμοσιν,

[f] Ὀβριὴλ Cod. [g] διαθέντας Cod. [h] Sic.

ἐπιβάτας δὲ τοὺς τούτων κατάρχοντας· ἔθος γὰρ τούτοις οὐ μόνον ἀλλήλοις ὑπηρέταις, ἀλλὰ καὶ πονηροῖς ἀνθρώποις ὀργάνοις πρὸς τὴν τῶν ὁμοφύλων ἐπιβουλὴν κεχρῆσθαι. τοὺς δὲ πυρίνους καὶ ὑακινθίνους πυρώδεις θώρακας, τῆς ἀερίου τῶν πονηρῶν πνευμάτων οὐσίας, καὶ τῆς κακίστης ἐνεργείας εἶναι σημαντικοὺς φαμέν. αἱ δὲ κεφαλαὶ τῶν λεόντων τὸ φονικὸν αὐτῶν καὶ θηριῶδες αἰνίττεται. τὸ δὲ ἐκπορευόμενον πῦρ σὺν καπνῷ καὶ θείῳ ἐκ τοῦ στόματος αὐτῶν, δι' οὗ τὸ τρίτον τῶν ἀνθρώπων ἀποκτείνεσθαι ἠπείληται, ἢ τὰς τῶν ἰοβόλων αὐτῶν προσβολῶν καὶ εἰσηγήσεων ἁμαρτίας τοὺς καρποὺς τῆς καρδίας φλογιζούσας αἰνίττεται, ἢ τὰς ἐκ τῶν βαρβαρικῶν χειρῶν ἐπαγομένας πυρπολήσεις ταῖς πόλεσι καὶ αἱματεκχύσεις κατὰ θείαν συγχώρησιν, δι' ὧν τὸ τρίτον μέρος τῶν ἀνθρώπων ἠφάνισται. καλῶς δὲ τὰς οὐρὰς αὐτῶν ὁμοίας φησὶν ὄφεσιν. τὰ γὰρ βέλη τῶν δαιμονικῶν ὑποσπορῶν ἰοβόλος ἁμαρτία καὶ ψυχικὸς θάνατος.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων.

Καὶ τοῦτο τῶν προηγουμένων ἤρτηται· εἰπὼν γὰρ ἀνωτέρω ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀποκτανθῆναι τὸ τρίτον τῶν ἀνθρώπων, καὶ ἐν τῷ μεταξὺ παρενθεὶς τινὰ ἐπήγαγε, "καὶ οἱ λοιποὶ τῶν "ἀνθρώπων," ὅσοι φειδοῦς ἀξιωθέντες καὶ ταῦτα μὴ πεπονθότες ἀμετανόητοι μεμενήκασι, μήτε εἰδωλολατρίᾳ μήτε τοῖς φόνοις καὶ ταῖς πορνείαις καὶ τοῖς κλέμμασιν αὐτῶν καὶ ταῖς γοητείαις ἀποταξάμενοι τοῖς αὐτοῖς ὑποκείσονται. δηλοῦται δὲ ἐκ τούτων παγκόσμιον τὴν ὀργὴν ἐπάγεσθαι. ποικίλη γὰρ πλάνη βακχεύει ἐν τοῖς μὴ ἐπεγνωκόσι τὴν ἀλήθειαν ἔθνεσι, τοῖς μὲν εἴδωλα προσκυνοῦσι, τοῖς δὲ κτίσιν ἀντὶ τοῦ κτίσαντος, κἂν τὰ μάλιστα καὶ τοῖς τὸν Θεὸν ὁμολογοῦσιν εἰδέναι, ἀρνουμένοις δὲ δι' ἔργων· καὶ τὴν μὲν μόρφωσιν τῆς εὐσεβείας περικειμένοις, τὴν δὲ δύναμιν αὐτῆς ἀρνουμένοις.

1 Καὶ εἶδον ἄλλον Ἄγγελον.

Τοῦτον ἅγιον Ἄγγελον νοεῖσθαι, ἥ τε νεφέλη καὶ ἡ ἶρις καὶ τὸ ἡλιοπρεπὲς φῶς ἐμφαίνουσιν. διὰ τούτων γὰρ τὸ οὐράνιον καὶ ποικίλον ἐν ἀρεταῖς καὶ τὸ φωτεινὸν τῆς ἀγγελικῆς οὐσίας τε καὶ νοήσεως δείκνυται. οἱ δὲ τοῦ πυρὸς στύλοι, τὸ φοβερὸν καὶ

κολαστικὸν κατὰ τῶν ἀνοσιουργῶν σημαίνουσι, τῶν τε ἐν γῇ ληστευόντων, τῶν τε ἐν θαλάσσῃ πειρατευόντων· διὸ τῇ μὲν τὸν δεξιὸν πόδα, τῇ δὲ τὸν ἀριστερὸν ἐπέθηκεν, ἵνα τῶν ἐν ἑκατέρᾳ παρανόμων τὴν δίκην αἰνίξηται· τὸ δὲ βιβλίον ἅτε μικρὸν ὂν καὶ ὑποκοριστικῶς[f] λεχθὲν, τῶν σφόδρα πονηροτάτων τὰ ὀνόματα καὶ τὰς πράξεις περιέχειν φαίνεται, οἷον τῶν ἐν γῇ ληστευόντων, ἢ ἑτέρως ἀνοσιουργούντων, καὶ τῶν ἐν θαλάσσῃ πειρατευόντων, ὧν τὴν κόλασιν αἰνίττεται, τοὺς πόδας ἐκτείνων ἐπί τε τῆς γῆς ἐπί τε τῆς θαλάσσης ὁ Ἄγγελος.

3 Καὶ ἔκραξε φωνή.

Ἡ φωνὴ δὲ τοῦ Ἀγγέλου βρυχμῷ λέοντος ἀφωμοιωμένη, τὸ φοβερὸν καὶ ἀνύποιστον τῆς αὐτοῦ ἀπειλῆς ἐνδείκνυται. τὰς δὲ ἑπτὰ βροντὰς ἡγούμεθα, ἢ ἑπτὰ φωνὰς νοεῖσθαι ἐξ ἑνὸς διαρθρουμένας Ἀγγέλου, ἢ ἑπτὰ ἑτέρους ἁγίους Ἀγγέλους, τὰ μέλλοντα προαγορεύοντας, ὡς ἐντεῦθεν δηλοῦσθαι τοῦ προτέρου Ἀγγέλου τούτους εἶναι δευτερεύοντας, καὶ ἐκεῖθεν τὴν ἀφορμὴν τοῦ προφητεύειν λαμβάνοντας.

4 Καὶ ὅτε ἐλάλησαν.

Καὶ διὰ τούτων δείκνυται ἄδηλα εἶναι νῦν τὰ δι᾽ αὐτῆς τῆς πείρας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως ἑρμηνευόμενα, ἐξ ὧν ἐκ τῆς οὐρανίου φωνῆς ὁ Εὐαγγελιστὴς ἔμαθεν, τῇ μὲν διανοίᾳ τὰς φωνὰς ἐνσημήνασθαι, τὴν δὲ τελείαν κατάληψιν, καὶ τὴν τρανὴν τούτου διασάφησιν τοῖς τελευταίοις χρόνοις ταμιεύεσθαι· ἐσφραγισμένους γὰρ καὶ ἐμπεφραγμένους τοὺς τοιούτους λόγους, καὶ ὁ Δανιὴλ ἐδιδάσκετο.

5 Καὶ ὁ Ἄγγελος ὃν εἶδον.

Κύριος μὲν κατ᾽ οὐδενὸς ἔχων μείζονος ὀμόσαι, καθ᾽ ἑαυτοῦ ὄμνυσιν, Ἄγγελοι δὲ ὡς κτίσματα, κατὰ τοῦ κτίσαντος, τὰ ὑπ᾽ αὐτῶν λεγόμενα διὰ τὴν ἡμετέραν ἀπιστίαν πιστούμενοι· ὄμνυσι δὲ χρόνον μηκέτι εἶναι ἢ ἐν τῷ μέλλοντι, ἐν ᾧ οὐ χρόνον ἡλίῳ μετρούμενον, ἀλλὰ ζωὴ αἰώνιος, ἀριθμὸν χρονικὸν ὑπερβαίνουσα.

f Ὑποκοριστικὸν λέγεται τὸ ὁμοίωσιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν. δηλοῖ δὲ καὶ ὄνομα σμικρότατον, οἷον βρεφίλιον (leg. βρεφύλλιον), παιδίσκιον, βιβλιδάριον. in marg.

ἢ χρόνος μακρὸς οὐκ ἔσται μετὰ τὰς ἓξ φωνὰς τοῦ Ἀγγέλου τοῦ πληρωθῆναι τὰ προφητευθέντα.

7 Ἀλλ' ἐν ταῖς ἡμέραις.

Ἐκ τούτων σημαίνειν οἶμαι τὴν τῶν ἓξ αἰώνων παραδρομὴν ἐν ταῖς ἡμέραις τοῦ ἑβδόμου αἰῶνος· διὰ τῆς ἑβδόμης σημαινομένης σάλπιγγος, τὰ ἐκ τῶν ἁγίων προφητῶν εἰρημένα πρὸ τῆς συντελείας συμβήσεσθαι πέρας δέχεσθαι. εὐαγγελισμὸς δὲ ἡ τούτων ἐκπλήρωσις, διὰ τὴν ἡτοιμασμένην τοῖς ἁγίοις ἀνάπαυσιν.

8 Καὶ ἡ φωνὴ ἣν ἤκουσα.

Κἀνταῦθα ἄλλη τις ἀγγελικὴ ὑπερτέρα δύναμις τῷ εὐαγγελιστῇ ἐγκελεύεσθαι φαίνεται, διὰ τῆς βίβλου τὴν γνῶσιν τῶν χρησμοδοτηθέντων ὑποδέξασθαι.

9 Καὶ λέγει μοι, λάβε.

Γλυκεῖα μέν σοι, φησὶν, ἡ τῶν μελλόντων γνῶσις, πικρανεῖ δέ σου ὅμως τὴν κοιλίαν, δηλαδὴ τὴν καρδίαν, τὴν τῶν λογικῶν τροφῶν χωρητικὴν, τῇ συμπαθείᾳ τῶν τὰς θεηλάτους κατὰ θεῖον κρίμα δεχομένας μάστιγας. νοεῖται δὲ καὶ ἑτέρως. ἐπείπερ ἅγιος ὢν, τῇ πείρᾳ τῶν πράξεων οὐκ ἐγεύσατο, διὰ τῆς τοῦ βιβλίου καταπόσεως, τοῦ τὰς πράξεις τῶν ἀνοσιουργῶν περιέχοντος· τὸ ἐν ἀρχαῖς τῆς ἁμαρτίας γλυκὺ, πικρὸν δὲ μετὰ τὴν πρᾶξιν διὰ τὴν ἀμοιβὴν διδάσκεται.

Γλυκεῖα ἡ βίβλος ἐν τοῖς προοιμίοις διὰ τὰ φαιδρὰ, ἐπίπονος δὲ πρὸς τὰ τέλη διὰ τὰς πληγὰς, ὥσπερ καὶ ἡ ἁμαρτία γλυκεῖα τῇ γεύσει, πικρὰ δὲ τῇ πέψει, καὶ τῇ ἀναδόσει. συμπαθεῖς δὲ ὄντες οἱ ἅγιοι, μετὰ χαιρόντων χαίρουσι, καὶ μετὰ κλαιόντων κλαίουσι.

10 Καὶ ἔλαβον τὸ βιβλίον.

Διὰ τούτου δείκνυται, ἢ τὸ μὴ εὐθέως μετὰ τὴν ὅρασιν τῆς θείας Ἀποκαλύψεως τὰ ὁραθέντα πέρας δέχεσθαι, ἀλλὰ δεῖν τὸν μακάριον διά τε τοῦ Εὐαγγελίου, διά τε τῆς παρούσης Ἀποκαλύψεως, μέχρι συντελείας προφητεύειν τὰ μέλλοντα τοῖς ἀναγινώσκουσιν, ἢ τὸ μήπω τοῦτον θανάτου γεύσασθαι. ἐπὶ τέλει δὲ ἐλεύσεσθαι τῆς ἀπάτης τοῦ Ἀντιχρίστου τὴν παραδοχὴν κωλύσονται.

11 Καὶ λέγουσί μοι, δεῖ σε.

Διὰ τοῦ καλάμου τούτου δείκνυται πάντα νοερὰ εἶναι τὰ ἐν οὐρανοῖς φαινόμενα, καὶ τὰ παρ' ἡμῖν ἄψυχα, ὥσπερ καὶ τὸ θυσιαστήριον καὶ ὁ θρόνος καὶ ἕτερα τινά· ἐπεὶ πῶς ὁ δοθεὶς αὐτῷ κάλαμος ἔλεγε, "ἔγειραι καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ·" δι' οὗ δείκνυται, ἀγγελικῇ συνέσει ἐκμετρεῖν τὸν ναὸν τοῦ Θεοῦ. εἰ δέ τις εἴποι ὑπὸ τοῦ αὐτοῦ Ἀγγέλου καὶ τὸν κάλαμον δεδόσθαι αὐτῷ, καὶ ἀκηκοέναι "ἔγειραι καὶ μέτρησον τὸν ναὸν τοῦτον," φαμὲν τὸν κάλαμον μέτρον δηλοῦν γνώσεως, ἀναλογοῦν τῷ λαμβάνοντι, ἧς ἀξιοῦνται οἱ παρὰ Θεοῦ καὶ τῶν θείων Ἀγγέλων, δι' ἔργων ἀγαθῶν γινωσκόμενοι, κατὰ τὸ, "ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ."

1 Καὶ ἐδόθη μοι κάλαμος.

Ἰστέον δὲ ὥς τινες τὸν μὲν τοῦ Θεοῦ ναὸν, τὴν παλαιὰν διαθήκην ἐνόησαν, τὴν δὲ αὐλὴν, τὴν νέαν, διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ σωζομένων οὖσαν ἀμέτρητον· τοὺς δὲ τεσσαράκοντα δύο μῆνας, σημαντικοὺς τῆς τοῦ χρόνου βραχύτητος, ὧν κρατοῦσι τὰ τῆς νέας διαθήκης μυστήρια, μέχρι τῆς δευτέρας Χριστοῦ παρουσίας ὑπέλαβον. ἄλλοι δὲ ναὸν Θεοῦ ζῶντος, τὴν Ἐκκλησίαν φασὶ προσαγορεύεσθαι, ἐν ᾗ θυσίας λογικὰς τῷ Θεῷ προσφέρομεν· αὐλὴν δὲ ἐξωτέραν, τὴν τῶν ἀπίστων ἐθνῶν ἢ Ἰουδαίων συναγωγὴν, ὡς ἀναξίαν ὑπ' Ἀγγέλου μετρηθῆναι διὰ τὴν ἀσέβειαν. τοὺς γὰρ παρανόμους ἀγνοεῖν λέγεται ὁ Θεός. τὸ δὲ πατεῖσθαι τὴν ἁγίαν πόλιν, εἴτε τὴν νέαν Ἱερουσαλὴμ, εἴτε τὴν καθολικὴν Ἐκκλησίαν μῆνας μ̅β̅ ὑπὸ τῶν ἐθνῶν, σημαίνειν οἶμαι ἐν τῇ παρουσίᾳ τοῦ Ἀντιχρίστου, γ̅[g] ἔτη τοὺς πιστοὺς καὶ δοκίμους πατεῖσθαι καὶ διώκεσθαι.

3 Καὶ δώσω τοῖς δυσί.

Τούτους τὸν Ἐνὼχ καὶ Ἠλίαν πολλοὶ τῶν διδασκάλων ἐνόησαν, καιρὸν θεόθεν ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ληψομένους ἐπὶ ἔτη ϛ̅ ἀπὸ τ̅ξ ἡμερῶν ἀριθμούμενα, καὶ διὰ τῆς παραβολῆς τῶν σάκκων τὸ σκυθρωπὸν καὶ πένθους ἄξιον ἐπὶ τοῖς ἀπατωμένοις ἐμφαίνοντας, καὶ τοὺς τότε εὑρισκομένους τῆς πλάνης τοῦ Ἀντιχρίστου ἀπάγοντας.

[g] ϛ̅ (sic).

5 Καὶ εἴ τις θέλει αὐτούς.

Ἐπειδὴ ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους πάντων τῶν φαρμάκων καὶ ἐπαοιδῶν ἔσται ὁ ψευδόχριστος περιφανέστερος, ἅτε πᾶσαν τὴν τοῦ διαβόλου δεχόμενος ἐνέργειαν, ἐν δυνάμει ἀληθινῶν σημείων καὶ τεράτων τοὺς ἁγίους τούτους καθοπλίσει ὁ Θεὸς, τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ φωτὸς τὸ ψεῦδος καὶ τὸ σκότος ἀπελέγξοντας· καὶ τοὺς μὲν πεπλανημένους ἐπιστρέψοντας, διά τε φόβου διδασκαλικοῦ, διά τε μαστίγων παιδευτικῶν, ἀνομβρίας καὶ πυρὸς καὶ τῆς τῶν στοιχείων μεταποιήσεως, καὶ τῶν ὁμοίων· τὸν δὲ πλάνον παραδειγματίσοντας, καὶ μηδὲν μήτε ὑπ' ἐκείνου μήτε ὑφ' ἑτέρου πεισομένους ἄχρι τοῦ τῆς οἰκείας προφητείας πέρατος.

7 Καὶ ὅταν τελέσω.

Μετὰ τὸ διαμαρτύρασθαι αὐτούς φησι τὴν τῆς ἀπάτης ἀποφυγὴν, τὸ θηρίον, δηλαδὴ ὁ Ἀντίχριστος, ὁ ἐκ τῶν σκοτεινῶν καὶ βυθίων τῆς γῆς χωρίων ἐξιὼν, ἐν οἷς ὁ διάβολος καταδεδίκασται, ἀνελεῖ αὐτοὺς κατὰ θείαν συγχώρησιν, καὶ ἄταφα αὐτῶν καταλήψει τὰ σώματα ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ, δηλαδὴ τῇ πάλαι κατεστραμμένῃ, ἐν ᾗ καὶ ὁ Κύριος πέπονθεν· ταύτῃ ὡς ἔοικεν καθιστῶν τὰ βασίλεια κατὰ μίμησιν Δαβὶδ, οὗ Ἰησοῦς ὁ Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν κατὰ σάρκα γεγέννηται. ἵνα κἀν τούτῳ ἑαυτὸν εἶναι τὸν Χριστὸν πιστώσηται, πληροῦντα τὸ προφητικὸν λόγιον, τὸ φάσκον, "ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν "πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω·" ὅπερ πλανώμενοι Ἰουδαῖοι, εἰς τὴν ἐκείνου παρουσίαν ἐκλαμβάνουσιν.

9 Καὶ βλέπουσιν ἐκ τῶν λαῶν.

Οἵ ἅπαξ, φησὶ, προκατειλημμένοι τοῖς ψευδέσι τοῦ Ἀντιχρίστου τέρασι, καὶ τὸ θεοστυγὲς αὐτοῦ ὄνομα ταῖς καρδίαις ἀνεξάλειπτον ἐγγράψαντες, ἔκ τε Ἰουδαίων, ἔκτε ἐθνῶν, ταφῆναι μὲν τὰ ἅγια σώματα κωλύσουσιν, ἐπὶ δὲ τῇ ἀπαλλαγῇ τῶν μαστίγων, ἃς πρὸς ἐπιστροφὴν προσέφερον, εὐφρανθήσονται.

11 Καὶ μετὰ τὰς τρεῖς ἡμέρας.

Ἰσαρίθμους ἡμέρας τοῖς ἔτεσι τῆς αὐτῶν προφητείας νεκρωθέντες φησὶν, ἀναστήσονται, καὶ εἰς οὐρανὸν ἐν τῷ δεσποτικῷ ὀχήματι τῇ νεφέλῃ ἀνελεύσονται, φόβος καὶ κατάπληξις τοῖς ὁρῶσι γινόμενοι.

12 *Καὶ ἐθεώρησαν αὐτούς.*

Ἴσως μὲν αἰσθητῶς τότε ταῦτα γενήσεται, νοητῶς δὲ τὸν σεισμὸν τὴν τῶν σαλευομένων μετάθεσιν ἐπὶ τὸ σταθερὸν καὶ βέβαιον δηλοῦν νομίζομεν. τὸ δέκατον δὲ τῆς πόλεως πίπτειν τῷ τῆς ἀσεβείας πτώματι, μήτε τῇ ἐκείνων ἁρπαγῇ σωφρονιζόμενον, ὡς τῶν λοιπῶν σωθησομένων· αἱ γὰρ ἑπτὰ χιλιάδες ἀναιρούμεναι, τοὺς τῷ ἑβδοματικῷ τοῦ παρόντος βίου χρόνῳ προστετηκότας, καὶ τὴν ὀγδόην τῆς ἀναστάσεως μὴ ἀναμένοντας, σημαίνειν φαίνονται οὓς καὶ ἀποκτανθῆναι ἐπάναγκες, τὸν ἐν γεέννῃ δεύτερον θάνατον τὴν αἰώνιον κόλασιν, ἢ τυχὸν ἑπτακισχίλιοι ἔσονται οἱ ἐξ Ἰουδαίων τῷ Ἀντιχρίστῳ πειθόμενοι.

13 Καὶ οἱ λοιποὶ ἔμφοβοι.

Μαστιζομένων τῶν ἀπίστων καὶ δοξαζομένων τῶν μαρτύρων Χριστοῦ, οἱ ἄξιοι, φησὶ, τῆς σωτηρίας τὸν Θεὸν δοξάσουσι· μετὰ δὲ τὰς δύο, φησὶν, οὐαὶ, ἡ τρίτη ἔρχεται, ἡ διὰ τῆς ζ̅ σάλπιγγος.

15 Καὶ ὁ ἕβδομος Ἄγγελος.

Κἀνταῦθα πάλιν τοὺς ἁγίους Ἀγγέλους καὶ τοὺς εὐαγγελικῶς πολιτευομένους εὐχαριστίαν ἀναπέμπειν τῷ Θεῷ, φησιν, ὅτι ἣν ὁ Θεὸς, ὡς Θεὸς, ἐξ ἀρχῆς βασιλείαν ἐκέκτητο, λαβεῖν δι' ἡμᾶς ὡς ἄνθρωπος ἠξίωσεν· τοῖς δὲ ἀπίστοις ἔθνεσιν, ἐπὶ τοῦτο ὀργισθεῖσιν, ὡς ἂν προσφάτῳ καὶ ξένῃ διδαχῇ μακροθυμήσας, ἐπὶ τέλει τὴν δίκην ἐπήγαγε.

18 *Καὶ ἦλθεν ἡ ὀργή σου.*

Καιρὸν τῶν νεκρῶν φησὶ, τὸν καιρὸν τῆς τῶν νεκρῶν ἀναστάσεως, ἐν ᾧ ἑκάστῳ κατάλληλα δοθήσεται τὰ ἐπίχειρα· διὰ δὲ τῶν προφητῶν καὶ ἁγίων καὶ τῶν φοβουμένων τὸν Θεὸν, τὰ τρία εἰκὸς νοεῖσθαι τάγματα τῶν ἐν ἑκατὸν καρποφορούντων καὶ ἐν ξ̅ καὶ λ̅, τῶν Ἀποστόλων ὁμολογουμένως τῆς πρώτης τευξομένων λήξεως, καὶ τῆς ἐπὶ ι̅β̅ θρόνων ἱδρύσεως· μικροὺς δὲ καὶ μεγάλους, εἴτε τοὺς ἧττον ἁγίους καὶ τοὺς μᾶλλον τούτων ὑπερέχοντας, εἴτε μικροὺς ὡς ἐξουθενημένους τοὺς ἁμαρτωλοὺς, μεγάλους δὲ τοὺς δικαίους φασὶν εἰρῆσθαι.

19 *Καὶ ἠνοίγη ὁ ναός.*

Διὰ τῆς ἀνοίξεως τοῦ οὐρανοῦ καὶ τῆς ὁράσεως τῆς κιβωτοῦ

τῶν ἡτοιμασμένων ἀγαθῶν τοῖς ἁγίοις δηλοῦται ἡ Ἀποκάλυψις, ἅπερ ἐν τῷ Χριστῷ, ἐν ᾧ κατώκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, πάντα κέκρυπται· τότε δὲ ἀποκαλυφθήσεται, ὅτε τοῖς ἀνόμοις καὶ ἀσεβέσι φωναὶ καταπληκτικαὶ καὶ ἀστραπαὶ καὶ βρονταὶ ἐλεύσονται, καθάπερ χάλαζα ἐπομβρύουσα τούτους τὰ τῆς γεέννης κολαστήρια, ἐν τῷ σεισμῷ τῆς τῶν παρόντων μεταθέσεως.

1 Καὶ σημεῖον μέγα ὤφθη.

Ταύτην τινὲς δι' ὅλου τὴν θεοτόκον νενοήκασι, πρὶν ἢ γνωσθῆναι αὐτῇ τὸν θεῖον τόκον, παθοῦσαν τὰ ἐχόμενα. ἄλλος δὲ εἰς τὴν Ἐκκλησίαν τοῦτο ἐξέλαβεν, ἀνάρμοστα τῇ γεννήσει τῇ δεσποτικῇ τὰ περὶ αὐτῆς ἡγησάμενος, διὰ τὸ ἤδη πρὸ πολλοῦ τετέχθαι τὸν Κύριον. γυνὴ οὖν ἡ περιβεβλημένη τὸν ἥλιόν ἐστιν ἡ Ἐκκλησία, ὃ δὲ ἡμῖν ἐσθὴς, τοῦτο ἐκείνῃ τὸ φῶς· ὃ δὲ ἡμῖν χρυσὸς ἢ λίθος διαφανὴς, τοῦτο ἐκείνῃ τὰ ἄστρα. ἐπιβέβηκε δὲ ἐπὶ σελήνης· σελήνη τροπικῶς ἡ πίστις τῷ τῶν ἀποκαθαιρομένων τὴν φθορὰν τὸ ἐκ τῆς σελήνης ἠρτῆσθαι τὴν ὑγρὰν ὠδίνουσαν καὶ ἀναγεννῶσαν τοὺς ψυχικοὺς εἰς πνευματικοὺς, καὶ τὴν καθ' ὁμοίωσιν ἰδέαν αὐτοὺς καὶ μόρφωσιν μορφοῦσαν τοῦ Χριστοῦ· ὥστε ἐν ἑκάστῳ ἡμῶν γεννᾶσθαι τὸν Χριστὸν νοητῶς. καὶ διὰ τοῦτο ἡ Ἐκκλησία σπαργανοῖ καὶ ὠδίνει, ἄχρις ἂν μορφωθῇ ὁ Χριστὸς ἐν ἡμῖν, ὅπως ἕκαστος τῷ μετέχειν Χριστοῦ, Χριστὸς γένηται. ἡ Ἐκκλησία τοίνυν τὸν ἥλιον[h] τῆς δικαιοσύνης περιβέβληται καὶ τὸ νομικὸν φῶς τῆς νυκτοφαοῦς σελήνης, καὶ τὴν ὡς σελήνην ἀλλοιουμένην κοσμικὴν ζωὴν ὑπὸ τοὺς πόδας κέκτηται, καὶ ἐπὶ τῆς κεφαλῆς τὸν τῶν ἀποστολικῶν δογμάτων τε καὶ ἀρετῶν περίκειται στέφανον. ὠδίνει[i] δὲ καθ' ἕκαστον τῶν ἀναγεννωμένων δι' ὕδατος καὶ πνεύματος ἡ Ἐκκλησία, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν αὐτοῖς, διὰ τὸ ἀμβλώματα εἶναι τοὺς ἐκ τοῦ ἀληθινοῦ φωτὸς Χριστοῦ ἐκπίπτοντας, καὶ σύνδρομον τῇ ζωῇ τὸν διὰ ἀπιστίας ὑπομένοντας θάνατον.

3 Καὶ ὤφθη ἄλλο σημεῖον.

Οὐρανὸν ἐνταῦθα τὸν ἀέρα φησι, δράκοντα δὲ πυρρὸν τὸν διά-

[h] ἤγουν τὸν Χριστὸν in marg. [i] ἤγουν γεννᾷ in marg.

βολον· πυρρὸν διὰ τὸ φονικὸν αὐτοῦ καὶ αἱμοχαρὲς, ἢ διὰ τὸ πυρῶδες τῆς ἀγγελικῆς οὐσίας. ἑπτὰ δὲ κεφαλὰς, τὰς ζ̄ πονηροτέρας αὐτοῦ δυνάμεις καὶ ταῖς πνευματικαῖς ἐνεργείαις ἐναντίας, ἢ τὰ ζ̄ πνεύματα, ἅπερ ἐν Εὐαγγελίοις εἴρηκεν ὁ Χριστός. τὰ δὲ κέρατα δηλοῦσιν ἢ τὰ ἀντιδιαστελλόμενα ταῖς νομικαῖς ἐντολαῖς πλημμελήματα, ἢ τὰς διαιρέσεις τῆς βασιλείας αὐτοῦ. διότι οἱ ταῖς δαιμονικαῖς ἐνεργείαις νικῶντες, ἐκεῖθεν τοὺς στεφάνους κομίζονται. τὸ τρίτον δὲ τῶν ἀστέρων, τοὺς περὶ ἕνα τοῦ ἀριθμοῦ τῆς Τριάδος διεσφαλμένους φησίν. ἄλλος δὲ διὰ τούτων δύο τινὰ δηλοῦσθαί φησιν, ἢ τὴν προτέραν αὐτοῦ ἐξ οὐρανοῦ πτῶσιν, τὴν τοὺς σὺν αὐτῷ ἀποστάτας Ἀγγέλους διὰ τοῦ ἐσχάτου κινήματος τοῦ φθόνου δι' ἔπαρσιν κατασύρασαν, ἢ τὴν μετὰ τὸ θλασθῆναι τὴν κεφαλὴν αὐτοῦ οὐραίαν κίνησιν, τοὺς ἀστηρίκτους κατενεγκοῦσαν ἐκ τοῦ οὐρανίου φρονήματος, ἀστέρας τροπικῶς ὀνομασθέντας, διὰ τὴν ἐκ τοῦ βαπτίσματος λαμπρότητα.

4 Καὶ ὁ δράκων ἕστηκεν.

Τοῦτο φησὶν, ὅτι ἀεὶ ὁ ἀποστάτης ἄντικρυ τῆς Ἐκκλησίας ὁπλίζεται τοὺς ἀναγεννωμένους κατὰ καιρὸν ἐξ αὐτῆς οἰκεῖον βρῶμα ποιεῖσθαι ὀρεγόμενος. μᾶλλον δὲ διὰ τῆς Ἐκκλησίας καὶ αὐτὸν τὸν Χριστὸν διώκων ὡς κεφαλὴν αὐτῆς, καὶ τὰ τῶν πιστῶν οἰκειούμενον.

5 Καὶ ἔτεκεν υἱὸν ἀρρένα.

Διηνεκῶς ἡ Ἐκκλησία διὰ τῶν βαπτιζομένων τὸν Χριστὸν γεννᾷ, ὡς ἐν ἐκείνοις μορφούμενον ἄχρι τῆς συμπληρώσεως τῆς πνευματικῆς ἡλικίας. ἄρρην δὲ ὁ τῆς Ἐκκλησίας υἱὸς λαὸς καὶ ταῖς ἡδοναῖς ἀσύλητος[k]*, δι' οὗ καὶ ἤδη μὲν ταῖς τῶν δυνατῶν Ῥωμαίων χερσὶ, ταῖς κραταιαῖς ὡς ὁ σίδηρος, ἐποίμανε τὰ ἔθνη Χριστὸς ὁ Θεὸς ἡμῶν. ποιμανεῖ δὲ καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, κριτὰς καθιστῶν τοὺς ἰσχυροὺς τῇ πίστει, ὡς σίδηρον, κατὰ τῶν εὐθρύπτων καὶ ἀσθενῶν σκευῶν τῶν ἐθνῶν δι' ἀπιστίαν ὄντων.*

Καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς.

Ἁρπάζονται μέν φησι, τὰ τέκνα τῆς Ἐκκλησίας, τουτέστιν

[k] ἀσήλυτος Cod.

οἱ ἅγιοι ἐν πειρασμοῖς ἐνταῦθα, ἁρπαγήσονται δὲ ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, *καὶ σὺν τῷ* Θεῷ *καὶ τῷ θρόνῳ αὐτοῦ ταῖς ὑπερτάταις ἀγγελικαῖς δυνάμεσι συνέσονται.*

6 Καὶ ἡ *γυνὴ ἔφυγεν.*

Ὅτε, *φησὶν, ὁ ἐν τῷ* Ἀντιχρίστῳ *ἐνεργῶν δυνάμενος δι' αὐτοῦ κατὰ τῆς* Ἐκκλησίας *παρατάξεται, οἱ ταύτης ἐκλεκτοὶ τῶν πολιτικῶν θορύβων καὶ τῶν κοσμικῶν ἡδονῶν διαπτύοντες, εἰς τὴν ἔρημον πάσης κακίας πολιτείαν φεύξονται, ἐν πάσῃ ἀρετῇ διαλάμποντες, κἀκεῖ τῶν πολεμούντων δαιμόνων τε καὶ ἀνθρώπων τὰς προσβολὰς ἐκφεύξονται. εἰκὸς δὲ καὶ τὴν αἰσθητὴν ἔρημον σώζειν τοῖς ἐν ὄρεσι καὶ σπηλαίοις διὰ τὴν τοῦ ἀποστάτου ἐπιβουλὴν φεύγουσιν. ἐπὶ ἔτη δὲ γ̅ϛ̅ τὰ ὑπὸ τῶν ͵α̅ϲ̅ξ̅ ἡμερῶν δηλούμενα, ἐν οἷς κρατήσει ἡ ἀποστασία.*

7 Καὶ *ἐγένετο πόλεμος.*

Καὶ *ταῦτα τῇ τε πρώτῃ τοῦ διαβόλου ἐκπτώσει τῆς ἀγγελικῆς τάξεως, τῇ τε διὰ τοῦ δεσποτικοῦ σταυροῦ καθαιρέσει ἁρμόζειν δύναται, ὅτε τῆς ἀρχαίας τυραννίδος ἐκβέβληται· οὗ τὴν ἀλαζονείαν τοὺς θείους* Ἀγγέλους *ἅμα τῷ αὐτῶν ἀρχιστρατήγῳ* Μιχαὴλ *τῆς οἰκείας συνδιατριβῆς ἀπορρίψαι πρότερον, καθὼς ὁ* Ἰεζεκιὴλ *ἔφη· ἐν δὲ τῇ τοῦ* Χριστοῦ *παρουσίᾳ τοὺς διακονουμένους αὐτῷ μετὰ τὸν πειρασμὸν εἰς τέλος νενίκηκεν. εἰ δὲ μετὰ τοῦ ἄρθρου κεῖται ὁ* Σατανᾶς, *οὐκ ἄλλος ὢν παρὰ τὸν διάβολον, εἰ καὶ κεῖται καθ' ὑπερβατὸν, οἷον ὁ διάβολος καὶ ὁ* Σατανᾶς, *ἀλλ' ὡς τὰ δύο καλούμενος, τὸ μὲν διὰ τὸ διαβάλλειν τὸν* Θεὸν *τοῖς ἀνθρώποις, ὡς τῷ* Ἀδὰμ *αὐτὸν βάσκανον ὑπογράψας· τὸ δὲ ὡς ἀντικείμενος καὶ τῷ δεσπότῃ καὶ τοῖς δούλοις. ἰστέον δὲ ὅτι οὐχ οὕτω τοπικὴ μετὰ τὸν σταυρὸν ἡ τοῦ διαβόλου γέγονε κατάπτωσις, ὡς ἡ τῶν προτέρων ἀνενεργησία. ἔκπτωσις οὖν αὐτοῦ, ἡ τῶν πονηρῶν ἐγχειρημάτων ἀθέτησις, μετὰ τοῦ τῶν οὐρανῶν καὶ τῆς οἰκείας ἀρχῆς τελείως ἀποβεβλῆσθαι, ὡς εἴρηται.*

10 Καὶ *ἤκουσα φωνήν.*

Ἡ *κατηγορία καὶ ἡ διαβολὴ ἡ κατὰ τῶν ἀνθρώπων τὸν διάβολον, ὅπερ ἐστὶ, κέκληκεν, ὡς εἴρηται. εὐφραίνονται δὲ οἱ* Ἄγγελοι *ἐπὶ τῇ τούτου ἐκβολῇ· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος.*

11 Καὶ αὐτοὶ ἐνίκησαν.

Καὶ κατηγορούμενοι παρ' αὐτοῦ, φησὶν, οἱ ἅγιοι καὶ διαβαλλόμενοι πρὸς ἅπαντας ἀνθρώπους τοὺς αὐτῷ πειθομένους, ὅμως αὐτὸν νενικήκασι τοῖς ὑπὲρ Χριστοῦ πάθεσιν· εὐφραίνεσθαι δὲ τὰς ἄνω δυνάμεις ἐπὶ τῇ αὐτοῦ πτώσει, καὶ λυπεῖσθαι ἐπὶ τῇ τῶν προστετηκότων τοῖς γηΐνοις ἐπιβουλῇ θεομιμήτως ἀκόλουθον· οὐαὶ δὲ τοῖς κατοικοῦσι τὴν γῆν, δηλαδὴ τοῖς μὴ ἐν οὐρανῷ ἀλλ' ἐπὶ γῆς ἔχουσι τὸ πολίτευμα. πολλοὶ γὰρ τῶν ἐν τῇ γῇ τὸν ἐχθρὸν νικῶσι καὶ νικήσουσι, καί περ πλέον νῦν τοῖς ἀγωνιζομένοις θυμούμενον, διὰ τὴν ἐγγύτητα τῆς αὐτοῦ κολάσεως, ὅθεν ἐπάναγκες τοὺς φρονοῦντας τὰ γήϊνα καὶ τῇ θαλάσσῃ τοῦ βίου κλυδωνιζόμενοι[f] ἐνταῦθα ταλανίζεσθαι.

13 Καὶ ὅτε εἶδεν ὁ δράκων.

Ὅτε φησὶν ὁ διάβολος τῷ Χριστῷ προσπαλαίσας μετὰ τὸ βάπτισμα ἡττήθη, καὶ πρὸς τοὺς ἁγίους Ἀποστόλους ὁπλισάμενος ᾐσχύνθη, διὰ θανάτου ζωὴν εὑραμένους αὐτοὺς θεασάμενος, καὶ ὡς ὄφις εἰς γῆν εἰλήσθη, καὶ γῆν ἐσθίειν κατεδικάσθη, τὰ γήϊνα φρονήματα, τότε τὴν Ἐκκλησίαν πάλιν διώκειν ἤρξατο, τὴν τὸν ἄρσενα τοῦ Θεοῦ λαὸν, τὸν ταῖς ἡδοναῖς ἀθήλυντον, τεκοῦσαν καὶ τίκτουσαν· ἀλλ' ἐξ ἀρχῆς αὐτὴ ἡ περὶ Θεὸν καὶ τὸν πλησίον ἀγάπη, καὶ ἡ ἀντιληπτικὴ τοῦ σταυρωθέντος δι' ἡμᾶς πρόνοια δίδοται, καὶ αἱ δύο διαθῆκαι· δι' ὧν πάντων αἱ πτέρυγες τοῦ ἀετοῦ σημαίνονται· ὅπως ταύταις μετεωροπορούσα, εἰς τὴν ἔρημον πάσης διΰγρου ἡδονῆς πολιτείαν τρέφηται· ἀεὶ μὲν, ἐν δὲ τῇ τοῦ Ἀντιχρίστου παρουσίᾳ, ὃν κρατεῖν τὰ ῥηθέντα χρόνον τῶν ϡ ἐτῶν, πολλαχοῦ γέγραπται· ἐν ᾧ καὶ οἱ κατὰ τὴν αἰσθητὴν ἔρημον ὄρεσι καὶ σπηλαίοις κρυπτόμενοι, τοῦτον ἔσθ' ὅτε φεύξονται, τὸν δράκοντα καὶ ὄφιν διὰ τὸ σκολιὸν ὀνομαζόμενον.

15 Καὶ ἔβαλεν ὁ ὄφις.

Φευγούσης, φησὶ, τῆς Ἐκκλησίας εἰς τόπους ἀβάτους τὴν τοῦ πλάνου ἔφοδον, ἐκ τοῦ στόματος αὐτοῦ, δηλαδὴ ἐκ προστάγματος, ὀπίσω αὐτῆς ὕδωρ ποταμηδὸν[g], τουτέστιν ἀθέων ἀνδρῶν ἢ πονηρῶν δαιμόνων ἢ ποικίλων πειρασμῶν πλῆθος, κατ' αὐτῆς

[f] Sic. [g] Cod. ποταμιδὸν.

ἐξελεύσεται, ὅπως αὐτὴν δουλώσηται. ἡ δὲ γῆ φησιν ἐβοήθησεν αὐτῇ· ἢ τῷ τῆς ὁδοῦ μήκει καὶ τῇ τῶν τόπων ἀνυδρίᾳ καὶ ξηρότητι τὰς τῶν πονηρῶν ὁρμὰς ἐπέχουσα, καὶ τὸν ἐκ τῶν πειρασμῶν ποταμὸν τούτου χάριν καταπίνουσα· ἢ τῇ ταπεινοφροσύνῃ, λεγόντων τῶν ἁγίων, ἐγώ εἰμι γῆ καὶ σποδὸς, οὐχ ἁπλῶς, ἀλλ' ἐνδιαθέτως, καὶ πάσας τοῦ διαβόλου τὰς παγίδας καταργούσας[h].

17 Καὶ ὠργίσθη ὁ δράκων.

Τῶν ἐγκρίτων τῆς Ἐκκλησίας διδασκάλων καὶ τῶν τῆς γῆς ὑπερορώντων τῶν πρὸς τὴν ἐν ἐρήμῳ μεθισταμένων ταλαιπωρίαν, εἰ τούτων διαμάρτοι ὁ Ἀντίχριστος, κατὰ τῶν ἐν κόσμῳ στρατευομένων τῷ Χριστῷ ἐξοίσει, φησὶ, τὸν πόλεμον, ὅπως ταῖς τοῦ βίου πραγματείαις εὐαλώτους τούτους εὑρὼν τροπώσηται. πολλοὶ δὲ αὐτὸν καὶ ἐκ τούτων διὰ τὸ γνησίως τὸν Χριστὸν ἠγαπηκέναι νικήσουσιν.

18 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμβον.

Τινὲς μὲν τὸ θηρίον τοῦτο δευτερεύουσαν τινὰ δύναμιν τοῦ Σατανᾶ τῶν λοιπῶν δαιμόνων ἄρχουσαν ἐξειλήφασιν. τὸ δὲ μετ' αὐτὸ ἐκ τῆς γῆς ἀνιὸν, τὸν Ἀντίχριστον· παρ' ἄλλοις δὲ εἰς τὸν Ἀντίχριστον τὸ παρὸν θηρίον ἐξείληπται, ἐκ τῆς φιλοταράχου τοῦ βίου τούτου θαλάσσης καὶ πολυκύμονος ἐξερχόμενον. τὰ δὲ δέκα κέρατα σὺν τοῖς διαδήμασι καὶ ἑπτὰ κεφαλαῖς τήν τε τοῦ διαβόλου πρὸς αὐτὸν ἕνωσιν αἰνίττονται, ταῦτα γὰρ αὐτῷ ἀνωτέρῳ ἑρμηνεύεται, τήν τε εἰς δέκα τῆς γῆς βασιλείας ἐπ' ἐσχάτων διαίρεσιν, καὶ τὴν τῷ κόσμῳ τούτῳ σύστοιχον ἑβδοματικὴν βασιλείαν· ἑπτὰ μὲν ἡμέραις ἐκμετρουμένην, ἑπτὰ δὲ διαδοχαῖς διαιρουμένην· καθ' ἣν ἄρχων τοῦ αἰῶνος τούτου κέκληται ὁ ἐνεργῶν ἐν αὐτῷ Σατανᾶς. ὀνόματα δὲ βλασφημίας ἐν ταῖς κεφαλαῖς αὐτοῦ, τουτέστιν τοῖς ὑπασπισταῖς αὐτοῦ· οὗτοι γὰρ ἐξ ἀρχῆς τὸν Χριστὸν. βλασφημεῖν οὐ παύονται.

2 Καὶ τὸ θηρίον ὃ εἶδον.

Διὰ μὲν τῆς παρδάλεως ἡ Ἑλλήνων, διὰ δὲ τῆς ἄρκου ἡ Περσῶν, διὰ δὲ τοῦ λέοντος ἡ Βαβυλωνίων βασιλεία σημαίνεται, ὧν κρατήσει ὁ Ἀντίχριστος ὡς Ῥωμαίων βασιλεύσας ἐρχόμενος, καὶ

[h] Sic.

τὴν τούτου ἀρχὴν καθαιρήσων, ὅταν τοὺς ὀστρακίνους δακτύλους ποδῶν κατὰ τὸν Δανιὴλ θεάσηται· δι᾽ ὧν εἰς ι̅ δηλοῦται ἀσθενὴς καὶ εὔθρυπτος τῆς βασιλείας διαίρεσις.

Καὶ ἔδωκεν αὐτῷ ὁ δράκων.

Δώσει, φησὶν, ὁ Σατανᾶς ὁ νοητὸς δράκων τῷ Ἀντιχρίστῳ πᾶσαν ἐξουσίαν ἐν σημείοις καὶ τέρασι ψεύδους πρὸς τὴν τῶν ἀστηρίκτων ἀπώλειαν.

3 Καὶ μίαν ἐκ τῶν κεφαλῶν.

Κεφαλὴν ὡς ἐσφαγμένην, εἴτέ τινα τῶν ἀρχόντων αὐτοῦ τεθανατῶσθαι, καὶ ὑπ᾽ αὐτοῦ διὰ γοητείας ἀπατηλῶς ἀνίστασθαι φαινόμενον, ἢ τὴν Ῥωμαίων βασιλείαν τῇ διαιρέσει σφαγὴν τρόπον τινὰ ὑπομένουσαν, τῇ μοναρχίᾳ τεθεραπεῦσθαι δοκοῦσαν, κατὰ τὴν εἰκόνα Αὐγούστου Καίσαρος.

Καὶ ἐθαύμασεν ὅλη ἡ γῆ.

Τὸ εἰς τὸν Ἀντίχριστον θαῦμα καὶ εἰς τὸν ἐνεργοῦντα ἐν αὐτῷ διάβολον τὴν ἀναφορὰν ἕξει· δι᾽ ἐκείνου γὰρ ὁ Δράκων προσκυνηθήσεται, δι᾽ οὗ καὶ νεκροὺς ἐγείρων, καὶ σημεῖα ἐπιτελῶν τοῖς πεπηρωμένοις τὰ τῆς διανοίας ὄμματα φανήσεται.

5 Καὶ ἐδόθη αὐτῷ στόμα.

Κατὰ θείαν συγχώρησιν φησὶ, τὰ τρία ἥμισυ ἔτη τὴν ἐξουσίαν ἕξει τῆς τε πρὸς Θεὸν βλασφημίας, τῆς τε τῶν ἁγίων κακώσεως. σκηνὴ δὲ τοῦ Θεοῦ καὶ ἡ ἐν σαρκὶ τοῦ λόγου σκήνωσις, ἤγουν ἡ ἐνανθρώπησις, καὶ ἡ ἐν τοῖς ἁγίοις ἀνάπαυσις, καθ᾽ ὧν πάντων εἰς βλασφημίαν τραπήσεται, προσέτι δὲ καὶ τῶν ἁγίων Ἀγγέλων.

Καὶ ἐδόθη αὐτῷ ἐξουσία.

Κατὰ πάσης μὲν φυλῆς, φησὶν, καὶ γλώσσης τῇ πονηρᾷ ἐξουσίᾳ χρήσεται, ἐκείνων δὲ κρατήσει, ὧν τὰ ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς οὐ γέγραπται.

9 Εἴτις ἔχει οὖς.

Ἄξια φησὶ ἕκαστος τῶν πεπραγμένων δέξηται τὰ ἐπίχειρα. οἱ πρὸς τὸ κακοῦν τοὺς πλησίον ἕτοιμοι ὑπὸ τοῦ διαβόλου αἰχμαλωτισθήσονται καὶ τῇ Σατανικῇ μαχαίρᾳ τὸν ψυχικὸν ὑποστήσονται θάνατον, ᾧ δι᾽ ἔργων ἡττήθησαν, τούτῳ δουλούμενοι· οἱ δὲ πίστιν

εἰλικρινῆ καὶ ὑπομονὴν ἀμετάθετον ἐν τοῖς πειρασμοῖς ἔχοντες ἀνεξάλειπτοι τῆς βίβλου τῆς ζωῆς ἔσονται.

11 Καὶ εἶδον ἄλλο θηρίον.

Τὸ θηρίον τοῦτο, οἱ μὲν τὸν Ἀντίχριστον φασὶν, ἑτέροις δὲ ἔδοξε τὰ δύο αὐτοῦ κέρατα τὸν Ἀντίχριστον καὶ τὸν ψευδοπροφήτην αἰνίττεσθαι. ὁμολογουμένου δὲ καὶ τοῦ ψευδοπροφήτου ἐν ἰδίῳ προσώπῳ ἔρχεσθαι, οὐκ ἄτοπον τὸν μὲν δράκοντα εἰς τὸν Σατανᾶν νοεῖσθαι, τὸ δὲ θηρίον τὸ ἐκ τῆς θαλάσσης ἀναβαῖνον, εἰς τὸν Ἀντίχριστον· τὸ δὲ παρὸν ἐκ τῆς γῆς μὲν ἀνερχόμενον, δηλαδὴ τῆς γηΐνης καὶ χαμαιπετοῦς πολιτείας, ἔχων δὲ δέκα κέρατα ὅμοια ἀρνίῳ, διὰ τὸν ἐν δορᾷ προβάτου λύκον ἔνδον τὸ φονικὸν περικαλύπτειν, καὶ διὰ τὴν ἐν προοιμίοις αὐτοῦ τῆς εὐσεβείας μόρφωσιν εἰς τὸν ψευδοπροφήτην. ἐλάλει δέ, φησιν, ὡς δράκων. τὰ γὰρ τοῦ ἀρχεκάκου διαβόλου πράξει τε καὶ φθέγξεται· ἐξουσία γὰρ αὐτῷ σημείων καὶ τεράτων δίδοται, ἵνα ποιῇ ἔμπροσθεν τοῦ Ἀντιχρίστου, προοδοποιῶν αὐτῷ τὴν τῆς ἀπάτης ὁδόν.

12 Καὶ ποιήσει τὴν γῆν.

Πάντα πράξει διὰ γοητείας, φησὶν, ὁ τοῦ ψευδοχρίστου πρόδρομος πρὸς ἀπάτην τῶν ἀνθρώπων, πρὸς τὸ, Θεὸν νενομίσθαι τὸν Ἀντίχριστον, ὡς ὑπὸ τοιούτων τεραστίων ἐργάτου μαρτυρούμενον, κατὰ μίμησιν Ἰωάννου τοῦ Βαπτίστου τοῦ τῷ Σωτῆρι τοὺς πειθομένους προσάγοντος. τὴν δὲ τῆς πληγῆς τοῦ θηρίου θεραπείαν, εἰρῆσθαι φασὶ τὴν τῆς διῃρημένης βασιλείας δοκοῦσαν πρὸς ὀλίγον γίνεσθαι ἕνωσιν· ἢ τῆς φθαρείσης τοῦ Σατανᾶ τυραννίδος πρός μικρὰν διὰ τοῦ Ἀντιχρίστου ἀνόρθωσιν, ἢ τινὸς τῶν προσοικειωμένων αὐτῷ τεθνεῶτος ἀπατηλὴν ἀνάστασιν. οὐ θαυμαστὸν δὲ ἐν ὀφθαλμοῖς τῶν ἀπατωμένων πῦρ ὁρᾶσθαι οὐρανόθεν κατερχόμενον, ὅπου γε καὶ ἐν τῇ ἱστορίᾳ τοῦ Ἰὼβ τοῦτο κατεληλυθὸς, κατὰ θείαν συγχώρησιν καὶ Σατανικὴν ἐνάργειαν, καὶ τὰ κτήνη αὐτοῦ καταναλῶσαν μεμαθήκαμεν.

14 Καὶ πλανᾷ τοὺς κατοικοῦντας.

Πλανᾷ φησι τοὺς ἐν τῇ γῇ τὴν διηνεκῆ κατοίκησιν τῆς καρδίας ἔχοντας· τοὺς γὰρ ἐν οὐρανῷ κεκτημένους τὸ πολίτευμα, οὐκ

ἀπατᾷ ἡ αἴσθησις, ἠσφαλισμένους ἀκριβῶς τῇ προαναφωνήσει τῆς αὐτοῦ ἐλεύσεως.

14 *Λέγων τοῖς κατοικοῦσιν.*

Ἱστόρηται πολλάκις γοητείαις λαλῆσαι δι᾽ εἰκόνων καὶ ξοάνων καὶ δένδρων καὶ ὑδάτων, διά τε Ἀπολλωνίου, διά τε ἑτέρων, δαίμονας· οὕτω τοίνυν καὶ τὸν ὑπασπιστὴν τοῦ Ἀντιχρίστου οὐδὲν ἀπεικὸς διὰ δαιμόνων ἐνεργούντων ποιῆσαι εἰκόνα τῷ θηρίῳ, καὶ δεῖξαι ταύτην λαλοῦσαν, παρασκευάσαι τε ἀναιρεῖσθαι τοὺς ταύτην μὴ προσκυνοῦντας.

16 *Ἵνα δῶσιν αὐτοῖς χάραγμα.*

Καὶ τὸ χάραγμα δὲ τοῦ ὀλεθρίου ὀνόματος τοῦ ἀποστάτου, πᾶσιν ἐπιθεῖναι σπουδάσει ὁ ψευδοπροφήτης· ἐν μὲν ταῖς δεξιαῖς, ἵνα τῶν ἀγαθῶν ἔργων ἐκκόψῃ τὴν ἐνέργειαν, ἐν δὲ τοῖς μετώποις, ἵνα ἐν τῇ πλάνῃ καὶ τῷ σκότει διδάξῃ τοὺς ἀπατωμένους παρρησιάζεσθαι. καὶ τὴν ψῆφον δὲ τοῦ θηρίου πλατῦναι πανταχοῦ ἐπιτηδεύσει, ἔν τε ὠναῖς καὶ πράσεσιν, ἵνα τοῖς τοῦτο μὴ λαμβάνουσιν, ἐκ τῆς τῶν ἀναγκαίων ἐνδείας, βίαιος ἐπαχθῇ θάνατος.

18 *Ὧδε ἡ σοφία ἐστίν.*

Τὴν μὲν ἀκρίβειαν τῆς ψήφου ὡς καὶ τὰ λοιπὰ τὰ περὶ αὐτοῦ γεγραμμένα, ὁ χρόνος ἀποκαλύψει καὶ ἡ πεῖρα τοῖς νήφουσιν. εἰ γὰρ ἔδει, καθώς φασί τινες, σαφῶς γνωσθῆναι τὸ τοιοῦτον ὄνομα, ὁ τεθεαμένος ἂν αὐτὸ ἀπεκάλυψεν· ἀλλ᾽ οὐκ εὐδόκησεν ἡ θεία χάρις ἐν θείᾳ βίβλῳ τὸ τοῦ λυμεῶνος ὄνομα ταγῆναι· ὡς ἐν γυμνασίας δὲ λόγῳ πολλά ἐστιν εὑρεῖν ὀνόματα, τὸν ἀριθμὸν τοῦτον περιέχοντα, προσηγορικά τε καὶ κύρια. κύρια μὲν, οἷον Λαμπέτις, Τειτὰν διὰ τῆς διφθόγγου ἐκ τοῦ τενῶ μέλλοντος, ὁμοίως Λατεῖνος, Βενέδικτος, ὅπερ ἑρμηνεύεται εὐλογημένος ἢ εὐλογητὸς, κατὰ μίμησιν τυχὸν τοῦ ἀληθῶς εὐλογημένου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· προσηγορικὰ δὲ, κακὸς ὁδηγὸς, ἀληθὴς βλαβερὸς, παλαιβάσκανος, οἷς ἐκ τῶν ἐναντιουμένων αὐτοῦ τῇ πλάνῃ ἐπικληθήσεται, τὴν οἰκείαν δόξαν ἐν τῇ αἰσχύνῃ τιθέμενος.

1 *Καὶ εἶδον· καὶ ἰδοὺ ἀρνίον.*

Ἀρνίον ὁ Χριστὸς ἀναμφιβόλως ὡμολόγηται, ἐπὶ τὸ ὄρος

δὲ Σιὼν οὐ τῆς παλαιᾶς ἑστὼς, ἀλλὰ τῆς νέας τῆς τοῦ ζῶντος Θεοῦ πόλεως.

1 Χιλιάδας ἔχουσαι τὸ ὄνομα.

Αἱ χιλιάδες αὗται, ἢ τὸ πολύφορον τοῦ Ἀποστολικοῦ σπόρου δηλοῦσι, τὴν ἐν ἑκάστῳ χάριτος δωδεκάκις χιλιοστὸν ἀπεργαζομένης τέλειον τὸν καρπὸν τῆς τῶν σωζομένων πίστεως, ἢ τοὺς ἀπὸ τῆς νέας διαθήκης παρθένους, κατά τε τὸν ἔσω κατά τε τὸν ἔξω ἄνθρωπον σημαίνουσιν. ἐν γὰρ τοῖς παλαιοῖς σπάνιον τὸ τῆς παρθενίας κατόρθωμα παρὰ σφόδρα ὀλίγοις εὑρισκόμενον, ὅθεν ἑτέρας ταύτας παρὰ τὰς πρότερον εἰρημένας οἰητέον τὰς ὀνομαστὶ ἐκ τῶν φυλῶν τοῦ Ἰσραὴλ συναγομένας, αἷς παρθενίαν οὐ προσμεμαρτύρηκεν. τούτων δὲ πάντων τὰ μέτωπα τῷ φωτὶ τοῦ θείου προσώπου σφραγίζονται, δι' οὗ τοῖς ὀλοθρευταῖς Ἀγγέλοις αἰδέσιμοι φαίνονται.

2 Καὶ ἤκουσα φωνήν.

Ἡ φωνὴ τῶν πολλῶν ὑδάτων καὶ τῆς βροντῆς καὶ τῶν κιθαριζόντων, τὸ διαπρύσιον δηλοῖ τῆς τῶν ἁγίων ὑμνῳδίας καὶ τῆς ἐμμελοῦς αὐτῶν καὶ εὐήχου καὶ συμφώνου ᾠδῆς, τῆς πᾶσαν περιηχούσης τὴν τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς πρωτοτόκων ἐκκλησίαν καὶ πανήγυριν· καθάπερ ἐν συμφωνίᾳ χορδῶν, τῇ συμπνοίᾳ τῶν ἁγίων ἐξηχουμένῃ, ἣν τῇ νεκρώσει τῶν τοῦ σώματος ἐπιθυμιῶν κατώρθωσαν. ταύτην δέ, φησιν, ἕτερος μαθεῖν οὐ δύναται, πλὴν αὐτῶν, διότι τῷ μέτρῳ τῆς πολιτείας, καὶ ἡ γνῶσις συμπαρεκτανθήσεται· καθάπερ καὶ τοῖς ἀνθρώποις ἐν οἰκέταις, ἀναλόγως τῇ εὐνοίᾳ ἡ τῶν δεσποτικῶν μυστηρίων φανέρωσις δίδοται.

4 Οὗτοι εἰσὶν οἱ μετὰ γυναικῶν.

Τούτους ἡγούμεθα μετὰ τοὺς ὠνομασμένους κδ̅ πρεσβυτέρους, τῶν λοιπῶν εἶναι προὔχοντας, διά τε τὴν παρθενίαν, καὶ τὸ ἐν γλώσσῃ τε καὶ χερσὶν ἄμωμον, μετὰ τὴν αὐτοῦ ἐπιδημίαν κτωμένους τὴν ἐν ἀρεταῖς λαμπρότητα· δι' ἧς τὴν καινὴν ᾠδὴν διδάσκονται, τὴν τοῖς πολλοῖς οὐ μόνον ἐν τῷ παρόντι βίῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἄγνωστον. εἰ γὰρ καὶ τὸ τέλειον τῆς γνώσεως ἐλεύσεται τότε, καταργουμένης τῆς μερικῆς γνώσεως κατὰ τὸν Ἀπόστολον, ἀλλ' ἀναλόγως τῇ ἐνταῦθα πολιτείᾳ τῶν ἁγίων, ἡ

τῶν θείων μυστηρίων ἔσται φανέρωσις, "πολλαὶ γὰρ μοναὶ παρὰ "τῷ Πατρὶ," ὥσπερ καὶ διαφοραὶ κολάσεων.

6 Καὶ εἶδον Ἄγγελον ἄλλον.

Τὸ μεσουράνημα τὸ ὑψηλὸν δηλοῖ, καὶ τὸ οὐράνιον εἶναι τὸν φανέντα Ἄγγελον, ἄνωθεν πεμφθέντα πρὸς τὸ χαμόθεν τοὺς ἀνθρώπους διὰ τῆς μεσότητος ἀναγαγεῖν εἰς οὐρανοὺς τῇ οἰκείᾳ μεσιτείᾳ, ὥστε ἑνωθῆναι τὸ τῆς Ἐκκλησίας σῶμα, Χριστῷ τῇ κεφαλῇ ἡμῶν· τὸ δὲ αἰώνιον Εὐαγγέλιον, τὸ ἐξ αἰῶνος τοῦτο παρὰ Θεῷ προωρίσθαι. φησὶ δὲ τοῦτο, τὸν μὲν Θεὸν φοβεῖσθαι, μὴ δειλιᾶν δὲ τὸν Ἀντίχριστον, ἀποκτεῖναι τὴν ψυχὴν σὺν τῷ σώματι μὴ δυνάμενον, ἀλλ' εὐθύμως αὐτῷ ἀντιτάξασθαι πρὸς ὀλίγον κρατοῦντι, διὰ τὴν ἐγγύτητα τῆς κρίσεως, καὶ τῆς τῶν βεβιωμένων ἀνταποδόσεως.

Καὶ ἄλλος δεύτερος Ἄγγελος.

Βαβυλῶνα καλεῖ φερωνύμως τὴν τοῦ κόσμου σύγχυσιν, καὶ τὴν βιωτικὴν ταραχὴν, ἣν ὅσῳ οὔπω προλέγει παύσεσθαι. οἶνον δὲ θυμοῦ, πορνείας καλεῖ, οὐ μόνον τὴν ἐξ εἰδωλολατρείας βακχείαν καὶ τῶν φρενῶν ἔκστασιν, ἀλλὰ καὶ τὴν ἐκ πάσης ἁμαρτίας μέθην καὶ παραφορὰν, καθ' ἣν πάντες οἱ ἐκ τοῦ Θεοῦ πορνεύοντες ἐξολοθρευθήσονται. πίπτει δὲ ἡ τοιαύτη Βαβυλὼν τέλεον ἐν τῇ ἀναδείξει τῆς ἄνω Ἱερουσαλὴμ ἀνασπωμένη πρόρριζος, τῶν τῆς ἀνομίας ἐργατῶν πεμπομένων εἰς τὸ πῦρ τὸ αἰώνιον.

8 Καὶ ἄλλος Ἄγγελος τρίτος.

Εἴτις, φησὶ, τῷ τεθηριωμένῳ Ἀντιχρίστῳ ὑποκύπτει, καὶ τὴν δυσσεβῆ πολιτείαν μετέρχεται τὴν ἐκεῖνον εἰκονίζουσαν, καὶ ἢ λόγῳ ἢ ἔργοις τοῦτον κηρύσσει Θεόν. τοῦτο γὰρ δηλοῦν δύναται τὸ ἐπὶ τοῦ μετώπου καὶ τῆς χειρὸς διδόμενον χάραγμα, καὶ αὐτὸς κοινωνήσει αὐτῷ τῆς τοῦ τιμωρητικοῦ ποτηρίου πόσεως, ἀκράτου μὲν καὶ ἀμιγοῦς θείων οἰκτιρμῶν, διὰ τὸ τῆς κρίσεως δίκαιον· κεκερασμένον δὲ ἐκ διαφόρων τιμωριῶν διὰ τὸ τῆς αὐθαιρέτου κακίας πολυσχεδὲς καὶ πολύτροπον. καλῶς δὲ οἶνος θυμοῦ καλεῖται ἡ κόλασις, ἐπακολούθημα οὖσα τοῦ τῆς ἀσεβείας οἴνου τοῦ τοὺς πίνοντας μεθύσκοντος· δι' ὧν γάρ τις ἁμαρτάνει, δι' αὐτῶν καὶ κολάζεται.

11 Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ.

Τὸν καπνὸν τοῦτον, ἢ τὸ ἆσθμα δεῖ νοεῖν τὸ ἐκ τῶν κολαζομένων κάτωθεν μετὰ στεναγμῶν ἀναδιδόμενον, ἢ καπνὸν τὸν τοῦ πυρὸς ἐκπεμπόμενον, τοῦ τοὺς ἐμπεπτωκότας κολάζοντος. εἰς αἰῶνα δὲ αἰώνων αὐτὸς ἀναβαίνειν λέγεται, ἵνα μάθωμεν ἀτελεύτητον εἶναι, ὥσπερ τὴν τῶν δικαίων τρυφὴν, οὕτω καὶ τὴν τῶν ἁμαρτωλῶν κόλασιν.

Καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν.

Ἡμέραν καὶ νύκτα, οὐχ ὡς ἡλίῳ μετρουμένην τὴν τοῦ μέλλοντος αἰῶνος, φησὶ, κατάστασιν, ἐν ᾗ μὴ ἔχειν ἀνάπαυσιν τοὺς ἀσεβεῖς προαγορεύει, ἀλλ' ἢ πρὸς τὴν ἐν τῷ παρόντι χρόνῳ συνήθειαν, τῷ νυξὶ καὶ ἡμέραις ἀριθμουμένῳ, ἢ ἡμέρας, τῆς τῶν ἁγίων ζωῆς νοουμένης· νυκτὸς δὲ τῆς τῶν βεβήλων κολάσεως, ἧς τεύξονται οἱ τὰς διαβολικὰς πράξεις, καὶ τὰς κατὰ Χριστοῦ βλασφημίας τοῦ ἀποστάτου θηρὸς, δι' ὧν πράττουσιν εἰκονίζοντες, καὶ τὸ τούτου ὄνομα ταῖς ἑαυτῶν καρδίαις ὡς τίμιον ἐγχαράττοντες.

12 Ὧδε ἡ ὑπομονὴ τοῦ ὀνόματος αὐτοῦ.

Οἱ μὲν ἀσεβεῖς, φησὶ, δι' αἰῶνος ἐν τῷ μέλλοντι βασανισθήσονται, οἱ δὲ ἅγιοι ὧδε τὴν τῆς ὑπομονῆς καρτερίαν ἐπιδείκνυνται, ἐν χρόνῳ ταχέως παραρρέοντι, τὰς θείας ἐντολὰς καὶ τὴν εἰς Χριστὸν πίστιν ἄσυλον φυλάττοντες.

13 Καὶ ἤκουσα φωνῆς.

Ἡ ἐκ τοῦ οὐρανοῦ φωνὴ οὐ πάντας μακαρίζει τοὺς νεκροὺς, ἀλλὰ τοὺς ἐν Κυρίῳ ἀποθνήσκοντας, τοὺς νεκρωθέντας ἐν κόσμῳ, καὶ τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντας, καὶ Χριστῷ συμπάσχοντας. ἐκείνοις γὰρ ὄντως ἡ τοῦ σώματος ἔξοδος, κόπων ἀνάπαυσις· ἡ δὲ τῶν ἔργων ἀκολούθησις, στεφάνων ἀμαράντων καὶ βραβείων δόξης ὑπόθεσις, πολλῷ τῷ μέτρῳ ὑπερνικώντων τῶν ἐπάθλων τοὺς ἄθλους, οὓς πρὸς τὰς ἀοράτους δυνάμεις διήθλησαν.

14 Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη.

Νεφέλην νοοῦμεν ἢ αἰσθητὴν τὴν ὑπολαβοῦσαν τὸν Χριστὸν ἀπὸ τῶν ἀποστολικῶν ὀφθαλμῶν, ἢ ἀγγελικήν τινα δύναμιν διὰ

τὸ καθαρὸν καὶ μετέωρον, δι᾽ ὧν λογιζόμεθα τὸν Χριστὸν εἶναι ἐπὶ τῆς νεφέλης, ὀπτανθέντα υἱῷ ἀνθρώπου ὅμοιον.

Ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον.

Τὸν ἐπὶ τῷ Χριστῷ στέφανον, σημαντικὸν εἶναι τῆς βασιλείας τῶν τε ὁρατῶν καὶ τῶν ἀοράτων δυνάμεων. χρυσὸν δὲ τοῦτον, διὰ τὸ παρ᾽ ἡμῖν τῆς ὕλης ταύτης τίμιον. τὸ δὲ δρέπανον συντελείας δηλωτικόν. θερισμὸν γὰρ τὴν τοῦ κόσμου συντέλειαν ἐκάλεσεν ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις.

15 Καὶ ἄλλος Ἄγγελος ἐξῆλθεν.

Ἡ τοῦ Ἀγγέλου κραυγὴ περιφραστικῶς δηλοῖ τὴν ἱκεσίαν πασῶν τῶν ἐπουρανίων δυνάμεων, ἐφιεμένων τὴν μὲν τῶν δικαίων τιμὴν, τὴν δὲ τῶν ἁμαρτωλῶν ἐκκοπὴν τῆς ἁμαρτίας θεάσασθαι· ἐφ᾽ ᾧ παύσασθαι τὰ κινούμενα καὶ παραρρέοντα, φανερωθῆναι δὲ τὰ ἀκίνητα καὶ μένοντα. τὸ γὰρ ξηρανθῆναι τὸν θερισμὸν, δηλοῖ τὸν τῆς συντελείας καιρόν. ὅτε πεπανθεὶς ὡς σῖτος ὥριμος ὁ τῆς εὐσεβείας σπόρος, τῶν οὐρανίων ἀποθηκῶν ἀξιωθήσεται, εἰς λ̄ καὶ ξ̄ καὶ ρ̄ τῷ γεωργῷ τὴν καρποφορίαν παρεχόμενος.

17 Καὶ Ἄγγελος ἄλλος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου.

Δείκνυται ὁ παρὼν Ἄγγελος τῶν λειτουργῶν εἶναι δυνάμεων ἐκ τῶν ἑξῆς. ἐκ μὲν τοῦ ἐν οὐρανοῖς ναοῦ σὺν ὀξεῖ δρεπάνῳ ἐξερχόμενος, τὴν δὲ τῶν λίαν ἀσεβῶν τρυγὴν ποιησάμενος.

18 Καὶ ἄλλος Ἄγγελος ἐξῆλθεν.

Καὶ ἐκ τούτου μανθάνομεν τὰς ἀγγελικὰς δυνάμεις ἐπιτετάχθαι τοῖς κτίσμασιν, τὴν μὲν τοῖς ὕδασι, τὴν δὲ τῷ πυρὶ, τὴν δὲ ἑτέρῳ τινὶ μέρει τῆς κτίσεως. τούτου τοίνυν τὸ τιμωρητικὸν διὰ τὸ ἐπιτετάχθαι τῷ πυρὶ μανθάνομεν τῶν ὑπερτέρων Ἀγγέλων ὄντα ἐγκελεύσασθαι μετὰ κραυγῆς τῷ τὸ δρέπανον ἔχοντι, τρυγῆσαι τοὺς τῆς ἀμπέλου τῆς γῆς βότρυας, δι᾽ ὧν οἱ τὸ ποτήριον τοῦ θυμοῦ Κυρίου πληροῦντες ἀσεβεῖς καὶ παράνομοι χαρακτηρίζονται· θυμὸν δρακόντων καὶ θυμὸν ἀσπίδων, ἀντὶ οἴνου εὐφροσύνης τῷ ἀγαθῷ γεωργῷ καρποφορήσαντες.

19 Εἰς τὴν ληνὸν τὴν μεγάλην.

Ληνὸς τοῦ θυμοῦ, ὁ τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ

ἡτοιμασμένος χῶρος τῆς κολάσεως· μεγάλη δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῷ βασανιζομένων· "πλατεῖα γὰρ ἡ τῆς ἀπωλείας ὁδὸς καὶ "εὐρύχωρος, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς," ὡς ὁ Κύριος φησὶν ἐν τῷ Εὐαγγελίῳ.

20 Καὶ ἐπατήθη ἡ ληνός[n].

Ἐντεῦθεν δείκνυται ὅτι ἔξω τῆς ἐπουρανίου πόλεως Ἱερουσαλὴμ ἐστὶν ὁ τῆς βασάνου τόπος καὶ τῶν ταύτης ἀξίων. τὸ δὲ αἷμα αὐτῶν ἄχρι τῶν χαλινῶν τῶν ἵππων φθάσαι ἀπὸ σταδίων ͵αχ σημαίνειν εἰκὸς, τὸ μήκοθεν μὲν διὰ τῶν τιμωρῶν Ἀγγέλων, οὓς τροπικῶς ἵππους ὀνομάζειν τὴν θείαν γραφὴν σύνηθες· μέχρι δὲ τῶν χαλινῶν αὐτῶν φθάνειν τὰς ἐκείνων οἰμωγάς φησί· χαλινοὺς δὲ αἱ ἅγιαι δυνάμεις, τὸ θεῖον ἔχουσι πρόσταγμα. δυνατὸν δὲ καὶ ἑτέρως νοηθῆναι τὸ εἰρημένον. ὅτι περ ἐπειδὴ ἵπποι θηλυμανεῖς ταῖς ἡδοναῖς ἐγκείμενοι οἱ παράνομοι γεγόνασιν, ἄχρι τῶν χαλινῶν ταῖς τιμωρίαις ληφθήσονται, ὅτι χαλινὸν ἐν ταῖς ἡδοναῖς οὐκ ἔγνωσαν. διὰ δὲ τῶν ͵αχ σταδίων, τὸ μέγα χάσμα τὸ διαχωρίζον τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν διδασκόμεθα· διὰ τὸ ἐν πονηρίᾳ τέλειον καὶ τὸ βδελυκτὸν ἐν ταῖς πράξεσι, τῆς μὲν δεκάδος τῶν ἑκατοντάδων δηλούσης τῆς κακίας τὸ μέγεθος τελέως· τῆς δὲ ἑξάδος τὴν ἐπιμελῆ αὐτῶν τῆς ἁμαρτίας ἐργασίαν, διὰ τὴν παράχρησιν τῆς ἐν ἑξαημέρῳ δημιουργηθείσης κτίσεως, καὶ τὸ ἐν χ̄ ἔτει τοῦ Νῶε κατακλυσθῆναι πᾶσαν τὴν γῆν.

1 Καὶ εἶδον ἄλλο σημεῖον.

Πανταχοῦ τὸν ζ̄ ἀριθμὸν παραλαμβάνει, τὰς ἐν ταῖς ζ ἡμέραις τοῦ παρόντος αἰῶνος τολμωμένας ἀδικίας, ἑπτὰ πληγαῖς καὶ ἑπτὰ Ἀγγέλων σημαίνων ἀναστέλλεσθαι, μεθ' ἃς τὴν μέλλουσαν τῶν ἁγίων διαγωγὴν διὰ τῆς ὑελίνης θαλάσσης αἰνίττεται.

2 Καὶ εἶδον ὡς θάλασσαν.

Τὴν ὑελίνην θάλασσαν σημαίνειν φασὶ τό τε πλῆθος τῶν σωζομένων καὶ τῆς μελλούσης λήξεως τὴν καθαρότητα, τήν τε τῶν ἁγίων λαμπρότητα, ἣν ταῖς τῆς ἀρετῆς μαρμαρυγαῖς ἐκλάμψουσι. τὸ δὲ μεμίχθαι ἐκεῖ πῦρ εἰκὸς, διὰ τὸ τὴν θείαν γνῶσιν καὶ τὴν τοῦ ζωοποιοῦ Πνεύματος χάριν διὰ τοῦ πυρὸς σημαίνεσθαι. ἡ

η
[n] λινός Cod

διὰ τοῦ πυρὸς τὴν πάντων δοκιμασίαν καὶ διάκρισιν αἰνίττεται, ὅπερ τοῖς καθαροῖς καὶ ἀκιβδήλοις οὐ λυμανεῖται, διακοπτόμενον ἀμιγῶς εἰς διαφόρους ἐνεργείας· καὶ τοῦ μὲν καυστικοῦ τοῖς ἁμαρτωλοῖς, τοῦ δὲ φωτιστικοῦ τοῖς δικαίοις κατανεμηθησομένου· τὰς δὲ κιθάρας ἐμφαίνειν τὴν τῶν καλῶν νέκρωσιν, καὶ τὴν ἐμμελῆ ζωὴν ἐν συμφωνίᾳ τῶν ἀρετῶν κρουομένην τοῦ πληκτρωτοῦ θείου Πνεύματος. καὶ ἐκ μὲν τῆς Μωσέως ᾠδῆς τῶν ἐν νόμῳ πρὸ τῆς χάριτος δικαιωθέντων τὴν ὑμνῳδίαν Θεῷ ἀναπεμπομένην μανθάνομεν· ἐκ δὲ τῆς τοῦ ἀρνίου ᾠδῆς τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν ὁσίως πολιτευσαμένων τὴν ἀκατάπαυστον εὐχαριστίαν.

5 Καὶ μετὰ ταῦτα εἶδον.

Σκηνήν φησιν ἐνταῦθα τὴν ἐν οὐρανοῖς, ἧς καθ' ὁμοίωσιν τῷ Μωϋσῇ πῆξαι τὴν κάτω σκηνὴν ὁ Θεὸς ἐχρημάτισεν. ἐκ τούτου δὲ τοῦ ναοῦ ἐξελεύσεσθαι φησὶ τοὺς Ἀγγέλους ἐνδεδυμένους λίνον, ἢ λίθον καθαρὸν, καθά τινα τῶν ἀντιγράφων ἔχουσι, διὰ τὴν τῆς φύσεως αὐτῶν καθαρότητα, καὶ τὴν πρὸς τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν ἐγγύτητα, καὶ τῶν ἀρετῶν τὴν λαμπρότητα· ἐζωσμένους δὲ τὰ στήθη χρυσὸν, διὰ τὸ τῆς φύσεως δυνατόν τε καὶ καθαρὸν καὶ τίμιον, καὶ τὸ ἐν ταῖς διακονίαις ἀνεμπόδιστον.

7 Καὶ ἓν ἐκ τῶν τεσσάρων.

Τὸ ἐκ τῶν τεσσάρων ζώων ἑνὸς λαβεῖν τοὺς Ἀγγέλους τὰς ζ̄ χρυσᾶς φιάλας, τὰς γεμούσας τοῦ θυμοῦ Κυρίου, δηλοῖ τὸ ἐκ τῶν πρώτων ἀεὶ εἰς τὰ δεύτερα τὴν γνῶσιν τῶν πρακτέων ἐν οὐρανοῖς μετοχετεύεσθαι.

8 Καὶ ἐγεμίσθη ὁ ναός.

Διὰ τοῦ καπνοῦ τὸ φοβερὸν καὶ καταπληκτικὸν τῆς θείας ὀργῆς μανθάνομεν, ἧς πληροῦσθαι τὸν ναὸν διδασκόμεθα, καὶ κατὰ τῶν ἀξίων αὐτῆς χωρεῖν ἐν τῷ καιρῷ τῆς κρίσεως, καὶ πρὸ ταύτης δὲ κατὰ τῶν τῷ Ἀντιχρίστῳ πειθομένων καὶ τὰ τῆς ἀποστασίας ἔργα πραττόντων. τοῦτο δὲ τοῖς ἑξῆς δείκνυται.

Καὶ οὐδεὶς ἠδύνατο.

Ἐντεῦθεν στοχαζόμεθα ὅτι ἄχρι τοῦ διασταλῆναι τῶν δικαίων τὴν θείαν κατὰ τῶν ἀσεβῶν ἀγανάκτησιν, μηδαμῶς τοὺς ἁγίους τοὺς ἐν τῇ ἄνω Ἱερουσαλὴμ τυχεῖν λήξεως, καὶ τῆς ἐν τῷ ναῷ τοῦ

Θεοῦ ἱερουργίας καὶ ἀναπαύσεως. τελεσθῆναι γὰρ δεῖ, φησι, τὰς πληγὰς, δι' ἃς τὰ ἐπίχειρα τῆς ἁμαρτίας παρέχεται, καὶ τούτοις τῆς αἱρεθείσης αὐτοῖς τυχεῖν ἀποφάσεως· εἶθ' οὕτω δοθῆναι τοῖς ἁγίοις τὴν τῆς ἄνω μητροπόλεως οἴκησιν. τῶν δὲ πληγῶν ἑκάστην, τοῖς ἐν τῇ συντελείᾳ εὑρισκομένης[o] *προσαρμόζων τίς, οὐκ ἂν τοῦ πρέποντος διαμαρτήσεται· φιλάνθρωπος γὰρ ὢν ὁ Θεὸς πρὸς τὸ σμικρυνθῆναι αὐτὰς ἐν τῷ μέλλοντι ἀτελευτήτους κολάσεις, καὶ ἐν τῇ παρούσῃ ζωῇ τοῖς ἀξίοις ἐπαχθῆναι συγχωρήσει· διά τε Ἐνὼχ καὶ Ἡλιοῦ τῶν προφητῶν τιμωρητικὰς μάστιγας, διά τε τῆς τῶν στοιχείων καινοτομίας, διά τε τῶν ἐν πολέμων συμπιπτόντων ἀλγεινῶν, πρὸς μετρίαν γοῦν τῶν ἡμαρτημένων ἔκτισιν.*

2 Καὶ ἀπῆλθεν ὁ πρῶτος Ἄγγελος.

Ἡ φιάλη ἐνταῦθα καθάπερ τὸ ποτήριον ἐπὶ κολαστικῆς ἐνεργείας ἐκλαμβάνεται, ἧς, φησιν, ὑπὸ τοῦ Ἀγγέλου ἐκχυθείσης, ἕλκος πονηρὸν γενήσεσθαι, τὴν ἐν καρδίᾳ πύου σφύζουσαν ὀδύνην αἰνιττόμενον, τὴν ἐγγινομένην ταῖς τῶν ἀποστατῶν καρδίαις, ὅταν θεηλάτοις πληγαῖς μαστιζόμενοι, μηδεμιᾶς ἐκ τοῦ θεοποιηθέντος παρ' αὐτοῖς Ἀντιχρίστου ἰάσεως τεύξωνται. ἴσως δὲ καὶ αἰσθητῶς τὰ τούτων τραυματίζεσθαι σώματα, πρὸς ἔλεγχον τῆς ἑλκωθείσης αὐτῶν ψυχῆς τοῖς διαβολικοῖς τῆς πλάνης τοῦ ἀπατεῶνος βέλεσιν.

3 Καὶ ὁ δεύτερος Ἄγγελος.

Ἴσως πρὸς ἔλεγχον τῆς τοῦ ψευδοχρίστου ἀσθενείας καὶ τῶν ἀπατωμένων εὐκολίας διὰ τῶν ἁγίων προφητῶν Ἐνὼχ καὶ Ἡλιοῦ μεταβαλεῖν, ὡς νεκροῦ τουτέστιν ἐσφαγμένου, τὴν θάλασσαν, καὶ φθορὰν τῶν ἐν αὐτῇ ἀπεργάσασθαι, καθάπερ πάλαι ἐν Αἰγύπτῳ διὰ Μωσέως πεποίηκεν πρὸς ἔλεγχον τῆς τοῦ Φαραὼ σκληρότητος καὶ τῆς οἰκείας δυνάμεως ἔνδειξιν· ὅπως οἱ τότε ἄνθρωποι φοβηθῶσι τὴν κτίσιν ἀντιτασσομένην αὐτοῖς ἐπὶ τῇ τοῦ λυμεῶνος τιμῇ θεόμενοι. εἰκὸς δὲ ἦν καὶ τὰς ἐν τῇ αὐτοῦ παρουσίᾳ ἐν πολέμοις σφαγὰς διὰ τούτων σημαίνεσθαι, τοῦ Γὼγ καὶ τοῦ Μαγὼγ κατ' ἀλλήλων κινουμένων ἐν τοῖς τέσσαρσι τῆς οἰκουμένης μέρεσι· προσέτι δὲ καὶ τῶν ἀπειθούντων αὐτῷ βασιλέων πανστρατιᾷ

[o] Sic.

κατακοπτομένων, καὶ σφαγῶν κατὰ τόπους γινομένων, ἡ μὲν θάλασσα ταῖς ναυμαχίαις μολυνθήσεται, οἱ δὲ ποταμοὶ τοῖς τῶν ἐκεῖ θνησκόντων αἵμασι κερασθήσονται.

4 Καὶ ὁ τρίτος Ἄγγελος.

Κἀντεῦθεν δείκνυται τοῖς στοιχείοις ἐπιτετάχθαι Ἀγγέλους, ὧν ἕνα ὄντα καὶ τὸν ἐπὶ τῶν ὑδάτων φησὶν ὑμνεῖν τὸν Θεὸν ἐπὶ τῇ κατ᾽ ἀξίαν ἐπενεχθείσῃ καταδίκῃ τοῖς παραβεβηκόσιν· ὅτι τοῖς τὰς χεῖρας μολύνασι τοῖς τῶν ἁγίων αἵμασιν, αἷμα ποτὸν δεδώκασι. δείκνυται δὲ διὰ τούτων ἢ τὸ πολλοὺς ἐν τῷ καιρῷ ἐκείνῳ διὰ τῆς ἐν τῇ πίστει ἐνστάσεως τοῦ προφητικοῦ ἀξιοῦσθαι χαρίσματος, τοὺς καὶ ὑπὸ τῶν τοῦ διαβόλου ὑπασπιστῶν ἀναιρουμένους, ἢ τοὺς τῶν θείων προφητῶν ἀποστρεφομένους τὸ κήρυγμα, καὶ δικαιοῦντας αὐτῶν τὴν ὑπὸ τῶν Ἰουδαίων ἀναίρεσιν, καὶ κοινωνοὺς αὐτῶν τῆς σφαγῆς τῇ προθέσει γινομένους.

5 Καὶ ἤκουσα τοῦ θυσιαστηρίου.

Τὸ θυσιαστήριον ποτὲ μὲν τὸν Χριστὸν δηλοῖ, ὡς ἐν αὐτῷ καὶ δι᾽ αὐτοῦ προσφερομένων τῶν πατρίων λογικῶν ὁλοκαυτώσεων· ποτὲ δὲ τὰς Ἀγγελικὰς δυνάμεις ὡς ἀναγωγικὰς τῶν ἡμετέρων προσευχῶν, καὶ τῶν πνευματικῶν ὁλοκαρπωμάτων. ἐκ τούτου τοίνυν τοῦ λειτουργικοῦ θυσιαστηρίου φησὶ τὴν φωνὴν ἐνεχθῆναι, δικαιοῦσαν τὰ πάντα νοῦν ὑπερβαίνοντα τοῦ Θεοῦ κρίματα.

8 Καὶ ὁ τέταρτος Ἄγγελος.

Ἴσως μὲν καὶ αἰσθητῶς τοῦ ἡλίου φλογμῷ τὸ τηνικαῦτα καυματισθήσονται οἱ ἄνθρωποι, ἵνα πρὸς μετάνοιαν ἔλθωσιν. ἴσως δὲ διὰ τοῦ ἡλίου καὶ τὸν τῆς ἡμέρας δρόμον αἰνίττεται, καὶ τῷ τῶν πειρασμῶν καύσωνι, τοὺς ἀξίους μαστίγων φησὶ καυματίζεσθαι, ἵνα τῇ τῶν ἀλγεινῶν ἐπαγωγῇ τὴν ἁμαρτίαν μισήσωσιν. ἀλλ᾽ οἱ ἄφρονες, ἀντὶ τῆς τῶν οἰκείων πταισμάτων ἐπιγνωμοσύνης, κατὰ Θεοῦ τὴν γλῶσσαν ἀκονήσουσι, τὴν θείαν αἰτιώμενοι ἀγαθότητα.

10 Καὶ ὁ πέμπτος Ἄγγελος.

Τὸ ἐπιχεθῆναι τὴν φιάλην ἐπὶ τὸν τοῦ θηρίου θρόνον σημαίνει τὸ ἐπὶ τὴν βασιλείαν τοῦ Ἀντιχρίστου τὴν τοιαύτην ὀργὴν ἐκχεῖσθαι, καὶ ἐσκοτωμένην δείκνυσθαι, ἅτε ἀφεγγεῖ τῷ τῆς δικαιοσύνης ἡλίῳ τυγχάνουσαν. ἡ δὲ τῶν γλωσσῶν μάσησις, τὴν

ὑπερβολὴν τῆς ὀδύνης δηλοῖ, ᾗ οἱ πλανηθέντες ὑπ' αὐτοῦ κατασχεθήσονται ὑπὸ τῶν θεηλάτων πληγῶν μαστιζόμενοι, ὅπως ἂν γνόντες ὅτι ἀπατηλός ἐστιν ὁ παρ' αὐτῶν ὡς Θεὸς δοξαζόμενος, τῆς πλάνης παύσωνται. οἱ δὲ ἐντεῦθεν οὐ πρὸς μετάνοιαν, ἀλλὰ πρὸς βλασφημίαν τραπήσονται.

12 Τὸν ποταμὸν τὸν μέγαν.

Εἰκὸς τὸν Εὐφράτην ποταμὸν κατὰ θείαν συγχώρησιν ὀλιγούμενον, τοῖς βασιλεῦσι τῶν ἐθνῶν διδόναι πάροδον εἰς τὴν κατ' ἀλλήλων καὶ λοιπῶν ἀνθρώπων ἐξολόθρευσιν· οὓς ἐκ τῶν Σκυθικῶν μερῶν διὰ τῆς τοῦ Μαγὼγ καὶ Γὼγ μνήμης κινεῖσθαι νομίζομεν. εἰκὸς δὲ καὶ τὸν Ἀντίχριστον ἐκ τῶν ἀνατολικῶν μερῶν τῆς Περσικῆς γῆς, ἔνθα ἡ φυλὴ τοῦ Δὰν, ἐκ ῥίζης Ἑβραίων ἐξερχόμενον ἅμα ἑτέροις βασιλεῦσιν ἢ μεγιστᾶσι, βασιλικὸν κληρουμένους ὄνομα, τὸν Εὐφράτην περαιοῦσθαι, ἢ σωματικὸν ἢ ψυχικὸν θάνατον τοῖς ἀνθρώποις ἐπάξοντα, τοῖς μὲν διὰ πίστεως καὶ καρτερίας, τοῖς δὲ δι' ἀνδρίας καὶ ἐκλύσεως.

13 Καὶ εἶδον ἐκ τοῦ στόματος.

Κἀν τούτων δείκνυται ἐν ἰδίῳ προσώπῳ τόν τε διάβολον ὡς δράκοντα, τόν τε Ἀντίχριστον ὡς θηρίον, τόν τε ψευδοπροφήτην ὡς ἕτερον παρὰ τούτων μνημονεύεσθαι, ἐξ ὧν φησιν ἐοικότα βατράχοις ἐκπορεύεσθαι Πνεύματα, διὰ τὸ ἰῶδες αὐτῶν καὶ ἀκάθαρτον καὶ βορβορῶδες, καὶ πρὸς τὰς διύγρους ἡδονὰς ἑρπηστικὸν τῶν πονηρῶν δυνάμεων, αἳ τοῖς τοῦ διαβόλου καὶ τοῦ ψευδοχρίστου καὶ τοῦ ψευδοπροφήτου προστάγμασι τοῖς σημαινομένοις διὰ τοῦ στόματος, ἀπατηλὰ σημεῖα καὶ τέρατα τοῖς ἀνθρώποις δείξουσιν, ὡς διὰ τῶν ἑξῆς μαθησόμεθα.

14 Εἰσὶ γὰρ πνεύματα.

Τὰ διὰ τῶν δαιμόνων ἐνεργούμενα φησὶ ψευδῆ σημεῖα, τοὺς πειθομένους αὐτοῖς εἰς πόλεμον κατὰ τῆς μεγάλης καὶ ἐπιφανοῦς τοῦ Θεοῦ ἡμέρας, τοῦ κριτοῦ ζώντων καὶ νεκρῶν, ἐπιστρατεύσουσι, καὶ πάντως οἱ θεομάχοι ἡττώμενοι ἀνόνητα κλαύσονται, τὴν προτέραν πλάνην ὀδυρόμενοι.

15 Ἰδοὺ ἔρχομαι ὡς κλέπτης.

Τὸ γρηγορεῖν καὶ φυλάττειν τὰ ἱμάτια δηλοῖ τὸ ἐπαγρυπνεῖν ταῖς ἀγαθαῖς πράξεσιν· αὗται γὰρ τῶν ἁγίων ἱμάτια, ὧν τὸν ἐστερημένον ἀνάγκη ὡς γυμνὸν καὶ ἀσχημοσύνης πεπληρωμένον αἰσχύνεσθαι. τὸ δὲ Ἀρμαγεδὼν, διακοπὴ ἢ διακοπτομένη ἑρμηνεύεται. ἐκεῖ γὰρ τὰ ἔθνη συναγόμενα ἐκκόπτεσθαι νοεῖν ἀκόλουθον, ὑπὸ τοῦ διαβόλου στρατηγούμενα, τοῦ τοῖς ἀνθρωπίνοις αἵμασι χαίροντος· ἢ ἐξέγερσις δώματος, ἢ ἐξέγερσις εἰς τὰ ἔμπροσθεν.

17 Καὶ ἐξῆλθεν φωνὴ μεγάλη.

Ἡ ἀγγελικὴ φωνὴ οὐρανόθεν γέγονεν, τουτέστι τὸ θεῖον ἐτελέσθη πρόσταγμα. αἱ δὲ ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναὶ τὸ καταπληκτικὸν τῶν γινομένων, καὶ τὴν μέλλουσαν τοῦ Χριστοῦ παρουσίαν σημαίνουσιν. ὁ δὲ σεισμὸς τὴν τῶν ὄντων μεταποίησιν κατὰ τὸν Ἀπόστολον Παῦλον δηλοῖ.

19 Καὶ ἐγένετο ἡ πόλις μεγάλη.

Πόλιν μεγάλην οὐ πλήθει καὶ μεγέθει οἰκοδομημάτων, ἀλλ' ἐν θεοσεβείᾳ ἀρχαιοτάτην καὶ μεγίστην τὴν Ἱερουσαλὴμ ὑπολαμβάνομεν, ἅτε μεγαλυνθεῖσαν τοῖς Χριστοῦ παθήμασι καὶ ἀντιδιαστελλομένην ταῖς ἐθνικαῖς πόλεσιν, ταύτην τὴν εἰς τρία τομὴν φασὶ, τῶν ἐν αὐτῇ Χριστιανῶν, Ἰουδαίων καὶ Σαμαρειτῶν, ἢ τῶν βεβαιοπίστων, καὶ τῶν ῥυπαραῖς πράξεσι μολυνάντων τὸ βάπτισμα, καὶ τῶν μηδ' ὅλως προσδεξαμένων Ἰουδαίων τὸ κήρυγμα. νῦν μὲν γὰρ Ἰουδαῖοι καὶ Σαμαρεῖται, τῷ φόβῳ τῶν εὐσεβῶς βασιλευόντων τὰ οἰκεῖα κρύπτουσι βουλεύματα, καὶ σὺν ἡμῖν δοκοῦσι τάττεσθαι, ὡσαύτως δὲ καὶ οἱ ἀληθῶς Χριστιανοὶ τοῖς τὸ ὄνομα μόνον κεκτημένοις ἀναμὶξ τυγχάνουσιν. ὅταν δὲ ἡ τῶν πειρασμῶν τούτους ἐλέγξῃ πύρωσις, τότε ἡ εἰς τρία τομὴ διὰ τούτων γενήσεται, τῶν τε εὐσεβῶν τῶν τε δυσσεβῶν, τῶν τε ἁμαρτωλῶν, τῶν ὁμοτρόποις προσχωρούντων, καὶ πρὸς οἰκείαν μοῖραν ἀποκρινομένων. αἱ δὲ τῶν ἐθνῶν πόλεις πίπτουσαι δηλοῦσιν, ἢ τὴν αὐτῶν κατάπτωσιν, ἢ τῆς ἐθνικῆς πολιτείας τὴν ἔκλειψιν, τῇ παρουσίᾳ τῆς θείας βασιλείας.

Καὶ Βαβυλὼν ἡ μεγάλη.

Καὶ ἡ συγκεχυμένη φησὶ τοῖς εἰκαίοις τοῦ βίου περισπασμοῖς, καὶ μεγαλυνθεῖσα τῷ ἐξ ἀδικιῶν πλούτῳ πολυάνθρωπος πληθὺς, τὸ ποτήριον τῆς ὀργῆς τοῦ Θεοῦ πίεται ὡς ἐκ λήθης διὰ μακροθυμίας εἰς μνήμην ἐλθόντος τῆς τοῦ πατηθέντος δικαίου, καὶ τῆς ἐν λόγοις καὶ ἔργοις δυσσεβείας, ἐκδικήσεως.

20 Καὶ πᾶσα νῆσος ἔφυγεν.

Νήσους τὰς Ἐκκλησίας, καὶ ὄρη τοὺς ἐν αὐταῖς προὔχοντας νοεῖν ἀκόλουθον. φεύγειν δὲ τούτους ἐν τῷ καιρῷ τῆς τῶν προρρηθέντων ἐπαγωγῆς κατὰ τὸν τοῦ Κυρίου λόγον ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς, καὶ ἀπὸ δυσμῶν εἰς ἀνατολάς· ἔσται γὰρ θλίψις, οἵα οὐ γέγονεν ἀπὸ καταβολῆς κόσμου, οὐδ᾽ οὐ μὴ γένηται, τῶν μὲν δι᾽ ἁμαρτίας κολαζομένων, τῶν δὲ δι᾽ ἀρετὴν προσδοκιμὴν ὑπομενόντων τὰ δυσχερῆ.

21 Καὶ χάλαζα μεγάλη.

Τὴν χάλαζαν ἅτε οὐρανόθεν κατερχομένην, τὴν θεήλατον ὀργὴν ἄνωθεν ἐρχομένην νενοήκαμεν· τὸ δὲ ταλαντιαῖον αὐτῆς, τὸ τέλειον, διὰ τὴν ἐν ταῖς ἁμαρτίαις ἀκρότητα καὶ βαρύτητα, ἧς χαρακτηριστικὸν τὸ τάλαντον. τὸ δὲ μὴ πρὸς μετάνοιαν, ἀλλὰ βλασφημίαν χωρῆσαι τοὺς ὑπ᾽ αὐτῆς πληττομένους, τὸ σκληρὸν καὶ ἀνένδοτον τῆς αὐτῶν καρδίας παρίστησιν.

1 Τὸ κρίμα τῆς πόρνης.

Ταύτην τὴν πόρνην τινὲς εἰς τὴν παλαιὰν Ῥώμην ὡς ἐπάνω ζ̄ ὀρέων κειμένην ἐξέλαβον, τὰς δὲ ζ̄ κεφαλὰς τοῦ αὐτὴν βαστάζοντος θηρίου· ζ̄ βασιλεῖς τοὺς ἀσεβεστέρους, ἀπὸ Δομετιανοῦ μέχρι Διοκλητιανοῦ τὴν Ἐκκλησίαν διώξαντας. ἄλλοι δὲ ταύτην εἶναι τὴν καθ᾽ ὅλου ἐπίγειον βασιλείαν φασίν· ὡς ἐν ἑνὶ σώματι, ἢ τὴν μέχρι τῆς παρουσίας τοῦ Ἀντιχρίστου βασιλευομένην πόλιν. ἡ γὰρ παλαιὰ Ῥώμη πρὸ πολλοῦ τὸ τῆς ἀσεβείας[1] κράτος ἀπέβαλεν. εἰ μὴ ὑποθώμεθα αὐτῇ τὸ ἀρχαῖον πάλιν ἀναστρέφειν ἀξίωμα. εἰ δὲ μὴ τοῦτο, ἔσται ἡ κρατοῦσα σήμερον. καὶ ἑτέρως δὲ νοητέον τῆς προρρηθείσης πόρνης τὴν ἐρήμωσιν, ἣν ὡς γυναῖκα ἑωρακέναι φησὶ

[1] ἴσως, εὐσεβείας in marg.

τὸν Ἀπόστολον, διὰ τὸ τεθεμελιωμένον πρὸς ἁμαρτίαν καὶ ἄνανδρον. καθημένην δὲ ἐπὶ θηρίον κόκκινον, διὰ τὸ, τῷ διαβόλῳ τῷ φονίῳ καὶ αἱμοχαρεῖ ταύτῃ διὰ πονηρῶν πράξεων ἐπαναπαύεσθαι· διὸ συνεργὸς ἐν ταῖς κατὰ Θεοῦ βλασφημίαις τῷ ἀποστάτῃ γίνεται ὠμότητος καὶ ἀγριότητος καὶ φονικῆς γνώμης· τό τε θηρίον, τό τε κόκκινον χρῶμα γνώρισμα. περὶ δὲ τῶν ζ̄ κεφαλῶν καὶ τῶν ῑ κεράτων, ἐν τοῖς ἑξῆς ἐκ τοῦ θείου Ἀγγέλου μαθησόμεθα.

4 Καὶ ἡ γυνὴ ἦν περιβεβλημένη.

Κόκκινον καὶ πορφύραν περιβέβληται, ὡς τῆς ἡγεμονίας τῆς κατὰ πάντων σύμβολα ὄντα. διὸ λίθῳ τιμίῳ καὶ μαργαρίταις κεκόσμηται. ἢ διὰ μὲν τοῦ ποτηρίου τὸ πρὸς πόσιν ἡδὺ τῶν πονηρῶν πράξεων, διὰ δὲ τοῦ χρυσοῦ τὸ τίμιον ἐνδείκνυται· εἰς ἔνδειξιν ὅτι οὐ διακόρως ἀλλ' ἐν δίψει τῆς οἰκείας ἀπωλείας τὴν κακίαν μετέρχεται. διὸ ἑαυτῇ τὰ βδελύγματα, τουτέστι τὰ βδελυκτὰ τῷ Θεῷ ἐπιτηδεύματα ἐπλήθυνεν· ἧς ἡ φιλάμαρτος πληθὺς ποτίζεται, ὡς ἡδὺ πόμα σπῶσα τὴν βδελυκτὴν τῆς ἁμαρτίας μέθην, καὶ τῆς ἐκ Θεοῦ πορνείας τὴν βεβήλωσιν. ἡ δὲ τοῦ μετώπου γραφὴ τὸ ἀπηρυθριασμένον[m] τῆς τῶν πλημμελημάτων δηλοῖ ἐκπληρώσεως, καὶ τῆς καρδιακῆς συγχύσεως. ἡ δὲ μήτηρ, τὸ τῆς ψυχικῆς πορνείας εἶναι ταύτην διδάσκαλον ταῖς ἀρχομέναις πόλεσι τὰς βδελυκτὰς τῷ Θεῷ παρανομίας τίκτουσα.

6 Καὶ εἶδον τὴν γυναῖκα.

Τὸ φερωνύμως ταῖς πράξεσιν ἐπιτίθεσθαι γραφικῶς τὰ ὀνόματα ταῖς πόλεσιν, ἐκ πολλῶν μαθεῖν ἔξεστιν, ὅθεν καὶ ἡ πάλαι Βαβυλὼν οὕτως ὠνόμασται. καὶ ἡ πρεσβυτέρα δὲ Ῥώμη Βαβυλὼν ἐν τῇ ἐπιστολῇ Πέτρου προσηγόρευται. κυριωτέρως δὲ καὶ ἡ παρὰ Πέρσαις τὸ κράτος ἔχουσα, καὶ Βαβυλὼν καὶ πόρνη προσαγορευθήσεται, ἢ πᾶσα πόλις ἑτέρα, φόνοις καὶ αἵμασι χαίρουσα. τούτων τοίνυν μίαν ὁρᾷν τὸν Εὐαγγελιστὴν φασὶ μεμολυσμένην τοῖς τῶν ἁγίων αἵμασιν, οἷα δεῖ παθεῖν ἐφ' οἷς πλημμέλημα τὴν ἐπὶ συντελείᾳ τοῦ χρόνου τῆς κοσμικῆς βασιλείας τὸ κράτος φέρουσαν, εἴτε τὴν παλαιὰν Ῥώμην, εἴτε τὴν νέαν, εἴτε τὴν ὡς ἐν

[m] ἀναίσχυντον in marg.

ἑνὶ σώματι γενικῶς ἐκληφθεῖσαν βασιλείαν νοῆσαί τις ἕληται. ἐν ἑκάστῃ γὰρ τούτων ἁμαρτήματα διάφορα καὶ αἱμάτων ἁγίων ἐκχύσεις, πῇ μὲν πλέον, πῇ δὲ ἔλαττον γεγενῆσθαι μεμαθήκαμεν.

8 Τὸ *θηρίον ὃ εἶδες.*

Θηρίον ὁ διάβολος οὗτος ἀποκτανθεὶς τῷ σταυρῷ τοῦ Χριστοῦ, πάλιν ἐπὶ συντελείᾳ ἀναζῆν λέγεται, ἐνεργῶν ἐν σημείοις καὶ τέρασι πλάνης διὰ τοῦ Ἀντιχρίστου τὴν τοῦ Σωτῆρος ἄρνησιν. διὰ τοῦτο ἦν μὲν καὶ ἴσχυε πρὸ τοῦ σταυροῦ, οὐκ ἔτι δὲ μετὰ τὸ σωτήριον πάθος, ἐκνευρισθεὶς καὶ τῆς ἐξουσίας ἐξωσθεὶς, ἣν κατὰ τῶν ἐθνῶν τῆς εἰδωλολατρείας ἐκέκτητο. παρέσται δὲ ἐν τῇ συντελείᾳ ἀναβαίνων ἐκ τῆς ἀβύσσου, ἢ ὅθεν κατεδικάσθη, ἢ ἐκ τοῦ παρόντος βίου τροπικῶς ἀβύσσου ὠνομασθέντος, διὰ τὸ τῆς ἐμπολιτευομένης ἁμαρτίας βάθος τὸ τοῖς τῶν παθῶν πνεύμασι ῥιπιζόμενον καὶ κυματούμενον. ἔνθεν γὰρ ὁ Ἀντίχριστος τὸν Σατανᾶν ἐν ἑαυτῷ φέρων ἐπ᾽ ὀλέθρῳ τῶν ἀνθρώπων παραγίνεται, ὁδεύσων εἰς ἀπώλειαν ἐν τῷ αἰῶνι τῷ μέλλοντι.

Καὶ *θαυμάσονται οἱ κατοικοῦντες.*

Θαυμάσονται φησὶ τὴν τοῦ θηρίου παρουσίαν διὰ τὰ τῆς ἀπάτης τέρατα, οἱ μὴ γεγραμμένοι ἐν τῇ βίβλῳ τῶν αἰωνίως ζώντων, καὶ οἱ μὴ προστοιχειωθέντες ταῖς τοῦ Χριστοῦ περὶ αὐτοῦ προρρήσεσι, λογιζόμενοι πῶς τὴν ἀρχαίαν δυναστείαν ἀπέλαβεν.

9 Ὧδε *ὁ νοῦς ἔχων σοφίαν.*

Πνευματικῶν ὄντων τῶν εἰρημένων, πνευματικῆς σοφίας χρεία, φησὶ, πρὸς τὸ νοῆσαι τὰ λεγόμενα. ζ̅ οὖν κεφαλὰς καὶ ζ̅ ὄρη νοεῖσθαι φασὶν, ἐν αἷς ἐγκαθῆσθαι τὴν παγκόσμιον Βαβυλῶνα φησὶ, ζ̅ τόπους ἐν ὑπεροχῇ καὶ δυναστείᾳ κοσμικῇ τῶν λοιπῶν ἐξέχοντας, ἐφ᾽ οὓς κατὰ καιροὺς τὴν τοῦ κόσμου βασιλείαν στηριχθῆναι ἔγνωμεν· οἷον, πρῶτον ἐν Νινευῇ, τὴν Ἀσσυρίων ἀρχὴν, δεύτερον ἐν Ἐκβατάνοις τὴν Μήδων δυναστείαν, ἀπὸ Ἀρβάκου κρατήσασαν τῶν Ἀσσυρίων, ὧν τὸν βασιλέα Σαρδανάπαλον καθελεῖν ὁ Ἀρβάκης ἱστόρηται. μετὰ τούτους ἐν Βαβυλῶνι τὸ Χαλδαίων κράτος ὁ Ναβουχοδονόσορ ἐβασίλευσεν. ἔπειτα μετὰ τὴν τούτων κατάλυσιν ἐν Σούσοις τὴν Περσῶν ἡγεμονίαν

ὑπὸ Κύρου κτισθεῖσαν. μετὰ δὲ τὴν ταύτης ὑπὸ Ἀλεξάνδρου καθαίρεσιν, τὴν τῶν Μακεδόνων βασιλείαν. μετὰ δὲ τούτους ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τὴν τῶν Ῥωμαίων ἰσχύν. ἐπὶ μὲν Αὐγούστου Καίσαρος μετὰ τοὺς πρώην βασιλεῖς αὐτῆς καὶ ὑπάτους μοναρχήσασα, ὑπὸ δὲ ἀσεβῶν μέχρι Κωνσταντίνου κατασχεθεῖσα, ὧν μετὰ τὴν κατάλυσιν εἰς τὴν νέαν Ῥώμην τὰ τῶν φιλοχρίστων βασιλέων μετενεχθῆναι βασίλεια. διὰ τοίνυν τῶν ζ̄ κεφαλῶν, ζ̄ πόλεις δηλώσας, διὰ δὲ τῶν ζ̄ ὀρέων, ζ̄ ἀναστήματα τοῦ λοιποῦ τῆς γῆς σώματος ὑπερανέχοντα οὐ τοπικῇ θέσει, ἀλλὰ δόξης ἀξιώματι· καὶ βασιλεῖς ὁμοίως εἶπεν ἢ τοὺς δοξασθέντας τόπους τῇ βασιλικῇ προεδρίᾳ, ἢ τοὺς πρώτως ἐν ἑκάστῃ τῶν προλεχθεισῶν βασιλεύσαντας, ἑκάστου κατὰ τὴν περίφρασιν πᾶσαν τὴν βασιλείαν περιορίζοντος· οἷον Νίνου τῆς Ἀσσυρίων, Ἀρβάκου τῆς Μήδων, Ναβουχοδονόσορ τῆς Βαβυλῶνος, Κύρου τῆς Περσῶν, Ἀλεξάνδρου τῆς Μακεδόνων, Ῥωμύλου τῆς παλαιᾶς Ῥώμης, Κωνσταντίνου τῆς νέας. ὧν τὰς μὲν ε̄ ἤδη πεπτωκέναι φησὶ, τὴν δὲ ἕκτην ἐφ' ἧς ὡράθη ἡ Ἀποκάλυψις, ἑστάναι ταύτην ἐν τῇ παλαιᾷ Ῥώμῃ, τὴν δὲ ζ̄ μήπω ἐληλυθέναι, τὴν ἐν τῇ νέᾳ Ῥώμῃ, τὴν μέχρι τοῦ Ἀποστάτου βασιλεύουσαν, ὀλίγον κρατοῦσαν ὡς πρὸς τὰς πρότερόν φησιν· ὧν αἱ μὲν ἦρξαν ἔτη ὑπὲρ τὰ ͵αφ̄, αἱ δὲ ὑπὲρ τὰ ͵ᾱ. ἄλλως τε δὲ καὶ πᾶς ἀριθμὸς χρονικὸς, ὀλίγος πρὸς τὴν μέλλουσαν τῶν ἁγίων βασιλείαν τὴν ἀτελεύτητον. τὸ δὲ θηρίον, τουτέστιν ὁ Ἀντίχριστος, ὄγδοος μὲν ὡς μετὰ τὰς ζ̄ βασιλείας, ἐκ τῶν ζ̄ δὲ ὡς ἐκ μιᾶς αὐτῶν βλαστάνων. οὐ γὰρ ἐξ ἄλλου ἔθνους, ἀλλὰ Ῥωμαίων βασιλεὺς ἐπὶ ἀπωλείᾳ τῶν αὐτῷ πειθομένων ἐλεύσεται. ἄλλος δὲ αἰῶνας τούτους ἐξέλαβεν, ὧν τοὺς μὲν πέντε παρῳχηκέναι φησὶ, τὸν δὲ ἕκτον ἑστάναι ἐν ᾧ ταῦτα ἑώρα. τὸν δὲ ζ̄ τὸν μετὰ χ̄ ἔτη μήπω ἐληλυθότα, ἐρχόμενον δὲ, ὀλίγον δεῖ μεῖναι φασί.

12 Καὶ τὰ δέκα κέρατα.

Τὰ δέκα κέρατα ταῦτα, καὶ Δανιὴλ ἐθεώρησε τοῦ Ἀντιχρίστου προηγουμένου, ἐξ ὧν τὰ τρία ἐκριζῶν, τοὺς λοιποὺς ἑαυτῷ ὑποτάξει. μίαν δὲ ὥραν, ἢ τὸ βραχὺ τοῦ χρόνου φησὶν, ἢ τὴν μίαν τοῦ ἐνιαυτοῦ ὥραν, ἤγουν τροπὴν, δηλαδὴ τρίμηνον, μεθ' ἣν τῷ Ἀντιχρίστῳ ὡς ὑπερέχοντι ὑποταγήσονται· διὸ οἱ τὴν κακὴν

ὁμονοήσαντες ὁμόνοιαν, τῷ Ἀντιχρίστῳ συντασσόμενοι, τῷ Χριστῷ ἀντιτάξονται. ἀλλὰ νικήσει αὐτοὺς ὁ δι' ἡμᾶς σφαγιασθεὶς ἀμνὸς τοῦ Θεοῦ· οὐ γὰρ ἀφήρηται τὴν κατὰ πάντων βασιλείαν καὶ κυριότητα τῷ γεγενῆσθαι ἄνθρωπος, ἵνα τοὺς ἐκλεκτοὺς κοινωνοὺς τῆς ἑαυτοῦ βασιλείας κτήσηται.

15 Καὶ λέγει μοι· τὰ ὕδατα ἃ εἶδες.

Ὃ λέγει τοῦτό ἐστιν. ὁ διάβολος ἐνεργήσῃ, φησὶν, τοῖς ὑπ' αὐτοῦ ἡνιοχουμένοις ῑ κέρασι, τῷ μὲν Χριστῷ ἀντιτάξασθαι, τὴν δὲ ἐκπορεύσασαν τῶν θείων ἐντολῶν πολυάνθρωπον πόλιν, καὶ ταῖς αὐτοῦ ἡδοναῖς ὑπηρετήσασαν, ἐρημῶσαι, καὶ δίκην αἱμοβόρου θηρίου τῶν αὐτῆς αἱμάτων πλησθῆναι· ὅτε τὴν ταύτης πυρπόλησιν εὐφροσύνης ὑπόθεσιν, καὶ τῶν ἀνθρωπίνων σαρκῶν τὴν κατατομὴν, τροφὴν οἰκείαν ἡγήσεται. καὶ ὁ ἀεὶ τῇ διχονοίᾳ χαίρων, συμφωνίαν τοῖς ἀποστατικοῖς τότε δωρήσεται κέρασιν. τὸ δὲ ἐπαγόμενον τὴν ἑωραμένην γυναῖκα νοεῖσθαι τὴν μεγίστην πόλιν, τὴν ἐπάνω τῶν βασιλέων τῆς γῆς τὸ κράτος ἔχουσαν, ἀναμφίβολον ποιεῖ τὸ τῆς κατὰ τοὺς καιροὺς ἐκείνους κρατούσης δυναστείας τὰ πάθη προφητεύεσθαι.

1 Καὶ μετὰ ταῦτα εἶδον Ἄγγελον.

Κἀντεῦθεν τὸ φωτεινὸν καὶ λαμπρὸν τῶν ἁγίων δείκνυται δυνάμεων, πολλῷ τῷ μέτρῳ τὸ ἀστρῷον καὶ φωτιστικὸν ὑπερνικῶν σέλας.

2 Ἔπεσε Βαβυλὼν ἡ μεγάλη.

Καὶ ἐν Ἡσαΐᾳ περὶ τῆς Χαλδαίων μητροπόλεως Βαβυλῶνος, τῆς ὑπὸ Κύρου καὶ Περσῶν ἁλούσης, συγγενῆ τούτοις προεφητεύετο, ἅτε θηρίων καὶ πνευμάτων ἀκαθάρτων μελλούσης πληροῦσθαι, διὰ τὴν παντελῆ ἐρήμωσιν. ἔθος γὰρ τοῖς τε θηρίοις τοῖς τε πονηροῖς δαίμοσι, τὰς ἐρήμους διώκειν, διά τε τὴν θείαν οἰκονομίαν τῆς αὐτῶν βλάβης τοὺς ἀνθρώπους ἐλευθερούσης, διά τε τὸ οἰκεῖον μισάνθρωπον. πῶς δὲ τοῦ οἴνου τῆς πορνείας τῆς ἰδίας τὰ ἔθνη ἐπότισεν ἡ παροῦσα Βαβυλών; ἢ πάντως καθηγεμὼν πάσης παρανομίας τούτοις γινομένη, καὶ ταῖς ὑπηκόοις πόλεσι διὰ δώρων ἄρχοντας, ἐχθροὺς τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης ἐκπέμπουσα.

Καὶ οἱ βασιλεῖς τῆς γῆς.

Διὰ τὴν ὑπερβολὴν, φησὶ, τοῦ ἐξ ἀδικίας πλούτου ἐν τοῖς ὑπὲρ τὴν χρείαν ἐκτεινομένη καὶ καταστρηνιῶσα τῶν δεομένων, τοῖς τῆς γῆς ἐμπόροις κέρδους ὑπόθεσις γέγονεν.

4 Καὶ ἤκουσα ἄλλην.

Ὅπερ τῷ Λὼτ ἐν Σοδόμοις ἐλέγετο, "σώζων σῶσον τὴν "σεαυτοῦ ψυχήν." καὶ ἐν Ἡσαΐᾳ "Ἐξέλθετε ἀπ' αὐτῆς καὶ "ἀφορίσθητε καὶ ἀκαθάρτου μὴ ἅπτεσθε," κἀνταῦθα φησὶ, φευκτὴ γὰρ ἡ μετὰ τῶν παραπικραινόντων τὸν Θεὸν συνδιάθεσις.

6 Ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτή.

Ταῦτα, ἢ ὡς πρὸς τοὺς ἐν αὐτῇ ἀθώους καὶ πεπονθότας ὑπὸ τῶν ἐν αὐτῇ κρατούντων κάκιστα φησὶν, ὡς αἰτίους διὰ τῆς τῶν ἀλγεινῶν ὑπομονῆς τῆς τῶν ἐπαγαγόντων ταῦτα κολάσεως· ἢ μετάβασιν δηλοῖ ἀπὸ προσώπων εἰς πρόσωπα ἐκ τῶν ἠδικημένων πρὸς δυνάμεις τινὰς ἁγίας τιμωρητικὰς, οἰκειουμένας διὰ φιλοθεΐαν τὰς εἰς τοὺς συνδούλους γενομένας παρ' αὐτῆς κακώσεις. διπλοῦν δὲ τὸ ποτήριον φησὶν, ἢ διὰ τὸ κἀνταῦθα καὶ τῷ μέλλοντι τοὺς λίαν ἁμαρτωλοὺς κολάζεσθαι, ἢ διὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξ ὧν ἡ πρᾶξις κοινὴ καὶ καθ' ὧν ἡ κόλασις, διὰ τὸ τῆς θείας φιλανθρωπίας πέλαγος, διπλᾶ ὀργιζομένης, τὰ καὶ αὐτῆς τῆς ἀκράτου δικαιοσύνης ἀποδέοντα, διὰ τὸ τὴν ἁμαρτίαν ἔχειν, καὶ ἐν τῷ τολμᾶσθαι πολλάκις τὴν ἐκ τοῦ συνειδότος κόλασιν.

8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ.

Μίαν ἡμέραν, ἢ τὸ ἀθρόον καὶ ὀλίγον τοῦ καιροῦ φησιν, ἐν ᾧ ἔκ τε ῥομφαίας καὶ λιμοῦ, πένθος αὐτῇ προσγενήσεσθαι, ἔκ τε λοιμοῦ φθαρήσεσθαι, καὶ πυρὸς κατακαυθήσεσθαι. ἢ καὶ αὐτῆς τῆς ἡμέρας τὸν δρόμον, ἢ ταῦτα αὐτῇ προφητεύει πείσεσθαι. μετὰ γὰρ τὸ ἐγκρατεῖς γενέσθαι τοὺς ἐχθροὺς τῆς πόλεως, ἐξαρκεῖ καὶ μία ἡμέρα πᾶσαν τοῖς ἡττηθεῖσιν ἐπαγαγεῖν κάκωσιν, καὶ πολυειδεῖς θανάτου τρόπους· ἰσχύοντος τοῦ Θεοῦ κολάζειν τοὺς ἀμετανοήτως ἐξαμαρτάνοντας.

9 Καὶ κλαύσουσι καὶ κλαύσονται.

Βασιλεῖς ἐνταῦθα τοὺς ἄρχοντας λέγει, οὓς προσαγορεύει τὴν

ἐκ τῶν θείων ἐντολῶν πορνείαν ἐν αὐτῇ πράξαντας κλαύσεσθαι, τὴν αὐτῆς ὁρῶντας ἢ ἀκούοντας πυρπόλησιν καὶ ἐρήμωσιν, καταπληττομένους τὴν ἀθρόαν μεταβολὴν, πῶς ἐν ἀκαριαίῳ καιρῷ γέγονεν.

11 Καὶ οἱ ἔμποροι τῆς γῆς.

Καὶ τοὺς ἐμπόρους κλαύσεσθαι φησὶν ἐπ' αὐτῇ, διὰ τὸ μηκέτι δύνασθαι ἐν αὐτῇ ἐμπορεύεσθαι. τῶν γὰρ ἐν δυναστείᾳ καὶ τρυφῇ φθειρομένων περιττὴ ἡ τούτων ὠνὴ καὶ κατάχρησις.

12 Καὶ πᾶν ξύλον θύϊνον.

Προυπακουστέον τούτοις τὸ, οὐδεὶς ἀγοράζει· σκοπεῖν δὲ χρὴ τίνι τῶν πόλεων ἄρα ἡ τῶν τοιούτων εἰδῶν ὠνὴ συνήθης, καὶ τίσι μᾶλλον ἀνθρώποις ἡ τῶν περισσῶν κτῆσις περισπούδαστος διὰ τρυφὴν ἄμετρον. διὰ δὲ τοῦ ῥαίδων, τὰ ὀχήματα εἰκὸς σημαίνεσθαι· ῥαιδιοὺμ γὰρ Ῥωμαϊστὶ τὸ ὄχημα, ἡ δὲ τούτου γενικὴ πληθυντικὴ ῥαιδιόρουμ, ἥτις κατὰ συγκοπὴν ῥαίδων γέγονεν.

13 Καὶ σωμάτων ψυχὰς ἀνθρώπων.

Οὔτε ψυχὰς ἀνθρώπων τοῦ λοιποῦ ἐμπορεύσῃ, φησὶ, καταδουλοῦσα τοὺς ἐλευθέρους, οὔτε τῶν πάλαι λιπαρῶν καὶ λαμπρῶν ἕξεις τὴν ἀπόλαυσιν.

15 Οἱ πλουτήσαντες ἀπ' αὐτῆς.

Ὑπ' ὄψιν ἄγει τὰ τῆς Βαβυλῶνος ταύτης πάθη, διὰ τῶν ἐν αὐτῇ θρήνων τὸ τῆς συμφορᾶς διαγράφων μέγεθος, ὅπερ πείσεται ἡ τὸ πρὶν αὐχοῦσα ἐπὶ βασιλικῷ ἀξιώματι.

17 Καὶ πᾶς κυβερνήτης.

Εἰ καὶ θάλασσα τροπικῶς ὁ παρὼν βίος ὡς πολυκύμων εἴρηται, καὶ οἱ ἐν αὐτῇ ἐμπορευόμενοι ἰχθύες ὡς τῷ βιωτικῷ νηχόμενοι κλύδωνι, ἀλλ' εἰκὸς καὶ τὴν ταῦτα πάσχουσαν πόλιν, αἰσθητῇ θαλάσσῃ γειτνιῶσαν, τὰ παρὰ τῶν ἐν αὐτῇ πλεόντων δεχομένῃ, πένθους τούτοις διὰ τῆς οἰκείας ἐρημώσεως ὑπόθεσιν ἔσεσθαι. ταυτὸν δὲ παθεῖν ἐπάναγκες καὶ τοὺς τῆς παγκοσμίου Βαβυλῶνος, ἤγουν συγχύσεως ἐμπόρους, ἐν τῇ συντελείᾳ τῶν ὁρωμένων θρηνεῖν ἀπαραμύθητα, τῶν ἡδέων τοῦ παρόντος βίου ἀβουλήτως χωριζομένους, καὶ ὑπὸ τοῦ συνειδότος ἐπὶ ταῖς οἰκείαις πράξεσι κεντουμένους.

20 Εὐφραίνου ἐπ' αὐτῇ οὐρανέ.

Διὰ τοῦ οὐρανοῦ ἢ τοὺς Ἀγγέλους φησὶν, ἢ τοὺς ἐν αὐτῷ ἔχοντας ἁγίους τὸ πολίτευμα, μεθ' ὧν τοῖς Ἀποστόλοις καὶ προφήταις τὴν εὐφροσύνην ἐγκελεύεται· ὅτι περ' ἐφ' οἷς ὑβρισμένοι παρ' αὐτῆς εἰσὶν, ἐκδεδίκηνται, ἢ ὡς πολλάκις διὰ τῆς παραβάσεως τῶν θείων ἐντολῶν ἀτιμασθέντες, ἅτε ἐμβοήσαντες ἀνόνητα τοῖς τῆς λεχθείσης πόλεως οἰκήτορσιν· ἢ ὡς ἐν τῇ καθ' ὅλης τῆς γῆς συγκεχυμένῃ δυναστείᾳ διὰ τὸν Θεὸν σφαγιασθέντες, ὅτι τοῖς λογίοις αὐτοῦ διηκονήσαντο· ὅθεν οἱ μὲν προφῆται ὑπὸ Ἰουδαίων, οἱ δὲ Ἀπόστολοι ὑπὸ τῶν ἐθνῶν, οἷς μάλιστα τὸν λόγον ἐκήρυξαν, ἀπεκτάνθησαν. οὐχ ὡς χαιρέκακοι δὲ τῇ τῶν παιδειῶν ἐπιφορᾷ χαίρουσιν, ἀλλ' ὡς ἐπιθυμίαν διάπυρον περὶ τὴν διακοπὴν τῆς ἁμαρτίας ἔχοντες, ὡς ἂν οἱ ταύτῃ δουλωθέντες ἡμερωτέρας τύχωσιν ἐν τῷ μέλλοντι τῆς κολάσεως, δι' ὧν ἐνταῦθα μερικῶς μαστίζονται.

21 Καὶ ἦρεν εἷς Ἄγγελος.

Καθάπερ, φησὶν, ὁ μῦλος καταδύνει ὁρμήματι εἰς τὴν θάλασσαν, οὕτως καὶ ἡ τῆς Βαβυλῶνος ταύτης ἀθρόον ἔσται καθαίρεσις, ὥστε μήτε ἴχνος αὐτῆς φυλαχθῆναι εἰς τὰ μετέπειτα. τοῦτο γὰρ σημαίνει ἡ τῶν κιθαρῳδῶν καὶ μουσικῶν καὶ λοιπῶν ἔκλειψις· τὴν δὲ αἰτίαν φησὶν, ὅτι πάντα τὰ ἔθνη τῇ οἰκείᾳ φαρμακείᾳ ἐπλάνησεν, καὶ αἱμάτων προφητικῶν καὶ λοιπῶν ἁγίων δοχεῖον γέγονεν· δι' ὧν ἁπάντων τὴν ἀσεβῆ παρὰ Πέρσαις Βαβυλῶνα διὰ τούτων δηλοῦσθαι εἰκὸς, ὡς πολλῶν ἁγίων κατὰ διαφόρους καιροὺς μέχρι τοῦ νῦν δεξαμένην αἵματα, καὶ ὡς μαγείαις καὶ ἀπάταις διηνεκῶς χαίρουσαν· καὶ τοῦτο ἡμῖν εὐχῆς ἔργον ταύτην τὰ προφητευθέντα δέχεσθαι, τῆς κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ δούλων ἀλαζονείας τὰ ἐπίχειρα.

22 Οὐ μὴ φανῇ ἐν σοὶ ἔτι.

Ἐναντιοῦσθαί πως δοκεῖ τῇ ὑπολήψει ταύτῃ τὸ ἐκ τῶν ἀρχαίων τῆς Ἐκκλησίας διδασκάλων κατὰ τῆς παρὰ Ῥωμαίοις Βαβυλῶνος ταῦτα φάναι προφητεύεσθαι, διὰ τὸ ἐν τῷ δ̅ θηρίῳ ἑωρᾶσθαι τὰ δέκα κέρατα, τουτέστιν ἐν τῇ Ῥωμαίων ἀρχῇ, καὶ ἐξ αὐτῆς τὸ ἐκβλαστάνον ἐκριζοῦν τὰ τρία, καὶ τὰ λοιπὰ ὑποτάττον, καὶ ὡς

βασιλέα Ῥωμαίων ἐλεύσεσθαι· προσχήματι μὲν τοῦ θάλπειν καὶ συγκροτεῖν τὴν ἀρχὴν αὐτῶν, τῇ δὲ ἀληθείᾳ τοῦ τὴν τελείαν αὐτῆς λύσιν ἐργάσασθαι. διὸ ὡς εἴρηται, τὴν ὡς ἑνὶ σώματι ἀρχῆθεν μέχρι τοῦ νῦν κρατήσασαν βασιλείαν ταύτην τις ἐκλαβὼν, ὡς ἀληθῶς καὶ Ἀποστόλων καὶ προφητῶν καὶ μαρτύρων ἐκχεάσαν αἵματα, οὐκ ἂν διαμάρτοι τοῦ προσήκοντος. καὶ γὰρ εἷς χορὸς καὶ στρατὸς καὶ μία πόλις λέγονται, κἂν ὑπαλλαγῶσιν οἱ ἀναπληροῦντες τούτων ἕκαστον. οὕτως καὶ βασιλεία μια, κἂν εἰς πολλοὺς χρόνους καὶ τόπους μερίζηται.

1 Μετὰ ταῦτα ἤκουσα ὡς φωνήν.

Τὸ μὲν ἀλληλούϊα θεῖον αἶνον σημαίνει, τὸ δὲ ἀμὴν, ἀληθῶς, ἢ γένοιτο. ἅπερ κοινῶς ἔκ τε τῶν Ἀγγελικῶν δυνάμεων, ἔκ τε τῶν ἰσαγγέλων ἀνθρώπων τῷ Θεῷ φησὶν ἀναπέμπεσθαι τρισσῶς, διὰ τὴν τρισυπόστατον Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἑνιαίαν θεότητα. ὅτι καὶ τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς Βαβυλῶνος ἐξεδίκησεν, καὶ τοὺς αὐτῆς οἰκήτορας διὰ τῆς κολάσεως εὐηργέτησεν, ἐκκοπὴν τῆς ἁμαρτίας ἐργασάμενος. διὰ δὲ τὸ εἰς αἰῶνας αἰώνων τὸν καπνὸν ἀναβαίνειν τῆς πόλεως δηλοῦται ἢ τὸ εἰς τὸ διηνεκὲς τῶν ἐπελθουσῶν αὐτῇ κολάσεων ἀνεπίληστον, ἢ τὸ μερικῶς αὐτὴν δοῦσαν δίκας, μετριωτέρως μὲν, αἰωνίως δὲ ὅμως, ἐν τῷ μέλλοντι κολασθήσεσθαι.

5 Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου.

Θρόνος τοῦ Θεοῦ τὰ Χερουβὶμ καὶ Σεραφὶμ, ἀφ' ὧν ὑμνεῖν αὐτὸν κελεύονται, οὐχ οἱ μεγάλοι μόνον, ἀλλὰ καὶ οἱ μικροὶ ἐν κατορθώμασι, καταλλήλως ἕκαστος τῆς οἰκείας δυνάμεως. οἶμαι δὲ καὶ οἱ νῦν μικροὶ τῇ ἡλικίᾳ καὶ ἀτελεῖς παῖδες, μεγάλοι ἀνιστάμενοι, τὸν μεγαλουργὸν Θεὸν ὑμνήσουσιν.

6 Καὶ ἤκουσα ὡς φωνήν.

Ἡ φωνὴ τοῦ ὄχλου καὶ τῶν πολλῶν ὑδάτων καὶ τῶν βροντῶν δηλοῖ τὸ διαπρύσιον[a] ἐν ὑμνολογίᾳ πασῶν τῶν Ἀγγελικῶν καὶ οὐρανίων ἀναριθμήτων οὐσῶν δυνάμεων, ἅς τινες τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν ἐνόησαν, μεθ' ὧν καὶ ἅπαν τὸ τῶν δικαίων σύστημά τε καὶ πλήρωμα δοξολογεῖ τὸν κτίσαντα. ἐβασίλευσε

[a] In marg. ἐξάκουστον.

δὲ ὁ Χριστὸς, ὧν φυσικῶς ὡς δημιουργὸς ἐδέσποζε, τούτων διὰ τῆς ἐνανθρωπήσεως βασιλεύσας, ἢ κατὰ γνωμικὴν οἰκείωσιν, ἢ ἐξουσίαν βασιλεῖ καὶ κριτῇ πρέπουσαν. γάμον δὲ ἀρνίου τὴν τῆς Ἐκκλησίας πρὸς τὸν Χριστὸν συνάφειαν φησὶν, ἧς ἁρμοσταὶ οἱ θεῖοι γεγόνασιν Ἀπόστολοι, δι' ὧν αὐτῇ ὁ ἀρραβὼν ἐδόθη τοῦ Πνεύματος, ὡς ἀποληψομένην τότε τὴν πρόσωπον κατὰ πρόσωπον εἰλικρινῆ συνάφειαν.

7 Καὶ ἡ γυνὴ αὐτοῦ.

Τὸ βύσσινον τὴν Ἐκκλησίαν ἐνδεδύσθαι δηλοῖ τὸ λαμπρὸν τῶν ἀρετῶν, καὶ ἐννοήσει λεπτὸν καὶ ὑψηλὸν ἐν θεωρήμασιν. τούτοις γὰρ τὰ θεῖα ἐξυφαίνονται δικαιώματα. δεῖπνον δὲ Χριστοῦ ἡ τῶν σωζομένων ἑορτὴ καὶ εὐφροσύνη ἐναρμόνιος, ἧς μακάριοι οἱ τευξόμενοι, καὶ τῷ ἁγίῳ τῶν καθαρῶν ψυχῶν νυμφίῳ εἰς τὸν αἰώνιον νυμφῶνα συνεισελευσόμενοι. πολλῶν δὲ ὄντων τῶν τοῦ μέλλοντος αἰῶνος ἀγαθῶν, καὶ πᾶσαν ὑπερβαινόντων διάνοιαν, πολυωνύμως ἡ τούτων μετοχὴ προφέρεται· ποτὲ μὲν ὡς βασιλεία οὐρανῶν διὰ τὸ ἔνδοξον αὐτῆς καὶ τίμιον, ποτὲ δὲ ὡς παράδεισος διὰ τὴν ἀνέκλειπτον τῶν ἀγαθῶν πανδαισίαν, ποτὲ δὲ ὡς κόλποι Ἀβραὰμ, διὰ τὴν ἐκεῖ τῶν κεκμηκότων ἀνάπαυσιν· ποτὲ δὲ ὡς νυμφὼν καὶ γάμος, οὐ μόνον διὰ τὴν εὐφροσύνην τὴν ἄληκτον, ἀλλὰ καὶ διὰ τὴν εἰλικρινῆ καὶ ἄρρητον τοῦ Θεοῦ πρὸς τοὺς αὐτοῦ δούλους συνάφειαν, τοσοῦτον ὑπεραίρουσα τὴν τῶν σωμάτων πρὸς ἄλληλα κοινωνίαν, ὅσον φῶς σκότους, καὶ μύρον δυσωδίας διέστηκεν.

10 Καὶ ἔπεσον ἔμπροσθεν.

Μὴ προσκύνει με, φησὶν, ὁ θεῖος Ἄγγελος ὡς τὰ μέλλοντα προλέγοντα· ἡ γὰρ εἰς Χριστὸν ὁμολογία, ἤγουν μαρτυρία αὕτη χορηγός ἐστι προφητικοῦ πνεύματος. καὶ ἑτέρως δὲ νοητέον, ὅτι διὰ τοῦτο ἡ προφητεία, ἵνα βεβαιωθῇ ἡ Χριστοῦ μαρτυρία καὶ ἡ πίστις ὑπὸ τῶν ἁγίων διαμαρτύρηται. διὸ μὴ τῷ συνδούλῳ προσκύνει, ἀλλὰ τῷ πάντων τὸ κράτος ἔχοντι.

11 Καὶ εἶδον τὸν οὐρανόν.

Τὸ ἠνεῶχθαι τὸν οὐρανὸν δηλοῖ τὴν τοῦ ὁραθέντος κριτοῦ παρουσίαν ἐλεύσεσθαι, ὥσπερ ἡ τῶν ἐνταῦθα παραπετασμάτων συνολκὴ τῶν ἐπὶ γῆς δικαστῶν, τὴν κατὰ τῶν ὑπευθύνων κρίσιν καὶ ἀπό-

φασιν. ὁ δὲ λευκὸς ἵππος τὴν τῶν ἁγίων φαιδρότητα τὴν μέλλουσαν, ἧς ἐποχούμενος κρινεῖ τὰ ἔθνη τοῖς ὀφθαλμοῖς, ἤγουν τῇ ἐποπτικῇ δυνάμει αὐτοῦ ἀφορίζων φλόγα πυρὸς δικαίοις μὲν φωτιστικὴν, ἀλλ' οὐ καυστικὴν, ἁμαρτωλοῖς δὲ καυστικὴν, ἀλλ' ἀφώτιστον. τὰ δὲ πολλὰ διαδήματα, ἢ τὴν κατὰ πάντων αὐτοῦ βασιλείαν τῶν ἐν οὐρανῷ καὶ γῇ αἰνίττεται· τοσαῦτα γὰρ ὅσα καὶ τὰ ἐν Ἀγγέλοις τάγματα, καὶ τὰ ἐπὶ τῆς γῆς σκῆπτρα καὶ τὰ ἐν ἁγίοις ἀνθρώποις συστήματα. ἢ τὰ ἐν πάσαις ταῖς περὶ ἡμᾶς οἰκονομίαις κατὰ τῶν ἁμαρτωλῶν διὰ μακροθυμίας νίκην.

12 Ἔχων ὀνόματα γεγραμμένα.

Τὸ ἄγνωστον τοῦ ὀνόματος τὸ τῆς οὐσίας αὐτοῦ σημαίνει ἀκατάληπτον· ταῖς γὰρ οἰκονομίαις ὢν πολυώνυμος, ὡς ποιμὴν, ὡς ἥλιος, ὡς φῶς, ὡς ζωὴ, ὡς δικαιοσύνη, ὡς ἁγιασμὸς, ὡς ἀπολύτρωσις, καὶ ταῖς ἀποφάσεσιν ὁμοίως, ὡς ἄφθαρτος, ὡς ἀόρατος, ὡς ἀθάνατος, ὡς ἀναλλοίωτος, τῇ οὐσίᾳ ἀνώνυμος καὶ ἀνέφικτος ἑαυτῷ μόνῳ, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι γινωσκόμενος.

13 Καὶ περιβεβλημένος ἱμάτιον.

Διὰ τούτων τὰ προεκτεθέντα πιστοῦται, πῶς ὁ ἀνώνυμος καὶ πᾶσιν ἄγνωστος, ἐνταῦθα Λόγος ὀνομάζεται· ἢ πρὸς ἔνδειξιν τῆς υἱϊκῆς ὑποστάσεως, καὶ τῆς ἀπαθοῦς ἐκ πατρὸς γεννήσεως, καθάπερ ὁ ἡμέτερος λόγος ἐκ τοῦ νοῦ πρόεισιν, ἢ τῷ πάντων τῶν ὄντων τοὺς λόγους ἐν ἑαυτῷ φέρειν, ἢ τὸ ἐξαγγελεὺς εἶναι τῆς πατρικῆς σοφίας τε καὶ δυνάμεως.

14 Καὶ τὰ στρατεύματα.

Διὰ τούτων αἱ οὐρανίαι τάξεις σημαίνονται, τῷ λεπτῷ τῆς οὐσίας καὶ τῷ τῶν νοημάτων ὑψηλῷ καὶ λαμπρῷ τῶν ἀρετῶν κατηγλαϊσμέναι, καὶ τῆς ἀκριβοῦς πρὸς Θεὸν ἑνώσεως.

15 Καὶ ἐκ τοῦ στόματος αὐτοῦ.

Ἡ ῥομφαία αὕτη δηλοῖ τὴν ἐπαχθησομένην τοῖς ἀσεβέσι καὶ ἁμαρτωλοῖς κόλασιν κατὰ δίκαιον κρίμα καὶ πρόσταγμα ἐκ τοῦ θείου στόματος ἐκφερόμενον, δι' οὗ τῇ ἀθραύστῳ τῶν ἀπεράντων κολάσεων πρὸς ἀνενεργησίαν τῆς πολυσχεδοῦς κακίας ποιμαν-

θήσονται. τὴν δὲ ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ πατεῖ, ὅτι ὁ Πατὴρ οὐ κρίνει οὐδένα, ἀλλ' αὐτῷ τὴν κρίσιν ὡς ἀνθρώπῳ δέδωκεν, ἣν φυσικῶς ὡς Υἱὸς ἀρχῆθεν ἐκέκτητο.

16 Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον.

Τοῦτο τὸ ὄνομα δηλοῖ, τὸ τῆς θείας ἐνανθρωπήσεως ἄτμητον, καθ' ἣν Θεὸς ὤν, σαρκὶ πέπονθεν, καὶ ἄνθρωπος ὑπάρχων, Βασιλεὺς βασιλέων ἐστὶ καὶ Κύριος κυρίων, τῶν βασιλευσάντων τῶν παθῶν, καὶ τὸ κῦρος καὶ τὸ κράτος κατὰ τῆς ἁμαρτίας κτησαμένων διὰ Χριστοῦ, καὶ συμβασιλευσάντων αὐτῷ ἐν τῷ μέλλοντι.

17 Καὶ εἶδον ἕνα ἄλλον.

Τοῦτον ἕνα τῶν ὑπερεχόντων Ἀγγέλων εἶναι νομίζομεν, τοῖς λοιποῖς Ἀγγέλοις εὐφροσύνην ἐγκελευόμενον ἐπὶ τῇ τῶν ἁμαρτωλῶν κολάσει, καὶ τῇ τῆς ἁμαρτίας ἐκλείψει. ὄρνεα δὲ τοὺς Ἀγγέλους διὰ τὸ ὑψιπετὲς καὶ μετάρσιον πρὸς ἡμετέραν σαφήνειαν ὠνόμασεν, οἷς τροφή ἐστιν ἡ τοῦ θείου θελήματος ἐκπλήρωσις. ἐν μεσουρανήματι δέ, ἵνα καὶ τοῖς Ἀγγέλοις καὶ τοῖς ἀνθρώποις μεθεκτὴ ἡ ἄνοδος, καὶ ἡ προλεχθεῖσα εὐφροσύνη γένηται, ὧν ἡ μεσιτεία ἀναγωγικὴ τῶν κάτω καθέστηκεν, δι' ὧν οἱ ἅγιοι εἰς ἀπάντησιν τοῦ Κυρίου ἁρπάζονται.

Δεῦτε συνάχθητε εἰς τὸν δεῖπνον.

Τὸ μὲν προηγούμενον τοῦ Θεοῦ θέλημα, ὃ καὶ εὐδοκία λέγεται, καὶ δεῖπνον αὐτῷ περιπόθητον, ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· τὸ δὲ δεύτερον κολασθῆναι τοὺς ἑαυτοῖς ἐπισπωμένους τὴν κόλασιν. τὸ τοίνυν πατρικὸν θέλημα ὁ Χριστὸς βρῶσιν οἰκείαν ἐκάλεσε. τοῦτο τοίνυν ἐνταῦθα δεῖπνον Θεοῦ ὀνομάζεται, τυγχάνον τῶν ἀνθρώπων ὧν ἕκαστος δι' ἔργων ἐπεθύμησεν ἢ βασιλείας ἢ τιμωρίας. διὰ δὲ τῆς βρώσεως τῶν σαρκῶν σημαίνεται ὁ τῶν σαρκικῶν πάντων ἀφανισμὸς, καὶ ἡ τῶν ἀρχικῶν ἐπὶ γῆς ὀνομάτων ἔκλειψις. ἵππων δὲ μέμνηται, οὐχ ὡς αὐτῶν ἀναστησομένων, ἀλλὰ διὰ μὲν τούτων ἢ τοὺς θηλυμανεῖς, ἢ τοὺς ὑποβεβηκότας ἐν πονηρίᾳ, ἢ καὶ ἀμφότερα. διὰ δὲ τῶν ἐπιβατῶν αὐτῶν, τοὺς ἐν κακίᾳ προὔχοντας αἰνιττόμενος· ὃ καὶ παρακατιὼν ἐσαφήνισεν εἰπὼν, ἐλευθέρων τε καὶ δούλων, μικρῶν τε καὶ

μεγάλων. διὰ μὲν τῶν ἐλευθέρων καὶ μεγάλων τοὺς μᾶλλον ἐξουσιαστικῶς ἁμαρτάνοντας. διὰ δὲ τῶν δούλων καὶ μικρῶν τοὺς ἧττον ἢ κατὰ γνώμην ἢ καθ' ἡλικίαν ἢ κατὰ ἀσθένειαν.

19 Εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς.

Τοὺς τῷ διαβόλῳ στρατευομένους πληθυντικῶς ὀνομάσας διὰ τὸ πολυσχεδὲς τῆς ἁμαρτίας, καίπερ ἐλάχιστον μέρος τῶν Ἀγγελικῶν δυνάμεων καὶ ἰσαγγέλων ἀνθρώπων ὑπάρχοντας τοὺς τῷ Χριστῷ ἑπομένους, ἑνικῶς στράτευμα εἶπε, διὰ τὸ τῆς γνώμης ἑνιαῖον θέλημα.

20 Καὶ ἐπιάσθη τὸ θηρίον.

Εἰ καὶ τῷ Σωτῆρι Χριστῷ οὗτοι, δηλαδὴ ὁ Ἀντίχριστος καὶ ὁ ψευδοπροφήτης σὺν τοῖς πειθαρχήσασιν αὐτοῖς βασιλεῦσι καὶ ἄρχουσιν, ἀντετάξαντο, ἀλλ' ἀμφότεροι ἡττηθέντες ὅ τε Ἀντίχριστος καὶ ὁ ψευδοπροφήτης, σημείοις καὶ τέρασι ποιήσας τὸν ἀπατεῶνα εὐπαράδεκτον, ὑπὸ τῆς θείας δίκης καταλαμβάνονται.

Ζῶντες ἐβλήθησαν.

Εἰκὸς μὲν οὗτοι τὸν κοινὸν οὐκ ἀποθνήσκουσι θάνατον, ἀλλ' ἐν ῥιπῇ ὀφθαλμοῦ ἀπαθανατιζόμενοι τῷ δευτέρῳ θανάτῳ τῇ λίμνῃ τοῦ πυρὸς καταδικάζονται. εἰ δέ τισιν οὐ τοῦτο δοκεῖ, διὰ τὸ φῆσαι τὸν Ἀπόστολον ἀναιρεῖσθαι αὐτὸν τῷ πνεύματι τοῦ θείου προστάγματος, εἰκὸς εὑρίσκεσθαι τοὺς δύο ζῶντας ἐν ἀφθάρτῳ τῷ σώματι μετὰ τὴν καταργηθεῖσαν αὐτῶν ὑπὸ Θεοῦ δυναστείαν, τῷ πυρὶ τῆς γεέννης παραδίδοσθαι, ἥτις αὐτοῖς ἔσται θάνατος καὶ ἀναίρεσις τῷ θείῳ τοῦ Χριστοῦ προστάγματι.

21 Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν.

Δύο θανάτων ὄντων, τοῦ μὲν πρώτου τοῦ χωρισμοῦ τῆς ψυχῆς τοῦ σώματος· τοῦ δὲ δευτέρου, τῆς εἰς γέενναν ἐκπομπῆς· ἢ τοίνυν καὶ οὗτοι σὺν τῷ Ἀντιχρίστῳ τὸν πρότερον διὰ σαρκὸς προηγησάμενοι θάνατον τῇ τοῦ Θεοῦ ῥομφαίᾳ, δηλαδὴ τῷ Χριστοῦ προστάγματι, εἶθ' οὕτως τὸν δεύτερον ὑπέστησαν θάνατον. ἢ ὅτι καὶ τούτους φησὶ κοινωνῆσαι τοῖς ἀπατήσασιν αὐτοῖς τοῦ δευτέρου μόνου θανάτου τῆς αἰωνίου κολάσεως. τὸ δὲ χορτασθῆναι τὰ ὄρνεα τῶν σαρκῶν αὐτῶν, ἢ κατὰ τὸ προαποδοθὲν καὶ νῦν

ἐξέλαβεν, ἢ ὅτι τοῖς ἁγίοις προσκορής ἐστιν καὶ ἐπαχθὴς καὶ βδελυκτὴ ἡ σαρκικὴ κίνησις.

1 Καὶ εἶδον Ἄγγελον καταβαίνοντα.

Ἐνταῦθα τὴν ἐν τῷ δεσποτικῷ πάθει τοῦ διαβόλου διηγεῖται καθαίρεσιν, ἐν ᾧ καταδεδίκασται εἰς τὴν ἄβυσσον καὶ εἰς τὴν γεένναν. Ἄγγελον δὲ τῇ τοιαύτῃ ἀποφάσει διακονούμενον φησὶν, ἵνα δείξῃ καὶ τῶν λειτουργικῶν δυνάμεων τοῦτον ἥττονα κατὰ δύναμιν. ἄλυσιν δὲ πρὸς ἡμετέραν σαφήνειαν ὠνόμασε τὴν καθεκτικὴν αὐτοῦ τῆς πονηρίας ἐνέργειαν.

2 Καὶ ἔδησεν αὐτὸν χίλια ἔτη.

Χίλια ἔτη οὐ πάντως τὰ τοσαῦτα τῷ ἀριθμῷ, τουτέστι δεκάκις ρ̄, ἀλλὰ τῶν πολλῶν ἢ τοῦ τελείου εἶναι σημαντικὸν τὸν χίλιον ἀριθμόν. πολλὰ μὲν γὰρ ταῦτα πρὸς τὸ κηρυχθῆναι πανταχοῦ τὸ Εὐαγγέλιον. τελείου δὲ σημαντικὰ, ὅτι ἐν αὐτοῖς τῆς παιδικῆς ἐν νόμῳ πολιτείας ἀπαλλαγέντες, "εἰς ἄνδρα "τέλειον εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ" κεκλήμεθα. χίλια τοίνυν ἔτη ὁ ἀπὸ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως χρόνος μέχρι τῆς τοῦ Ἀντιχρίστου ἐλεύσεως, εἴτε ὡς ἐξειλήφαμεν, εἴτε δεκάκις ρ̄, ὥς τισι νενόμισται, εἴτε καὶ τούτων ἀποδέοντα, τῷ Θεῷ μόνῳ ἔγνωσται, τῷ εἰδότι μέχρι τίνος συμφέρει ἡμῖν τὴν μακροθυμίαν, καὶ τοῦ τῇδε βίου τὴν παράτασιν ἔκρινεν· μεθ' ἣν συνταράξει τὴν οἰκουμένην πᾶσαν ὁ Ἀντίχριστος, τὴν τοῦ ἀρχεκάκου ἐν ἑαυτῷ χωρῶν ἐνέργειαν, καὶ τὴν τρύγα τῆς αὐτοῦ ἰοβόλου κακίας ἐν ἀνθρώποις ἐκχέων· ἅτε εἰδὼς τὸ τῆς αὐτοῦ κολάσεως ἀπαράβατον.

4 Καὶ εἶδον θρόνους.

Καὶ ἤδη μὲν διδασκαλικοὶ θρόνοι τοῖς ἁγίοις Ἀποστόλοις δέδονται, δι' ὧν τὰ ἔθνη πεφωταγώγηνται. δοθήσονται δὲ κατὰ τὴν θείαν ὑπόσχεσιν καὶ ἐν τῷ μέλλοντι εἰς κατάκρισιν τοῖς ἀπωσαμένοις τὸ εὐαγγελικὸν κήρυγμα. καὶ τοῖς λοιποῖς δὲ ἁγίοις μάρτυσι τοῖς ὑπὸ Χριστοῦ παθοῦσι, καὶ μὴ δεξαμένοις τοῦ νοητοῦ θηρίου χάραγμα, δηλαδὴ τὴν εἰκόνα τῆς αὐτοῦ ἀποστασίας, ἐδόθη κρίμα, τουτέστιν ἐξουσία τοῦ κρίνειν· διὸ δαίμονας μέχρι

τοῦ νῦν ὡς ὁρῶμεν κρίνουσι, συνδοξαζόμενοι τῷ Χριστῷ μέχρι συντελείας τοῦ παρόντος αἰῶνος, ὑπὸ βασιλέων εὐσεβῶν καὶ ἀρχόντων πιστῶν προσκυνούμενοι, καὶ πᾶσι τὴν θεόσδοτον διὰ τῶν θαυμάτων δύναμιν ἐπιδεικνύμενοι.

5 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων.

Δύο ζωὰς καὶ δύο νεκρώσεις ἤγουν θανάτους ἐκ τῆς θείας γραφῆς εἶναι διδασκόμεθα. ἔστι τοίνυν ἡ μὲν πρώτη ζωὴ, ἡ μετὰ τὴν τῆς ἐντολῆς παράβασιν πρόσκαιρος καὶ σαρκικὴ, ἡ δὲ μετὰ τὴν τῶν τοῦ Χριστοῦ ἐντολῶν τήρησιν ἐπηγγελμένη τοῖς ἁγίοις ζωὴ αἰώνιος. καὶ θάνατοι δὲ ὡσαύτως δύο· ὁ μὲν τῆς σαρκὸς πρόσκαιρος, ὁ δὲ δι' ἁμαρτημάτων ἔκτισιν ἐπαγόμενος ἐν τῷ μέλλοντι αἰώνιος· ὅπερ ἐστὶν ἡ τοῦ πυρὸς γεέννα. καὶ νεκρῶν δὲ διαφορὰν γινώσκομεν· οἱ μὲν γὰρ φευκτοὶ, δηλαδὴ οἱ ταῖς πράξεσι τὴν δυσωδίαν καὶ τὴν νέκρωσιν ἐπιφερόμενοι, οἱ δὲ ἐπαινετοὶ, οἱ τῷ Χριστῷ συσταυρούμενοι, καὶ τῷ κόσμῳ νεκρούμενοι. οἱ οὖν ἀπηγορευμένοι νεκροὶ οὐ ζῶσι σὺν Χριστῷ ἄχρι τελεσθῶσι ͵α ἔτη, τουτέστι τέλειος ἀριθμὸς, ὁ ἀπὸ τῆς πρώτης αὐτοῦ παρουσίας, μέχρι τῆς δευτέρας διήκων.

6 Μακάριος καὶ ἅγιος ὁ ἔχων.

Οἱ μέρος ἐν τῇ πρώτῃ ἀναστάσει ἔχοντες, τουτέστιν ἐν τῇ ἐγέρσει τῇ ἐκ τῶν τοῦ θανάτου νεκρῶν πράξεων καὶ ἐννοιῶν, οὗτοι μακάριοι· οὐχ ἕξει ἐπὶ τούτων ἐξουσίαν ὁ δεύτερος θάνατος, τουτέστιν ἡ ἀτελεύτητος κόλασις, ἀλλ' ἱερατεύσουσι καὶ βασιλεύσουσι μετὰ Χριστοῦ τὰ ͵α ἔτη, μέχρι τοῦ λυθῆναι τὸν Σατανᾶν καὶ πλανῆσαι τὰ ἔθνη, οὐχ ὡς τότε τὴν βασιλείαν ἀφαιρούμενοι, ἀλλὰ βεβαιοτέρως αὐτὴν καὶ ἐμφανεστέρως κτησάμενοι· ὀλίγος γὰρ ὁ χρόνος μετὰ τὴν τοῦ διαβόλου λύσιν μέχρι τῆς κατ' αὐτοῦ ἀποφάσεως, καὶ τῆς ἐν γεέννῃ κολάσεως. ὥστε τὸ, "ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ," ἐπανάληψιν οἰητέον τῶν προτέρων. καὶ γὰρ τὰ νῦν διὰ τῆς πείρας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως τῶν ἁγίων γέρα ὁρώμενα καὶ θαύματα, ἔμελλε τότε, ὅτε τῷ Εὐαγγελιστῇ ὠπτάνετο. τοίνυν δύο θανάτων ὄντων, ἀνάγκη καὶ τοσαύτας ἀναστάσεις ἐκδέξασθαι. πρῶτος οὖν ὁ σωματικὸς θάνατος τῇ ἀνθρωπίνῃ παρακοῇ δοθεὶς ἐπιτίμιον,

δεύτερος ἡ αἰώνιος κόλασις. πρώτη ἀνάστασις ἡ ἐκ νεκρῶν ἔργων ζωοποίησις, δευτέρα ἡ ἐκ φθορᾶς τοῦ σώματος εἰς ἀφθαρσίαν μεταποίησις.

7 Καὶ ὅτ' ἂν τελεσθῇ τὰ χίλια.

Τινὲς τὸν προρρηθέντα τῆς χιλιετίας χρόνον τὰ τρία ζ̄[m] ἔτη τὰ ἀπὸ τοῦ βαπτίσματος Χριστοῦ μέχρι τῆς αὐτοῦ εἰς οὐρανοὺς ἀναλήψεως ἐξειλήφασι, μεθ' ὃ λυθῆναι τὸν διάβολον ὑπενόησαν. ἕτεροι δὲ μετὰ τὴν πλήρωσιν τῶν ϛ̄ ἐτῶν, τὴν πρώτην ἀνάστασιν τῶν νεκρῶν δίδοσθαι μόνοις τοῖς ἁγίοις ἔφασαν, ἵνα ἐν τῇ γῇ ταύτῃ ἐν ᾗ τὴν καρτερίαν ἐπεδείξαντο, τρυφῆς καὶ δόξης ἀπολαύσωσιν ἔτη ͵ᾱ, καὶ μετὰ τοῦτο τὴν καθόλου γίνεσθαι ἀνάστασιν, οὐ δικαίων μόνων ἀλλὰ καὶ ἁμαρτωλῶν. οὐδὲν δὲ τούτων ἡ Ἐκκλησία δέδεκται· διὸ τὸν τοῦ Εὐαγγελικοῦ κηρύγματος χρόνον, τὴν χιλιετίαν ἐκληπτέον νῦν τὴν ἐν τελειότητι καρποφορίαν τῆς πίστεως. ὡς γὰρ εἴρηται οὐκ ἀνάγκη τὰ τοσαῦτα τῷ ἀριθμῷ νοῆσαι τὰ ͵ᾱ, ἀλλὰ τὸ πλῆθος, καὶ τὸ ἐν καρποφορίᾳ τέλειον. τότε τοίνυν λυόμενος, ὡς εἴρηται, ὁ Σατανᾶς τῆς φυλακῆς αὐτοῦ, πλανήσει πάντα τὰ ἔθνη, καὶ τὸν Γὼγ καὶ τὸν Μαγὼγ κινήσει[n] εἰς πόλεμον πρὸς τὴν τῆς οἰκουμένης ἐρήμωσιν. εἶναι δὲ ταῦτα τινὲς μὲν Σκυθικὰ ἔθνη νομίζουσιν ὑπερβόρια, ἅπερ καλοῦσιν Οὐνικὰ, πάσης ἐπιγείου βασιλείας πολυανθρωπότερά τε καὶ πολεμικώτερα, μόνῃ δὲ τῇ θείᾳ χειρὶ πρὸς τὸ κρατῆσαι τῆς οἰκουμένης πάσης ἐπεχόμενα, ἄχρι τῆς τοῦ διαβόλου λύσεως. τινὲς δὲ τὸν Γὼγ, ἀθροίζοντα ἢ ἄθροισμα, καὶ τὸν Μαγὼγ ἐπηρμένον διὰ τῆς Ἑβραΐδος γλώσσης ἑρμηνεύουσιν, ὡς διὰ τῶν ὀνομάτων ἢ τὸ ἄθροισμα τῶν ἐθνῶν ἢ τὸ ὑπερήφανον διασημαίνεσθαι.

8 Καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς.

Ὡς ἐκ φωλεῶν τινῶν θῆρες ἄγριοι, οὕτω, φησὶν, ἐκ τῶν οἰκείων τόπων ὑπὸ τοῦ διαβόλου καὶ τῶν σὺν αὐτῷ δαιμόνων στρατηγούμενοι ἐν τῇ γῇ καταπλατυνθήσονται, ὡς τὴν παρεμβολὴν τῶν ἁγίων δηλαδὴ τὴν Ἐκκλησίαν τὴν ἐν τοῖς τέσσαρσι πέρασι τῆς οἰκουμένης ἡδρασμένην πορθήσονται. πρὸς ἔτι δὲ καὶ τὴν νέαν

[m] τρία ἥμισυ p. 474, 5. [n] κινῆσαι Cod.

Ἱερουσαλὴμ τὴν ἠγαπημένην πόλιν χειρωσάμενοι, ἐξ ἧς ὁ θεῖος νόμος διὰ τῶν Ἀποστόλων εἰς τὴν οἰκουμένην διέδραμεν· ἔνθα καὶ τὸν Ἀντίχριστον φασὶν ἐν τῷ ναῷ τοῦ Θεοῦ καθῆσθαι, εἴτε ἐν τῷ Ἰουδαϊκῷ τῷ πάλαι καθαιρεθέντι, καὶ ὑπ' αὐτοῦ ἀνορθοῦσθαι προσδοκωμένῳ τοῖς θεομάχοις Ἰουδαίοις, εἴτε ἐν τῷ ἀληθινῷ θείῳ ναῷ τῇ καθολικῇ Ἐκκλησίᾳ τὰ ἀλλότρια σφετεριζόμενον, καὶ ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστι Θεὸς, καθώς φησιν ὁ Ἀπόστολος. πῦρ δὲ ἐκ τοῦ οὐρανοῦ κατιὸν καὶ καῖον τόν τε διάβολον καὶ τοὺς ὑπ' αὐτὸν, τόν τε ψευδοπροφήτην καὶ τὸ θηρίον, ἢ ὁρατόν φησιν, ἢ τὴν παρουσίαν αὐτοῦ, ἐν ᾗ ἀνελεῖ αὐτὸν τῷ πνεύματι τοῦ στόματος αὐτοῦ.

11 Καὶ εἶδον θρόνον λευκὸν μέγαν.

Διὰ τοῦ θρόνου τοῦ λευκοῦ δηλοῦται ἡ ἀνάστασις τοῦ Θεοῦ, ἣν ἐν τοῖς λαμπροῖς ταῖς ἀρεταῖς ποιήσεται ἁγίοις, τούτοις ἐνθρονιζόμενος. ἡ δὲ φυγὴ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὴν τούτοις σημαίνει παρέλευσιν, καὶ εἰς τὸ βέλτιον ἀνανέωσιν, ἐν οἷς τόπος τροπῆς οὐχ εὑρεθήσεται· οὐ γὰρ ἡ ὑπόστασις, οὐδὲ ἡ οὐσία τῆς κτίσεως ἐξαφανίζεται, ἀλλὰ "τὸ σχῆμα παράγει τοῦ κόσμου "τούτου," τουτέστιν ἐν οἷς ἡ παράβασις ἐγένετο· ὅτι ἐπαλαιώθη ὁ ἄνθρωπος ἐν αὐτοῖς, καὶ διὰ τοῦτο τὸ σχῆμα τοῦτο πρόσκαιρον ἐγένετο, προειδότος τὰ πάντα τοῦ Θεοῦ. ἐκπυρωθήσεται μὲν γὰρ πρὸς κάθαρσιν καὶ ἀνακαινισμὸν κατὰ τὸν Ἀπόστολον Πέτρον πᾶς κατακλυζόμενος ὁ κόσμος πυρὶ, οὐ μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν· καὶ προϊών φησι καὶ ὁ Παῦλος, ὅτι "καὶ "αὕτη ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς" καὶ τὰ ἑξῆς. ὥστε τὴν δι' ἡμᾶς γεγενημένην κτίσιν, μεθ' ἡμῶν τὴν ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν ἀκόλουθον δέχεσθαι, μὴ χωροῦσαν εἰς ἀνυπαρξίαν, ὥσπερ οὐδὲ ἡμεῖς μετὰ θάνατον.

12 Καὶ εἶδον τοὺς νεκρούς.

Νεκρούς φησιν, ἢ πάντας τοὺς ἀνθρώπους, ὡς τὴν τοῦ σώματος νέκρωσιν ὑπομενόντας, ἢ τοὺς νεκρωθέντας τοῖς παραπτώμασι. μεγάλους δὲ καὶ μικροὺς, ἢ τοὺς καθ' ἡλικίαν, ἢ τοὺς μᾶλλον καὶ ἧττον τὰ τῆς νεκρώσεως ἔργα πράξαντας, καὶ ἀναλόγως κολασθησομένους ταῖς πράξεσιν· ἢ μεγάλους μὲν τοὺς δικαίους, μικροὺς

δὲ καὶ μηδαμινοὺς τοὺς ἁμαρτωλοὺς, διὰ ψυχῆς εὐτέλειαν. τὰ δὲ βιβλία τὰ ἀνοιγόμενα σημαντικά ἐστι τῶν ἑκάστου πράξεων τῆς γνώσεως. ἡ δὲ μία βίβλος τῆς ζωῆς ἐστιν, ᾗ τὰ τῶν ἁγίων ἐγγέγραπτο ὀνόματα.

13 Καὶ ἔδωκεν ἡ θάλασσα.

Ἕκαστόν φησι, σῶμα εἰς ἅπερ ἀναλύεται, ἐξ ἐκείνων καὶ συνίσταται καὶ ἀναδίδοται, εἴ τε γῇ, εἴτε θαλάσσῃ παραδοθῇ. θάνατος δὲ καὶ ᾅδης οὐ ζῶα ἔμψυχα, ἀλλὰ θάνατος μὲν χωρισμὸς ψυχῆς καὶ σώματος, ᾅδης δὲ τόπος ἡμῖν ἀειδὴς, ἤγουν ἀφανὴς, ὁ τὰς ψυχὰς ἐντεῦθεν ἐκδημούσας δεχόμενος· νεκραὶ δὲ ψυχαὶ, αἱ τὰς νεκροποιούσας πράξεις ἐπιφερόμεναι, "δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ "Θεοῦ," καθὰ γέγραπται.

14 Καὶ ὁ θάνατος καὶ ὁ ᾅδης.

Τὸ τὸν θάνατον καὶ τὸν ᾅδην εἰς τὴν λίμνην τοῦ πυρὸς βάλλεσθαι δηλοῖ, ἢ τὸ γεγραμμένον "ἔσχατος ἐχθρὸς καταργεῖται ὁ "θάνατος," ἢ τὰς προξένους τοῦ τῆς ἁμαρτίας θανάτου πονηρὰς δυνάμεις, τὰς τὸν ᾅδην ἐχούσας κατάλυμα, κακεῖ τοὺς πειθομένους παραπεμπούσας εἰς τὸ πῦρ καταποντίζεσθαι. ὥσπερ γὰρ πόλεις οἱ ταύτης διοικήτορες λέγονται, οὕτω καὶ θάνατος καὶ ᾅδης, οἱ τούτων αἴτιοι. εἰ δὲ πάντες οἱ μὴ γεγραμμένοι ἐν τῇ βίβλῳ τῆς ζωῆς εἰς τὴν λίμνην τοῦ πυρὸς βληθήσονται, θαυμάζειν οὐ χρή. καὶ γὰρ ὡς πολλαὶ μοναὶ παρὰ τῷ Πατρὶ τῶν σωζομένων, οὕτω κἀκεῖ διάφοροι τόποι καὶ τρόποι κολάσεων, τῶν μὲν δριμυτέρων, τῶν δὲ μαλθακωτέρων· ὧν πειραθήσονται οἱ μὴ ἠξιωμένοι τῆς βίβλου τῆς ζωῆς.

1 Καὶ εἶδον οὐρανὸν καινόν.

Κἀνταῦθα οὐκ ἀνυπαρξίαν δηλοῖ τῆς κτίσεως ἀλλὰ ἀνακαινισμὸν ἐπὶ τὸ βέλτιον. τὸ γὰρ παλαιωθὲν ἀνακαινιζόμενον, οὐ τῆς οὐσίας ἀφανισμὸν, ἀλλὰ τοῦ γήρως καὶ τῶν ῥυτίδων σημαίνει τὴν ἀπόξεσιν. σημειωτέον δὲ ὅτι περὶ μὲν οὐρανοῦ καὶ γῆς φησὶν, ὅτι παρῆλθεν, ἀντὶ τοῦ ἠλλάγη, καὶ τὴν εἰς τὸ κρεῖττον ἐδέξατο κατάστασιν. περὶ δὲ τῆς θαλάσσης φησὶν, ὅτι οὐκ ἔστιν ἔτι. τίς γὰρ χρεία θαλάσσης δὴ δεομένων ἀνθρώπων τοῦ πλέειν αὐτὴν, ἢ δι' αὐτῆς πορίζεσθαι τὰ ἐν ταῖς μακρὰν κειμέναις χώραις γεωργού-

μενα ἀγώγιμα, καὶ τὸν ταραχώδη βίον καὶ πολυκύμονα σημαινούσης, μὴ αὐτῆς εἶναι τότε χρεία; οὐδὲν γὰρ ταραχῆς ἢ φόβου ἐν τοῖς ἁγίοις τότε καταλειφθήσεται.

2 Καὶ τὴν πόλιν τὴν ἁγίαν.

Καὶ ἐκ τούτου δείκνυται τὸ τῆς καινότητος ὄνομα μεταποιήσεως τῆς ἐπὶ τὸ φαιδρότερον γνώρισμα, ἧς ἡ ἄνω Ἱερουσαλὴμ τεύξεται, ἐκ τῶν ἀσωμάτων δυνάμεων ἄνωθεν μέχρις ἀνθρώπων καταβαίνουσα, διὰ τὸ κοινὴν γενέσθαι κεφαλὴν ἀμφοτέρων Χριστὸν τὸν Θεὸν ἡμῶν. αὕτη δὲ ἡ πόλις ἐξ ἁγίων συναρμολογεῖται λίθων, ἀκρογωνιαῖον δὲ τὸν Χριστὸν ἔχουσα. λέγεται δὲ πόλις μὲν, ὡς τῆς βασιλίδος Τριάδος οἰκητήριον· νύμφη, ὡς κολλωμένη τῷ δεσπότῃ καὶ συναπτομένη εἰς ἄκραν καὶ ἀδιάστατον συνάφειαν. κεκοσμημένη δὲ ὡς ἔσωθεν κατὰ τὸν ψαλμῳδὸν, τὴν δόξαν καὶ τὴν ὥραν ἐν τῇ ποικιλίᾳ τῶν ἀρετῶν ἔχουσα.

3 Καὶ ἤκουσα φωνῆς μεγάλης.

Οὐρανόθεν ὁ ἅγιος διδάσκεται ἀληθινὴν εἶναι ταύτην τὴν σκηνὴν, ἧς ἦν ἡ τῷ Μωϋσῇ παραδειχθεῖσα τύπος, μᾶλλον δὲ προτύπωσις τύπου τῆς σήμερον Ἐκκλησίας τύπος τυγχάνουσα· ἐν αὐτῇ τῇ ἀχειροποιήτῳ σκηνῇ οὐκ ἔστι κλαυθμὸς οὐδὲ δάκρυον. ὁ γὰρ τῆς ἀεννάου χαρᾶς χορηγὸς τὸ ὁρᾶσθαι πᾶσι δωρήσεται τοῖς ἁγίοις τὴν εὐφροσύνην τὴν ἄληκτον. τὸ δὲ "τὰ πρῶτα "ἀπῆλθε," σημαίνει, ὅτι ἡ τῶν ἁγίων κακοπάθεια, καὶ τῶν ἀσεβῶν ἡ ἀλαζονεία πέρας εἴληφεν ἑκατέρῳ τούτων κατάλληλον.

5 Ἀληθινοὶ καὶ πιστοί εἰσι.

Ἀληθινοὶ οἱ λόγοι ὡς ὑπ' αὐτῆς τῆς ἀληθείας ἐκφερόμενοι, καὶ μηκέτι διὰ συμβόλων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων γινωσκόμενοι. ἀρχὴ δὲ καὶ τέλος ὁ Χριστὸς, ὡς πρῶτος διὰ τὴν θεότητα καὶ ἔσχατος διὰ τὴν ἀνθρωπότητα, καὶ ὡς ἀπὸ τῆς πρώτης τῶν ἀσωμάτων κτίσεως μέχρι τῶν τελευταίων ἀνθρώπων τὴν οἰκείαν κινῶν πρόνοιαν.

6 Ἐγὼ τῷ διψῶντι δώσω.

Τῷ διψῶντι τὴν δικαιοσύνην παρέξειν ἐπαγγέλλεται τὴν χάριν τοῦ ζωοποιοῦ Πνεύματος. δωρεὰν δὲ, "ὅτι οὐκ ἄξια τὰ παθή- "ματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν τοῖς ἁγίοις

"ἀποκαλύπτεσθαι," ἢ δωρεὰν, ὅτι οὐκ ἔστι ταύτην χρήμασιν, ἀλλ' ἔργοις ἀγαθοῖς κτήσασθαι, φιλανθρωπίᾳ τοῦ παρέξοντος.

7 Ὁ νικῶν δώσω αὐτῷ.

Ὁ νικῶν φησι τὸν πρὸς τοὺς ἀοράτους δαίμονας πόλεμον, τῶν ἀγαθῶν τούτων τεύξεται, υἱὸς Θεοῦ γενόμενος, καὶ τοῖς πατρικοῖς ἐντρυφῶν ἀγαθοῖς.

8 Τοῖς δὲ δειλοῖς καὶ ἀπίστοις.

Πάντοθεν ἡμᾶς ὁ διψῶν τὴν σωτηρίαν ἡμῶν Θεὸς, εἰς τὴν κληρονομίαν τῶν ὑπ' αὐτοῦ ἀγαθῶν, διά τε χρηστῶν διά τε σκυθρωπῶν προτρέπεται. ὑπ' ὄψιν ἡμῖν ἄγων τὴν τῆς ἄνω Ἱερουσαλὴμ λαμπρότητα, καὶ τῆς γεέννης τοῦ πυρὸς τὴν ἀφεγγῆ καὶ ὀδυνηρὰν σκυθρωπότητα, ἵνα ἢ πόθῳ τῆς αἰωνίου δόξης ἢ φόβῳ τῆς ἀπεράντου αἰσχύνης, ὡς καιρός ἐστι, τὸ ἀγαθὸν ἐργασώμεθα, σὺν τοῖς λοιποῖς ἀπηγορευμένοις, καὶ τοὺς δειλοὺς καὶ ἀνάνδρους ἐν τῇ κατὰ τοῦ διαβόλου πάλῃ τῷ δευτέρῳ θανάτῳ φήσας καταδικασθήσεσθαι.

9 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ Ἀγγέλων.

Διὰ τούτων δείκνυται μὴ μόνον τὰς κακωτικὰς ἐπάγειν πληγὰς τοὺς Ἀγγέλους, ἀλλὰ καὶ τὰ χαροποιὰ δεικνύειν. ὃ γὰρ τότε τὴν πληγὴν τοῖς ἀξίοις ἐπάγων, νῦν τὴν μακαριότητα τῆς Ἐκκλησίας τῷ ἁγίῳ ὑποδείκνυσιν. καλῶς δὲ τὴν νύμφην τοῦ ἀρνίου γυναῖκα φησιν· ὅτε γὰρ ὡς ἀμνὸς ἐσφαγιάσθη Χριστὸς, τότε αὐτὴν τῷ οἰκείῳ αἵματι ἐνυμφεύσατο. ὥσπερ γὰρ τοῦ Ἀδὰμ καθεύδοντος διεπλάσθη ἡ γυνὴ τῇ τῆς πλευρᾶς ἀφαιρέσει, οὕτω καὶ τῷ Χριστῷ ἐν τῷ σταυρῷ ἑκουσίως διὰ θανάτου ὑπνώσαντι τῇ ἐκχύσει τοῦ ἐκ τῆς πλευρᾶς αὐτοῦ αἵματος ἡ Ἐκκλησία συστᾶσα τῷ τυθέντι δι' ἡμᾶς ἥρμοσται.

10 Καὶ ἀπήνεγκέ με ἐν πνεύματι.

Τὸ ἀπενεχθῆναι ἐν πνεύματι δηλοῖ, τῷ ἐκ γῆς ἀρθῆναι τῷ φρονήματι διὰ τοῦ πνεύματος, πρὸς τὴν τῶν οὐρανίων κατανόησιν. ἐπ' ὄρος δὲ μέγα τὴν ἀνηγμένην καὶ ὑπερκόσμιον τῶν ἁγίων ζωὴν, ἐν ᾗ ἡ γυνὴ τοῦ ἀρνίου, ἡ ἄνω Ἱερουσαλὴμ, ὑπὸ Θεοῦ κοσμηθήσεται καὶ δοξασθήσεται.

11 Ὁ φωστὴρ αὐτῆς.

Φωστὴρ τῆς Ἐκκλησίας ὁ Χριστὸς, διὰ μὲν τῆς κρυσταλλιζούσης ἰάσπιδος, ὡς ἀειθαλὴς καὶ ζωόδωρος καὶ ὡς καθαρός· δι' ἑτέρων δὲ ἑτέρως ὡς σκιαγραφούμενος· οὐδὲ γὰρ ἑνὸς εἴδους παραδείγματι τῶν ποικίλων αὐτοῦ περὶ ἡμᾶς εὐεργεσιῶν τὸ πολύτροπον διαγραφῆναι δύναται.

12 Ἔχουσα τεῖχος μέγα.

Τεῖχος μέγα τῆς Ἐκκλησίας ἰσχυρὸν φρουρητικόν τε τῶν ἐν τῇ ἁγίᾳ πόλει, ὁ Χριστός ἐστιν, ἐν ᾧ πυλῶνες Ἰησοῦ οἱ ἅγιοι Ἀπόστολοι· δι' ὧν τὴν προσαγωγὴν καὶ τὴν εἴσοδον πρὸς τὸν Πατέρα ἐσχήκαμεν, καὶ αὐτοὶ δὲ συνεργούμενοι ὑπὸ Ἀγγέλων ιβ̄ τῶν προυχόντων τῷ Θεῷ κατὰ τὴν ἀγχιστείαν τὴν ἐν ἁγιότητι. εἰ γὰρ ἑκάστῳ τῶν πιστῶν Ἄγγελον ἔσεσθαι φύλακα πεπιστεύκαμεν, πολλῷ μᾶλλον τοῖς θεμελιωταῖς τῆς Ἐκκλησίας ἔδει τοὺς ἐν Ἀγγέλοις πρωτεύοντας συνεργοὺς πρὸς τὸ ἀγγελικὸν κήρυγμα νοεῖσθαι ἀκόλουθον. τὰ δὲ ὀνόματα τῶν φυλῶν τοῦ νοητοῦ Ἰσραὴλ ἐπὶ ταῖς ἀποστολικαῖς εἰσόδοις γέγραπται. ἐπειδὴ καὶ τὰ τοῦ αἰσθητοῦ Ἰσραὴλ ἐν τῇ ἐπωμίδι τοῦ πάλαι κατὰ καιρὸν ἀρχιερέως ἐγέγραπτο. καὶ γὰρ ἡ γραφὴ νῦν διὰ τῶν ὀνομάτων τούτων τὴν περὶ τῶν πιστῶν μέριμναν τοῖς Ἀποστόλοις προσμαρτυρεῖ, καθὼς ὁ Παῦλος φησὶν, "ἔχειν τὴν "μέριμναν πασῶν τῶν ἐκκλησιῶν."

13 Ἀπὸ ἀνατολῶν, πυλῶνες τρεῖς.

Τὸ τετραμερὲς σχῆμα τῶν πυλώνων, καὶ ἡ τρισσὴ αὐτῶν ἀνάπτυξις τὴν ἐκ τῆς τετραπεράτου οἰκουμένης τῆς προσκυνητῆς Τριάδος δηλοῖ ἐπίγνωσιν, ἣν διὰ τοῦ ζωοποιοῦ σταυροῦ εἰλήφαμεν. σταυροειδὲς γὰρ τὸ σχῆμα τῆς τῶν πυλώνων θέσεως.

14 Καὶ τὸ τεῖχος τῆς πόλεως.

Θεμέλιοι τοῦ τείχους οἱ ιβ̄ Ἀπόστολοι, ἐφ' οὓς ἡ τοῦ Χριστοῦ Ἐκκλησία τεθεμελίωται· ὧν τὰ ὀνόματα ὡς ἐν προγραφῇ τούτοις ἐπιγέγραπται πρὸς τὴν τῶν ἀναγινωσκόντων εὐμάθειαν.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ.

Ὁ χρυσὸς κάλαμος δηλοῖ τὸ τίμιον τοῦ τε μετροῦντος Ἀγγέλου καὶ τῆς μετρουμένης πόλεως, ἧς τεῖχος τὸν Χριστὸν

ἐξελάβομεν· οὐχ ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ Ἀγγέλων μετρουμένης, διὰ τοῦ καθαροῦ καὶ σοφοῦ τῶν ὑπερκοσμίων φύσεων, αἷς εἰκὸς ἔγνωσται τῆς ἄνω πόλεως τό τε μέγεθος ἥτε εὐπρέπεια. ἡγούμεθα δὲ τεῖχος ἐνταῦθα καὶ τὴν θείαν περιβολὴν καὶ σκέπην νοεῖσθαι, ἐν ᾗ οἱ ἅγιοι φυλαχθήσονται.

16 Καὶ ἡ πόλις τετράγωνος.

Τετράγωνος αὕτη διὰ τὸ ἑδραῖον καὶ πάγιον. αἱ δὲ ιβ̅ χιλιάδες τῶν σταδίων ἃς ἔχειν φησὶ τὴν πόλιν, ἴσως μὲν σημαίνουσι τὸ ταύτης μέγεθος, ἴσως δὲ καὶ διὰ τὸν ἀριθμὸν τῶν ιβ̅ Ἀποστόλων δι᾽ ὧν αὐτὴ κατοικίζεται.

Καὶ τὸ πλάτος.

Τὸ μέτρον τοῦ βάθους τοῦ τείχους πηχῶν ρμδ̅. δωδεκάκις γὰρ ὁ ιβ̅ ἀριθμὸς συντιθέμενος, ὁ τὴν ἀποστολικὴν διδασκαλίαν ἐμφαίνων, τοῦτον ἀποτελεῖ τὸν ἀριθμόν.

18 Καὶ ἦν ἡ ἐνδόμησις.

Ἡ ἐνδόμησις τοῦ τείχους ἡ ἴασπις τὴν ἀειθαλῆ καὶ ἀμάραντον ζωὴν τῶν ἁγίων ἐνδείκνυται· καθαρὸν δὲ τὸ χρυσίον αὐτῆς ὡς ὕαλος, διὰ τὸ διαυγὲς καὶ λαμπρὸν τῶν αὐτῆς οἰκητόρων.

19 Οἱ θεμέλιοι τοῦ τείχους.

Οἱ ιβ̅ θεμέλιοι, ιβ̅ λίθοι τίμιοι· ὧν η′ ἐν τῷ λογείῳ τοῦ ἀρχιερέως πάλαι ἀνεφέροντο. οἱ δὲ δ′ παρηλλαγμένοι εἰσὶν, ἵνα φανῇ καὶ τὸ σύμφωνον τῆς νέας πρὸς τὴν παλαιὰν, καὶ τὸ ὑπερέχον τῶν ἐν αὐτῇ διαλαμψάντων. οἱ Ἀπόστολοι τοίνυν πάσῃ ἀρετῇ διὰ τῶν τιμίων λίθων ἐκφαινόμενοι κεκόσμηνται.

Ὁ θεμέλιος ὁ πρῶτος.

Διὰ τῆς ἰάσπιδος χλωριζούσης τὴν χροιὰν κατὰ τὴν σμάραγδον, εἰκὸς τὸν κορυφαῖον Πέτρον δηλοῦσθαι· ἅτε τὴν νέκρωσιν τοῦ Χριστοῦ βαστάσαντα ἐν τῷ σώματι, καὶ τὸ ἀειθαλὲς καὶ νεάζον ἐν τῇ πρὸς αὐτὸν ἀγάπῃ ἐνδειξάμενον, ὁδηγῆσαν καὶ ἡμᾶς εἰς τόπον χλόης διὰ θερμῆς πίστεως.

Ὁ δεύτερος σάπφειρος.

Διὰ τοῦ σαπφείρου ἐοικότος τῷ οὐρανίῳ σώματι, τὸν Ἀπόστολον Παῦλον σημαίνεσθαι, ἕως τρίτου οὐρανοῦ ἀναληφθέντα,

κἀκεῖ ἕλκοντα τοὺς αὐτῷ πειθομένους, ἔνθα εἶχεν ἐν οὐρανοῖς τὸ πολίτευμα.

Ὁ τρίτος χαλκηδών.

Οὗτος ἐν τῷ ἱερατικῷ λογείῳ οὐ φέρεται, ἀλλ' ἄνθραξ ὃς ἐνταῦθα οὐ κεῖται. σκοπητέον οὖν μήποτε τὸν ἄνθρακα οὕτως ἐκάλεσεν ὁ ἅγιος. ἄνθραξ δὲ ὁ Ἀπόστολος Ἀνδρέας, ὡς ἀναφθεὶς ἐκ τοῦ Πνεύματος.

Ὁ τέταρτος σμάραγδος.

Διὰ τοῦ σμαράγδου χλωροῦ τὴν χροιὰν τυγχάνοντος, καὶ ἐλαίῳ τρεφομένου, τήν τε διαύγειαν καὶ τὴν ὥραν ἐξ αὐτοῦ προσλαμβάνοντος τὸ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου δηλοῦσθαι κήρυγμα, τὸ φαιδρύνον ἐλαίῳ τὴν ἐξ ἁμαρτημάτων ἡμῶν κατήφειαν, καὶ τὸ ἀειθαλὲς ἐν τῇ πίστει δωρούμενον τοῦ πολυτίμου τῆς θεολογίας χαρίσματος.

20 Ὁ πέμπτος σαρδώνυξ.

Διὰ τοῦ σαρδώνυχος τοῦ τὴν τοῦ ἀνθρωπίνου ὄνυχος μετὰ διαυγείας ἔχοντος, δηλοῦσθαι εἰκὸς τὸν Ἰακὼβ, πρὸ τῶν ἄλλων τὴν σωματικὴν διὰ Χριστὸν δεξάμενον νέκρωσιν, ἣν ὁ ὄνυξ χαρακτηρίζει, ἀμοιρῶν ἐν τῷ τέμνεσθαι αἰσθήσεως.

Ὁ ἕκτος σάρδιον.

Διὰ τοῦ σαρδίου ἅτε πυρροῦ τὴν χροιὰν καὶ διαυγοῦς, θεραπευτικῆς τε ὄντος δυνάμεως οἰδημάτων καὶ τῶν ἀπὸ σιδήρου πληγῶν, τῆς τοῦ Φιλίππου ἀρετῆς τὸ κάλλος χαρακτηρίζεται, φαιδρυνομένης τῷ πυρὶ τοῦ θείου Πνεύματος, καὶ θεραπευούσης τῶν πεπλανημένων τὰ ψυχικὰ τραύματα, ἅπερ ὑπὸ τοῦ διαβόλου τρωθέντες ἐδέξαντο.

Ὁ ἕβδομος χρυσόλιθος.

Διὰ τοῦ χρυσολίθου χρυσῷ ἐοικότος τὴν στιλβότητα ὁ Βαρθολομαῖος τάχα εἰκονίζεται, ταῖς πολυτίμοις ἀρεταῖς κατηγλαϊσμένος, καὶ τῷ θείῳ κηρύγματι.

Βήρυλλος.

Διὰ τοῦ βηρύλλου θαλασσοβαφοῦς καὶ ἀερίζοντος, τῷ ὑακίνθῳ

πλησιάζοντος, τὸν Θωμᾶν σημαίνεσθαι μακρὰν διαπόντιον ἀποδημίαν μέχρις Ἰνδῶν διὰ τὴν αὐτῶν σωτηρίαν στειλάμενον.

Ὁ ἔνατος τοπάζιον.

Διὰ τοῦ τοπαζίου ἐρυθροῦ ὄντος καὶ ἐοικότος τῷ ἄνθρακι καὶ ὀπὸν ἀφιέντος γαλακτώδη ὀφθαλμιῶσιν ἀλεξίπονον, ἡ τοῦ Εὐαγγελιστοῦ Ματθαίου ψυχὴ δηλοῦται, πεπυρωμένη τῷ θείῳ ζήλῳ, καὶ κεκοσμημένη τῇ τοῦ οἰκείου αἵματος διὰ Χριστὸν ἐκχύσει, ἐξιωμένη τε διὰ τοῦ Εὐαγγελίου τοὺς τῇ καρδίᾳ τυφλώττοντας, καὶ γάλα τοὺς ἀρτιγενεῖς τῇ πίστει ποτίζουσα.

Ὁ δέκατος χρυσόπρασος.

Διὰ τοῦ χρυσοπράσου βαθυτέρου τὴν χροιὰν παρὰ τὸν χρυσὸν ὑπάρχοντος τὸν Θαδδαῖον σημαίνεσθαι, τὸν τῷ Αὐγάρῳ τὴν Χριστοῦ βασιλείαν, τὴν διὰ τοῦ χρυσοῦ δηλουμένην, καὶ τὴν διὰ τοῦ πράσου σημαινομένην αὐτοῦ νέκρωσιν, εὐαγγελισάμενον.

Ὑάκινθος.

Διὰ τοῦ ὑακίνθου τὴν ἰδέαν κυανίζοντος, ἤγουν ἀερίζοντος, τὸν Σίμωνα ὡς ζηλωτὴν τῶν τοῦ Χριστοῦ χαρισμάτων καὶ οὐράνιον ἔχοντα φρόνημα, εἰκὸς σημαίνεσθαι ὑπολαμβάνομεν.

Ἀμέθυσος.

Διὰ τοῦ ἀμεθύσου τῇ μορφῇ πως πυρίζοντος, τὸν Ματθίαν ἴσως σημαίνεσθαι, τοῦ θείου πυρὸς ἐν τῇ τῶν γλωσσῶν διανομῇ καταξιωθέντος, καὶ τὸν τοῦ ἐκπεπτωκότος τόπον ἀναπληρώσαντος, πόθῳ τῆς πρὸς τὸν ἐκλεξάμενον εὐαρεστήσεως.

21 Καὶ οἱ δώδεκα πυλῶνες.

Οἱ ιβ̄ πυλῶνες δηλαδὴ οἱ αὐτοὶ Ἀπόστολοι, δι' ὧν τὴν θύραν καὶ τὴν ὁδὸν ἐπέγνωμεν, ιβ̄ εἰσὶ μαργαρῖται, ἐξ ἑνὸς πολυτιμήτου μαργαρίτου Χριστοῦ τὴν διαύγειαν κτησάμενοι.

Καὶ ἡ πλατεῖα τῆς πόλεως.

Ἓν παράδειγμα τὴν ἀκρίβειαν τῶν τῆς ἄνω πόλεως ἀγαθῶν παραστῆσαι οὐ δύναται· διὸ τὴν πλατεῖαν τῆς πόλεως, διὰ μὲν τὸ πολυτελὲς καὶ εὔχρουν, ὡς χρυσίον, διὰ δὲ τὸ καθαρὸν, ὡς κρύσταλλον, ἐθεάσατο.

22 Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ.

Τοῖς ἔχουσι τὸν Θεὸν φρουρὰν καὶ σκέπην, τίς χρεία ναοῦ αἰσθητοῦ; οὗτος γὰρ ἔσται τῶν ἁγίων καὶ ναὸς καὶ ἔνοικος, ἐνοικῶν ἐν αὐτοῖς καὶ ἐμπεριπατῶν, καθὼς ἐπήγγελται τῷ ἀρνίῳ· ὁ δι' ἡμᾶς σφαγιασθεὶς ἀμνὸς τοῦ Θεοῦ, ᾧ δηλαδὴ οὐσιωδῶς καὶ τὸ ζωοποιὸν Πνεῦμα συντέτακται.

23 Καὶ ἡ πόλις.

Ἔνθα ὁ τῆς δικαιοσύνης νοητὸς ἥλιος, αἰσθητῶν φωστήρων οὐ χρεία, αὐτὸς γὰρ αὐτοῖς δόξα, καὶ λύχνος.

24 Καὶ περιπατήσουσι τὰ ἔθνη.

Τὰ μὲν οὖν σωζόμενα ἔθνη ἐν φωτὶ αὐτῆς, φησὶ, περιπατήσουσιν· οἱ δὲ ἐν τῇ γῇ τῶν παθῶν βασιλεύσαντες, τὴν τῶν ἀγαθῶν πράξεων δόξαν καὶ τιμὴν ἐν αὐτῇ οἴσουσι. τὸ δὲ μὴ κλεισθῆναι τὰς πύλας δηλοῖ, ἢ τὸ ἀσφαλὲς τῶν οἰκητόρων αὐτῆς καὶ ἄτρεπτον, ἢ τὸ κακεῖ τοὺς θείους πυλῶνας τῆς ἀποστολικῆς διδασκαλίας ἠνεῶχθαι πᾶσιν, πρὸς τὴν τῶν τελειοτέρων μάθησιν. ἡμέρα δὲ ἔσται ἐκεῖ καὶ οὐ νύξ· ἡ γὰρ νὺξ τοῖς ἁμαρτωλοῖς ἀποκληρωθήσεται.

26 Καὶ οἴσουσι τὴν δόξαν.

Ἡ λαμπρότης καὶ ἡ δόξα τῶν ἐν τοῖς ἔθνεσι Χριστῷ εὐαρεστησάντων, ἐν τῇ πόλει ἐκείνῃ καρποφορηθήσονται. πᾶν δὲ κοινὸν καὶ ἀκάθαρτον ἐκεῖ οὐκ εἰσελεύσεται. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος;

1 Καὶ ἔδειξέ μοι ποταμὸν καθαρόν.

Τῆς ἄνω Ἱερουσαλὴμ ὁ πεπληρωμένος ὑδάτων πολλῶν ποταμὸς τοῦ Θεοῦ ἐκπορευόμενος, τὸ ζωοποιὸν Πνεῦμα ἐστὶν, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, καὶ διὰ τοῦ ἀρνίου διὰ μέσου τῶν ὑπερτάτων δυνάμεων, αἳ θρόνος τοῦ Θεοῦ ὀνομάζονται, τὰς πλατείας πληροῦν τῆς ἁγίας πόλεως, δηλαδὴ τὸ πλῆθος αὐτῆς.

2 Καὶ τοῦ ποταμοῦ ἐντεῦθεν.

Ὁ ποταμὸς οὗτος, φησὶ, ποτίζει τοὺς πεφυτευμένους αὐτῷ ἁγίους, ξύλον ζωῆς τροπικῶς ὠνομασμένους κατὰ μετοχὴν καὶ μίμησιν τοῦ τῆς ζωῆς ξύλου. ιβ̄ δὲ καρποὺς βλαστάνοντας,

τουτέστιν ἀδιάλειπτον τὴν τῶν καρπῶν βλαστάνοντας ἔκφυσιν. καὶ γὰρ πληρέστατος ἔσται ὁ τῆς καρποφορίας τῶν ἁγίων αἰὼν, ὃς ἐνταῦθα δωδεκάμηνος προσηγόρευται, διά τε τοῦ παρ᾽ ἡμῖν ἐνιαυτοῦ τὴν συνήθειαν, διά τε τῶν ιβ̅ Ἀποστόλων τὸ κήρυγμα.

Καὶ ἄλλως δέ ἐστι τοῦτο νοῆσαι, διὰ μὲν τοῦ ποταμοῦ ὡς εἴρηται, τὰ τοῦ ζωοποιοῦ Πνεύματος χαρίσματα, ἅπερ διὰ τοῦ θρόνου Πατρὸς καὶ Υἱοῦ, δηλαδὴ τῶν Χερουβικῶν τάξεων, οἷς ὁ Θεὸς ἐνθρονίζεται, εἰς τὴν πλατεῖαν τῆς πόλεως, τουτέστι τὴν πολυάνθρωπον τῶν ἁγίων πληθὺν ἔξεισιν, ὡς ἐκ πρώτων μετοχετευόμενα. ξύλον δὲ τῆς ζωῆς, τὸν Χριστὸν σημαίνεσθαι, ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ καὶ περὶ τὸ Πνεῦμα νοούμενον, καὶ διὰ τοῦ οἱ ιβ̅ καρποὶ τοῦ Ἀποστολικοῦ χοροῦ ἀνέκλειπτον τὸν τῆς θεογνωσίας καρπὸν ἡμῖν δωρούμενοι, δι᾽ ὧν ἐνιαυτὸς Κυρίου δεκτὸς, καὶ ἡ ἡμέρα τῆς ἀνταποδόσεως ἡμῖν καταγγέλλεται.

Καὶ τὰ φύλλα τοῦ ξύλου.

Φύλλα τοῦ ξύλου δηλαδὴ τοῦ Χριστοῦ αἱ ἐπιπολαιότεραι τῶν θείων κριμάτων νοήσεις, ὥσπερ καρποὶ ἡ τελεωτέρα γνῶσις ἡ ἀποκαλυπτομένη ἐν τῷ μέλλοντι. ταῦτα τὰ φύλλα εἰς θεραπείαν, δηλαδὴ εἰς τὴν τῆς ἀγνοίας ἀποκάθαρσιν τῶν ὑποβεβηκότων ἐν τῇ τῶν ἀρετῶν ἐργασίᾳ ἐθνῶν ἔσονται. πολλαὶ γὰρ μοναὶ περὶ τὰ πρακτικὰ τὴν ἑκάστου ἀναλογίαν τῶν πράξεων. καὶ ἑτέρως δὲ τοῦτο νοητέον. ξύλον ζωῆς ποιοῦν καρποὺς ιβ̅ τὸν ἀποστολικὸν χορὸν κατὰ μετοχὴν τοῦ ὄντος ξύλου τῆς ζωῆς, τούτων καρποὶ οἱ ἐν ρ̅ καρποφορήσαντες, φύλλα δὲ οἱ ἐν ξ̅, οἳ καὶ τοῖς ἐν λ̅ τοῖς ἐκ τῶν ἐθνῶν τὴν θεραπείαν προσοίσουσι, τοῖς ὑποβεβηκόσι τὴν θείαν αἴγλην πορθμεύοντες, ἅπερ διὰ τῶν καρποφορησάντων ἐν ρ̅ ἐδέξαντο. ὅση γὰρ φύλλων καὶ καρπῶν διαφορὰ, τοσαύτη καὶ τῶν τότε σωζομένων, τῶν μὲν ἧττον, τῶν δὲ πλεῖον δοξαζομένων καθὼς γέγραπται.

3 Καὶ πᾶν κατάθεμα.

Τοῦ ἀναθέματος δισσῶς νοουμένου, τοῦ μὲν ὡς τῷ Θεῷ μόνῳ ἀνατιθεμένου, τοῦ δὲ ὡς τῷ διαβόλῳ ἀνακειμένου, τοῦτο ἐνταῦθα κατ᾽ ἐπίτασιν εἰρῆσθαι φασὶ κατάθεμα· τῷ γὰρ ὄντι τὸ τοιοῦτον

οὐκ ἀνατίθεται, ἀλλὰ κατατίθεται τῷ διαβόλῳ ὑποταττόμενον καὶ συγκαταδικαζόμενον, ὅπερ ἐν τῇ πόλει ἐκείνῃ οὐκ ἔσται.

Καὶ ὁ θρόνος τοῦ Θεοῦ.

Οἱ γινόμενοι, φησὶ, θρόνος Θεοῦ διὰ τῆς ἐν αὐτοῖς τοῦ Θεοῦ ἀναπαύσεως, αὐτοὶ τῆς πόλεως οἰκήτορες ἔσονται, καὶ ὄψονται αὐτὸν οὐ δι' αἰνιγμάτων, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον· ἕξουσι δὲ ἀντὶ χρυσοῦ πετάλλου[n], ὃ πάλαι ὁ ἀρχιερεὺς ἐφόρει, οὐκ ἐπὶ τῶν μετώπων μόνον τὸ θεῖον ὄνομα, ἀλλὰ καὶ ἐν ταῖς καρδίαις ἐγκεχαραγμένον, δηλοῦν τὴν εἰς αὐτὸν πεπαρρησιασμένην ἀγάπην ἁγίαν καὶ ἀμετάθετον.

5 Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ.

Τοῖς δὲ τὸν Κύριον, φησὶ, τῆς δόξης φωτισμὸν καὶ βασιλέα ἔχουσιν, οὐκ ἔσται χρεία λυχναίου ἢ καὶ ἡλιακοῦ φωτὸς, ὑφ' οὗ αἰῶνας αἰώνων βασιλευθήσονται, μᾶλλον δὲ συμβασιλεύσουσιν.

6 Καὶ εἶπεν μοι.

Μέχρι τῶν ἐνταῦθα τὴν τοῦ Ἀγγέλου ὀπτασίαν καὶ τῶν τεθεαμένων τὴν ἑρμηνείαν παραθέμενος, λοιπὸν ὡς ἐξ οἰκείου προσώπου φησὶ, πιστοὶ δὲ καὶ ἀληθινοὶ οἱ λόγοι, ὡς ἐκ τῆς ἀληθείας ὄντες.

Καὶ Κύριος ὁ Θεός.

Εἰ Θεὸς τῶν προφητῶν ὁ Χριστὸς ὃς τὸν Ἄγγελον αὐτοῦ ἀπέστειλε διὰ μέσου τοῦ τὴν ὀπτασίαν ἑωρακότος Ἰωάννου, δεῖξαι τοῖς δούλοις αὐτοῦ τὰ μέλλοντα γίνεσθαι, εὔδηλον ὅτι συγκαταβατικῶς κατ' οἰκονομίαν τῷ Υἱῷ ἐν τοῖς προοιμίοις ἔφη δίδοσθαι διὰ τὴν σάρκα τὴν Ἀποκάλυψιν.

7 Ἰδοὺ ἔρχομαι ταχύ.

Ἔθος ἐστὶ τοῦτο καὶ τοῖς θείοις προφήταις, ὡς ἐξ οἰκείου προσώπου τὰ θεῖα χρησμῳδεῖν. τὸ δὲ "ταχὺ ἔρχομαι," ἢ δηλοῦντος ἐστὶ τὴν τοῦ παρόντος καιροῦ βραχύτητα συγκρίσει τοῦ μέλλοντος, ἢ τῆς ἑκάστου τελευτῆς τὸ ἀθρόον καὶ σύντομον· ἑκάστῳ γὰρ τέλος ἡ ἐντεῦθεν αὐτοῦ μετάστασις.

8 Καὶ ἐγὼ Ἰωάννης οὐ βλέπων.

Ὥσπερ ἐν τῷ Εὐαγγελίῳ πεποίηκεν εἰπὼν, "καὶ ὁ ἑωρακὼς

[n] Sic.

"μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ," οὕτω κανταῦθα αὐτήκοος εἶναι καὶ αὐτόπτης τῶν προφητευθέντων ὁμολογήσας, τὰ ἑωραμένα ἐπιστώσατο. ἔδειξε δὲ καὶ τοῦ τυπώσαντος Ἀγγέλου τὸ εὐλαβὲς, ὅπως τὴν προσκύνησιν τοῦ συνδούλου οὐ προσήκατο, ἀλλ' εὐγνωμόνως τῷ κοινῷ δεσπότῃ προσένειμεν.

10 Καὶ λέγει μοι· οὐ σφραγίσῃς.

Ἐντεῦθεν εἰς τὸ δεσποτικὸν μέτεισι τοῦ Χριστοῦ πρόσωπον λέγων, μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας, καὶ γὰρ ἀξία ἡ βίβλος τῆς παρὰ τῶν πιστῶν ἀναγνώσεως. διά τε γὰρ τῆς ἡτοιμασμένης τοῖς ἁμαρτωλοῖς κολάσεως, διά τε τῆς ἐπηγγελμένης τοῖς ἁγίοις ἀναπαύσεως ὁδηγεῖ πρὸς τὴν ὄντως ζωὴν τοὺς ἐντυγχάνοντας.

11 Καὶ ὁ δίκαιος δικαιοσύνην ποιησάτω.

Οὐχ ὡς εἰς ἀδικίαν καὶ ῥυπαρίαν προτρέπων τὰ παρατεθέντα εἴρηκεν, ἀλλ' ὡς τὸ τῆς γνώμης φυλάττων ἀκατανάγκαστον, ὡς ἂν εἴποι, ἕκαστος τὸ ἀρεστὸν αὐτῷ ποιησάτω, τινὰ οὐ βιάζομαι, τὴν προαίρεσιν δειξας, ἑκάστῳ ἐπιτηδεύματι πέρας ἀκολουθεῖν κατάλληλον, ὅταν ἔρχωμαι ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

13 Ἐγὼ τὸ ἄλφα.

Οὐκ ἔστι, φησὶ, πρὸ ἐμοῦ, οὔτε μετ' ἐμὲ θεὸς ἕτερος· οὔτε γὰρ τῆς ἀρχῆς ἔστι τί πρεσβύτερον, οὔτε τῆς θεϊκῆς βασιλείας καὶ ἐξουσίας ἔσται τέλος. εἴρηται δὲ καὶ ἀνωτέρω πρῶτος ὁ Χριστὸς διὰ τὴν θεότητα, ἔσχατος δὲ διὰ τὴν ἀνθρωπότητα.

14 Μακάριοι οἱ ποιοῦντες.

Ὄντως μακαρισμοῦ ἄξιοι οἱ τοιοῦτοι, ἐξουσίαν γὰρ ἕξουσιν τῇ ἀλήκτῳ ζωῇ, τῷ ξύλῳ τῆς ζωῆς Χριστῷ τῷ Θεῷ ἡμῶν ἐπαναπαύεσθαι καὶ ἐντρυφᾷν τῇ αὐτοῦ θεωρίᾳ καὶ τοῖς ἀποστολικοῖς πυλῶσι, δηλαδὴ τοῖς αὐτῶν διδάγμασιν εἰς τὴν ἄνω πόλιν διὰ τῆς ἀληθινῆς θύρας εἰσελεύσονται, μὴ ὑπερπηδῶντες ἑτέρωθεν καθὼς οἱ μισθωτοὶ ποιμένες, ἀλλ' ὑπὸ τοῦ θυρωροῦ τῆς ζωῆς εἰσαγόμενοι.

15 Ἔξω οἱ κύνες.

Κύνες οὐ μόνον οἱ ἀναιδεῖς καὶ ἄπιστοι, καὶ οἱ ἐν τῇ κατατομῇ κακοὶ ἐργάται, κατὰ τὸν ἀπόστολον, καὶ οἱ μετὰ τὸ βάπτισμα ἐπιστρέψαντες εἰς τὸν ἴδιον ἔμετον, διὸ σὺν τοῖς πόρνοις καὶ εἰδωλολάτραις τῆς ἄνω ἀλλοτριοῦνται πόλεως.

Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν Ἄγγελόν μου.

Κἀνταῦθα τὸ δεσποτικὸν τοῦ πεπομφότος τὸν Ἄγγελον ἀξίωμα δείκνυται· τὸ δὲ μαρτυρῆσαι ἀντὶ τοῦ διαμαρτύρασθαι τέθειται.

16 Ἐγώ εἰμι ἡ ῥίζα.

Ῥίζα τοῦ Δαβὶδ ὁ Χριστὸς ὡς Θεος, γένος δὲ ὡς κατὰ σάρκα ἐξ αὐτοῦ βλαστήσας, ἀστὴρ δὲ πρωϊνὸς, ὡς ἐν τῷ πρωῒ ἀνατείλας ἡμῖν τριήμερος, καὶ ἐν τῇ μετὰ τὴν νύκτα τοῦ παρόντος βίου πρωϊνῇ τῆς κοινῆς ἀναστάσεως τοῖς ἁγίοις ἐπιφανησόμενος, τὴν ἡμέραν αὔξων τὴν ἀτελεύτητον.

17 Καὶ τὸ Πνεῦμα καὶ ἡ νύμφη.

Καὶ ἡ Ἐκκλησία καὶ τὸ ἐν αὐτῇ Πνεῦμα κράζει ἐν ταῖς καρδίαις ἡμῶν "ἀββᾶ ὁ πατὴρ," καὶ τὴν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ παρουσίαν ἐπικαλεῖται· καὶ πᾶς δὲ πιστὸς τῷ Θεῷ καὶ Πατρὶ προσευχόμενος λέγει, "ἐλθέτω ἡ βασιλεία σου."

Καὶ ὁ διψῶν ἐρχέσθω.

Δίψης χρεία ἐν τῷ τῆς ζωῆς πόματι πρὸς βεβαίαν τοῦ κτηθέντος κατάσχεσιν, μάλιστα ὅτι καὶ δῶρον παρέχεται, οὐ τοῖς μηδόλως καμοῦσιν, ἀλλὰ τοῖς οὐκ ἄξια τῆς τοῦ δώρου μεγαλειότητος, μόνην δὲ γνώμην γνησίαν καὶ διάπυρον, ἀντὶ χρυσίου καὶ ἀργυρίου καὶ σωματικῶν πόνων, εἰσφέρουσιν.

18 Ἐπιθήσει ἐπ' αὐτόν.

Φοβερὰ ἡ κατὰ τῶν παραχαρακτῶν τῶν θείων γραφῶν κατάρα, ἐπειδὴ καὶ τολμηρὰ ἡ τούτων προπέτεια, ἀλλοτριῶσαι δυναμένη τοὺς αὐθάδεις τῶν ἀγαθῶν ἐκείνου τοῦ αἰῶνος τοῦ μέλλοντος. ὅπερ ἵνα μὴ πάθωμεν, διαμαρτύρεται ἡμῶν τοῖς ἀκούουσι μήποτε προσθεῖναι μηδὲ ἀφελεῖν, ἀλλὰ τὰ γραφικὰ ἰδιώματα τῶν Ἀττικῶν συντάξεων καὶ τῶν διαλεκτικῶν συλλογισμῶν ἡγεῖσθαι ἀξιοπιστότερα καὶ σεμνότερα.

20 *Λέγει ὁ μαρτυρῶν ταῦτα.*

Κἀγώ, φησιν, ὁ ταῦτα λέγων πρὸς σὲ τὴν ζωὴν ἔρχομαι, καὶ αὐτὸς δὲ παραγενοῦ, Κύριε. ἢ καὶ ἑτέρως, τοῦτο ἐκ προσώπου τοῦ Χριστοῦ εἴρηται. ὁ μαρτυρῶν ταῦτα, δηλαδὴ ὁ διαμαρτυρούμενος ἔρχομαι ταχύ. ἐκ δὲ τοῦ ἀποστολικοῦ προσώπου τὸ ἑπόμενον, τὸ "ἔρχου Κύριε Ἰησοῦ Χριστέ·" περιπόθητος γὰρ τοῖς ἁγίοις ἡ τοῦ Χριστοῦ παρουσία, ὡς τὸν μισθὸν τῶν εἰργασμένων ἀποδώσοντος πολυπλασίονα. ὅθεν καὶ ἡ παροῦσα βίβλος ἁγία καὶ θεόπνευστος, πρὸς τὴν μακαρίαν λῆξιν ὁδηγοῦσα τοὺς ἐντυγχάνοντας, τῆς τῶν ἐντολῶν τηρήσεως μισθὸν, τὴν ἐκ Θεοῦ δόξαν παρέχουσα. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ζωοποιῷ Πνεύματι, πρέπει δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

VARIETAS LECTIONIS

COD. COISL. XXV. CAT. IN CATH. EPIST.

Pag. 1. lin. 9. καὶ] καὶ ὅτι.
1, 15. καὶ διδάξας] id.
2, 15. Τοῦ] Τοῦ ἁγίου ιω τοῦ.
3, 5. εἰσενέγκεις] εἰσενέγκης.
3, 14. ὅτι] ὅτι τὸ.
3, 15. ἦτε] ἦ.
3, 28. Κυρίλλου] Κυρίλλου τοῦ ἁγίου Ἀλεξανδρείας.
4, 7. ἐντολῇ θ′.] ἐντολῆς ἐνάτης.
4, 8. τι] om.
4, 8. Κυρίου καὶ] Θεοῦ λέγων ἐν σεαυτῷ ὅτι πῶς δύναμαι αἰτήσασθαί τι παρὰ τοῦ Κῦρ.
4, 14. ἀλλήλους] ἀλλήλοις.
4, 12. ὑπομονὴ] id.
4, 22. ἄλλο] ἄλλου.
4, 24. γὰρ] γὰρ ὁ.
4, 30. στεφάνου] στεφάνους.
4, 32. ψιλὴν νόησιν] ψιλῇ νοήσει.
5, 6. Ἁμαρτίαν] om.
5, 7. Ὅτι] Ὠριγένους. Ὅτι.
5, 7. πειράζων] πειράζει.
5, 8. κακῶν.] κακῶν. τουτέστι διὰ τοῦτο πειράζει, ἵνα τύχωσι τῶν ἀγαθῶν καὶ ἀπαλλαγῶσι κακῶν.
5, 14. Εἰς βλάβην· ἐπ' ἀγαθῷ γὰρ ἐπείρασε τὸν Ἀβραάμ] om.
5, 17. Σευήρου] Σευήρου ἀρχ. ἐπισκοπ. Ἀντιοχ.
5, 17. ῥητὸν] ῥητὸν οὕτως.
5, 17. ἐξηγεῖσθαι] ἐξηγήσασθαι.
5, 19. συλλαμβανοῦσα] συλλαβοῦσα.
5, 21. ἁμαρτωλὸν] ἁμαρτωλὸν τὸν.
5, 22. ἁμαρτάνοντος] ἁμαρτῶντος.
5, 23. εἷς ὢν] εἷς τῶν σοφῶν Χριστοῦ.
6, 1. λάβῃ] λάβοι.
6, 26. Σευήρου] Σευήρου ἀρχ. ἐπισκοπ. Ἀντιοχ.
6, 27. ἀλλοίωμαι.] ἠλλοίωμαι.
6, 27. τὸ] id.
7, 14. σωτηρίαν] ἐλευθερίαν.
7, 14. καὶ] om.
7, 16. Τῷ τῆς ὁμολογίας, τῷ τῆς πίστεως] in marg.
7, 17. Πρωτοτόκους ἐν τοῖς οὐρανοῖς] in marg.
7, 26. τὴν] om.
7, 27. ἡμῖν] ἡμῖν· οὐ γὰρ κατὰ φύσιν ἡμῖν.
7, 30. ἔχον] ἔχοντα.
8, 7. Καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας.] om.
8, 9. βεβαιώσει] βεβαιώσῃ.
8, 20. γέγονε.] γέγονε. καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας.
8, 21. οἵους] οἵας.
8, 21. ὁ Θεὸς,] ὁ πνευματικὸς νόμος.
8, 23. λανθανόμεθα.] ἐπιλανθ.
8, 31. ὀλοθρευτῇ] ὀλοθρεύοντι.
9, 3. ἡ θρησκεία.] ἡ πίστις in marg.
9, 4. ἢ] erat εἰ.
9, 10. Χριστῷ.] Χριστῷ, πιστὸς ἢ ἑτερόδοξος.

9, 15. Τοῦ] Τοῦ ἁγίου ιω τοῦ.
9, 16. τῷ] τὸ ex correct.
9, 18. παρὰ] περὶ.
9, 19. ὑμῶν] ἡμῶν.
9, 29. αὐχίζεις] σχίζεις.
10, 8. Τοῦ] Τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσ.
10, 9. αὐτὸν] ἐκεῖνον.
10, 11. ἐπαισχύνῃς] ἐπαισχυνθῇς.
10, 17. Τοῦ αὐτοῦ.] Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ῥητοῦ προκειμένου ὑμεῖς ἀδελφοὶ μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες.
10, 18. δίδους] δίδως.
10, 21. πολλῆς] πολλῆς τῆς.
10, 24. τῷ] τὸ.
10, 28. ἐλεησόμενος] ἐλεηθησόμενος.
10, 31. παροξύνει] παρωξύνει.
11, 6. Χρυσοστόμου.] αὐτοῦ.
11, 9. στερηθεὶς,] γυμνωθεὶς.
11, 11. Ἀπολιναρίου.] om.
11, 18. Ὥσπερ] Ἀπολιναρίου. Ὥσπερ.
11, 19. σου] σοι.
11, 22. αὐτούς] αὐτοῖς.
11, 22. οὕτως] οὗτος ex correct.
11, 26. Τῷ] Τὸ.
11, 28. ὅτι] ὅτι δὲ.
12, 3. Κύριος] Κύριος γὰρ.
12, 19. ἄγον] ἄγων.
12, 20. ἠφάνισε.] ἠφάνισεν.
12, 24. εἶπε·] εἶπεν.
12, 25. τῷ] τὸ.
12, 27. τὸ] τῷ.
12, 31. τῷ λαμπροτέρῳ] τὸ λαμπρότερον.
13, 1–9. Τοῦ Χρυσοστόμου.— ποιήσαντι ἔλεος.] Ἡ γὰρ— ἀλγήσητε.
13, 9. ἔλεος.] ἔλεον.
13, 11. ἐξολισθαίνειν] ἐξολισθάνειν.
13, 16. ἐστὶ,] ἐστὶν.
13, 19. αὐτῶν] αὐτὴν.
13, 21. ἡμαρτηκότων] ἡμαρτικότων.
13, 25. Βασίλισσα] βασίλεισσα.
13, 25. ὁμοίως] ὁμοίους.
13, 28. ἐκεῖ] ἐκεῖ φησὶ.
13, 30. περιστερά τις χρυσῆ] περιστερὰ χρυσῆ.
13, 31. οὐδὲν] οὐδὲν τοῦ.
14, 3. κρινώμεθα,] κρινόμεθα.
14, 24. ῥήματι] ῥήμασι.
14, 29. μόνον] μόνῳ.
15, 8. σοι] σου.
15, 27. τὴν κατάπαυσιν ἐκείνην·] ἐκείνην τὴν κατάπαυσιν.
15, 33. καταξιωσηθόμεθα,] καταξιωθησόμεθα.
16, 3. προσεοικὸς,] προσεοικὼς.
16, 6. ἀγαθῆς] ἀληθῶς.
16, 11. χαρακτῆρα] χαρακτῆρα διὰ.
16, 32. βαπτίσματος] βαπτίσματος καὶ τῆς μετὰ τὸ βάπτισμα.
17, 10. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου.
17, 11. δικαιῶσθαι] δεδικαιῶσθαι.
17, 17. τῷ] om.
17, 21. Πνεύματι] Πνεύματι λαλῶν.
17, 26. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρειας.
17, 27. νόμους] νόμοις.
17, 28. τῆς] τη.
17, 29. ἀγάπης] ἀγάπην.
18, 1. δικαιοσύνην] δικαίωσιν.
18, 7. πορνείᾳ] πορνείῳ.
18, 9. ἀκάνθοις] ἀκάνθαις.
18, 22. ὄντα] ὄντα διδάσκων ὡς ὄντα.
18, 24. πίστιν] πίστιν ταύτην.
18, 29. Σευήρου] Σευήρου Ἀντιοχείας.
19, 9. εὐηγορεῖν] εὐηγορεῖ.

19, 13. αἳ] ἃ.
19, 18 δὲ] δὲ καὶ μεγάλα.
19, 23. Εἶτα] εἶπα.
20, 1. τὸ] τῷ.
20, 17. τῆς γλώσσης φύλαττε τὴν κόρην] τῆς κόρης φύλασσε τὴν γλῶσσαν.
20, 22. ἔπεσον] ἔπεσαν.
20, 24. ἀπ'] ἐπ'.
20, 25. αὐτῆς,] αὐτῆς, οὐχ εἵλκυσε τὸν ζυγὸν αὐτῆς.
21, 3. ἑλίττεται,] ἀνελίττεται.
21, 5. κἀνταῦθα] κἂνταῦθα.
21, 23. κοσμεῖ,] κοσμῇ.
21, 27. Βασιλείου] Βασιλείου ἐκ τοῦ ῥητοῦ.
21, 29. παῦσον] τὸ παῦσον.
21, 32. δίκαις,] αδικαΐαις.
21, 33. γλώττης] γλώσσης.
22, 4. σου] σου τοῦ.
22, 4. τὸ] om.
22, 10. μεταφέρει] μεταφέρε.
22, 20. γάρ] γὰρ φύσις.
22, 20. φησι,] om.
22, 25. δαμάσαιεν] δαμασει(εν).
22, 25. τούτων] τοῦτο.
22, 27. ἀνθρώπων δαμάσαι] δαμάσαι ἀνθρώπων.
22, 29. ἀδελφοὶ,] ἀδελφέ.
22, 33. γενέσθαι·] γίνεσθαι.
23, 10. ὅταν] ὅτ' ἄν.
23, 21. γὰρ] γὰρ καὶ.
23, 23. ἔχει·] ἔχουσι.
24, 3. τὸ—διδάσκον] τὸν—διδάσκαλον.
24, 4. λόγων] λέγων.
24, 11. σοφία] περὶ θείας σοφίας.
24, 14. Ἐκκαθαίρομεν] Ἐκκαθάρωμεν.
24, 25. πρὸς Κολοσσαεῖς] Κολοσσαέων.
25, 4. οὐκ ἂν ὑποπλάττοντα] ὡς κἂν υποπλαττωνται.
25, 8. Διονυσίου] Διονυσίου Ἀλεξανδρείας.
25, 12. Τοιοῦτος] Σευήρου αρχιεπισκόπου ἀντιοχείας. Τοιοῦτος.
25, 12. καὶ] om.
25, 17. ἢ] καὶ.
25, 27. παραδοθείσης,] παραδοθείσης αἰτήσεως.
25, 28. οὐδὲ] οὐδ'.
25, 31. τὴν] om.
26, 4. προείληφεν.] παρείληφεν.
26, 6. ὅτι] ὅτι οὐ.
26, 7. δι' αὐτά.] om.
26, 16. Ὠριγένους.] ἄλλο. Ὠριγένους.
26, 17. τὸν] om.
26, 19. Παροιμίαι.] Παροιμιῶν.
26, 32. συμπάθειαν·] πρὸς πάθειαν.
26, 32. πίπτον] πίπτων.
27, 3. Ἰησοῦς] Ἰησοῦς ὁ.
27, 9. μελῶν] μελῶν ταῦτα.
27, 12. ὅσα] ὅσα γὰρ.
27, 22. ὅταν] οτ' ἄν.
27, 24. ὀλίγους] ὀλίγως.
27, 26. ἐκλεκτέον] λεκτέον.
27, 29. εἰς] εἰς τὴν.
27, 34. θλίψει] θλίβει.
28, 8. ἀθηθὲς] ἀληθὲς.
28, 9. πῶς] πῶς ἀληθὲς οὐ μόνον τὸ οἶδα ταπεινοῦσθαι ἀλλὰ καὶ περισσεύειν, καὶ πάλιν πῶς ἀληθὲς οὐ μόνον τὸ πεινῆν αὐτὸν ἀλλὰ καὶ χορτάζεσθαι καὶ πάλιν πῶς.
28, 10. τῷ] τῷ δὲ.
28, 17. ὑπωπιάζει] ὑποπιάζει.
28, 27. ἢ] om.
28, 34. ἐπὶ] ἀπὸ.
29, 7. ἐγένετό] ἐγγίνεταί.
29, ad vers. 5. παροιμιῶν τῷ γὰρ διαβόλῳ πολεμεῖν ἐπιποθεῖ τὸ Πνεῦμα τὸ ἅγιον vid. p. 30, 14.
29, 18. μεταξυλογίᾳ] μεταξυλογίαν.
29, 20. φησὶν,] φησὶν ἡμῖν.
29, 26. πρὸς] πρὸς τὸν.

4 F

30, 30. χρώμενος] κεχρημένος.
30, 31. χόρον] χόρον μεταστας.
30, 31. ἁμαρτίας] ανομίας.
31, 1. τῷ] τὸ.
31, 2. τῷ] τὸ.
31, 9. ὅταν] ὅτ' ἂν.
31, 13. ἀποκάκωμεν] ἀποκάμωμεν.
31, 14. ἐξελοῦ με,] ἐξελοῦμαι.
31, 26. φιλοψοφίας] φιλοψογίας.
31, 29. ἑαυτῶν] ἑαυτοὺς.
32, 8. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
32, 13. τόκοις] τόκοι.
32, 29. μισθωτῷ] μισθιωτῷ.
33, 10. κτῆσις] κτίσις.
33, 12. σοροὶ] σωροὶ.
34, 8. τροφὴν] τρυφὴν.
34, 9. ἐκλύουσαν] ἐκκλουσαν.
34, 18. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
35, 8. ὅταν] ὅτ' ἂν.
35, 10. ἄγῃ] ἄγει.
35, ad vers. 8. παραινέσεις ἴδι καὶ ἑκάστῳ προσήκουσαι μετὰ πίστεως.
35, 17. Ῥητὰ Προκείμενα] Ῥητοῦ Προκειμένου.
35, 21. ὀδυνώμενος,] ὀδυνώμενος δέ.
35, 21. ἔδωκεν,] ἔδωκεν, καὶ.
35, 23. ἀφαιρείσθω] ἀφαιρεῖσθαι.
35, 24. ὅταν] ὅτ' ἂν.
35, 25. ἀλλὰ] ἀλλὰ καὶ.
35, 29. καὶ] om.
36, 9. μέλλει] μέλλεις.
36, 9. τὰς] om.
36, 9. προφάσεις,] προφάσης.
36, 16. τί] τί δαί.
36, 16. οὐκ] οὐτὸ.
36, 17. ἐπὶ τὸ ἐπιορκεῖν] ἐπιόρκεῖν.
36, 20. Διὰ] Τοῦ αὐτοῦ. Διὰ.
36, 22. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας.
36, 33. τὶς διάγει] διάγει τίς.
36, 33. παρακαλεῖτο] παρακαλείτω.
37, 11. ἐνεργουμένη.] ἐνεργουμένη Ἐρ$^{\omega}$.
37, 12. ἐστὶν] ἔστιν τὸ.
37, 14. ποιῆσαι] ποιῆται.
37, 15. λόγῳ,] λόγῳ, καὶ.
37, 21. ὁπόταν] ὁπότ' ἂν.
37, 22. διαπράττηται,] διαπράττεται.
37, 23. διὰ] om.
37, 28. πλημμελήματος] πλημμελοῦντος.
37, 29. ἀνονήτου] ἀνοήτου.
38, 5. ἀβελτερίας] ἀβελτηρίας.
38, 8. προθέσει] προσθέσει.
38, 11. ἰσχυρὰν] εἰσχυρὰν.
38, ad vers. 16. ὅτ' ἂν ὁ προσευχόμενος καὶ ὑπὲρ οὗ προσεύχεις σύμψυχοι ὦσι ἐπὶ τοῦ ζητουμένου.
38, ad vers. 18. Ἐν τῇ τρίτῃ τῶν βασιλειῶν φησὶ καὶ εἶπεν ἡλίου ὁ προφήτης ἐκ Θεσβ τῆς Γαλαὰδ πρὸς Ἀχαὰβ ζῇ Κύριος ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς Ἱηρουσαλὴμ ᾧ παρέστην ἐνώπιον αὐτοῦ εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος κοὶ ὑετὸς ὅτι εἰ μὴ διὰ στόματος λόγου μου.
38, 25. Ἵνα] Πρὸς ταῦτα οὖν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος ἐξηγούμενος φησίν. Ἵνα.
38, 28. Καὶ μετ' ὀλίγα] om.
39, 21. περιστείλωμεν·] περιστείλωμεν· εἰς τὸν ἀέρα πάντα ἐρρίψαμεν.
39, 27. ἀποτειχίζοντα] ἀποσχίζοντα.
39, 33. καταβάλλειν] καταβαλεῖν.
40, 1. Τοιοῦτον τὸ] Τοιοῦτο τῶ.
40, 2. ἔσται] ἔσῃ.
40, 4. στόμα] στόμα δὲ.

41, 3. Ταύτην] Ἐπειδὴ.
41, 7. ὑπὸ] ἀπὸ.
41, 17. κριτῇ.] κρῄτῃ.
42, 1. Ἰουδαίους] Ἰουδαίοις.
42, 3. καὶ] om.
42, 7. ἑαυτὸν Ἀπόστολον] Ἀπόστολον ἑαυτὸν.
42, 22. ἐλέον] ἐλέον εἰς μεσὸν.
42, 23. μείζονα] μείζονα τῆς φύσεως γίνεται δεκτά.
42, 24. ἀπότασιν,] ἀπόστασιν.
42, 25. ἐδίδου] ἐδίδρου.
42, 28. Ἑρμενεία εἰς τὸ etc.
43, 2. ὕπαρ] ὕπαρξιν.
43, 5. τῆς φύσεως] τῶν φύσεων.
43, 6. ἐγκειμένη] ἐκειμένη.
43, 9–23. Εἰπὼν ὡς—ᾧ ἀγαλλιᾶσθε.] Εἰ ἐν—τήρησον αὐτούς.
43, 9. ὑμῖν] ἡμῖν.
43, 25. αὐτὸν] αὐτὰ.
43, 27. γὰρ] γὰρ αὐτὸν ὑπὲρ ἡμῶν δέδωκεν πῶς οὐχὶ καὶ σὺν.
43, 32. ὅπου γε] ὅτι που γεν.
44, 12. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου.
44, 12. ἀπιστία] ἀπιστήα.
44, 22. γὰρ] om.
44, 23. πρόβατον] ἐπιφαγὴν (i. e. ἐπὶ σφαγὴν).
44, 25. ζωὴν] ζωὴν ὑμῶν.
45, 1. Ῥητὰ Προκείμενα] Ῥητοῦ Προκειμένου.
45, 4. οὐρανοῦ.] οὐρανοῦ. ἀλλὰ καὶ τὸ Ἁγίον Πνεῦμα ἐκ τούτου ἀπεστάλη τοῦ οὐρανοῦ.
45, 6. ἀποσταλέντι] ἀποσταλλέντι.
45, 23. ἐλάττων] ἐλάττον.
45, 33. πᾶσιν] πᾶσιν ἔσχατον.
46, 1. ἀποφαίνει] ἀπεμφαίνει.
46, 14–17. Ὡς τέκνα—καὶ φανεροῦντος] Τοῦτο φησὶ—ὑμῶν ἐπιθυμίαις.
46, ad vers. 14. Ἀντὶ τοῦ κατὰ μηδὲν ἀποκνουντες.
46, 16. Κυρίου] Χριστοῦ.
46, 20. Ἁγίους] Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἐν Πνεύματι λατρείας.
46, 22, Διότι] ἀπολιναρίου Λευΐτικου. Διότι.
47, 19. Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.
47, 21. ἑαυτοῦ αἵματι] αἵματι ἑαυτοῦ.
47, 22. αἵματι] om.
47, 24. μὴ] μὴ τὲ.
47, 30. ἐσμὲν] μὲν.
48, 13. ἐγείροντα] ἐγείραντα.
48, 18. θεῖναι] θῆναι.
48, 23. Εὐαγγελίου] Εὐαγγελικοῦ.
48, 24. φησὶν] λέγει.
48, ad vers. 24. Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. Απασαν τὴν ἀνθρωπίνην εὐημερίαν οὐδὲ χόρτῳ ἀλλ' ἑτέρᾳ ὕλῃ εὐτελεστέρᾳ ὁ προφήτης παρέβαλεν, ἄνθος αὐτὴν ὀνομάσας πᾶσαν ὁμοῦ, οὐδὲ γὰρ μέρος αὐτῆς ἔθηκεν οἷον πλοῦτον, ἢ τρυφὴν, ἢ γένος, ἢ δυναστείας, ἢ τιμὰς, ἤ τί τοιοῦτο, ἀλλὰ πάντα τὰ ἐν ἀνθρώποις εἶναι δοκοῦντα λαμπρὰ, μιᾷ προσηγορίᾳ τῇ τῆς δόξης περιλαβὼν οὕτως ἐπήγαγε τὴν εἰκόνα τοῦ χόρτου εἰπών· πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου.
48, 29. Τοῦ ἁγίου Βασιλείου.] Βασιλείου ἐπισκόπου Καισασαρείας.
48, 32. μὲν] μὲν οὖν.
49, 7. ἀκμῆς] ἀγμῆς.
49, 8. αὔριον] αὐρὶ.
49, 9. μαρανθεὶς,] μαρανθεὶς, ἢ νόσῳ διαλυθείς.
49, 28. χοϊκοῦ] χοΐκοῦ.
49, ad vers. 24. Θεοδώρου Ἡρακλείας. Δείκνυσιν ὡς καὶ αὐτὸς ὁ προφήτης ὁ ὑπηρετούμενος τῷ λόγῳ ὑπὸ τῆς σαρκὸς ἐπι-

σκιαζόμενος τὸν νοῦν δύναται. καὶ γὰρ καὶ πᾶσα ὑπόληψις ἀνθρωπίνη ταχέως παυσέται. οὐ μὴν τὸ λόγιον τοῦ Θεοῦ παύλαν ποτὲ λήψεται, ἀλλὰ παραμενεῖ δεικνύων ἀληθεύοντα τῆς ἐπαγγελειας εἰς αἰῶνα.

50, 2. χόρτον,] χόρτῳ.

50, 2. ἄνθη] ἄνθει.

50, 4. ἐκπίπτει,] ἐκρίπτει.

50, 8. Ἄνωθεν] Ἄνωθεν φησὶ.

50, 9. ἰδὼν] εἰδῶς.

50, 9. ὅλων] ὅλον.

50, 18. Σευήρου.] Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ τῆς πρὸς Νικίαν ἐπισκόπον ἐπιστολῆς.

50, 18. ἀμείνων] ἀμείνω.

50, 24. ἀρτιγεννῆ] ἀρτιγενῆ.

50, ad vers. 2. Τὴν στοιχειώδη etc. Vide p. 91. l. 5.

51, 1. ψαλμου.

51, ad vers. 2. Τὸ θεῖον σῶμα καὶ αἷμα μεταλαβετε.

51, 5. Τὴν—Θεοῦ] om.

51, 7. Τοῦ ἁγίου Βασιλείου] om.

51, 9. ἡ] om.

51, 12. ὃs] ὅσον.

51, 15. δόγματα] δόγματα Ἡσαΐου.

51, 21. ἐγενήθη] ἐγεννήθην.

51, 33. μὲν] μὲν οὖν.

52, 5–8. ἄθρει—καταισχυνθῇ] om.

52, 12. ὧν] ὂν.

52, 14. τυφλώσῃ] τυφλώσει.

52, 14. τοὺς] τοὺς τέως.

52, 21. ἐν] ἐν τοῖς.

52, 22. προφητείαν] προφητείαν Ἡσαΐου.

52, 28. ὑμᾶς] ἡμᾶς.

53, 25. κληθέντας] κληθέντες.

54, 8. Σευήρου.] Σευήρου Ἀντιοχείας.

54, 2. κτίσματα] κτίσμα.

54, 3. ὑπὸ Θεοῦ] ὑπ' αὐτοῦ.

54, 5. ἢ] om.

54, 10. ἀποχήν] ἀποδοχήν.

54, 21. τὸ] τὶ.

54, 23. οὓs] οἷs.

55, 4, τοῦ] om.

55, 6. Ῥητὰ προκείμενα·] Ῥητοῦ προκειμένου.

55, 11. ἀπολαβεῖν] ἀπολαύειν.

55, 12. ἄρχουσιν,] ἄρχουσιν, ὑποτάττων δείκνυσιν.

55, 18. ἐληλυθέναι] ἐλληλυθέναι.

55, 19. ἴδωσιν] εἴδωσιν.

55, 28. περιτροπὴν] προτροπὴν.

55, 32. οὐχ] οὐχὶ.

55, 34. ἀνακρούουσι] ἀνακρούωσι.

56, 4. ἂν] ἐὰν.

56, 18. Καὶ] om.

56, 20. οἴκεται,] οἴκεται, εἰs τὸ ἀγάθον.

56, 29. οὗ] οὐ.

57, 2. ἔχοντες] ἔχοντος.

57, 6. Τοῦ] Τοῦ ἁγίου Ἰωάννου τοῦ.

57, 7. ὑπακούετε] ὑπακούεται.

57, 12. τοῦτο] τοῦτο φησὶν.

57, 15. Χριστοῦ] Θεοῦ.

57, 20. ἔχεις] ἔχης.

57, 23. Καὶ πάλιν] om.

57, 23. πιστὸς] πιστὸς ᾖ.

57, 23. ἐλεύθερος·] ἐλεύθερος εἶναι.

57, 25. ἀπιστίαν] πίστιν.

58, 3. αὐτόνομοι] αὐτὸν μοὶ.

58, 15. Σευήρου.] Σευήρου Ἀρχιεπισκοπ. Ἀντι. ἐκ τοῦ κατὰ Ἰουλίανου συντάγματος.

58, 17, πλημμελείας] πλημελείας.

58, 19. χίμαρος,] χείμαρρος.

58, 19. ἁμαρτιῶν] ἁμαρτίας.

58, 24. μώλωπας] μώλοπας.

58, 27. μώλωπες] πώλωπες.

58, 27. αὐτοῦ] αὐτοῦ ἡμεῖς.

58, 31. τιμὴν] τομὴν.

59, 18. *αὐτῆς γενέσθαι.*] *αὐτὰς γενέσθαι φησὶν.*
59, 21. *θυγάτερας*] *θυγάτερες.*
59, 23. *εἰς τὸν Θεὸν*] *ἐπὶ τὸν Θεὸν γενέσεως.*
59, 29. *αὐτῆς*] *αὐτὰς.*
60, 6. *ὑμῖν*] *ὑμῶν.*
60, 20. Σευήρου] Σευήρου Ἀρχιεπ. Ἀντιοχ.
60, 21. *οὐρανίας*] *οὐρανίους.*
60, 21. 22. *ἢ—γὰρ*] om.
60, 22. *συνῆπται*] *συνῆπτο.*
60, 27. *ἢ*] *καὶ.*
61, 15. Τί] Τοῦ Χρυσοστόμου. Τί.
61, 25. Ἡσυχίου.] Ἡσυχίου Πρεσβυτέρου.
61, 31. Βασιλείου.] Βασιλείου *πάλιν εἰς αὐτὸ.*
61, 32. *προφήτης·*] *προφήτις.*
62, 8. *ἡμέραι*] *μέραι.*
62, 12. Κυρίλλου] Τοῦ ἁγίου Κ. ἀρχ. Ἀλεξ.
62, 17. *μέγα*] *μέγα δὴ.*
62, 18. *ἔχειν*] *ἔχεινος.*
62, 20. Τοῦ Χρυσοστόμου.] Τοῦ αὐτοῦ.
62, 22. *τῷ*] om.
62, 25. *ἁρπαγημαῖα*] *ἁρπαγιμαῖα.*
62, 31. *ἐστιν οἶμαι*] *οἶμαι ἐστιν.*
62, 32. Βασιλείου.] Βασιλείου ἐπισκ. Καίσαρ.
63, 6. Τοῦ αὐτοῦ] Τοῦ ἁγίου *βασιλείου.*
63, 11. *ἡ*] om.
63, 20. Ἄξιοι] Τοῦ αὐτοῦ. Ἄξιοι.
63, 21. *γὰρ*] *γὰρ τοὺς.*
63, 22. Ἐπεὶ] Διδύμου. Ἐπεὶ.
63, 27. Οὐκοῦν] Τοῦ ἁγίου Κυρίλλου. Οὐκοῦν.
64, 9. Σωτὴρ,] Κύριος.
64, 12. *δύναται*] *δυνήσεται.*
64, 24. *τοῦ τοῦτο*] *τούτου τοῦ.*
64, 27. *μου*] *ἡμῶν.*
65, 1. *ὑμῖν*] *ἡμῖν.*
65, 2. Χριστὸν] Χριστὸν *καὶ οὐκ εἶπεν ὁμολογήσατε* Κυρίον *τὸν* Χριστὸν.
65, 2. ἁγιάσετε.] ἁγιάσατε.
65, 13. *φόβον*] *φόφον.*
65, 14. *τοῦ*] om.
65, 21. λαλήσετε.] λαλήσητε (ε written above η).
65, 21. ἕτοιμοι] ἕτοιμοι ἀεὶ.
65, 22. ἀντιλογίᾳ·] ἀντιολογίᾳ.
66, 1. λογισμῷ] συλλογισμῷ.
66, 2. δοκεῖν] δοκεῖ.
66, 5. θέλοι] θέλη.
66, 20. Κυρίλλου.] Τοῦ ἁγίου Κ. ἐπ. Ἀλεξ. Κυρίλλου.
66, 21. *ἢ*] om.
66, 22. ἐνηνθρώπησε] ἐνηνθρώπισε.
66, 27. Τῇ] Τιμόθεου ἄλλοι. Τῇ.
67, 3. ᾅδου] ᾅδου *ἐπιφανέντα.*
67, 4. *παράδοσιν,*] *παραδοξα.*
67, 6. *ἐπεφώνει*] *ἐπεφάνη.*
67, 7. *πιστεύοντας*] *πιστευσαντας.*
67, 9. *εἰδωλολατρίαις*] *εἰδωλολατρείαις.*
67, 18. Σευήρου.] Σευήρου *ἀρχ. ἐπισκ.* Ἀντ. *ἐκ τῆς πρὸς* Ἀμμώνιον *ἐπιστολῆς.*
67, 30. *οὕτως*] *οὕτωσι.*
68, 3. Καὶ μετ' *ὀλίγα*] om.
68, 7. *εἰδωλολατρίαις*] *εἰδωλολατρείαις.*
68, 8. *ἀθεμίτοις*] *ἀθεμίστοις.*
68, 10. *οὐκ ἰσχύουσιν·*] *βλέπειν οὐκ ἴσχυον.*
68, 10. *τῷ*] *τὸ.*
68, 14. *ἀπολιπόντες,*] *ἀπολείποντες.*
68, 17. Ἀμμωνίου.] Ἀμμωνίου Πρεσβυτέρου *ἐν* Παραγράφῳ.
68, 17. Καισάριος,] Καισάρεως.
68, 21. *τύραννον*] *τὸν.*
68, 25. *ἐνανθρωπήσαντα*] *ἐνανθρωπίσανθα.*
68, 29. *ἐλευθερωθῆναι,*] *ἐλευθερωθῆναι, εἴρηται γάρ φησίν.*

68, 30. σοι;] σοι; καὶ εἶπον· τοῦτο τὸ εἰρημένον οὐκ ἔχει χῶραν ἐπὶ τῆς τοῦ Κυρίου παρουσίας κατὰ τὸν καιρὸν καθ' ὃν ἦν εἰς ᾅδου, ἀλλὰ πρὸ τῆς αὐτοῦ καθοδου καὶ μετὰ τὴν ἄνοδον λέγομεν χώραν ἔχειν τὸ εἰρημένον ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; ἢ τάχα etc.
69, 5. εἶπέ] εἶπεν.
69, 8. βαπτίζεσθαι] βαπτίζεσθαι καὶ.
69, 8. μυσταγωγικαὶ] μυσταγωγίαι καὶ.
69, 9. ὅτε] ὅτι.
69, 14. τῶν] τοὺς.
69, 15. ἔμεινε] ἐνέμεινε.
69, 22. οὐ φόνω τὸν φόνον] οὐ φόνο τὸν φόνω τὸν φόνο.
69, 23. ὁ] om.
70, 10. ἀπόνιψις] ἀπόνηψις.
70, 10. αὐτοῦ δεόμεθα] αὐτῷ δεξόμεθα.
70, 19. ἀπωλεσαί] ἀπολέσαι.
70, 22. ἄνω] ἄνω πνευμάτων.
70, 29. Ἀθανασίου.] Ἀθανασίου Ἀρχ. ἐπ. Ἀλεξ.
70, 32. μὲν] μὲν οὖν.
71, 7. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
71, 11. Σευήρου] Σευήρου Ἀρχ. ἐπ. Ἀντ.
71, 11. Φώτιον] Φώτιον πρωτεύοντος.
71, 18. τοῦτο] τούτῳ.
71, 19. Κοινοβιάρχην] Κοινοβίου ἄρχην.
72, 9. Τοῦ] Ἄλλº. Τοῦ.
72, 15. πεπονθότα] πεπονθέναι.
72, 18. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
72, 18. Ὡς—Χριστοῦ] om.
72, 21. τοῦ] τὸ.
72, 30. ἐπιθυμίας] ἐπιθυμίας μνήματα.
73, 3. Σευήρου] Σευήρου ἀρχ. ἐπ. Ἀντ.
73, 5. μέθαις] πότοις.
73, 9. Σευήρου.] Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀλεξάνδρου συντάγματος.
73, 25. ἐν] om.
73, 28. Ἀλέξανδρον.] Ἀλεξάνδρου συντάγματος.
74, 4. προφήτης·] προφήτης Δᾱδ.
74, 4. προσκαλέσατε] προσκαλέσεται.
74, 16. εὔχεται] ἔτυχεται.
74, 24. κακοπαθείᾳ] κακοπαθία.
74, 28. Ἐρώτησις] om.
74, 28. τοῦτο] τοῦτο γὰρ.
74, 30. Ἀπόκρισις.
74, 31. τῇ] τῇ θείᾳ.
74, 32. παρωχηκότα] καὶ τὸν παροχηκότα.
75, 1. ἐκφωνεῖν] ἐκφονεῖν.
75, 6. ἐξαισίους] ἐξαισίας.
75, 9. εὐηγγελίσθη] εὐηγγελίσθαι.
75, 14. καὶ] om.
75, 14. πιστεύσαντες] om.
75, 17. ἐπικεκρουμμένως] ἐπικεκρυμμένως.
75, 32. τὸ] τὸ ἐν τῷ.
76, 18. αὐτοῦ.] αὐτοῦ πᾶλιν.
76, 18. Καὶ] Καὶ γὰρ οὐ.
76, 19. ἐνεκηρύχθη] ἐκηρύχθη.
76, 23. φοβερὸν] βοφερὸν.
76, 31. γένωνται] γίνωνται.
77, 8. κτήσεως] κρίσεως.
77, 25. 26. ἀλλὰ—ἐπέταττε] om.
77, 30. Ὅσα] Σευεριανοῦ ἐπισκόπου Γαβάλων. Ὅσα.
78, 1. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
78, 9. εὑρίσκεται·] εὑρίσκεται· πρόξενον.
78, 9. μὴ ξένον] Σευήρου. Μὴ ξένον etc.

78, 28. τὴν τοῦ Θεοῦ] τοῦ Θεοῦ τὴν.
79, 17. διὰ τὸ] δὶ.
79, 19. μόγις] μόλις.
79, 25. ἁμαρτωλὸς] ἁμαρτωλὸς καὶ.
79. ad vers. 18. Ἀντὶ τοῦ καμάτῳ καὶ θλίψει πολλῇ.
80, 5. ποιῶν] ποεῖν.
80, 18. Τοῦ] Τοῦ ἁγίου Ἰω. τοῦ.
80, 19. ἔσται ὑμῖν] ἔστω ὑμῶν.
80, 20. ἐμαυτὸν] ἑαυτὸν.
81, 5. αὐτοῦ] Χρυσ.
81, 10. Κυβερνήτην] Θεοδωρητοῦ. Κυβερνήτην.
81, 10. Κυβερνήτην] Κυβενήτην.
81, 17. Ἰστέον] Τοῦ ἁγίου Κυρίλλου. Ἰστέον.
81, 18. χαλεπὸν] παγχάλεπον.
81, 19. λέγων] λέγω.
81, 30. ἐκτικότι] ἐκτηκότι.
81, 31. ἀποκαλεῖ] ἀποκαλεῖν.
82, 5. ἐμανθάνομεν] μανθάνομεν.
82, 7. ἐλθεῖν] ἐλθεῖν ἔδει.
82, 8. μέτριον] μέτρον.
82, 21. τὸν] om.
82, 22. τοῦ] τοῦ υἱοῦ αὐτοῦ.
83, 4. Τοῦ] Τοῦ ἁγίου Ἰω. τοῦ.
84, 5. αὐτοῦ] ἑαυτοῦ.
84, 13. ἀπατᾶν] ἀπαντᾶν.
84, 17. καὶ] ἐκ τὴν.
84, 20. εἶναι] εἶναι πάντας.
85, 12. Τοῦ] Ἰω. τοῦ.
85, 20. καθάπερ] καθάπερ τι σύμβουλον.
85, 21. λέγετε] λέγεται.
85, 32. δυνάμεθα] δυνόμεθα.
86, 13. Τοῦ] Τοῦ ἁγίου Ἰω. τοῦ.
86, 15. ἡμῖν οὐ μόνον] οὐ μόνον ἡμῖν.
86, 23. Τοῦ] Τοῦ ἁγίου Ἰω. τοῦ.
86, 24. τειχίζωμεν] τειχίζομεν.
86, 24. προσέχωμεν] προσέχομεν.
86, 25. ποιῶμεν] ποιοῦμεν.
86, 25. ἀμελῶμεν] ἀμελοῦμεν.
87, 10. μείνητε] μήνητε.
87, 23. ἀργίᾳ] ἀργείᾳ.
88, 5. καὶ] καὶ θεότητος.
88, 10. Κυρίλλου.] Τοῦ ἁγίου Κυρίλλου.
88. 10–25. Κυρίλλου—ἀνατείλῃ] Ἄρχεται—ἑξῆς.
88, 16. ἀλλὰ τοῖς] ἀλλ' αὐτοῖς.
88, 20. ὁ λόγος ἡμῖν] ἡμῖν ὁ λόγος.
88, 30. Τοῦτο] Τοῦ Χρυσοστόμου. Τοῦτο.
89, 1. ad v. προφητικὸν] προφητικόν· τὸν Ἰωάννην πρὸ ἡμῶν μαρτυροῦντα.
89, 3. φωσφόρος] φωσφόρος ὁ Χριστὸς ἔλθη ἀπ' οὐρανοῦ φωτίζων πάντα ἄνθρωπον.
89, 21. ἢ] om.
89, 26. Ὁ—ἄνθρωπον.] om.
89, 27. ἄντικρυς] Κυρίλλου ἄντικρους.
89, 30. ἀναμφιβόλως] ἀναμφιλόγως.
90, 6. ὀνομασθεῖσι] ὀνομασθεῖσι προφήταις.
90, 20. ὅμοιον] ὅμοιοι.
90, 21. βλασφημεῖται] Φλασφημεῖται.
91, 6. κρίσιν] κρίσιν εἰς ἡμέραν κολάσεως.
91, 7. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου ἀρχ. ἐπ. Ἀλεξ.
91, 8. ῥητὰ προκείμενα] ῥητοῦ προκειμένου.
91, 10. δαιμόνων] δαιμονίων.
91, 11. κατερριμμένη] κατεριμμένη.
91, 11. ῥεύσασα] ῥεύσας.
91, 13. συντάξῃ] ἐπιτάξῃ.

91, 27. ῥητὸν προκείμενον, ἔλεος] ῥητοῦ προκειμένου, ἔλεον.
91, 28. δύναται] om.
92, 5. Φίλωνος Γενέσεως.
92, 11. πρὸς] καὶ.
92, 30. ἐπεμένοντο] ἐπεμαίν.
93, 4. Σευήρου] Σευήρου Ἀντιοχείας.
93, 25. Κυρίλλου] om.
93, 28. ὥσπερ] ὥσπερ τινας.
93, 30. κατεφθαρμένον] κατεφθαμένον.
93, 32. θεῖα] om.
94, 5. γενομένους] γινομένους.
94, 6. ἄνθρωπος] ὁ ἄνθρωπος.
94, 8. Ἡρώδην] Ἡρώδη.
94, 11. ὡς αἱ] ὡσεὶ.
94, 12. ὄφεις] τῇ φύσει κτήνη ἢ γενώμεθα ὄφεις.
94, 14. ἐκφεύγωμεν] ἐκφυγωμεν.
94, 19. γενώμεθα] γινώμεθα.
94, 20. ἡμᾶς] om.
94, 28. γενόμεθα] γινόμεθα.
94, 30. ὁ] om.
95, 2. μεταδιώκωμεν] μεταδίωκομεν.
95, 3. δυνάμεθά] δυνώμεθά.
95, 8. ἀσελγεῖν] ἀσελγεῖς.
95, 9. παρασκευάσει] παρασκευάσαι τρυφὴν ἡγοῦνται.
95, 9. ἀναπληροῦντας] ἀναπληροῦντες.
95, 30. αὐτοῦ τῆς] om.
96, 5. ὑπεχώρησεν] ὑπεχώρισεν.
96, 6. ἀρόσῃ] ἀράσῃ.
96, 9. Εὐσεβίου] Εὐσεβείου.
96, 9. Εἶτε] Εἶτα.
96, 15. Τοῦ] Τοῦ ἁγίου Ἰω. τοῦ.
96, 15. μάτην] μάντιν.
96, 17. ὅτι] ὅτι οὐδὲ.
96, 18. ἡμᾶς] ὑμᾶς.
96, 32. κολάζωνται] κολάζονται.
97, 5. προετάξατο] προέταξεν.
97, 16. χείρονα] χείραν ἀπλαγην.
98, 5. Ὅτι] Σευήρου ἀρχιεπισκόπου Ἀντιοχείας. Ὅτι.
98, 10. Εὐχιτῶν] Εὐχητῶν.
98, 16. ἀπωλοῦνται] ἀπολοῦνται.
99, 6. ἐθεμελίωσας] θεμελιώσας.
99, 11. μένον] μὲν.
99, 23. τὸ] τῷ.
99, 23. πι] πθ'.
99, 24. ὡς] ὡς ἤ.
99, 27. Εὐσεβίου Πρεσβυτέρου] Εὐσεβίος Καισαρείας.
99, 28. σὺ] σοί.
99, 30. φυλ. δὲ] φυλ. γὰρ.
100, 5. Τὰ] Ἄλλω. Τὰ.
100, 6. χθὲς] ἐχθὲς.
100, 7. Ἀθανασίου] Ἀθανάσιος.
100, 9. Σολομῶνος] Σολομῶν.
100, 17. οὕτω] οὕτως.
100, 29. ἀνακαινωθήσεται] ἀνακαινισθήσεται.
100, 31. Οὐχ] Ἄλλω. Οὐχ.
101, 16. Σευήρου] Σευήρου ἀρχ. ἐπ. Ἀντιοχ.
101, 20. νῦν] om.
101, 21. ἀλλοώσεσιν] ἀλλοιώσεσιν.
101, 30. Καὶ μετ' ὀλίγα] om.
101, 31. πράττοντος] ταράττοντος.
101, 32. μεταβάλλοντος] μεταβαλόντος.
102, 4. καραδοκία] ἀποκαραδοκία.
102, 10. συστενάζει] στενάζει.
102, 15. πᾶσαν] πᾶσα.
102, 27. οὕτω] οὕτως.
102, 28. πᾶσαν κτίσιν] πᾶσιν.
102, 33. Οὐ τοῖς] Αὐτοῖς.
103, 1. λαμβάνειν] λαμβάνην.
103, 11. Κυρίλλου Ἀλεξανδρείας] Τοῦ ἁγίου Κυρίλλου ἐπισκ. Ἀλεξανδρείας.
103, 14. λαλεῖ] λέγει.
103, 14. ὁ] om.
103, 22. Κυρίλλου.] Τοῦ αὐτοῦ.
103, 25. ἐρχομένων] πρὸσέρχομένων.

105, 3. ὁ Ἰωάννης] Ἰωάννης ὁ.
105, 10. αὐτὸν] αὐτὸ.
105, 13. ἐλευθερῶσαι] ἐλευθερωθῆναι.
105, 21. τέκνων] τέκνα.
106, 8. αὐτὸν] τὸν.
106, 16. αὐτοὺς] ἑαυτοὺς.
106, 23. Σευήρου] Σευήρου ἀρχ. ἐπ. Ἀντιοχ.
106, 28. καὶ θεατὸς καὶ ἄθεατος] καὶ ἄθεατος καὶ θεατὸς.
107, 1. γεννητῶν τι] γενητῶν τί.
107, 4. τὴν] om.
107, 8. Λελέξεται] Ἄλλω. Λελ.
107, 8. διὰ] περὶ.
107, 11. μετὰ πολλὴν] μετὰ πολὴν.
107, 18. ἦν] ἦν καὶ.
107, 19. τοῦτον] τοῦτο.
107, 29. φανερωθεῖσαν] φανερωθεῖσιν.
107, 31. μαρτυροῦντας] -τες.
107, 33. ἀπήγγελον] ἀπάγγελλον.
108, 2. καὶ Υἱοῦ] καὶ τοῦ Υἱοῦ.
108, 3. σχῆτε] σχῆτε τὴν.
108, 7. ἡμῶν] om.
108, 19. παραγέγονεν] περιγέγονεν.
108, 27. αὐτοῦ] σεαυτοῦ.
108, 32. Ἀπόκρισις] Ἀπόκρισις Μαξίμου.
109, 11. αὐτῷ] ἑαυτῷ.
109, 12. νοητὸν ὁ Θεὸς] ὁ Θεὸς νοητὸν.
109, 13. ὑπάρχον] ὑπάρχων.
109, 30. Πνεύματος] Πατρὸς.
110, 9. τολμήσαντας] τολμήσας.
110, 11. ἁμαρτίας] ἁμαρτίας τὸ.
110, 18. οὐρανοὺς] ἄνθρωπους.
110, 21. ἀνταπεδίδοσάν με] ἀνταπεδίδωσάν μοι.
110, 23. μαρτύρησον] μαρτύρισον.
110, 32. Οἶδε] Σευήρου ἀρχ. ἐπ. Ἀντ. Οἶδε.
111, 2. ἅπαξ] ἅπαξ ἂν.
111, 17. τὸ] τὸ οὐδέποτε ἔγνων ὑμὰς ἐργάται τῆς ἀνομίας ἁμαρτίαν γὰρ οὐκ ἔγνω οὐ τὸ.
111, 19. ἔγνω] ἔγνων.
111, 33. μόνον] μόνου.
111, 34. λήψῃ] λήθῃ.
112, 10. Ἐπιστολὴ] ἡ ἐντολὴ.
112, 14. φυλακὴ] φιλικὴ.
112, 19. κακῶν] κακωτικῶν.
112, 21. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ κατὰ Ἰω. Βιβλίου.
112, 25. τὴν] om.
113, 9. αὐτοῦ,] αὐτοῦ, ψεύδεται· εἰ γὰρ αὐτὸς ἠγάπησεν αὐτὸν, ὡς τὴν ψυχὴν αὐτοῦ θεῖναι ὑπὲρ αὐτοῦ.
113, 10. λέγων] λέγων εἶναι.
113, 18. τὸν] om.
113, 29. ἢ] καὶ.
113, 30. οὐ] οὐδὲ.
113, 32. ἐπότισε] ἐπότισα.
114, 7. καὶ] om.
114, 21. Σευήρου] Σευήρου ἀρχ. ἐπ. Ἀντ.
114, 31. Τοῖς ἔτι νηπίοις τοῦτο παρεγγυᾶται τὸ ἄφεσιν αὐτοὺς λαβεῖν ἁμαρτιων ἐν τῷ ὀνόματι Ἰησοῦ· τοῖς δὲ εἰς ἄνδρα τέλειον προβεβηκόσι καὶ ἐλθοῦσι εἰς μετρόν ἡλικίας, τοῦ ἔχειν τὴν γνῶσιν τοῦ ἀπαρχῆς μαρτυρεῖ. τίς δε ὁ ἀπαρχῆς ἢ ὅτι ὁ Θεὸς Λογος, ὃς ἦν ἐν αρχῇ πρὸς τὸν πατέρα· τοῖς γε μὴν ἰσχυροῖς τὴν διάνοιαν καὶ ἀνδρείοις τὸ φρόνημα γράφει τὸν ἐπινίκιον τὸν κατὰ τοῦ Διαβόλου· νενικήκασι γὰρ αὐτὸν τῆς διανοίας ἑαυτῶν τὸν σκότον αὐτοῦ ἀπελαύσαντες.
115, 7. τοῦ—λατρεύσεις] τῆς—λατρείας.
115, 10. ᾄσματος τῶν ᾀσμάτων τόμος] εἰς ἄσμα τῶν ἀσμάτων τόμου.

115, 12. παρὰ] περὶ.
115, 21. ὅτι] ὅτι ἐστί.
115, 25. μένει ἐν ὑμῖν] ἐν ὑμῖν μένει.
116, 4. παρὰ] περὶ.
116, 5. ἄνθρωπον] om.
116, 11. γῆς] γῆς καὶ.
116, 21. ὀφθαλμῶν] ὀ φθαμῶν.
116, 24. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου ἀρχ. ἐπ. 'Αλ.
116, 25. ἐμμόνως] ἐμμανως.
116, 27. ἐξίστησιν] ἧς ἐξίστησιν.
116, 30. Σευήρου] Σευήρου ἀρχ. ἐπ. 'Αντ.
117, 16. ἀπέστειλεν.] ἀπέστειλεν. ὁ πιστεύων οὖν φησὶν εἰς τὸν ἀπεσταλμένον.
117, 32. Σευήρου] Σευήρου ἀρχ. ἐπ. 'Αντ.
117, 32. ὁ] om.
118, 1. ἐσχάτη] ἐσχάτι.
118, 2. ὅλας] ὅλον.
118, 5. παντὸς] παντὸς τοῦ.
118, 17. τῷ] om.
118, 18. ἄνθρωπε] ὦ ἄνθρωπε.
118, 21. λ'] τριάκοντα.
119, 2. Σευήρου] Σευήρου ἀρχ. ἐπ. 'Αντ.
119, 2. Ἡρακλιανὸν] -νὴν.
119, 18. διαβόλου] διαβόλου αὐτοῖς.
121, 23. οἷόν τε, καθώς] οἷοί τε, ὦμεν καθώς.
122, 10. παθεῖν] παθεῖν τὸν τροπὸν.
122, 20. δὲ] om.
122, 21. βλέπειν] βλέπ. λέγων.
122, 26. συντόμως] συντόμῳ.
122, 28. τῷ] τὸ.
122, 34. συμβασιλεῦσαι] βασιλεῦσαι.
123, 3. ἐνεπιστεύθη] ἐνεπιστεύθης.
123, 7. ὑποβάθραν] ἐπιβάτραν.
123, 7. ὑπήνεγκε] ἐπήνεγκε.
123, 27. γεννώμεθα] γενώμεθα.
123, 32. πονηρῶν λογισμῶν] λογισμῶν πονηρῶν.
124, 12. Σευήρου] Σευήρου ἀρχ. ἐπ. 'Αντ.
124, 12. ἐπίδεκτον] ἀνεπίδεκτον.
124, 19. ἀναγεννήθημεν] ἀνεγεννήθημεν.
124, 26. τουτὸ] ταυτὸ.
124, 27. δοκεῖν] δοκοῦν.
125, 1. ἑαυτὸν,] ἑαυτὸν, κατὰ τὸ εἰρημένον τῷ μακαρίῳ Παύλῳ. ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ· καὶ γὰρ ὡς ἀληθῶς ὁ φυλάττων ἑαυτὸν.
125, 7. γεγεννημένοι] γεγεννημένοι ἡμεῖς.
125, 14. τῇ πίστει] τὴν πίστιν.
125, 30. νομισθῆναι Θεὸν] Θεὸν νομισθῆναι.
126, 4. καθορᾶν] καθαρᾶν.
126, 11. καθαροὺς] καθαρῶς.
126, 19. τέκνα Θεοῦ λέγων] λέγων τέκνα Θεοῦ.
126, 24. τῷ] τὸ.
127, 1. νοῦ] τοῦ.
128, 6. τὴν] om.
128, 12. σὺ] σὺ ἧς.
128, 17. Ῥητὰ προκείμενα] Ῥητοῦ προκειμένου.
128, 28. λαθεῖν] λαθεῖν οὐ.
128, 30. δυνηθῶμεν] δυνησόμεθα.
130, 11. 'Αντιχρίστου] Χριστοῦ.
130, 15. μόνῃ] μόνον.
130, 30. ἐληλυθότα] ἐληλυθέναι.
130, 32. λέγειν] λέγων.
131, 1. ἐληλυθότα ἐν σαρκὶ] ἐν σαρκὶ ἐληλυθότα.
131, 4. ζῶ] ζῶ δὲ.
131, 11. πᾶν] om.
131, 16. ῥητὰ προκείμενα] ῥητοῦ προκειμένου.
131, 16. ἡμᾶς] ὑμᾶς.
131, 29. εἰδωλολατρίαν] εἰδωλολατρείαν.
131, 31. Θεοῦ,] Θεοῦ, καὶ καθεσθήσεται εἰς τὸν ναὸν τοῦ Θεοῦ.

132, 5. Προώδευσεν] Προώδευσαν.
132, 6. διαγορεύοντες] ἀναγορεύοντες.
132, 13. γὰρ] γὰρ καὶ.
132, 29. [ὃ]] ὃ.
132, 30. τὸ ἀγαπᾶσθαι τοῦ] τοῦ ἀγαπᾶσθαι τὸ.
133, 6. ἀλλήλους] ἀλλήλοις.
133, 19. ληστὰς] λιστὰς.
134, 7. τὴν] om.
134, 8. εἶναι τὸν] τὸν τοῦ.
134, 28. οὐκ] οὐ κατ'.
135, 22. πράγμασιν] προσταγμασιν.
135, 34. ἀξιωθέντας] ἀξιοθέντες.
136, 5. ἑνώσαν] ἑνώσεως.
136, 22. φόβῳ] Θεῷ.
136, 23. πᾶσαν αὐτοῦ] αὐτοῦ πᾶσαν.
136, 27. καὶ] καὶ τῆς.
138, 3. τῷ] τοῦ.
138, 22. Ἤδει] Ἤδει.
138, 23. Χριστὸς,] Χριστὸς, ὁ.
138, 27. ἔργα] ἔργον.
139, 3. ἔχειν, ἧς] ἧς ἔχειν.
139, 5. τὸν] om.
139, 6. κατωφερεῖς] κατοφερεῖς.
139, 7. λέγει] λέγοι.
139, 8. βαρέα] βαρεῖα.
139, 15. ἡ νίκη] om.
139, 17. οὕτω] ὁ οὕτω.
139, 23. χρηστὸς] Χριστὸς.
139, 25. ἀπηλλάξατέ] ἀπαλλάξατέ.
139, 27. ζητείων] ζητεῖ.
140, 13. ἀΐξαντος] στάξαντος.
140, 22. ᾧ] ὧν.
140, 24. ὅτε ἐνομ. καὶ βρ. εἶναι] om.
141, 20. ὃ] ὃ μὴ.
141, 21. δερήσεται] δαρήσεται.
141, 22. τοῦτο] τούτου.
141, 30. παρερρύη] παρρύη.
141, 31. ὃ] om.
142, 4. αὐτοῖς] αὐτῶν.
142, 8. αὐτὰ] μὴ συμφέροντα.
142, 17. ἡμῶν] om.
142, 17. γινώσκῃ] καταγιν.
143, 3. ἅλους] ἄλλους.
143, 4. πρὸς] πρὸς τὸν.
143, 6. δανείζεται τοῖς δυναμένοις] χαρίζεται τὴν δυναμένην.
143, 14. Θεοῦ] Θεοῦ δὴ.
143, 15. τῆς] om.
143, 20. 21. Σχόλιον.—πλανώμενον] om.
144, 7. ἑαυτὸν,—πράττων,] om.
144, 17. θαυμάζητε] θαυμάζεται.
144, 27. ἀναιρῶν τῶν πονηρῶν] τῶν πονηρῶν ἀναιρῶν.
144, 29. ἐλθὼν] ἐλθὼν ὁ.
145, 5. εἰδωλολατρίας] εἰδωλολατρείας.
147, 3. ἐκτρέπεσθαι] ἐκτρέπεσθαι τοὺς αἱρετικοὺς καὶ τοσοῦτον αὐτοὺς ἐκτρέπεσθαι.
147, 21. ᾱ] πρώτη.
147, 24. ταυτὸν] τ' αὐτὸν.
147, 24. ἐντολὰς] ἐντολὰς τὸ τηρεῖν αὐτὰς, ἐπεὶ γὰρ πρακτικαὶ αἱ ἀρέται αἱ κατὰ τὰς ἐντολὰς.
148, 6. ὅτι] οἱ.
148, 18. Σευήρου] Σευήρου Ἀντιοχείας.
148, 19. μὴ ὀρθὰ] ὀρθὰ μὴ.
148, 20. ποιοῦσιν] ποιοῦσιν ὡς κοινωνοῦσιν.
149, 5. δεξιοῦσθαι] λεξιοῦσθαι.
149, 9. εἶναι] om.
149, 24. πιστήν] πίστιν.
149, 24. δὲ] δὲ καὶ.
149, 25. β'] δεύτερα.
150, 11. Παιδεύων] Τοῦ Χρυσοστόμου. Παιδεύων.
150, 11.—151, 9. transpon. scholl.
150, 32. καὶ] om.
151, 4. τῇ] τῆς.
151, 5. Καὶ ἑτέρως. Ἐπεὶ καὶ] om.

151, 21. *πρακτικῶς*] *πρακτικῶς καὶ θεωρητικῶς.*
151, 26. *ἁμαρτάνων*] *ἁμαρτάνον.*
151, 30. *ἀντιρρήτως*] *ἀναντιρρήτως.*
152, 2. *καὶ*] *καὶ τῶν.*
153, 17. *ἤδη*] *ἤθη.*
154, 8. *δὲ*] *δὲ καὶ.*
154, 13. Κυρίλλου] Τοῦ ἁγίου Κυρίλλου.
154, 25. *τινες*] *τινες ὄντες.*
155, 1. λέγει] ἔφη.
155, 4. εἴδει] εἴδε.
155, 9. *πρὸς σκότος*] *προσκότος.*
155, 23. *ὁρῷ, καθάπερ*] *ὁρᾷ καθὰ.*
155, 24. *καὶ*] *καὶ ἡ.*
155, 31. * * *αὐτὸ*] *καὶ αὐτοὶ.*
156, 1. Ἀρχὴ] Μαξίμου. Ἀρχὴ.
156, 3. *πάλιν ἡ*] *πάλην.*
156, 12. *ἐκ—Ψαλμῶν*] om.
156, 13. *ῥητὰ προκείμενα*] *ῥητοῦ προκειμένου.*
156, 18. Μαξίμου] Μαξίμου μοναχοῦ.
156, 18. *οὐρανὸς, ἢ*] *ὁ οὐρανὸς.*
156, 20. *ὀνομάζειν*] *ὀνομάζων.*
156, 23. *οἱ*] *ἡ.*
156, 25. *γε*] *ἡ.*
156, 26. *δύναμιν*] *δύναμις.*
156, 27. *ἀπ'*] om.
156, 30. *ἐστέρηνται*] *ἐστήρηται.*
157, 1. *ἡμέραν,*] *ἡμέραν, μόνος.*
157, 4. *τοῖς*] *τὴν.*
157, 11. Βαβυλωνίους] *βακυλωνίους.*
157, 11. *ἄθεσμος*] *ἐκθεσμος.*
157, 12. *τινὲς*] *τινὲς ἀσεβεῖς.*
157, 13. *διὰ τοῦ*] *δι' αὐτοῦ.*
157, 14. *ὅτι*] om.
157, 21. *ἠρνήσαντο*] *ἠρνήσατο.*
157, 23. *παλίμβουλοι*] *παλίμβολοι.*
158, 4. *εἴη*] *εἰ ὁ.*
158, 5. *ὁ*] *καὶ.*
158, 13. Ἰησοῦ] Ἰησοῦ Χριστοῦ.
158, 23. Ἅγιον] om.
158, 24. Ταῦτα] Ταῦτα δὲ.
158, 24. Μανιχαίου] Μανηχαίου.
158, 25. *τῶν*] om.
158, 30. *αὐτοί·*] *αὐτό.*
159, 3. Hoc sch. infra post Σευήρου etc.
159, 9. *ἀσελγείας*] *ἀσεβείας.*
159, 10. Βορβοριανῶν] *βοριανῶν.*
159, 13. Σευήρου] Σευήρου Ἀρχιεπισκόπου Ἀντιοχ.
159, 13. Γερμανικίας] Γερμανικείας.
159, 18. *ὄφθησαν*] *ὤφθησαν.*
159, 19. Μανιχαίων] Μανιχαίων *ἐκ τῶν παλαιῶν.*
159, 20. *οὖν*] *γ' οὖν.*
159, 21. *πυρποληθεῖσι*] *πυρπολιθεῖσι.*
159, 23. *τῷ νῷ*] *τὸν νοῦν.*
159, 25. *τῷ*] *τὸ.*
159, 29. *ἀποθώμεθα*] *ἀπωθόμεθα.*
160, 3. *τιμωρητικὸν*] *θεωρητικὸν.*
160, 4. *τὸν ἐν*] om.
160, 6. *ἐφιστᾶσι*] *ἐφιστᾶσα.*
160, 8. *περὶ*] *παρὰ.*
160, 14. *ἐκφωνηθείσας*] *ἐκφωνηθείσης.*
160, 14. Καὶ *μετ' ὀλίγα*] om.
160, 26. Hoc schol. post *δικαιοσύνης δόξα.* p. 159, 2.
160, 31. *πνευμάτων*] *πατέρων.*

NOMINA AUCTORUM

E QUIBUS CONTEXTA EST CATENA IN EPISTOLAS CATHOLICAS.

AUCTORES OBITER CITATI.

AUCTORES

CITATI

IN COMMENT. IN S. JO. APOCALYPSIN.

CORRIGENDA.

Pag. Lin.

42, 10. Ἰηροῦ leg. Ἰησοῦ

93, 20. ἀσελεγειαν. leg. ἀσέλγειαν

119, 2. Σευήρου ἐκ τῆς πρὸς Ἡρακλιανὸν Ἐπιστολῆς. Omnino reponenda est Cod. lectio Ἡρακλιανὴν, consentiente Coisl. et Cod. Vatic. ap. Angel. Mai. Scriptt. Vett. Vat. Coll. t. ix. p. 729. unus tantum Cod. Ἡρακλιανὸν ap. Montfauc. Bibl. Coisl. p. 55.

124, 12. ἐπίδεκτου leg. ἐπίδεκτον

145, 5. εἰδωλοτατρίας leg. εἰδωλολατρίας

189, 5. Ἀμῶς καὶ Ἡσαΐας dele καὶ ut et p. 192, 30.

307, 22. Ἄφινθος leg. Ἄψινθος.

June, 1884.

Clarendon Press, Oxford

A SELECTION OF

BOOKS

PUBLISHED FOR THE UNIVERSITY BY

HENRY FROWDE,

AT THE OXFORD UNIVERSITY PRESS WAREHOUSE,

AMEN CORNER, LONDON.

ALSO TO BE HAD AT THE

CLARENDON PRESS DEPOSITORY, OXFORD.

[*Every book is bound in cloth, unless otherwise described.*]

LEXICONS, GRAMMARS, &c.

(See also Clarendon Press Series, pp. 14, 18, 21, 24, 25.)

ANGLO-SAXON.—*An Anglo-Saxon Dictionary*, based on the MS. Collections of the late Joseph Bosworth, D.D., Professor of Anglo-Saxon, Oxford. Edited and enlarged by Prof. T. N. Toller, M.A. (To be completed in four parts.) Parts I and II. A—HWISTLIAN (pp. vi, 576). 1882. 4to. 15*s*. each.

CHINESE.—*A Handbook of the Chinese Language*. Parts I and II, Grammar and Chrestomathy. By James Summers. 1863. 8vo. half bound, 1*l*. 8*s*.

ENGLISH.—*A New English Dictionary, on Historical Principles:* founded mainly on the materials collected by the Philological Society. Edited by James A. H. Murray, LL.D., President of the Philological Society; with the assistance of many Scholars and men of Science. Part I. A—ANT (pp. xvi, 352). Imperial 4to. 12*s*. 6*d*.

—— *An Etymological Dictionary of the English Language*, arranged on an Historical Basis. By W. W. Skeat, M.A. *Second Edition*. 1884. 4to. 2*l*. 4*s*.

——Supplement to the First Edition of the above. 1884. 4to. 2*s*. 6*d*. *Just Published.*

—— *A Concise Etymological Dictionary of the English Language*. By W. W. Skeat, M.A. 1884. Crown 8vo. 5*s*. 6*d*.

GREEK.—*A Greek-English Lexicon*, by Henry George Liddell, D.D., and Robert Scott, D.D. Seventh Edition, Revised and Augmented throughout. 1883. 4to. 1*l*. 16*s*.

—— *A Greek-English Lexicon*, abridged from Liddell and Scott's 4to. edition, chiefly for the use of Schools. Twentieth Edition. Carefully Revised throughout. 1883. Square 12mo. 7*s*. 6*d*.

GREEK.—*A copious Greek-English Vocabulary*, compiled from the best authorities. 1850. 24mo. 3*s*.

—— *A Practical Introduction to Greek Accentuation*, by H. W. Chandler, M.A. Second Edition. 1881. 8vo. 10*s*. 6*d*.

HEBREW.—*The Book of Hebrew Roots*, by Abu 'l-Walîd Marwân ibn Janâh, otherwise called Rabbî Yônâh. Now first edited, with an Appendix, by Ad. Neubauer. 1875. 4to. 2*l*. 7*s*. 6*d*.

—— *A Treatise on the use of the Tenses in Hebrew*. By S. R. Driver, M.A. Second Edition, Revised and Enlarged. 1881. Extra fcap. 8vo. 7*s*. 6*d*.

—— *Hebrew Accentuation of Psalms, Proverbs, and Job*. By William Wickes, D.D. 1881. Demy 8vo. stiff covers, 5*s*.

ICELANDIC.—*An Icelandic-English Dictionary*, based on the MS. collections of the late Richard Cleasby. Enlarged and completed by G. Vigfússon, M.A. With an Introduction, and Life of Richard Cleasby, by G. Webbe Dasent, D.C.L. 1874. 4to. 3*l*. 7*s*.

—— *A List of English Words the Etymology of which is illustrated by comparison with Icelandic*. Prepared in the form of an APPENDIX to the above. By W. W. Skeat, M.A. 1876. stitched, 2*s*.

—— *An Icelandic Prose Reader*, with Notes, Grammar and Glossary, by Dr. Gudbrand Vigfússon and F. York Powell, M.A. 1879. Extra fcap. 8vo. 10*s*. 6*d*.

LATIN.—*A Latin Dictionary*, founded on Andrews' edition of Freund's Latin Dictionary, revised, enlarged, and in great part rewritten by Charlton T. Lewis, Ph.D., and Charles Short, LL.D. 1879. 4to. 1*l*. 5*s*.

SANSKRIT.—*A Practical Grammar of the Sanskrit Language*, arranged with reference to the Classical Languages of Europe, for the use of English Students, by Monier Williams, M.A. Fourth Edition, 1877. 8vo. 15*s*.

—— *A Sanskrit-English Dictionary*, Etymologically and Philologically arranged, with special reference to Greek, Latin, German, Anglo-Saxon, English, and other cognate Indo-European Languages. By Monier Williams, M.A. 1872. 4to. 4*l*. 14*s*. 6*d*.

—— *Nalopákhyánam*. Story of Nala, an Episode of the Mahá-Bhárata: the Sanskrit text, with a copious Vocabulary, and an improved version of Dean Milman's Translation, by Monier Williams, M.A. Second Edition, Revised and Improved. 1879. 8vo. 15*s*.

—— *Sakuntalā*. A Sanskrit Drama, in Seven Acts. Edited by Monier Williams, M.A. Second Edition, 1876. 8vo. 21*s*.

SYRIAC.—*Thesaurus Syriacus*: collegerunt Quatremère, Bernstein, Lorsbach, Arnoldi, Agrell, Field, Roediger: edidit R. Payne Smith, S.T.P. Fasc. I-VI. 1868–83. sm. fol. each, 1*l*. 1*s*. Vol. I, containing Fasc. I–V, sm. fol. 5*l*. 5*s*.

—— *The Book of Kalīlah and Dimnah*. Translated from Arabic into Syriac. Edited by W. Wright, LL.D., Professor of Arabic in the University of Cambridge. 8vo. 1884. 21*s*.

GREEK CLASSICS, &c.

Aristophanes: A Complete Concordance to the Comedies and Fragments. By Henry Dunbar, M.D. 4to. *1l. 1s.*

Aristotle: The Politics, translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices, by B. Jowett, M.A. Medium 8vo. *Nearly ready.*

Heracliti Ephesii Reliquiae. Recensuit I. Bywater, M.A. Appendicis loco additae sunt Diogenis Laertii Vita Heracliti, Particulae Hippocratei De Diaeta Libri Primi, Epistolae Heracliteae. 1877. 8vo. 6*s.*

Homer: A Complete Concordance to the Odyssey and Hymns of Homer; to which is added a Concordance to the Parallel Passages in the Iliad, Odyssey, and Hymns. By Henry Dunbar, M.D. 1880. 4to. *1l. 1s.*

—— *Scholia Graeca in Iliadem.* Edited by Professor W. Dindorf, after a new collation of the Venetian MSS. by D. B. Monro, M.A., Fellow of Oriel College.
Vols. I. II. 1875. 8vo. 24*s.*
Vols. III. IV. 1877. 8vo. 26*s.*
Vols. V. VI. *In Preparation.*

—— *Scholia Graeca in Odysseam.* Edidit Guil. Dindorfius Tomi II. 1855. 8vo. 15*s.* 6*d.*

Plato: Apology, with a revised Text and English Notes, and a Digest of Platonic Idioms, by James Riddell, M.A. 1878. 8vo. 8*s.* 6*d.*

—— *Philebus*, with a revised Text and English Notes, by Edward Poste, M.A. 1860. 8vo. 7*s.* 6*d.*

—— *Sophistes and Politicus*, with a revised Text and English Notes, by L. Campbell, M.A. 1867. 8vo. 18*s.*

—— *Theaetetus*, with a revised Text and English Notes, by L. Campbell, M.A. Second Edition. 8vo. 10*s.* 6*d.*

—— *The Dialogues*, translated into English, with Analyses and Introductions, by B. Jowett, M.A. A new Edition in 5 volumes, medium 8vo. 1875. 3*l.* 10*s.*

—— *The Republic*, translated into English, with an Analysis and Introduction, by B. Jowett, M.A. Medium 8vo. 12*s.* 6*d.*

—— *Index to.* Compiled for the Second Edition of Professor Jowett's Translation of the Dialogues. By Evelyn Abbott, M.A. 1875. 8vo. paper covers, 2*s.* 6*d.*

Thucydides: Translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices. By B. Jowett, M.A. 2 vols. 1881. Medium 8vo. 1*l.* 12*s.*

THE HOLY SCRIPTURES, &c.

ENGLISH.—*The Holy Bible in the earliest English Versions,* made from the Latin Vulgate by John Wycliffe and his followers: edited by the Rev. J. Forshall and Sir F. Madden. 4 vols. 1850. Royal 4to. 3*l.* 3*s.*

[**Also reprinted from the above, with Introduction and Glossary by W. W. Skeat, M.A.**

—— *The Books of Job, Psalms, Proverbs, Ecclesiastes, and the Song of Solomon:* according to the Wycliffite Version made by Nicholas de Hereford, about A.D. 1381, and Revised by John Purvey, about A.D. 1388. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *The New Testament in English,* according to the Version by John Wycliffe, about A.D. 1380, and Revised by John Purvey, about A.D. 1388. Extra fcap. 8vo. 6*s.*]

—— *The Holy Bible:* an exact reprint, page for page, of the Authorised Version published in the year 1611. Demy 4to. half bound, 1*l.* 1*s.*

GOTHIC.—*The Gospel of St. Mark in Gothic,* according to the translation made by Wulfila in the Fourth Century. Edited with a Grammatical Introduction and Glossarial Index by W. W. Skeat, M.A. Extra fcap. 8vo. 4*s.*

GREEK.—*Vetus Testamentum* ex Versione Septuaginta Interpretum secundum exemplar Vaticanum Romae editum. Accedit potior varietas Codicis Alexandrini. Tomi III. Editio Altera. 18mo. 18*s.*

—— *Origenis Hexaplorum* quae supersunt; sive, Veterum Interpretum Graecorum in totum Vetus Testamentum Fragmenta. Edidit Fridericus Field, A.M. 2 vols. 1875. 4to. 5*l.* 5*s.*

—— *The Book of Wisdom:* the Greek Text, the Latin Vulgate, and the Authorised English Version; with an Introduction, Critical Apparatus, and a Commentary. By William J. Deane, M.A. Small 4to. 12*s.* 6*d.*

—— *Novum Testamentum Graece.* Antiquissimorum Codicum Textus in ordine parallelo dispositi. Accedit collatio Codicis Sinaitici. Edidit E. H. Hansell, S.T.B. Tomi III. 1864. 8vo. half morocco, 2*l.* 12*s.* 6*d.*

—— *Novum Testamentum Graece.* Accedunt parallela S. Scripturae loca, necnon vetus capitulorum notatio et canones Eusebii. Edidit Carolus Lloyd, S.T.P.R. 18mo. 3*s.*

The same on writing paper, with large margin, 10*s.*

—— *Novum Testamentum Graece* juxta Exemplar Millianum. 18mo. 2*s.* 6*d.*

The same on writing paper, with large margin, 9*s.*

GREEK.—*Evangelia Sacra Graece.* Fcap. 8vo. limp, 1*s*. 6*d*.

—— *The Greek Testament*, with the Readings adopted by the Revisers of the Authorised Version:—

(1) Pica type. Second Edition, with Marginal References. Demy 8vo. 10*s*. 6*d*.

(2) Long Primer type. Fcap. 8vo. 4*s*. 6*d*.

(3) The same, on writing paper, with wide margin, 15*s*.

—— *The Parallel New Testament*, Greek and English; being the Authorised Version, 1611; the Revised Version, 1881; and the Greek Text followed in the Revised Version. 8vo. 12*s*. 6*d*.

The Revised Version is the joint property of the Universities of Oxford and Cambridge.

—— *Canon Muratorianus:* the earliest Catalogue of the Books of the New Testament. Edited with Notes and a Facsimile of the MS. in the Ambrosian Library at Milan, by S. P. Tregelles, LL.D. 1867. 4to. 10*s*. 6*d*.

—— *Outlines of Textual Criticism applied to the New Testament.* By C. E. Hammond, M.A. Third Edition. Extra fcap. 8vo. 3*s*. 6*d*.

HEBREW, etc.—*The Psalms in Hebrew without points.* 1879. Crown 8vo. 3*s*. 6*d*.

—— *A Commentary on the Book of Proverbs.* Attributed to Abraham Ibn Ezra. Edited from a MS. in the Bodleian Library by S. R. Driver, M.A. Crown 8vo. paper covers, 3*s*. 6*d*.

—— *The Book of Tobit.* A Chaldee Text, from a unique MS. in the Bodleian Library; with other Rabbinical Texts, English Translations, and the Itala. Edited by Ad. Neubauer, M.A. 1878. Crown 8vo. 6*s*.

—— *Horae Hebraicae et Talmudicae*, a J. Lightfoot. A new Edition, by R. Gandell, M.A. 4 vols. 1859. 8vo. 1*l*. 1*s*.

LATIN.—*Libri Psalmorum* Versio antiqua Latina, cum Paraphrasi Anglo-Saxonica. Edidit B. Thorpe, F.A.S. 1835. 8vo. 10*s*. 6*d*.

—— *Old-Latin Biblical Texts: No. I.* The Gospel according to St. Matthew from the St. Germain MS. (g_1). Edited with Introduction and Appendices by John Wordsworth, M.A. Small 4to., stiff covers, 6*s*.

OLD-FRENCH.—*Libri Psalmorum* Versio antiqua Gallica e Cod. MS. in Bibl. Bodleiana adservato, una cum Versione Metrica aliisque Monumentis pervetustis. Nunc primum descripsit et edidit Franciscus Michel, Phil. Doct. 1860. 8vo 10*s*. 6*d*.

FATHERS OF THE CHURCH, &c.

St. Athanasius: Historical Writings, according to the Benedictine Text. With an Introduction by William Bright, D.D. 1881. Crown 8vo. 10*s.* 6*d.*

—— *Orations against the Arians.* With an Account of his Life by William Bright, D.D. 1873. Crown 8vo. 9*s.*

St. Augustine: Select Anti-Pelagian Treatises, and the Acts of the Second Council of Orange. With an Introduction by William Bright, D.D. Crown 8vo. 9*s.*

Canons of the First Four General Councils of Nicaea, Constantinople, Ephesus, and Chalcedon. 1877. Crown 8vo. 2*s.* 6*d.*

—— *Notes on the Canons of the First Four General Councils.* By William Bright, D.D. 1882. Crown 8vo. 5*s.* 6*d.*

Cyrilli Archiepiscopi Alexandrini in XII Prophetas. Edidit P. E. Pusey, A.M. Tomi II. 1868. 8vo. cloth, 2*l.* 2*s.*

—— *in D. Joannis Evangelium.* Accedunt Fragmenta varia necnon Tractatus ad Tiberium Diaconum duo. Edidit post Aubertum P. E. Pusey, A.M. Tomi III. 1872. 8vo. 2*l.* 5*s.*

—— *Commentarii in Lucae Evangelium* quae supersunt Syriace. E MSS. apud Mus. Britan. edidit R. Payne Smith, A.M. 1858. 4to. 1*l.* 2*s.*

—— Translated by R. Payne Smith, M.A. 2 vols. 1859. 8vo. 14*s.*

Ephraemi Syri, Rabulae Episcopi Edesseni, Balaei, aliorumque Opera Selecta. E Codd. Syriacis MSS. in Museo Britannico et Bibliotheca Bodleiana asservatis primus edidit J. J. Overbeck. 1865. 8vo. 1*l.* 1*s.*

Eusebius' Ecclesiastical History, according to the text of Burton, with an Introduction by William Bright, D.D. 1881. Crown 8vo. 8*s.* 6*d.*

Irenaeus: The Third Book of St. Irenaeus, Bishop of Lyons, against Heresies. With short Notes and a Glossary by H. Deane, B.D. 1874. Crown 8vo. 5*s.* 6*d.*

Patrum Apostolicorum, S. Clementis Romani, S. Ignatii, S. Polycarpi, quae supersunt. Edidit Guil. Jacobson, S.T.P.R. Tomi II. Fourth Edition, 1863. 8vo. 1*l.* 1*s.*

Socrates' Ecclesiastical History, according to the Text of Hussey, with an Introduction by William Bright, D.D. 1878. Crown 8vo. 7*s.* 6*d.*

ECCLESIASTICAL HISTORY, BIOGRAPHY, &c.

Ancient Liturgy of the Church of England, according to the uses of Sarum, York, Hereford, and Bangor, and the Roman Liturgy arranged in parallel columns, with preface and notes. By William Maskell, M.A. Third Edition. 1882. 8vo. 15*s.*

Baedae Historia Ecclesiastica. Edited, with English Notes, by G. H. Moberly, M.A. 1881. Crown 8vo. 10*s.* 6*d.*

Bright (W.). Chapters of Early English Church History. 1878. 8vo. 12*s.*

Burnet's History of the Reformation of the Church of England. A new Edition. Carefully revised, and the Records collated with the originals, by N. Pocock, M.A. 7 vols. 1865. 8vo. *Price reduced to* 1*l.* 10*s.*

Councils and Ecclesiastical Documents relating to Great Britain and Ireland. Edited, after Spelman and Wilkins, by A. W. Haddan, B.D., and W. Stubbs, M.A. Vols. I. and III. 1869–71. Medium 8vo. each 1*l.* 1*s.*

Vol. II. Part I. 1873. Medium 8vo. 10*s.* 6*d.*

Vol. II. Part II. 1878. Church of Ireland; Memorials of St. Patrick. Stiff covers, 3*s.* 6*d.*

Hammond (C. E.). Liturgies, Eastern and Western. Edited, with Introdnction, Notes, and a Liturgical Glossary. 1878. Crown 8vo. 10*s.* 6*d.*

An Appendix to the above. 1879. Crown 8vo. paper covers, 1*s.* 6*d.*

John, Bishop of Ephesus. The Third Part of his Ecclesiastical History. [In Syriac.] Now first edited by William Cnreton, M.A. 1853. 4to. 1*l.* 12*s.*

—— Translated by R. Payne Smith, M.A. 1860. 8vo. 10*s.*

Leofric Missal, The, as used in the Cathedral of Exeter dnring the Episcopate of its first Bishop, A.D. 1050–1072; together with some Account of the Red Book of Derby, the Missal of Robert of Jumièges, and a few other early MS. Service Books of the English Church. Edited, with Introduction and Notes, by F. E. Warren, B.D. 4to. half morocco, 35*s.*

Monumenta Ritualia Ecclesiae Anglicanae. The occasional Offices of the Chnrch of England according to the old use of Salisbury, the Prymer in English, and other prayers and forms, with dissertations and notes. By William Maskell, M.A. Second Edition. 1882. 3 vols. 8vo. 2*l.* 10*s.*

Records of the Reformation. The Divorce, 1527–1533. Mostly now for the first time printed from MSS. in the British Musenm and other libraries. Collected and arranged by N. Pocock, M.A. 1870. 2 vols. 8vo. 1*l.* 16*s.*

Shirley (*W. W.*). *Some Account of the Church in the Apostolic Age.* Second Edition, 1874. fcap. 8vo. 3s. 6d.

Stubbs (*W.*). *Registrum Sacrum Anglicanum.* An attempt to exhibit the course of Episcopal Succession in England. 1858. Small 4to. 8s. 6d.

Warren (*F. E.*). *Liturgy and Ritual of the Celtic Church.* 1881. 8vo. 14s.

ENGLISH THEOLOGY.

Butler's Works, with an Index to the Analogy. 2 vols. 1874. 8vo. 11s.

Also separately,

Sermons, 5s. 6d. *Analogy of Religion*, 5s. 6d.

Greswell's Harmonia Evangelica. Fifth Edition. 8vo. 1855. 9s. 6d.

Heurtley's Harmonia Symbolica: Creeds of the Western Church. 1858. 8vo. 6s. 6d.

Homilies appointed to be read in Churches. Edited by J. Griffiths, M.A. 1859. 8vo. 7s. 6d.

Hooker's Works, with his life by Walton, arranged by John Keble, M.A. Sixth Edition, 1874. 3 vols. 8vo. 1l. 11s. 6d.

—— the text as arranged by John Keble, M.A. 2 vols. 1875. 8vo. 11s.

Jewel's Works. Edited by R. W. Jelf, D.D. 8 vols. 1848. 8vo. 1l. 10s.

Pearson's Exposition of the Creed. Revised and corrected by E. Burton, D.D. Sixth Edition, 1877. 8vo. 10s. 6d.

Waterland's Review of the Doctrine of the Eucharist, with a Preface by the present Bishop of London. 1880. Crown 8vo. 6s. 6d.

—— *Works*, with Life, by Bp. Van Mildert. A new Edition, with copious Indexes. 6 vols. 1856. 8vo. 2l. 11s.

Wheatly's Illustration of the Book of Common Prayer. A new Edition, 1846. 8vo. 5s.

Wyclif. A Catalogue of the Original Works of John Wyclif, by W. W. Shirley, D.D. 1865. 8vo. 3s. 6d.

—— *Select English Works.* By T. Arnold, M.A. 3 vols. 1869–1871. 8vo. *Price reduced to* 1l. 1s.

—— *Trialogus.* With the Supplement now first edited. By Gotthard Lechler. 1869. 8vo. *Price reduced to* 7s.

HISTORICAL AND DOCUMENTARY WORKS.

British Barrows, a Record of the Examination of Sepulchral Mounds in various parts of England. By William Greenwell, M.A., F.S.A. Together with Description of Figures of Skulls, General Remarks on Prehistoric Crania, and an Appendix by George Rolleston, M.D., F.R.S. 1877. Medium 8vo. 25*s*.

Britton. A Treatise upon the Common Law of England, composed by order of King Edward I. The French Text carefully revised, with an English Translation, Introduction, and Notes, by F. M. Nichols, M.A. 2 vols. 1865. Royal 8vo. 1*l*. 16*s*.

Clarendon's History of the Rebellion and Civil Wars in England. 7 vols. 1839. 18mo. 1*l*. 1*s*.

Clarendon's History of the Rebellion and Civil Wars in England. Also his Life, written by himself, in which is included a Continuation of his History of the Grand Rebellion. With copious Indexes. In one volume, royal 8vo. 1842. 1*l*. 2*s*.

Clinton's Epitome of the Fasti Hellenici. 1851. 8vo. 6*s*. 6*d*.

—— *Epitome of the Fasti Romani.* 1854. 8vo. 7*s*.

Corpvs Poeticvm Boreale. The Poetry of the Old Northern Tongue, from the Earliest Times to the Thirteenth Century. Edited, classified, and translated. with Introduction, Excursus, and Notes, by Gudbrand Vigfússon, M.A., and F. York Powell, M.A. 2 vols. 1883. 8vo. 42*s*.

Freeman (E. A.). History of the Norman Conquest of England; its Causes and Results. In Six Volumes. 8vo. 5*l*. 9*s*. 6*d*.

Vols. I–II together, 3rd edition, 1877. 1*l*. 16*s*.
Vol. III, 2nd edition, 1874. 1*l*. 1*s*.
Vol. IV, 2nd edition, 1875. 1*l*. 1*s*.
Vol. V, 1876. 1*l*. 1*s*.
Vol. VI. Index. 1879. 8vo. 10*s*. 6*d*.

Freeman (E. A.). The Reign of William Rufus and the Accession of Henry the First. 2 vols. 8vo. 1*l*. 16*s*.

Gascoigne's Theological Dictionary ("Liber Veritatum"): Selected Passages, illustrating the condition of Church and State, 1403–1458. With an Introduction by James E. Thorold Rogers, M.P. Small 4to. 10*s*. 6*d*.

Magna Carta, a careful Reprint. Edited by W. Stubbs, M.A. 1879. 4to. stitched, 1*s*.

Passio et Miracula Beati Olaui. Edited from a Twelfth-Century MS. in the Library of Corpus Christi College, Oxford, with an Introduction and Notes, by Frederick Metcalfe, M.A. Small 4to. stiff covers, 6*s*.

Protests of the Lords, including those which have been expunged, from 1624 to 1874; with Historical Introductions. Edited by James E. Thorold Rogers, M.A. 1875. 3 vols. 8vo. *2l. 2s.*

Rogers (J. E. T.). History of Agriculture and Prices in England, A.D. 1259–1793.

Vols. I and II (1259–1400). 1866. 8vo. *2l. 2s.*

Vols. III and IV (1401–1582). 1882. 8vo. *2l. 10s.*

Saxon Chronicles (Two of the) parallel, with Supplementary Extracts from the Others. Edited, with Introduction, Notes, and a Glossarial Index, by J. Earle, M.A. 1865. 8vo. *16s.*

Sturlunga Saga, including the Islendinga Saga of Lawman Sturla Thordsson and other works. Edited by Dr. Gudbrand Vigfússon. In 2 vols. 1878. 8vo. *2l. 2s.*

Statutes made for the University of Oxford, and for the Colleges and Halls therein, by the University of Oxford Commissioners. 1882. 8vo. *12s. 6d.*

Also separately,

Statutes made for the University. *2s.*

—— *the Colleges.* *1s.* each.

Statuta Universitatis Oxoniensis. 1883. 8vo. *5s.*

The Student's Handbook to the University and Colleges of Oxford. Seventh Edition. 1883. Extra fcap. 8vo. *2s. 6d.*

MATHEMATICS, PHYSICAL SCIENCE, &c.

Acland (H. W., M.D., F.R.S.). Synopsis of the Pathological Series in the Oxford Museum. 1867. 8vo. *2s. 6d.*

Astronomical Observations made at the University Observatory, Oxford, under the direction of C. Pritchard, M.A. No. 1. 1878. Royal 8vo. paper covers, *3s. 6d.*

Müller (J.). On certain Variations in the Vocal Organs of the Passeres that have hitherto escaped notice. Translated by F. J. Bell, B.A., and edited, with an Appendix, by A. H. Garrod, M.A., F.R.S. With Plates. 1878. 4to. paper covers, *7s. 6d.*

Phillips (John, M.A., F.R.S.). Geology of Oxford and the Valley of the Thames. 1871. 8vo. *21s.*

—— *Vesuvius.* 1869. Crown 8vo. *10s. 6d.*

Price (Bartholomew, M.A., F.R.S.). Treatise on Infinitesimal Calculus.

Vol. I. Differential Calculus. Second Edition. 8vo. 14*s.* 6*d.*

Vol. II. Integral Calculus, Calculus of Variations, and Differential Equations. Second Edition, 1865. 8vo. 18*s.*

Vol. III. Statics, including Attractions; Dynamics of a Material Particle. Second Edition, 1868. 8vo. 16*s.*

Vol. IV. Dynamics of Material Systems; together with a chapter on Theoretical Dynamics, by W. F. Donkin, M.A., F.R.S. 1862. 8vo. 16*s.*

Rigaud's Correspondence of Scientific Men of the 17th Century, with Table of Contents by A. de Morgan, and Index by the Rev. J. Rigaud, M.A. 2 vols. 1841–1862. 8vo. 18*s.* 6*d.*

Sachs' Text-Book of Botany, Morphological and Physiological. A New Edition. Translated by S. H. Vines, M.A. 1882. Royal 8vo., half morocco, 1*l.* 11*s.* 6*d.*

Westwood (J. O., M.A., F.R.S.). Thesaurus Entomologicus Hopeianus, or a Description of the rarest Insects in the Collection given to the University by the Rev. William Hope. With 40 Plates. 1874. Small folio, half morocco, 7*l.* 10*s.*

The Sacred Books of the East.

TRANSLATED BY VARIOUS ORIENTAL SCHOLARS, AND EDITED BY F. MAX MÜLLER.

[Demy 8vo. cloth.]

Vol. I. The Upanishads. Translated by F. Max Müller. Part I. The *Kh*ândogya-upanishad, The Talavakâra-upanishad, The Aitareya-âra*n*yaka, The Kaushîtaki-brâhma*n*a-upanishad, and The Vâ*g*asaneyi-sa*m*hitâ-upanishad. 10*s.* 6*d.*

Vol. II. The Sacred Laws of the Âryas, as taught in the Schools of Âpastamba, Gautama, Vâsish*th*a, and Baudhâyana. Translated by Prof. Georg Bühler. Part I. Âpastamba and Gautama. 10*s.* 6*d.*

Vol. III. The Sacred Books of China. The Texts of Confucianism. Translated by James Legge. Part I. The Shû King, The Religious portions of the Shih King, and The Hsiâo King. 12*s.* 6*d.*

Vol. IV. The Zend-Avesta. Translated by James Darmesteter. Part I. The Vendîdâd. 10*s.* 6*d.*

Vol. V. The Pahlavi Texts. Translated by E. W. West. Part I. The Bundahi*s*, Bahman Ya*s*t, and Shâyast lâ-shâyast. 12*s*. 6*d*.

Vols. VI and IX. The Qur'ân. Parts I and II. Translated by E. H. Palmer. 21*s*.

Vol. VII. The Institutes of Vish*n*u. Translated by Julius Jolly. 10*s*. 6*d*.

Vol. VIII. The Bhagavadgîtâ, with The Sanatsu*g*âtîya, and The Anugîtâ. Translated by Kâshinâth Trimbak Telang. 10*s*. 6*d*.

Vol. X. The Dhammapada, translated from Pâli by F. Max Müller; and The Sutta-Nipâta, translated from Pâli by V. Fausböll; being Canonical Books of the Buddhists. 10*s*. 6*d*.

Vol. XI. Buddhist Suttas. Translated from Pâli by T. W. Rhys Davids. 1. The Mahâparinibbâna Suttanta; 2. The Dhamma-*k*akka-ppavattana Sutta; 3. The Tevi*gg*a Suttanta; 4. The Akañkheyya Sutta; 5. The *K*etokhila Sutta; 6. The Mahâ-sudassana Suttanta; 7. The Sabbâsava Sutta. 10*s*. 6*d*.

Vol. XII. The *S*atapatha-Brâhma*n*a, according to the Text of the Mâdhyandina School. Translated by Julius Eggeling. Part I. Books I and II. 12*s*. 6*d*.

Vol. XIII. Vinaya Texts. Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part I. The Pâtimokkha. The Mahâvagga, I–IV. 10*s*. 6*d*.

Vol. XIV. The Sacred Laws of the Âryas, as taught in the Schools of Âpastamba, Gautama, Vâsish*th*a and Baudhâyana. Translated by Georg Bühler. Part II. Vasish*th*a and Baudhâyana. 10*s*. 6*d*.

Vol. XV. The Upanishads. Translated by F. Max Müller. Part II. The Ka*th*a-upanishad, The Mu*nd*aka-upanishad, The Taittirîyaka-upanishad, The B*ri*hadâra*n*yaka-upanishad, The *S*veta*s*vatara-upanishad, The Pra*s*ñ*a-upanishad, and The Maitrâya*n*a-Brâhma*n*a-upanishad. 10*s*. 6*d*.

Vol. XVI. The Sacred Books of China. The Texts of Confucianism. Translated by James Legge. Part II. The Yî King. 10*s*. 6*d*.

Vol. XVII. Vinaya Texts. Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part II. The Mahâvagga, V–X. The *K*ullavagga, I–III. 10*s*. 6*d*.

Vol. XVIII. Pahlavi Texts. Translated by E. W. West. Part II. The Dâ*d*istân-î Dînîk and The Epistles of Mânû*sk*îhar. 12*s*. 6*d*.

Vol. XIX. The Fo-sho-hing-tsan-king. A Life of Buddha by A*s*vaghosha Bodhisattva, translated from Sanskrit into Chinese by Dharmaraksha, A.D. 420, and from Chinese into English by Samuel Beal. 10*s*. 6*d*.

Vol. XXI. The Saddharma-pu*nd*arîka, or the Lotus of the True Law. Translated by H. Kern. 12*s.* 6*d.*

Vol. XXIII. The Zend-Avesta. Part II. The Sîrôzahs, Ya*s*ts, and Nyâyi*s*. Translated by James Darmesteter. 10*s.* 6*d.*

The following Volumes are in the Press:—

Vol. XX. Vinaya Texts. Translated from the Pâli by T. W. Rhys Davids and Hermann Oldenberg. Part III. The *K*ullavagga, I–IV.

Vol. XXII. The Â*k*ârâṅga Sûtra. Translated by H. Jacobi.

Vol. XXIV. Pahlavi Texts. Translated by E. W. West. Part III. Dînâ-î Maînôg-î Khîrad, Shikand-gu-mânî, and Sad-dar.

Second Series.

Vol. XXV. Manu. Translated by GEORG BÜHLER. Part I.

Vol. XXVI. Manu. Translated by GEORG BÜHLER. Part II.

Anecdota Oxoniensia:

[Small 4to.]

Classical Series. I. i. *The English Manuscripts of the Nicomachean Ethics*, described in relation to Bekker's Manuscripts and other Sources. By J. A. Stewart. M.A. 3*s.* 6*d.*

—— I. ii. *Nonius Marcellus*, de Compendiosa Doctrina, Harleian MS. 2719. Collated by J. H. Onions, M.A. 3*s.* 6*d.*

—— I. iii. *Aristotle's Physics.* Book VII. Collation of various MSS.; with an Introduction by R. Shute, M.A. 2*s.*

—— I. iv. *Bentley's Plautine Emendations.* From his copy of Gronovius. By E. A. Sonnenschein, M.A. 2*s.* 6*d.*

Semitic Series. I. i. *Commentary on Ezra and Nehemiah.* By Rabbi Saadiah. Edited by H. J. Mathews, M.A. 3*s.* 6*d.*

Aryan Series. I. i. *Buddhist Texts from Japan.* Edited by F. Max Müller, M.A. 3*s.* 6*d.*

—— I. ii. *Sukhâvatî-Vyûha.* Description of Sukhâvatî, the Land of Bliss. Edited by F. Max Müller, M.A., and Bunyiu Nanjio. 7*s.* 6*d.*

Mediaeval and Modern Series. I. i. *Sinonoma Bartholomei;* A Glossary from a Fourteenth-Century MS. in the Library of Pembroke College, Oxford. Edited by J. L. G. Mowat, M.A. 3*s.* 6*d.*

—— I. iii. *The Saltair Na Rann.* A Collection of Early Middle Irish Poems. Edited from a MS. in the Bodleian Library by Whitley Stokes, LL.D. 7*s.* 6*d.*

Clarendon Press Series

I. ENGLISH.

A First Reading Book. By Marie Eichens of Berlin; and edited by Anne J. Clough. Extra fcap. 8vo. stiff covers, 4*d.*

Oxford Reading Book, Part I. For Little Children. Extra fcap. 8vo. stiff covers, 6*d.*

Oxford Reading Book, Part II. For Junior Classes. Extra fcap. 8vo. stiff covers, 6*d.*

An Elementary English Grammar and Exercise Book. By O. W. Tancock, M.A. Second Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

An English Grammar and Reading Book, for Lower Forms in Classical Schools. By O. W. Tancock, M.A. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

Typical Selections from the best English Writers, with Introductory Notices. Second Edition. In Two Volumes. Extra fcap. 8vo. 3*s.* 6*d.* each.

Vol. I. Latimer to Berkeley. Vol. II. Pope to Macaulay.

Shairp (J. C., LL.D.). Aspects of Poetry; being Lectures delivered at Oxford. Crown 8vo. 10*s.* 6*d.*

A Book for the Beginner in Anglo-Saxon. By John Earle, M.A. Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

An Anglo-Saxon Reader. In Prose and Verse. With Grammatical Introduction, Notes, and Glossary. By Henry Sweet, M.A. Fourth Edition, Revised and Enlarged. Extra fcap. 8vo. 8*s.* 6*d.*

An Anglo-Saxon Primer, with Grammar, Notes, and Glossary. By the same Author. Extra fcap. 8vo. 2*s.* 6*d.*

The Philology of the English Tongue. By J. Earle, M.A. Third Edition. Extra fcap. 8vo. 7*s.* 6*d.*

A Handbook of Phonetics, including a Popular Exposition of the Principles of Spelling Reform. By Henry Sweet, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

The Ormulum; with the Notes and Glossary of Dr. R. M. White. Edited by R. Holt, M.A. 1878. 2 vols. Extra fcap. 8vo. 21*s.*

English Plant Names from the Tenth to the Fifteenth Century. By J. Earle, M.A. Small fcap. 8vo. 5*s.*

Specimens of Early English. A New and Revised Edition. With Introduction, Notes, and Glossarial Index. By R. Morris, LL.D., and W. W. Skeat, M.A.

Part I. From Old English Homilies to King Horn (A.D. 1150 to A.D. 1300). Extra fcap. 8vo. 9*s.*

Part II. From Robert of Gloucester to Gower (A.D. 1298 to A.D. 1393). Second Edition. Extra fcap. 8vo. 7*s.* 6*d.*

Specimens of English Literature, from the 'Ploughmans Crede' to the 'Shepheardes Calender' (A.D. 1394 to A.D. 1579). With Introduction, Notes, and Glossarial Index. By W. W. Skeat, M.A. Extra fcap. 8vo. 7*s.* 6*d.*

The Vision of William concerning Piers the Plowman, by William Langland. Edited, with Notes, by W. W. Skeat, M.A. Third Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

Chaucer. I. *The Prologue to the Canterbury Tales;* the Knightes Tale; The Nonne Prestes Tale. Edited by R. Morris, Editor of Specimens of Early English, &c., &c. Fifty-first Thousand. Extra fcap. 8vo. 2*s.* 6*d.*

—— II. *The Prioresses Tale; Sir Thopas;* The Monkes Tale; The Clerkes Tale; The Squieres Tale, &c. Edited by W. W. Skeat, M.A. Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

—— III. *The Tale of the man of Lawe;* The Pardoneres Tale; The Second Nonnes Tale; The Chanouns Yemannes Tale. By the same Editor. Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

Spenser's Faery Queene. Books I and II. Designed chiefly for the use of Schools. With Introduction, Notes, and Glossary. By G. W. Kitchin, M.A.

Book I. Tenth Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*
Book II. Sixth Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

Hooker. Ecclesiastical Polity, Book I. Edited by R. W. Church, M.A. Second Edition. Extra fcap. 8vo. 2*s.*

Marlowe and Greene. Marlowe's Tragical History of Dr. Faustus, and *Greene's Honourable History of Friar Bacon and Friar Bungay.* Edited by A. W. Ward, M.A. 1878. Extra fcap. 8vo. 5*s.* 6*d.*

Marlowe. Edward II. With Introduction, Notes, &c. By O. W. Tancock, M.A. Extra fcap. 8vo. 3*s.*

Shakespeare. Select Plays. Edited by W. G. Clark, M.A., and W. Aldis Wright, M.A. Extra fcap. 8vo. stiff covers.

I. The Merchant of Venice. 1*s.*
II. Richard the Second. 1*s.* 6*d.*
III. Macbeth. 1*s.* 6*d.*
IV. Hamlet. 2*s.*

—— Edited by W. Aldis Wright, M.A. Extra fcap. 8vo. stiff covers.

V. The Tempest. 1*s.* 6*d.*
VI. As You Like It. 1*s.* 6*d.*
VII. Julius Cæsar. 2*s.*
VIII. Richard the Third. 2*s.* 6*d.*
IX. King Lear. 1*s.* 6*d.*
X. A Midsummer Night's Dream. 1*s.* 6*d.*
XI. Coriolanus. 2*s.* 6*d.*
XII. Henry the Fifth. 2*s.*
XIII. Twelfth Night. *In the Press.*

Bacon. I. *Advancement of Learning.* Edited by W. Aldis Wright, M.A. Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

—— II. *The Essays.* With Introduction and Notes. By J. R. Thursfield, M.A. *In Preparation.*

Milton. I. *Areopagitica.* With Introduction and Notes. By J. W. Hales, M.A. Third Edition. Extra fcap. 8vo. 3*s.*

—— II. *Poems.* Edited by R. C. Browne, M.A. 2 vols. Fifth Edition. Extra fcap. 8vo. 6*s.* 6*d.*

Sold separately, Vol. I. 4*s.*; Vol. II. 3*s.*

In paper covers:—

Lycidas, 3*d.* L'Allegro, 3*d.* Il Penseroso, 4*d.* Comus, 6*d.*
Samson Agonistes, 6*d.*

—— III. *Samson Agonistes.* Edited with Introduction and Notes by John Churton Collins. Extra fcap. 8vo. stiff covers, 1*s.*

Bunyan. I. *The Pilgrim's Progress, Grace Abounding, Relation of the Imprisonment of Mr. John Bunyan.* Edited, with Biographical Introduction and Notes, by E. Venables, M.A. 1879. Extra fcap. 8vo. 5*s.*

—— II. *Holy War, &c.* Edited by E. Venables, M.A. In the Press.

Dryden. Select Poems. Stanzas on the Death of Oliver Cromwell; Astræa Redux; Annus Mirabilis; Absalom and Achitophel; Religio Laici; The Hind and the Panther. Edited by W. D. Christie, M.A. Second Edition. Extra fcap. 8vo. 3*s*. 6*d*.

Locke's Conduct of the Understanding. Edited, with Introduction, Notes, &c., by T. Fowler, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*.

Addison. Selections from Papers in the Spectator. With Notes. By T. Arnold, M.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

Pope. With Introduction and Notes. By Mark Pattison, B.D.

—— I. *Essay on Man.* Sixth Edition. Extra fcap. 8vo. 1*s*. 6*d*.

—— II. *Satires and Epistles.* Second Edition. Extra fcap. 8vo. 2*s*.

Parnell. The Hermit. Paper covers, 2*d*.

Johnson. I. *Rasselas; Lives of Pope and Dryden.* Edited by Alfred Milnes, B.A. (London). Extra fcap. 8vo. 4*s*. 6*d*.

—— II. *Vanity of Human Wishes.* With Notes, by E. J. Payne, M.A. Paper covers, 4*d*.

Gray. Elegy and Ode on Eton College. Paper covers, 2*d*.

Goldsmith. The Deserted Village. Paper covers, 2*d*.

Cowper. Edited, with Life, Introductions, and Notes, by H. T. Griffith, B.A.

—— I. *The Didactic Poems of* 1782, with Selections from the Minor Pieces, A.D. 1779–1783. Extra fcap. 8vo. 3*s*.

—— II. *The Task, with Tirocinium,* and Selections from the Minor Poems, A.D. 1784–1799. Second Edition. Extra fcap. 8vo. 3*s*.

Burke. Select Works. Edited, with Introduction and Notes, by E. J. Payne, M.A.

—— I. *Thoughts on the Present Discontents; the two Speeches on America.* Second Edition. Extra fcap. 8vo. 4*s*. 6*d*.

—— II. *Reflections on the French Revolution.* Second Edition. Extra fcap. 8vo. 5*s*.

—— III. *Four Letters on the Proposals for Peace with the* Regicide Directory of France. Second Edition. Extra fcap. 8vo. 5*s*.

Keats. Hyperion, Book I. With Notes by W. T. Arnold, B.A. Paper covers, 4*d.*

Scott. Lay of the Last Minstrel. Introduction and Canto I, with Preface and Notes by W. Minto, M.A. Paper covers, 6*d.*

II. LATIN.

An Elementary Latin Grammar. By John B. Allen, M.A. Third Edition, Revised and Corrected. Extra fcap. 8vo. 2*s.* 6*d.*

A First Latin Exercise Book. By the same Author. Fourth Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

A Second Latin Exercise Book. By the same Author. *In the Press.*

Reddenda Minora, or Easy Passages, Latin and Greek, for Unseen Translation. For the use of Lower Forms. Composed and selected by C. S. Jerram, M.A. Extra fcap. 1*s.* 6*d.*

Anglice Reddenda, or Easy Extracts, Latin and Greek, for Unseen Translation. By C. S. Jerram, M.A. Third Edition, Revised and Enlarged. Extra fcap. 8vo. 2*s.* 6*d.*

Passages for Translation into Latin. For the use of Passmen and others. Selected by J. Y. Sargent, M.A. Fifth Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

First Latin Reader. By T. J. Nunns, M.A. Third Edition. Extra fcap. 8vo. 2*s.*

Caesar. The Commentaries (for Schools). With Notes and Maps. By Charles E. Moberly, M.A.

Part I. *The Gallic War.* Second Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

Part II. *The Civil War.* Extra fcap. 8vo 3*s.* 6*d.*

The Civil War. Book I. Second Edition. Extra fcap. 8vo. 2*s.*

Cicero. Selection of interesting and descriptive passages. With Notes. By Henry Walford, M.A. In three Parts. Extra fcap. 8vo. 4*s.* 6*d.*

Each Part separately, limp, 1*s.* 6*d.*

Part I. Anecdotes from Grecian and Roman History. Third Edition.
Part II. Omens and Dreams: Beauties of Nature. Third Edition.
Part III. Rome's Rule of her Provinces. Third Edition.

—— *De Senectute* and *De Amicitia.* With Notes. By W. Heslop, M.A. Extra fcap. 8vo. 2*s.* *Just Published.*

Cicero. Selected Letters (for Schools). With Notes. By the late C. E. Prichard, M.A., and E. R. Bernard, M.A. Second Edition. Extra fcap. 8vo. 3*s*.

—— *Select Orations* (for Schools). In Verrem I. De Imperio Gn. Pompeii. Pro Archia. Philippica IX. With Introduction and Notes by J. R. King, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*. 6*d*.

Cornelius Nepos. With Notes. By Oscar Browning, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*. 6*d*.

Livy. Selections (for Schools). With Notes and Maps. By H. Lee-Warner, M.A. Extra fcap. 8vo. In Parts, limp, each 1*s*. 6*d*.

Part I. The Caudine Disaster.
Part II. Hannibal's Campaign in Italy.
Part III. The Macedonian War.

Livy. Books V–VII. With Introduction and Notes. By A. R. Cluer, B.A. Extra fcap. 8vo. 3*s*. 6*d*.

Ovid. Selections for the use of Schools. With Introductions and Notes, and an Appendix on the Roman Calendar. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A. Second Edition. Extra fcap. 8vo. 5*s*. 6*d*.

Pliny. Selected Letters (for Schools). With Notes. By the late C. E. Prichard, M.A., and E. R. Bernard, M.A. Second Edition. Extra fcap. 8vo. 3*s*.

Catulli Veronensis Liber. Iterum recognovit, apparatum criticum prolegomena appendices addidit, Robinson Ellis, A.M. 1878. Demy 8vo. 16*s*.

—— *A Commentary on Catullus.* By Robinson Ellis, M.A. 1876. Demy 8vo. 16*s*.

—— *Veronensis Carmina Selecta,* secundum recognitionem Robinson Ellis, A.M. Extra fcap. 8vo. 3*s*. 6*d*.

Cicero de Oratore. With Introduction and Notes. By A. S. Wilkins, M.A.

Book I. 1879. 8vo. 6*s*. Book II. 1881. 8vo. 5*s*.

—— *Philippic Orations.* With Notes. By J. R. King, M.A. Second Edition. 1879. 8vo. 10*s*. 6*d*.

—— *Select Letters.* With English Introductions, Notes, and Appendices. By Albert Watson, M.A. Third Edition. 1881. Demy 8vo. 18*s*.

Cicero. Select Letters. Text. By the same Editor. Second Edition. Extra fcap. 8vo. 4*s*.

Cicero pro Cluentio. With Introduction and Notes. By W. Ramsay, M.A. Edited by G. G. Ramsay, M.A. Second Edition. Extra fcap. 8vo. 3*s*. 6*d*.

Horace. With a Commentary. Volume I. The Odes, Carmen Seculare, and Epodes. By Edward C. Wickham, M.A. Second Edition. 1877. Demy 8vo. 12*s*.

—— A reprint of the above, in a size suitable for the use of Schools. Extra fcap. 8vo. 5*s*. 6*d*.

Livy, Book I. With Introduction, Historical Examination, and Notes. By J. R. Seeley, M.A. Second Edition. 1881. 8vo. 6*s*.

Ovid. P. Ovidii Nasonis Ibis. Ex Novis Codicibus edidit, Scholia Vetera Commentarium cum Prolegomenis Appendice Indice addidit, R. Ellis, A.M. Demy 8vo. 10*s*. 6*d*.

Persius. The Satires. With a Translation and Commentary. By John Conington, M.A. Edited by Henry Nettleship, M.A. Second Edition. 1874. 8vo. 7*s*. 6*d*.

Plautus. The Trinummus. With Notes and Introductions. Intended for the Higher Forms of Public Schools. By C. E. Freeman, M.A., and A. Sloman, M.A. Extra fcap. 8vo. 3*s*.

Sallust. With Introduction and Notes. By W. W. Capes, M.A. *In the Press.*

Tacitus. The Annals. Books I–VI. Edited, with Introduction and Notes, by H. Furneaux, M.A. 8vo. 18*s*.

Virgil. With Introduction and Notes. By T. L. Papillon, M.A. Two vols. crown 8vo. 10*s*. 6*d*.

Nettleship (H., M.A.). The Roman Satura: its original form in connection with its literary development. 8vo. sewed, 1*s*.

Vergil: Suggestions Introductory to a Study of the Aeneid. By H. Nettleship, M.A. 8vo. sewed, 1*s*. 6*d*.

Ancient Lives of Vergil. With an Essay on the Poems of Vergil, in connection with his Life and Times. By H. Nettleship, M.A. 8vo. sewed, 2*s*.

Papillon (T. L., M.A.). A Manual of Comparative Philology. Third Edition, Revised and Corrected. 1882. Crown 8vo. 6*s*.

Pinder (North, M.A.). Selections from the less known Latin Poets. 1869. Demy 8vo. 15*s*.

Sellar (W. Y., M.A.). Roman Poets of the Augustan Age. VIRGIL. By William Young Sellar, M.A., Professor of Humanity in the University of Edinburgh. New Edition. 1883. Crown 8vo. 9*s.*

—— *Roman Poets of the Republic.* New Edition, Revised and Enlarged. 1881. 8vo. 14*s.*

Wordsworth (J., M.A.). Fragments and Specimens of Early Latin. With Introductions and Notes. 1874. 8vo. 18*s.*

III. GREEK.

A Greek Primer, for the use of beginners in that Language. By the Right Rev. Charles Wordsworth, D.C.L. Seventh Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

Graecae Grammaticae Rudimenta in usum Scholarum. Auctore Carolo Wordsworth, D.C.L. Nineteenth Edition, 1882. 12mo. 4*s.*

A Greek-English Lexicon, abridged from Liddell and Scott's 4to. edition, chiefly for the use of Schools. Twentieth Edition. Carefully revised throughout. 1883. Square 12mo. 12*s.* 6*d.*

Greek Verbs, Irregular and Defective; their forms, meaning, and quantity; embracing all the Tenses used by Greek writers, with references to the passages in which they are found. By W. Veitch. Fourth Edition. Crown 8vo. 10*s.* 6*d.*

The Elements of Greek Accentuation (for Schools): abridged from his larger work by H. W. Chandler, M.A. Extra fcap. 8vo. 2*s.* 6*d.*

A SERIES OF GRADUATED GREEK READERS:—

First Greek Reader. By W. G. Rushbrooke, M.L. Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

Second Greek Reader. By A. M. Bell, M.A. Extra fcap. 8vo. 3*s.* 6*d.*

Fourth Greek Reader; being Specimens of Greek Dialects. With Introductions and Notes. By W. W. Merry, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

Fifth Greek Reader. Part I. Selections from Greek Epic and Dramatic Poetry, with Introductions and Notes. By Evelyn Abbott, M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

The Golden Treasury of Ancient Greek Poetry: being a Collection of the finest passages in the Greek Classic Poets, with Introductory Notices and Notes. By R. S. Wright, M.A. Extra fcap. 8vo. 8*s.* 6*d.*

A Golden Treasury of Greek Prose, being a Collection of the finest passages in the principal Greek Prose Writers, with Introductory Notices and Notes. By R. S. Wright, M.A., and J. E. L. Shadwell, M.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

Aeschylus. Prometheus Bound (for Schools). With Introduction and Notes, by A. O. Prickard, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*.

—— *Agamemnon*. With Introduction and Notes, by Arthur Sidgwick, M.A. Extra fcap. 8vo. 3*s*.

—— *Choephoroe*. With Introduction and Notes by the same Editor. *In the Press.*

Aristophanes. In Single Plays. Edited, with English Notes, Introductions, &c., by W. W. Merry, M.A. Extra fcap. 8vo.

I. The Clouds, Second Edition, 2*s*.
II. The Acharnians, 2*s*.
III. The Frogs, 2*s*.

Other Plays will follow.

Cebes. Tabula. With Introduction and Notes. By C. S. Jerram, M.A. Extra fcap. 8vo. 2*s*. 6*d*.

Euripides. Alcestis (for Schools). By C. S. Jerram, M.A. Extra fcap. 8vo. 2*s*. 6*d*.

—— *Helena*. Edited, with Introduction, Notes, and Critical Appendix, for Upper and Middle Forms. By C. S. Jerram, M.A. Extra fcap. 8vo. 3*s*.

Herodotus, Selections from. Edited, with Introduction, Notes, and a Map, by W. W. Merry, M.A. Extra fcap. 8vo. 2*s*. 6*d*.

Homer. Odyssey, Books I–XII (for Schools). By W. W. Merry, M.A. Twenty-seventh Thousand. Extra fcap. 8vo. 4*s*. 6*d*.

Book II, separately, 1*s*. 6*d*.

—— *Odyssey*, Books XIII–XXIV (for Schools). By the same Editor. Second Edition. Extra fcap. 8vo. 5*s*.

—— *Iliad*, Book I (for Schools). By D. B. Monro, M.A. Second Edition. Extra fcap. 8vo. 2*s*.

—— *Iliad*, Books I–XII (for Schools). By D. B. Monro, M.A. *Nearly ready.*

—— *Iliad*, Books VI and XXI. With Introduction and Notes. By Herbert Hailstone, M.A. Extra fcap. 8vo. 1*s*. 6*d*. each.

Lucian. *Vera Historia* (for Schools). By C. S. Jerram, M.A. Second Edition. Extra fcap. 8vo. 1*s.* 6*d.*

Plato. *Selections from the Dialogues* [including the whole of the *Apology* and *Crito*]. With Introduction and Notes by John Purves, M.A., and a Preface by the Rev. B. Jowett, M.A. Extra fcap. 8vo. 6*s.* 6*d.*

Sophocles. In Single Plays, with English Notes, &c. By Lewis Campbell, M.A., and Evelyn Abbott, M.A. Extra fcap. 8vo. limp.

Oedipus Tyrannus, Philoctetes. New and Revised Edition, 2*s.* each.
Oedipus Coloneus, Antigone, 1*s.* 9*d.* each.
Ajax, Electra, Trachiniae, 2*s.* each.

—— *Oedipus Rex:* Dindorf's Text, with Notes by the present Bishop of St. David's. Ext. fcap. 8vo. limp, 1*s.* 6*d.*

Theocritus (for Schools). With Notes. By H. Kynaston, M.A. (late Snow). Third Edition. Extra fcap. 8vo. 4*s.* 6*d.*

Xenophon. *Easy Selections.* (for Junior Classes). With a Vocabulary. Notes, and Map. By J. S. Phillpotts, B.C.L., and C. S. Jerram, M.A. Third Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Selections* (for Schools). With Notes and Maps. By J. S. Phillpotts, B.C.L. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Anabasis,* Book II. With Notes and Map. By C. S. Jerram, M.A. Extra fcap. 8vo. 2*s.*

—— *Cyropaedia,* Books IV and V. With Introduction and Notes by C. Bigg, D.D. Extra fcap. 8vo. 2*s.* 6*d.*

Aristotle's Politics. By W. L. Newman, M.A. [*In preparation.*]

Aristotelian Studies. I. On the Structure of the Seventh Book of the Nicomachean Ethics. By J. C. Wilson, M.A. 1879. Medium 8vo. stiff, 5*s.*

Demosthenes and Aeschines. The Orations of Demosthenes and Æschines on the Crown. With Introductory Essays and Notes. By G. A. Simcox, M.A., and W. H. Simcox, M.A. 1872. 8vo. 12*s.*

Geldart (E. M., B.A.). *The Modern Greek Language* in its relation to Ancient Greek. Extra fcap. 8vo. 4*s.* 6*d.*

Hicks (E. L., M.A.). *A Manual of Greek Historical Inscriptions.* Demy 8vo. 10*s.* 6*d.*

Homer. Odyssey, Books I–XII. Edited with English Notes, Appendices, etc. By W. W. Merry, M.A., and the late James Riddell, M.A. 1876. Demy 8vo. 16*s.*

—— *A Grammar of the Homeric Dialect.* By D. B. Monro, M.A. Demy 8vo. 10*s.* 6*d.*

Sophocles. The Plays and Fragments. With English Notes and Introductions, by Lewis Campbell, M.A. 2 vols.

Vol. I. Oedipus Tyrannus. Oedipus Coloneus. Antigone. Second Edition. 1879. 8vo. 16*s.*

Vol. II. Ajax. Electra. Trachiniae. Philoctetes. Fragments. 1881. 8vo. 16*s.*

Sophocles. The Text of the Seven Plays. By the same Editor. Extra fcap. 8vo. 4*s.* 6*d.*

IV. FRENCH AND ITALIAN.

Brachet's Etymological Dictionary of the French Language. with a Preface on the Principles of French Etymology. Translated into English by G. W. Kitchin, M.A. Third Edition. Crown 8vo. 7*s.* 6*d.*

—— *Historical Grammar of the French Language.* Translated into English by G. W. Kitchin, M.A. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

Works by GEORGE SAINTSBURY, M.A.

Primer of French Literature. Extra fcap. 8vo. 2*s.*

Short History of French Literature. Crown 8vo. 10*s.* 6*d.*

Specimens of French Literature, from Villon to Hugo. Crown 8vo. 9*s.*

Corneille's Horace. Edited, with Introduction and Notes, by George Saintsbury, M.A. Extra fcap. 8vo. 2*s.* 6*d.*

Molière's Les Précieuses Ridicules. Edited, with Introduction and Notes, by Andrew Lang, M.A. Extra fcap. 8vo. 1*s.* 6*d.*

Beaumarchais' Le Barbier de Séville. Edited, with Introduction and Notes, by Austin Dobson. Extra fcap. 8vo. 2*s.* 6*d.*

Other Plays to follow.

L'Éloquence de la Chaire et de la Tribune Françaises. Edited by Paul Blouët, B.A. (Univ. Gallic.). Vol. I. French Sacred Oratory. Extra fcap. 8vo. 2*s.* 6*d.* *Just Published.*

Edited by GUSTAVE MASSON, B.A.

Corneille's Cinna, and *Molière's Les Femmes Savantes.* With Introduction and Notes. Extra fcap. 8vo. 2*s*. 6*d*.

Louis XIV and his Contemporaries; as described in Extracts from the best Memoirs of the Seventeenth Century. With English Notes, Genealogical Tables, &c. Extra fcap. 8vo. 2*s*. 6*d*.

Maistre, Xavier de. Voyage autour de ma Chambre. Ourika, by *Madame de Duras;* La Dot de Suzette, by *Fievée;* Les Jumeaux de l'Hôtel Corneille, by *Edmond About;* Mésaventures d'un Écolier, by *Rodolphe Töpffer*. Second Edition. Extra fcap. 8vo. 2*s*. 6*d*.

Molière's Les Fourberies de Scapin. With Voltaire's Life of Molière. Extra fcap. 8vo. stiff covers, 1*s*. 6*d*.

Molière's Les Fourberies de Scapin, and *Racine's Athalie.* With Voltaire's Life of Molière. Extra fcap. 8vo. 2*s*. 6*d*.

Racine's Andromaque, and *Corneille's Le Menteur.* With Louis Racine's Life of his Father. Extra fcap. 8vo. 2*s*. 6*d*.

Regnard's Le Joueur, and *Brueys and Palaprat's Le Grondeur.* Extra fcap. 8vo. 2*s*. 6*d*.

Sévigné, Madame de, and her chief Contemporaries, Selections from the Correspondence of. Intended more especially for Girls' Schools. Extra fcap. 8vo. 3*s*.

Dante. Selections from the Inferno. With Introduction and Notes. By H. B. Cotterill, B.A. Extra fcap. 8vo. 4*s*. 6*d*.

Tasso. La Gerusalemme Liberata. Cantos i, ii. With Introduction and Notes. By the same Editor. Extra fcap. 8vo. 2*s*. 6*d*.

V. GERMAN.

GERMAN COURSE. **By HERMANN LANGE.**

The Germans at Home; a Practical Introduction to German Conversation, with an Appendix containing the Essentials of German Grammar. Second Edition. 8vo. 2*s*. 6*d*.

The German Manual; a German Grammar, Reading Book, and a Handbook of German Conversation. 8vo. 7*s*. 6*d*.

Grammar of the German Language. 8vo. 3*s.* 6*d.*

This 'Grammar' is a reprint of the Grammar contained in 'The German Manual,' and, in this separate form, is intended for the use of Students who wish to make themselves acquainted with German Grammar chiefly for the purpose of being able to read German books.

German Composition; A Theoretical and Practical Guide to the Art of Translating English Prose into German. 8vo. 4*s.* 6*d.*

Lessing's Laokoon. With Introduction, English Notes, etc. By A Hamann, Phil. Doc., M.A. Extra fcap. 8vo. 4*s.* 6*d.*

Schiller's Wilhelm Tell. Translated into English Verse by E. Massie, M.A. Extra fcap. 8vo. 5*s.*

Also, Edited by C. A. BUCHHEIM, Phil. Doc.

Goethe's Egmont. With a Life of Goethe, &c. Third Edition. Extra fcap. 8vo. 3*s.*

—— *Iphigenie auf Tauris.* A Drama. With a Critical Introduction and Notes. Second Edition. Extra fcap. 8vo. 3*s.*

Lessing's Minna von Barnhelm. A Comedy. With a Life of Lessing, Critical Analysis, Complete Commentary, &c. Fourth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Nathan der Weise.* With Introduction, Notes, etc. Extra fcap. 8vo. 4*s.* 6*d.*

Schiller's Historische Skizzen; Egmont's Leben und Tod, and *Belagerung von Antwerpen.* Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

—— *Wilhelm Tell.* With a Life of Schiller; an historical and critical Introduction, Arguments, and a complete Commentary. Sixth Edition. Extra fcap. 8vo. 3*s.* 6*d.*

—— *Wilhelm Tell.* School Edition. Extra fcap. 8vo. 2*s.* 6*d.* *Just Published.*

Halm's Griseldis. In Preparation.

Modern German Reader. A Graduated Collection of Prose Extracts from Modern German writers:—

Part I. With English Notes, a Grammatical Appendix, and a complete Vocabulary. Third Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

Parts II and III in Preparation.

VI. MATHEMATICS, PHYSICAL SCIENCE, &c.

By LEWIS HENSLEY, M.A.

Figures made Easy: a first Arithmetic Book. (Introductory to 'The Scholar's Arithmetic.') Crown 8vo. 6*d.*

Answers to the Examples in Figures made Easy, together with two thousand additional Examples formed from the Tables in the same, with Answers. Crown 8vo. 1*s.*

The Scholar's Arithmetic: with Answers to the Examples. Crown 8vo. 4*s.* 6*d.*

The Scholar's Algebra. An Introductory work on Algebra. Crown 8vo. 4*s.* 6*d.*

Baynes (R. E., M.A.). Lessons on Thermodynamics. 1878. Crown 8vo. 7*s.* 6*d.*

Chambers (G. F., F.R.A.S.). A Handbook of Descriptive Astronomy. Third Edition. 1877. Demy 8vo. 28*s.*

Clarke (Col. A. R., C.B., R.E.). Geodesy. 1880. 8vo. 12*s.* 6*d.*

Donkin (W. F., M.A., F.R.S.). Acoustics. 1870. Crown 8vo. 7*s.* 6*d.*

Galton (Douglas, C.B., F.R.S.). The Construction of Healthy Dwellings; namely Houses, Hospitals, Barracks, Asylums, &c. Demy 8vo. 10*s.* 6*d.*

Hamilton (R. G. C.), and J. Ball. Book-keeping. New and enlarged Edition. Extra fcap. 8vo. limp cloth, 2*s.*

Harcourt (A. G. Vernon, M.A.), and *H. G. Madan, M.A. Exercises in Practical Chemistry.* Vol. I. Elementary Exercises. Third Edition. Crown 8vo. 9*s.*

Maclaren (Archibald). A System of Physical Education: Theoretical and Practical. Extra fcap. 8vo. 7*s.* 6*d.*

Madan (H. G., M.A.). Tables of Qualitative Analysis. Large 4to. paper, 4*s.* 6*d.*

Maxwell (J. Clerk, M.A., F.R.S.). A Treatise on Electricity and Magnetism. Second Edition. 2 vols. Demy 8vo. 1*l.* 11*s.* 6*d.*

—— *An Elementary Treatise on Electricity.* Edited by William Garnett, M.A. Demy 8vo. 7*s.* 6*d.*

Minchin (*G. M., M.A.*). *A Treatise on Statics.* Second Edition, Revised and Enlarged. 1879. 8vo. 14*s.*

—— *Uniplanar Kinematics of Solids and Fluids.* Crown 8vo. 7*s.* 6*d.*

Rolleston (*G., M.D., F.R.S.*). *Forms of Animal Life.* Illustrated by Descriptions and Drawings of Dissections. A New Edition in the Press.

Smyth. A Cycle of Celestial Objects. Observed, Reduced, and Discussed by Admiral W. H. Smyth, R.N. Revised, condensed, and greatly enlarged by G. F. Chambers, F.R.A.S. 1881. 8vo. 21*s.*

Stewart (*Balfour, LL.D., F.R.S.*). *A Treatise on Heat,* with numerous Woodcuts and Diagrams. Fourth Edition. 1881. Extra fcap. 8vo. 7*s.* 6*d.*

Story-Maskelyne (*M. H. N., M.A.*). *Crystallography.* In the Press.

Vernon-Harcourt (*L. F., M.A.*). *A Treatise on Rivers and Canals,* relating to the Control and Improvement of Rivers, and the Design, Construction, and Development of Canals. 2 vols. (Vol. I, Text. Vol. II, Plates.) 8vo. 21*s.*

Watson (*H. W., M.A.*). *A Treatise on the Kinetic Theory of Gases.* 1876. 8vo. 3*s.* 6*d.*

Watson (*H. W., M.A.*), and *Burbury* (*S. H., M.A.*). *A Treatise on the Application of Generalised Coordinates to the Kinetics of a Material System.* 1879. 8vo. 6*s.*

Williamson (*A. W., Phil. Doc., F.R.S.*). *Chemistry for Students.* A new Edition, with Solutions. 1873. Extra fcap. 8vo. 8*s.* 6*d.*

VII. HISTORY.

Finlay (*George, LL.D.*). *A History of Greece* from its Conquest by the Romans to the present time, B.C. 146 to A.D. 1864. A new Edition, revised throughout, and in part re-written, with considerable additions, by the Author, and edited by H. F. Tozer, M.A. 1877. 7 vols. 8vo. 3*l.* 10*s.*

Freeman (*E.A., M.A.*). *A Short History of the Norman Conquest of England.* Second Edition. Extra fcap. 8vo. 2*s.* 6*d.*

—— *A History of Greece.* In preparation.

George (*H. B., M.A.*). *Genealogical Tables illustrative of Modern History.* Second Edition, Revised and Enlarged. Small 4to. 12*s.*

Hodgkin (*T.*). *Italy and her Invaders,* A.D. 376–476. Illustrated with Plates and Maps. 2 vols. 8vo. 1*l.* 12*s.*

Kitchin (*G. W., M.A.*). *A History of France.* With numerous Maps, Plans, and Tables. In Three Volumes. 1873–77. Crown 8vo. each 10*s.* 6*d.*

Vol. 1. Second Edition. Down to the Year 1453.
Vol. 2. From 1453–1624.
Vol. 3. From 1624–1793.

Payne (*E. J., M.A.*). *A History of the United States of America.* In the Press.

Ranke (*L. von*). *A History of England*, principally in the Seventeenth Century. Translated by Resident Members of the University of Oxford, under the superintendence of G. W. Kitchin, M.A., and C. W. Boase, M.A. 1875. 6 vols. 8vo. 3*l.* 3*s.*

Rawlinson (*George, M.A.*). *A Manual of Ancient History.* Second Edition. Demy 8vo. 14*s.*

Select Charters and other Illustrations of English Constitutional History, from the Earliest Times to the Reign of Edward I. Arranged and edited by W. Stubbs, M.A. Fourth Edition. 1881. Crown 8vo. 8*s.* 6*d.*

Stubbs (*W., D.D.*). *The Constitutional History of England*, in its Origin and Development. Library Edition. 3 vols. demy 8vo. 2*l.* 8*s.*

Also in 3 vols. crown 8vo. price 12*s.* each.

Wellesley. A Selection from the Despatches, Treaties, and other Papers of the Marquess Wellesley, K.G., during his Government of India. Edited by S. J. Owen, M.A. 1877. 8vo. 1*l.* 4*s.*

Wellington. A Selection from the Despatches, Treaties, and other Papers relating to India of Field-Marshal the Duke of Wellington, K.G. Edited by S. J. Owen, M.A. 1880. 8vo. 24*s.*

A History of British India. By S. J. Owen, M.A., Reader in Indian History in the University of Oxford. In preparation.

VIII. LAW.

Alberici Gentilis, I.C.D., I.C. Professoris Regii, De Iure Belli Libri Tres. Edidit Thomas Erskine Holland, I.C.D. 1877. Small 4to. half morocco, 21*s.*

Anson (*Sir William R., Bart., D.C.L.*). *Principles of the English Law of Contract, and of Agency in its Relation to Contract.* Second Edition. Demy 8vo. 10*s.* 6*d.*

Bentham (*Jeremy*). *An Introduction to the Principles of Morals and Legislation.* Crown 8vo. 6*s.* 6*d.*

Digby (Kenelm E., M.A.). An Introduction to the History of the Law of Real Property, with original Authorities. Second Edition. 1876. Crown 8vo. 7*s.* 6*d.*

Gaii Institutionum Juris Civilis Commentarii Quattuor; or, Elements of Roman Law by Gaius. With a Translation and Commentary by Edward Poste, M.A. Second Edition. 1875. 8vo. 18*s.*

Hall (W. E., M.A.). International Law. Second Edition. Demy 8vo. 21*s.*

Holland (T. E., D.C.L.). The Elements of Jurisprudence. Second Edition. Demy 8vo. 10*s.* 6*d.*

Imperatoris Iustiniani Institutionum Libri Quattuor; with Introductions, Commentary, Excursus and Translation. By J. B. Moyle, B.C.L., M.A. 2 vols. Demy 8vo. 21*s.*

Justinian, The Institutes of, edited as a recension of the Institutes of Gaius, by Thomas Erskine Holland, D.C.L. Second Edition, 1881. Extra fcap. 8vo. 5*s.*

Justinian, Select Titles from the Digest of. By T. E. Holland, D.C.L., and C. L. Shadwell, B.C.L. 8vo. 14*s.*

Also sold in Parts, in paper covers, as follows:—

Part I. Introductory Titles. 2*s.* 6*d.* Part II. Family Law. 1*s.*
Part III. Property Law. 2*s.* 6*d.* Part IV. Law of Obligations (No. 1). 3*s.* 6*d.*
Part IV. Law of Obligations (No. 2). 4*s.* 6*d.*

Markby (W., M.A.). Elements of Law considered with reference to Principles of General Jurisprudence. Second Edition, with Supplement. 1874. Crown 8vo. 7*s.* 6*d.* Supplement separately, 2*s.*

Twiss (Sir Travers, D.C.L.). The Law of Nations considered as Independent Political Communities.

Part I. On the Rights and Duties of Nations in time of Peace. A new Edition, Revised and Enlarged. 1884. Demy 8vo. 15*s.*

Part II. On the Rights and Duties of Nations in Time of War. Second Edition Revised. 1875. Demy 8vo. 21*s.*

IX. MENTAL AND MORAL PHILOSOPHY, &c.

Bacon's Novum Organum. Edited, with English Notes, by G. W. Kitchin, M.A. 1855. 8vo. 9*s.* 6*d.*

—— Translated by G. W. Kitchin, M.A. 1855. 8vo. 9*s.* 6*d.*

Berkeley. The Works of George Berkeley, D.D., formerly Bishop of Cloyne; including many of his writings hitherto unpublished. With Prefaces, Annotations, and an Account of his Life and Philosophy, by Alexander Campbell Fraser, M.A. 4 vols. 1871. 8vo. 2*l.* 18*s.*

The Life, Letters, &c. 1 vol. 16*s.*

—— *Selections from.* With an Introduction and Notes. For the use of Students in the Universities. By Alexander Campbell Fraser, LL.D. Second Edition. Crown 8vo. 7*s.* 6*d.*

Fowler (T., M.A.). The Elements of Deductive Logic, designed mainly for the use of Junior Students in the Universities. Eighth Edition, with a Collection of Examples. Extra fcap. 8vo. 3*s*. 6*d*.

—— *The Elements of Inductive Logic,* designed mainly for the use of Students in the Universities. Fourth Edition. Extra fcap. 8vo. 6*s*.

Edited by T. FOWLER, M.A.

Bacon. Novum Organum. With Introduction, Notes, &c. 1878. 8vo. 14*s*.

Locke's Conduct of the Understanding. Second Edition. Extra fcap. 8vo. 2*s*.

Green (T. H., M.A.). Prolegomena to Ethics. Edited by A. C. Bradley, M.A. Demy 8vo. 12*s*. 6*d*.

Hegel. The Logic of Hegel; translated from the Encyclopaedia of the Philosophical Sciences. With Prolegomena by William Wallace, M.A. 1874. 8vo. 14*s*

Lotze's Logic, in Three Books; of Thought, of Investigation, and of Knowledge. English Translation; Edited by B. Bosanquet, M.A., Fellow of University College, Oxford. 8vo. *cloth*, 12*s*. 6*d*.

—— *Metaphysic,* in Three Books; Ontology, Cosmology, and Psychology. English Translation; Edited by B. Bosanquet, M.A., Fellow of University College, Oxford. 8vo. *cloth*, 12*s*. 6*d*.

Rogers (J. E. Thorold, M.A.). A Manual of Political Economy, for the use of Schools. Third Edition. Extra fcap. 8vo. 4*s*. 6*d*.

Smith's Wealth of Nations. A new Edition, with Notes, by J. E. Thorold Rogers, M.A. 2 vols. 8vo. 1880. 21*s*.

X. ART, &c.

Hullah (John). The Cultivation of the Speaking Voice. Second Edition. Extra fcap. 8vo. 2*s*. 6*d*.

Ouseley (Sir F. A. Gore, Bart.). A Treatise on Harmony. Third Edition. 4to. 10*s*.

—— *A Treatise on Counterpoint, Canon, and Fugue,* based upon that of Cherubini. Second Edition. 4to. 16*s*.

—— *A Treatise on Musical Form and General Composition.* 4to. 10*s*.

Robinson (J. C., F.S.A.). A Critical Account of the Drawings by Michel Angelo and Raffaello in the University Galleries, Oxford. 1870. Crown 8vo. 4*s*.

Ruskin (John, M.A.). A Course of Lectures on Art, delivered before the University of Oxford in Hilary Term, 1870. 8vo. 6*s.*

Troutbeck (J., M.A.) and R. F. Dale, M.A. A Music Primer (for Schools). Second Edition. Crown 8vo. 1*s.* 6*d.*

Tyrwhitt (R. St. J., M.A.). A Handbook of Pictorial Art. With coloured Illustrations, Photographs, and a chapter on Perspective by A. Macdonald. Second Edition. 1875. 8vo. half morocco, 18*s.*

Vaux (W. S. W., M.A., F.R.S.). Catalogue of the Castellani Collection of Antiquities in the University Galleries, Oxford. Crown 8vo. stiff cover, 1*s.*

The Oxford Bible for Teachers, containing supplementary HELPS TO THE STUDY OF THE BIBLE, including Summaries of the several Books, with copious Explanatory Notes and Tables illustrative of Scripture History and the characteristics of Bible Lands, with a complete Index of Subjects, a Concordance, a Dictionary of Proper Names, and a series of Maps. Prices in various sizes and bindings from 3*s.* to 2*l.* 5*s.*

Helps to the Study of the Bible, taken from the OXFORD BIBLE FOR TEACHERS, comprising Summaries of the several Books, with copious Explanatory Notes and Tables illustrative of Scripture History and the Characteristics of Bible Lands; with a complete Index of Subjects, a Concordance, a Dictionary of Proper Names, and a series of Maps. Pearl 16mo. *cloth*, 1*s.*

LONDON: HENRY FROWDE,

OXFORD UNIVERSITY PRESS WAREHOUSE, AMEN CORNER,

OXFORD: CLARENDON PRESS DEPOSITORY,

116 HIGH STREET.

The DELEGATES OF THE PRESS *invite suggestions and advice from all persons interested in education; and will be thankful for hints, &c. addressed to the* SECRETARY TO THE DELEGATES, *Clarendon Press, Oxford.*

